ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ
15

Υ Π Ο Μ Ν Η Μ Α

ΣΤΙΣ ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ
('Ομιλίες Α΄—ΚΓ΄)

ΚΕΙΜΕΝΟ—ΜΕΤΑΦΡΑΣΗ—ΣΧΟΛΙΑ
'Από τὸν
ΧΡΙΣΤΟ Θ. ΚΡΙΚΩΝΗ
Λέκτορα Θεολογικῆς Σχολῆς
Πανεπιστημίου Θεσσαλονίκης

Ἐπόπται

Παν. Κ. Χρηστου, Καθηγητής Πανεπιστημίου

Ἐπιμελητής

Ελευθ. Γ. Μερετακης, π. Θεολογίας



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑ

ΘΕΣΣΑΛΟΝΙΚΗ 1983

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

15

ΥΠΟΜΝΗΜΑ ΣΤΙΣ ΠΡΑΞΕΙΣ
ΟΜΙΛΙΕΣ Α΄. - ΚΓ΄.

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΕΙΣΑΓΩΓΗ

1. *Χαρακτηρισμὸς τοῦ 'Ιω. Χρυσοστόμου.*

Ὁ Ἰωάννης Χρυσόστομος εἶναι ἀπὸ τοὺς μεγαλύτερους καὶ πολυγραφότερους συγγραφεῖς ὄχι μόνο τῆς ἐκκλησιαστικῆς, ἀλλ' ἴσως καὶ τῆς παγκόσμιας λογοτεχνίας. Ὁ πλοῦτος καὶ ἡ σπουδαιότητα τῶν ἰδεῶν του, εἶχαν σὰν συνέπεια τὰ ἔργα του νὰ γίνουν σεβαστὰ καὶ νὰ διατηρηθοῦν κατὰ τὸ μεγαλύτερο μέρος τους σὲ πολὺ καλὴ κατάσταση ἀπὸ τὴ χειρόγραφη παράδοση, σὲ 2000 περίπου κώδικες τὰ γνήσια καὶ ἐπάνω ἀπὸ 500 τὰ νόθα. Γενικὰ τὸ ἔργο του διακρίνεται γιὰ τὴν ἐπιβλητικότητα τοῦ ὄγκου του καθὼς καὶ γιὰ τὴν ἐκλεκτὴ ποιότητά του τόσο κατὰ τὸ περιεχόμενο, ὅσο καὶ κατὰ τὴν γλωσσικὴ του ἔκφραση. Ἡ δύναμη τοῦ λόγου του καὶ τὸ θαυμάσιο ὕφος του εἶναι πράγματι ἀπαράμιλλα· μερικὲς φορὲς δὲ εἶναι ὄχι μόνο ἐφάμιλλο καὶ ἰσάξιο τῶν καλύτερων ρητόρων τῆς κλασικῆς ἀρχαιότητας, ἀλλ' ἴσως, σὲ μερικὰ σημεῖα κατὰ τὴν ἁρμονικότητα τῆς ἐκφράσεώς του, καὶ ἀνώτερο ἐκείνων. Καὶ τοῦτο, διότι ὁ Χρυσόστομος χωρὶς νὰ καταβάλλει καμιὰ ἰδιαίτερη προσπάθεια γιὰ νὰ συμμορφωθεῖ μὲ τοὺς κανόνες τῆς τεχνικῆς τῆς ρητορικῆς —παρότι εἶχε καὶ ὁ ἴδιος σπουδάσει ρητορικὴ κοντὰ στὸ μεγάλο ρήτορα τῆς ἐποχῆς ἐκείνης Λιβάνιο— ἀλλ' ἔχοντας ἔμφυτο τὸ χάρισμα τῆς ρητορείας καὶ τῆς πνευματικῆς δημιουργίας, παρουσιάζει μιὰ μεγαλειώδη καὶ καταπληκτικὴ ρητορεία κατὰ τρόπο πηγαῖο.

Γι' αὐτὸ καὶ δίκαια θεωρεῖται ὡς ὁ μεγαλύτερος ἐκκλησιαστικὸς ρήτορας ὅλων τῶν ἐποχῶν. Μάλιστα ἀπὸ τὴν ἐποχή του ἀκόμη ὁ σύγχρονος καὶ μαθητής του Νεῖλος (360—430) τὸν εἶχε ἀποκαλέσει «Χρυσορρόα», ἐνῶ ἀπὸ τὸν στ΄ αἰώνα τοῦ ἀποδίδεται, καὶ μάλιστα ἀπὸ δυτικοὺς συγγραφεῖς, τὸν Φακοῦνδο καὶ Κασσιόδωρο, ὁ χαρακτηρισμὸς «Χρυσόστομος», χαρακτηρισμὸ πού, ὅπως φαίνεται, εἶχαν ἀνεύρει σὲ ἄγνωστες ἑλληνικὲς πηγὲς καὶ ὁ ὁποῖος ἔμεινε ἀπὸ τότε ὡς ἐπώνυμό του.

Ὑπῆρξε ὁ μεγαλύτερος ἀπὸ τοὺς πατέρες τόσο τῆς ἀνατολῆς, ὅσο καὶ τῆς δύσης. Κατὰ τὸν Ἰσίδωρο Πηλουσιώτη ὁ Χρυσόστομος ἦταν «ὁ... τῶν τοῦ Θεοῦ ἀπορρήτων σοφός... καὶ ὁ τῆς ἐν Βυζαντίῳ Ἐκκλησίας καὶ πάσης ὀφθαλμός»[1].

2. Τὸ συγγραφικὸ ἔργο

Τὸ συγγραφικὸ ἔργο τοῦ Χρυσοστόμου ἀποτελεῖται α) ἀπὸ Πραγματεῖες καὶ Δοκίμια, ὅπου πραγματεύεται ποιμαντικά, ἀσκητικά, ἠθικά, παιδαγωγικά, καὶ ἀπολογητικὰ θέματα. β) Ἀπὸ Ἐπιστολές, ποὺ ἀνέρχονται περίπου στὶς 240 καὶ ἀπευθύνονται σὲ διάφορα πρόσωπα[2]. Σ' αὐτὲς ὁ Χρυσόστομος ὡς ἐκκλησιαστικὸς καὶ πνευματικὸς ἡγέτης, ἐκδηλώνει παρὰ τὴν κρισιμότητα τῶν περιστάσεων, ἔντονο τὸ ἐνδιαφέρον του καὶ τὴ μεγάλη ἀγάπη του γιὰ τὸ ἐκκλ. ἔργο. Ἀκόμη προσπαθεῖ, παρὰ τὴν τραγικότητα τῶν στιγμῶν τῆς ζωῆς του, νὰ παρηγορήσει τοὺς μαθητὲς καὶ φίλους του καὶ νὰ τοὺς ἐνθαρρύνει στὴν ἀπόγνωσή τους[3]. γ) Ἀπὸ Ὁμιλίες καὶ Λόγους, ποὺ κατέχουν τὸ μεγαλύτερο μέρος τοῦ συγγραφικοῦ του ἔργου, 1500 περίπου. Αὐτὲς γίνονταν συνήθως χωρὶς χειρόγραφο καὶ ἰδιαίτερη προετοιμασία· μὲ τὸ προφορικὸ αὐτὸ κήρυγμα ἔρχονταν σὲ ἄμεση ἐπικοινωνία μὲ τὸ ἀκροατήριό του καὶ ὁ τρόπος αὐτὸς ἀποδείχθηκε πιὸ πρόσφορος καὶ ἀποδοτικός, μὲ συνέπεια νὰ καταστεῖ ὁ Χρυσόστομος ὁ κατ' ἐξοχὴν λαϊκὸς κήρυκας καὶ διδάσκαλος τῶν Χριστιανῶν. Οἱ κηρυγματικὲς αὐτὲς Ὁμιλίες του διακρίνονταν σὲ ἑρμηνευτικές, ὅπου μὲ ἁπλότητα καὶ σαφήνεια ἀναλύονται ἔννοιες χωρίων βιβλικῶν κειμένων μὲ διεισδυτικὸ ὕφος καὶ ἐποικοδομητικὰ συμπεράσματα, καὶ σὲ Λόγους ἐπίκαιρους ἢ ἔκτακτων περιστατικῶν, ὅπου μὲ κάποια πηγαία ρητορικότητα ανα-

---

1. Ἐπιστολὴ 1, 156. PG 78, 288 B καὶ Ἐπιστολὴ 4, 224. PG 78, 1317C - 1320A.

2. Βλ. Π. Νικολοπούλου, Αἱ εἰς τὸν Ἰωάννην τὸν Χρυσόστομον ἐσφαλμένως ἀποδιδόμεναι ἐπιστολαί. Ἐν Ἀθήναις 1973. Καὶ Βαρνάβα Τζωρτζάτου, Ἰωάννης ὁ Χρυσόστομος ἐπὶ τῇ βάσει τῶν ἐπιστολῶν αὐτοῦ. Ἐν Ἀθήναις 1952.

3. Βλ. σχετικὰ ἔργα, Μ. Σιώτου, Ὁ Ἰωάννης ὁ Χρυσόστομος ὡς πνευματικὸς ἡγέτης, Ἀθῆναι 1961 καὶ Χρυσοστόμου Παπαδοπούλου, Ὁ Ἅγιος Ἰωάννης ὁ Χρυσόστομος, Ἀλεξάνδρεια 1908, β' ἐκδ. Ἐν Ἀθήναις 1970 κ.ἑ.

πτύσσονται διάφορα θέματα μὲ δογματικό, πολεμικό, ἠθικό, κατηχητικό, κοινωνικό, ἁγιογραφικό, ἑορταστικὸ καὶ ἐγκωμιαστικὸ περιεχόμενο καὶ πάντοτε μὲ ἰδιαίτερη χάρη, ποὺ ὀφειλόταν στὴ μεγάλη του μόρφωση, ἀλλὰ κυρίως στὴ βαθειὰ γνώση τῶν Γραφῶν καὶ στὴν ἱκανότητά του νὰ μπαίνει στὶς ψυχὲς τῶν ἀκροατῶν μὲ ἀκλόνητη ἐπιχειρηματολογία.

Ὁ Χρυσόστομος ἀνέπτυσσε τὸ κάθε θέμα σὲ δυὸ ἑνότητες ἢ μέρη καὶ σπάνια αὐτοτελῶς. Ἔτσι, στὸ πρῶτο μέρος ἀνέπτυσσε τὸ κύριο θέμα, ὁποιοδήποτε καὶ ἂν ἦταν αὐτό, στὸ δεύτερο παρουσίαζε ἕνα σύντομο πρακτικῆς μορφῆς καὶ μὲ ἠθικὲς παραινέσεις θέμα, ποὺ φαίνονταν ἐκ πρώτης ὄψεως ἀνεξάρτητο καὶ ἄσχετο ἀπὸ τὸ κύριο θέμα. Ὅμως εὕρισκε πάντοτε κοινὰ σημεῖα μὲ τὰ ὁποῖα συνέδεε αὐτὰ μεταξύ τους.

Οἱ Ὁμιλίες του ἀρχικὰ καταγράφονταν ἀπὸ τοὺς ταχυγράφους —«ὀξυγράφους»— καὶ κατόπιν ἐπιθεωροῦνταν τὸ κείμενό τους συνήθως ἀπὸ τὸν ἴδιο, ἐκτὸς ἀπὸ μερικὲς περιπτώσεις[4], ὅπου τὸ κείμενο τῶν Ὁμιλιῶν προέρχεται μόνο ἀπὸ τὶς σημειώσεις τῶν ταχυγράφων χωρὶς νὰ προλάβει ὁ Χρυσόστομος νὰ κάνει τὶς ἀπαραίτητες διορθώσεις, ὅπως εἶναι συγκεκριμένα τὸ κείμενο τῶν ὁμιλιῶν του στὶς Πράξεις τῶν Ἀποστόλων.

3. *Ἑρμηνευτικὴ μέθοδος.*

Ὁ Χρυσόστομος ὡς ἀντιοχειανὸς ἀκολούθησε τὴ νέα ἀντιοχειανὴ ἑρμηνευτική, τὶς βάσεις τῆς ὁποίας πρῶτος ἔθεσε ὁ Διόδωρος Ταρσοῦ (330—392). Αὐτὸς ἦταν ἀντίθετος ριζικὰ στὴ χρήση τῆς ἀλληγορίας καὶ ἀναζητοῦσε τὸ νόημα τῶν Γραφῶν μέσα στὸ γράμμα, διότι ἔβλεπε ὅτι ἡ φιλολογικὴ ἑρμηνεία ἦταν ἱκανὴ νὰ ἀποδώσει τὴν ἔννοια τῶν εἰκόνων, τῶν συμβόλων καὶ τῶν προφητειῶν, ποὺ περιέχονται στὴ Γραφή, καὶ νὰ βγάλει ἀπὸ τὰ κείμενα τὸ ἠθικὸ νόημα ποὺ περιέκλειαν. Ὁ Χρυσόστομος προτιμοῦσε τὴν ἱστορικοφιλολογικὴ μέθοδο ἀνάμικτη μὲ στοιχεῖα τυπολογίας, γιατὶ αὐτὴ διατηρεῖ τὴν ἱστορικότητα τῶν βιβλικῶν κειμένων[5], καὶ παραδεχόταν ὅτι ἡ Γραφὴ γενι-

---

4. Βλ. Σωκράτους, Ἐκκλησιαστικὴ Ἱστορία 6, 4. PG 67, 672C.
5. Βλ. Ὁμιλ. 13, 3 Εἰς τὴν Γένεσιν, PG 53, 108.

κὰ ἑρμηνεύεται μὲ τὴν Γραφή. Ἔτσι ἐνῶ ἀποκρούει τὴν ἀλληγορικὴ ἑρμηνεία, γιατὶ αὐτὴ αἴρει τὴν ἱστορικότητα τῶν βιβλικῶν κειμένων, δὲν ἀποκρούει ὅμως τελείως τὴν τυπολογικὴ ἐξήγηση, ἀλλὰ καταγίνεται μὲ τὴν κυριολεκτικὴ ἔννοια τοῦ βιβλικοῦ κειμένου, ὅπου βέβαια τοῦτο εἶναι ἀναγκαῖο[6].

Ἐνώπιον τοῦ ἀκροατηρίου του ἡ ἑρμηνεία ποὺ χρησιμοποιοῦσε δὲν ἦταν ἡ κατὰ σειρὰ καὶ κατὰ λέξη ἀναλυτικὴ ἑρμηνευτικὴ διασάφηση τοῦ κειμένου, ἀλλ' ἡ ἐπιλογὴ ὁρισμένων χαρακτηριστικῶν γι' αὐτὸν χωρίων τοῦ κειμένου τὰ ὁποῖα ἀνέλυε ἑρμηνεύοντάς τα μὲ διεισδυτικὸ τρόπο. Κατώρθωσε, ὅσο κανένας ἄλλος ἑρμηνευτής, νὰ συνδυάσει τόσο ἁρμονικὰ τὴ ρωμαλαία σκέψη του μὲ τὴν ἀκριβὴ κατανόηση τῶν γραφικῶν κειμένων. Κατόπιν προέβαινε στὴν ἐξαγωγὴ ἐποικοδομητικῶν καὶ ἠθικῶν συμπερασμάτων, τὰ ὁποῖα προέκυπταν ἀπὸ τὴν ἀνάλυση αὐτὴν καὶ τὰ ὁποῖα θὰ μποροῦσαν νὰ ἔχουν ἐφαρμογὴ σ' ὅλες τὶς ἐκδηλώσεις τῆς ζωῆς τῶν ἀνθρώπων.

Σὲ μερικὲς περιπτώσεις ὁ ἱερὸς πατήρ, παίρνοντας ἀφορμὴ ἀπὸ ὁρισμένα μόνο χωρία ἢ περιστατικὰ τοῦ βιβλικοῦ κειμένου, ἀνέπτυσσε ἕνα θέμα καὶ στὴ συνέχεια διαπραγματευόταν ἀπ' αὐτὸ διάφορα ἄλλα σχετικὰ προβλήματα[7]. Πολὺ σπάνια χρησιμοποιοῦσε τὸ σύγχρονο τρόπο ἑρμηνείας τοῦ ὑπομνήματος, ἀκολουθώντας στίχο πρὸς στίχο τὸ κείμενο καὶ ἀναλύοντας αὐτό. Σχετικὰ ὅμως μὲ τὶς συχνὲς ἐπαναλήψεις καὶ ἰδίως τὴν ἀπαντώμενη φράση «ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα», ποὺ τόσο πολὺ προκάλεσε ὅσους συγγραφεῖς ἀσχολήθηκαν μὲ τὸ ἔργο αὐτό, μπορεῖ νὰ ὑποστηριχθεῖ ὅτι ὁ Χρυσόστομος, ἀνάλογα μὲ τὸ θέμα ποὺ ἀνέπτυσσε καὶ τὸ σκοπὸ ποὺ ἐπεδίωκε νὰ ἐπιτύχει, σκόπιμα πολλὲς φορὲς ἐπανέρχεται στὸ ἴδιο θέμα, ἐξαίροντας καὶ ἐπαινώντας κάθε τι καλὸ καὶ ἐπικρίνοντας καὶ καυτηριάζοντας κάθε τι κακό, προκειμένου νὰ πείσει τὸ ἀκροατήριό του νὰ ἀποδεχθεῖ τὶς ἠθικὲς παραινέσεις του καὶ νὰ τὶς καταστήσει βίωμά του. Ἔτσι

6. Βλ. Γαλ. 4,3 «Καταχρηστικῶς τὸν τύπον ἀλληγορίαν ἐκάλεσεν. Ὁ δὲ λέγει τοῦτό ἐστιν· ἡ μὲν ἱστορία αὕτη οὐ τοῦτο μόνον παραδηλοῖ, ὅπερ φαίνεται, ἀλλὰ καὶ ἄλλα τινὰ ἀναγορεύει· διὸ καὶ ἀλληγορία κέκληται». PG 61, 662.

7. PG 51, 65-112.

ἐξαίρει μερικὲς φορὲς μεγάλες ἀλήθειες, ὅπως ἡ ἀποφυγὴ τοῦ ὅρκου, τοῦ πλούτου κ.ἄ. Σχετικὰ μάλιστα μὲ τὸν ὅρκο σὲ πολλὲς ὁμιλίες του (Η΄, Θ΄, Ι΄, ΙΑ΄, ΙΒ΄, ΙΓ΄) ἐπαναλαμβάνει τὶς προτροπές του πρὸς τοὺς ἀκροατές του χωρὶς σὲ καμιὰ ἀπ' αὐτὲς νὰ γίνεται βαρετός. Ἀντίθετα μάλιστα, ἡ ἀμεσότητα καὶ ἡ ζωντάνια τοῦ κηρύγματός του μὲ τὰ παράπονά του, τὶς παρατηρήσεις του, τοὺς ἐπαίνους του, τὶς ἐπιτιμήσεις του, τὶς συστάσεις του καὶ τὶς γεμάτες ἀπὸ ἀγάπη καὶ καλωσύνη προτροπές του, δείχνουν κάθε φορὰ τὴν ποικιλία τῶν γνώσεων καὶ τὴν χρησιμότητα τῶν κοινωνικῶν καὶ ἠθικῶν παραινέσεών του, ἀκόμη καὶ ὅταν γίνονται γιὰ τὸ ἴδιο θέμα κατ' ἐπανάληψη. Χαρακτηριστικὰ εἶναι τὰ ὅσα ὁ ἴδιος ὁ Χρυσόστομος λέγει στὴν ὁμιλία του 44, 3 σχετικὰ μὲ τὶς σκόπιμες καὶ κάποτε ἐνοχλητικὲς ἐπαναλήψεις του καὶ γιὰ τοὺς αἴτιους ποὺ προκαλοῦν αὐτές[8]. Ἀλλ' ἐπειδὴ ὁ σκοπὸς τῶν ὁμιλιῶν του ἦταν νὰ ἐπιτύχει τὴ σύνδεση τῶν πιστῶν μὲ τὸν Χριστό, γι' αὐτὸ δὲν τὸν ἀπασχολοῦν τέτοιες ἀντιδράσεις, ἀλλὰ προσπαθεῖ μὲ ὅλα τὰ μέσα καὶ μὲ ὅλους τοὺς τρόπους νὰ ἀφυπνίσει τὸ ἀκροατήριό του. Εἶχε δὲ τόση ἐπιρροὴ στὸ ποίμνιό του, ὥστε πολλὲς φορὲς αὐτὸ προσπαθοῦσε νὰ ζήσει τὴ ζωὴ τοῦ ποιμένα του καὶ ὑπόφερε ὅταν καὶ ἐκεῖνος ὑπόφερε ἢ πάθαινε κάτι. Γοήτευε κυριολεκτικὰ τὸ λαό, ποὺ τὸν ἄκουε ἀχόρταγα καὶ ἐκεῖνος τὸν χαιρόταν.

4. *Ὁμιλίες στὶς Πράξεις τῶν Ἀποστόλων.*

Κατ' ἀρχὴ ὑπάρχουν 4 ὁμιλίες τοῦ Χρυσοστόμου, ποὺ ἀναφέρονται στὴν ἀρχὴ τῶν Πράξεων[9] καὶ τὶς ὁποῖες ἐκφώνησε στὴν Ἀντιόχεια περὶ τὸ 388. Ἡ κάθε μιὰ ἀπ' αὐτὲς ἀναφέρεται σὲ ὁρισμένα χωρία τοῦ κειμένου τῶν Πράξεων τῶν Ἀποστόλων μὲ τὴν ἀνάπτυξη τῶν ὁποίων ἐπιδιώκεται νὰ καταδειχθεῖ μιὰ ἀλήθεια.

---

8. Ὁμιλ. 44, 3 «Ἰδοὺ καθ' ἑκάστην ἡμέραν διαρρήγνυμαι βοῶν... καὶ πολλοὶ γελῶσιν ἡμᾶς· ἀπόστητε τοῦ ὀμνύειν, τοῦ πλεονεκτεῖν· μυρία παραινοῦμεν, καὶ οὐδεὶς ὁ ἀκούων... ἀλλ' εἰ τῆς ἑβδομάδος ἅπαξ καλοῦμεν ὑμᾶς καὶ ὀκνεῖτε... Πολλοὶ οἶδ' ὅτι καὶ διασύρουσιν ὑμᾶς, διὰ τὸ περὶ τῶν αὐτῶν ἀεὶ διαλέγεσθαι· οὕτω γεγόναμεν προσκορεῖς. Αἴτιοι δὲ τούτου οὐχ ἡμεῖς, ἀλλ' αὐτοὶ οἱ ἀκούοντες». Ἔκδ. B. de Montfaucon σ. 374B–375C.

9. PG 51, 65–112.

Ἐκτὸς ἀπὸ τὶς παραπάνω 4 ὁμιλίες ὑπάρχουν καὶ 55 ὁμιλίες τοῦ Χρυσοστόμου σὲ ὁλόκληρο τὸ βιβλίο τῶν Πράξεων[10], ποὺ ἀποτελοῦν τὸ μόνο πλῆρες ὑπόμνημα ποὺ σώζεται ἀπὸ τοὺς ἀρχαίους χρόνους στὸ βιβλίο αὐτό. Αὐτὲς ἐκφωνήθηκαν στὴν Κωνσταντινούπολη κατὰ τὸ 400-401.

Μορφὴ καὶ ὕφος τοῦ κειμένου τῶν Πράξεων. Ἡ μορφὴ τοῦ κειμένου τῶν ὁμιλιῶν τοῦ Χρυσοστόμου στὶς Πράξεις τῶν Ἀποστόλων δὲν εἶναι ὁλοκληρωμένη· ἀπὸ λογοτεχνικῆς πλευρᾶς εἶναι μᾶλλον ἀφρόντιστη καὶ παραμελημένη. Τοῦτο, βέβαια, ἀποδίδεται στὸ γεγονὸς ὅτι τὸ κείμενο αὐτὸ ἐκδόθηκε ἀπὸ στενογραφία ποὺ τὴν ἔκαναν δύο ταχυγράφοι, χωρὶς νὰ περάσει ἀπὸ τὸν ἔλεγχο τοῦ ἴδιου τοῦ Χρυσοστόμου προηγουμένως· γι' αὐτὸ καὶ διατηρήθηκε καὶ παραδόθηκε σὲ δύο παραλλαγές, ἡ μιὰ ἀπὸ τὶς ὁποῖες «μαρτυρεῖ ἐπέμβαση διορθωτοῦ»[11]. Συνέπεια τούτου εἶναι ὅτι καὶ κατὰ τὴ μετάφραση τοῦ κειμένου παρουσιάζονται πολλὲς δυσκολίες.

Παρατηρήθηκε ὅτι τὸ ὕφος τοῦ κειμένου αὐτοῦ εἶναι πολὺ διαφοροποιημένο σὲ σύγκριση μὲ τὸ λεπτὸ ὕφος τῆς γνωστῆς ρητορικῆς δεινότητας ἄλλων ὁμιλιῶν τοῦ Χρυσοστόμου καὶ ἀρκετὰ ὑποβαθμισμένο ἀπὸ ἐκεῖνο. Αὐτὸ ἔγινε αἰτία νὰ διατυπωθοῦν διάφορες γνῶμες γιὰ τὴ γνησιότητα τοῦ ἔργου καὶ νὰ ὑποστηριχθεῖ μάλιστα ἀπὸ μερικοὺς ὅτι αὐτὸ δὲν ἔχει συντεθεῖ ἀπὸ τὸν Χρυσόστομο καὶ ὅτι δὲν προέρχεται ἀπ' αὐτόν.

5. Γνῶμες γιὰ τὴ γνησιότητα τοῦ ἔργου.

Στὴν εἰσαγωγὴ τῆς ἐκδόσεως τοῦ κειμένου τῶν ὁμιλιῶν τοῦ Χρυσοστόμου, στὰ λατινικά, ἀπὸ τὸν Mont-

---

10. PG 60, 13-383. Πρέπει νὰ ἀναφερθεῖ ὅτι ἀποσπάσματα ἀπὸ τὶς ὁμιλίες στὶς Πράξεις τοῦ Χρυσοστόμου χρησιμοποιήθηκαν στὴν Ε' καὶ ΣΤ' σύνοδο. Σχετικὲς χρήσεις Χρυσοστομικῶν ἀποσπασμάτων βλ. D. I. Mansi, Concilia τ. VI, 408, 496-497, 500, 521. τ. X, 1072-1078. τ. XI 320, 322, 329, 360, 396-397. 404-405. 424 κ.ἀ. Μετάφραση τῶν Πράξεων ποὺ ἔγινε στὰ Λατινικὰ τὸν Στ' αἰώνα δὲν σώζεται.

11. Π. Χρήστου, Ἰωάννης ὁ Α'. Ὁ Χρυσόστομος Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως καὶ Οἰκουμενικὸς Διδάσκαλος (354-407), Θρησκευτικὴ καὶ Ἠθικὴ Ἐγκυκλοπαιδεία, τ. 6, στ. 1184, Ἀθῆναι 1965.

faucon[12], ἀναφέρονται σὲ συντομία γνῶμες μερικῶν νεωτέρων συγγραφέων, ποὺ ἀσχολήθηκαν μὲ τὸ ἔργο αὐτό, καθὼς καὶ μαρτυρίες ἀρχαίων συγγραφέων σχετικὰ μὲ τὴ γνησιότητα, τὸ ὕφος καὶ τὸ χρόνο τῆς συνθέσεώς του.

α. Γνῶμες νεωτέρων συγγραφέων. Ὁ Ἔρασμος (1466-1536), ὅταν εἶχε ἀρχίσει κατὰ τὸ 1522 νὰ μεταφράζει τὶς ὁμιλίες τοῦ Χρυσοστόμου στὰ λατινικά, εἶχε νιώσει τέτοια ἀποστροφὴ ἀπὸ τὸ ὕφος του, ὥστε γράφοντας στὸν Tostallum, ἔλεγε ὅτι τὸ ἔργο αὐτὸ τὸν ἀπωθεῖ, ἐπειδὴ δὲν ἔβλεπε σ' αὐτὸ τὸν Χρυσόστομο, καὶ ὅτι εἶναι δύσκολο νὰ ἐξηγήσει κανένας τὴν τόσο μεγάλη διαφορὰ ὕφους· προσθέτει δέ, στὸν πρόλογο τῆς μεταφράσεώς του, ὅτι ἐκφράζονται ἀμφιβολίες γιὰ τὸν συγγραφέα, διότι στὸ ὕφος του εἶναι σύντομος καὶ ἀπότομος καὶ διότι τὸ ὕφος αὐτὸ φαίνεται νὰ εἶναι ξένο πρὸς τὸ γνωστὸ ὕφος τοῦ Χρυσοστόμου. Περιέχει, ἔλεγε, πολλὰ «ὑποσόλοικα», ἐπαναλήψεις καὶ ἰδίως τὴν ὑποτονικὴ ἐκείνη ἐπανάληψη τῆς φράσεως, «ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα...». Τελικὰ παρατηροῦσε, ὅτι οἱ ὁμιλίες αὐτὲς φαίνονται σὰν συνοθύλευμα ἐκείνων, ποὺ πράγματι ἀνήκουν ἀξιοκρατικὰ στὸ μεγάλο αὐτὸ σοφό[13].

Ὁ Savillius, ὁ πάντοτε ἀντίθετος πρὸς τὸν Ἔρασμο, ἀνέφερε, ὅτι στὸ βιβλίο αὐτὸ τῶν Πράξεων δὲν μπορεῖ τίποτε νὰ συνδεθεῖ καλλιτεχνικώτερα καὶ ἀκόμη ὅτι τίποτε τὸ ἀξιόλογο δὲν ὑπάρχει ποὺ νὰ μὴν ἀναφέρεται στὴ φρασεολογία τοῦ Χρυσοστόμου. Ἀλλὰ σχετικὰ μὲ τὸ ὕφος του, παρατηροῦσε ὅτι βέβαια αὐτὸ εἶναι ἀνομοιόμορφο καὶ περίπλοκο καὶ περιέχει πολλὰ ὑποσόλοικα, ἀλλὰ συχνὰ περιέχει καὶ κάποια ἀπανθίσματα χρυσοῦ καὶ ἀρετές. Τελικὰ ὅμως ὁ Savillius παραδέχεται ὅτι τὸ ἔργο εἶναι πράγματι τοῦ Χρυσοστόμου[14]. Αὐτὸν ὅμως ἀντι-

---

12. B. de Montfaucon, Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τὰ εὑρισκόμενα ἅπαντα. τ. I—XIII, Parisiis 1718—1738 (Γιὰ τὶς Πράξεις εἶναι ὁ τόμος IX τοῦ ἔτους 1737 σ. V—X. Πρέπει νὰ σημειωθεῖ ὅτι τὰ ὅσα παρατίθενται στὴν εἰσαγωγὴ τοῦ Montfaucon ἀναδημοσιεύει στὴν εἰσαγωγὴ τῶν Πράξεων τῶν Ἀποστόλων, στὴν ἔκδοσή του, ὁ J.—P. Migne. βλ. PG 60, 5—12.

13. B. de Montfaucon, πρόλογος σ. V.

14. B. de Montfaucon, πρόλογος σ. V—VI. Βλέπε καὶ ἔργο τοῦ, Ἰωάννου τοῦ Χρυσοστόμου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τὰ εὑρισκόμενα, τ. I—VIII, δι' ἐπιμελείας καὶ ἀναλωμάτων Ἐρρίκου Σαβιλίου, Etonae 1612.

κρούει ὁ Flaminius Nobilius, ὁ ὁποῖος δὲν ἀρνεῖται τὴν προέλευση τοῦ ἔργου ἀπὸ τὸν Χρυσόστομο, καὶ παρότι παρατηρεῖ ὅτι αὐτό παρουσιάζει ἐλλείψεις, τελικὰ ὑποστηρίζει ὅτι τὸ ἔργο αὐτὸ εἶναι σύνθεση ἀπὸ διαφορετικὰ ἔργα τοῦ Χρυσοστόμου[15].

β. Μαρτυρίες ἀρχαίων ἐκκλησιαστικῶν συγγραφέων. Πρῶτος ἀπὸ τοὺς ἐκκλησιαστικοὺς συγγραφεῖς ποὺ μνημονεύει ὅτι τὸ ἔργο αὐτὸ εἶναι τοῦ Χρυσοστόμου εἶναι ὁ Κασσιόδωρος (485 - 583), ὁ ὁποῖος λέγει ὅτι στὶς Πράξεις τῶν Ἀποστόλων τοῦ Ἰωάννου Χρυσοστόμου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, ἀνευρίσκομε σὲ δυὸ κώδικες, σχόλια στὰ ἑλληνικὰ 55 ὁμιλιῶν, ποὺ μεταφράσθηκαν στὴ γλώσσα του[16]. Ὁ Κασσιόδωρος ποὺ εἶναι καὶ ἐκδότης, ἐκτὸς τῶν ἄλλων, καὶ ἑνὸς περιληπτικοῦ[17] καὶ ἀποσπασματικοῦ ὑπομνήματος στὶς Πράξεις τῶν Ἀποστόλων[18], ἀξιολόγησε ἕνα ἀριθμὸ ὁμιλιῶν ποὺ περιέχονται στὶς ἴδιες τὶς Πράξεις ὡς σχόλια τῆς περιόδου τοῦ Χρυσοστόμου, τοῦ ὁποίου τὸ ὄνομα κατὰ τοὺς χρόνους ἐκείνους ἦταν πολὺ γνωστὸ στὴν ἀνατολή.

Τὸν σχολιασμὸ τοῦ Χρυσοστόμου στὶς Πράξεις τῶν Ἀποστόλων μαρτυρεῖ καὶ ὁ Ἰωάννης Δαμασκηνὸς (680—755), ὅπως ἀναφέρουν ὁ Savillius καὶ ὁ Tillemont[19]. Ἐπίσης καὶ ὁ Οἰκουμένιος ἀναφέρεται ὅτι ἔχει συχνὰ ἀντλήσει ἀπὸ τὸ ἔργο αὐτὸ τοῦ Χρυσοστόμου[20]. Τέλος ὁ Φώτιος (820—896) ἀπὸ τὰ ὁ-

---

15. B. de Montfaucon, πρόλογος σ. V.

16. B. de Montfaucon, πρόλογος σ. VI, (βλ. Cassiodorus τ. 2. σ. 544).

17. PL. 69, 436B.

18. PL 70, 1381A—1406A.

19. PG 94, 1056D—1057A. «Ὁ δὲ πάνσοφος καὶ μέγας ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἐν τῇ ἑρμηνείᾳ τῶν Πράξεων, δευτέρῳ λόγῳ, οὕτως φησίν· οὐκ ἂν τις ἁμάρτοι, καὶ τὸ πάθος αὐτοῦ πρᾶξιν καλέσας...».

20. G. H. Turner, «Greek Patristic Commentaries on the Pauline Epistoles», ἐν Dictionary of the Bible, extr. vol., ed by J. Hastings, Edinburgh 1904, σ. 485—489 καὶ 523—524. K. Staab, Paulus kommentare aus der griechichen Kirche..., Münster 1933. Ἐπίσης στὸ ἔργο μου, Περὶ ἑρμηνευτικῶν Σειρῶν, σ. 103—105. Ἔκδοση τῶν ἔργων τοῦ Οἰκουμενίου βλ. Θ. Φαρμακίδου, Οἰκουμενίου ἐξήγησις εἰς τὰς Πράξεις τῶν Ἀποστόλων καὶ τὰς Ἐπιστολὰς τοῦ Παύλου, τ. III ἑξῆς, ἐν Ἀθήναις 1842 (Γιὰ τὶς πηγές, στὰ προλεγόμενα σ. ι—ιγ καὶ J.—P. Migne PG 118, 11—308, (εἰδικὰ γιὰ τὶς πηγὲς τοῦ Οἰκουμενίου σ. 23—24 στὴν εἰσαγωγὴ

σα λέγει στὴ Βιβλιοθήκη του, διαπιστώνεται ὅτι μᾶλλον πλανᾶται σχετικὰ μὲ τὸν ἀριθμὸ τῶν ὁμιλιῶν τοῦ Χρυσοστόμου στὶς Πράξεις τῶν Ἀποστόλων καὶ στὴ Γένεση, καθὼς καὶ γιὰ τὸν τόπο καὶ τὸ χρόνο ποὺ ἐκφωνήθηκαν οἱ ὁμιλίες αὐτές. Διότι, ἐνῶ εἶναι βέβαιο ὅτι οἱ ὁμιλίες στὶς Πράξεις εἶναι 55 καὶ στὴ Γένεση 76 καὶ ὅτι οἱ δεύτερες ἐκφωνήθηκαν, ὅπως μᾶς βεβαιώνει ὁ ἴδιος ὁ Χρυσόστομος στὴν εἰσαγωγὴ στὴ Γένεση, στὴν Ἀντιόχεια, ὅταν ἦταν ἀκόμη πρεσβύτερος, ὁ Φώτιος ἀναφέρει, κατὰ τὸν Montfaucon, διαφορετικοὺς ἀριθμούς[21] καὶ δέχεται ὀρθὰ ὅτι οἱ ὁμιλίες ποὺ ἔγιναν στὴν Ἀντιόχεια εἶναι πιὸ ἐπιμελημένες ἀπὸ ἐκεῖνες ποὺ ἐκφωνήθηκαν στὴν Κωνσταντινούπολη, πλὴν ὅμως θεωρεῖ, ἐσφαλμένα, τὶς ὁμιλίες στὴ Γένεση κατὰ τὸ ὕφος κατώτερες ἀπὸ τὶς ὁμιλίες στὶς Πράξεις καὶ ὅτι ἐκφωνήθηκαν στὴν Κωνσταντινούπολη καὶ σὲ ἄλλο χρόνο[22].

τῆς ἐκδόσης αὐτῆς). Ἐπίσης Γ. Καριοφύλλη, τὰ εὑρισκόμενα ἅπαντα τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. Ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον καὶ εἰς τὰς Πράξεις τῶν Ἀποστόλων» τ. Γ΄, Ἀθῆναι 1874.

21. Β. de Montfaucon σ. VI.«Αἱ γὰρ εἰς τὰς Πράξεις ὁμιλίαι πεντήκοντα μὲν εἰσι, σχεδὸν δὲ δι' ὅλου αὐτῷ τοῦ ἐνιαυτοῦ ἐρρήθησαν· οὐ γὰρ καθ' ἡμέραν ταύτας, ἀλλὰ καὶ ὑπὲρ πέντε, καὶ ὑπὲρ ἑπτὰ καὶ πλείω καθωμίλει. Ἃς δῆλον αὐτὸς ποιεῖ ὅτι ἀρχιερατεύων κατὰ τὸ τρίτον ἔτος ὡμίλησε. Τὰς δὲ εἰς τὴν Γένεσιν οὐκ ἔσχομεν γνῶναι ὁπότε ὁμιλήσειε πλὴν εἰ ἐκείνων μέμνηται τῶν ὁμιλιῶν ἐν τῷ κη΄ λόγῳ ὁμιλῆσαι, ἃς διὰ τοῦ τρίτου ἔτους τῆς ἀρχιερωσύνης αὐτοῦ ἐξειργάσατο, ἀλλὰ μὴ ἑτέρων τινῶν παρὰ ταύτας· οὔπω γὰρ τοῦτο ἔγνων· δῆλον ὅτι καὶ ταύτας ἀρχιερατεύων κατεσκεύασε, τὰς μὲν κζ΄ τῇ τεσσαρακοστῇ τοῦ δευτέρου ἔτους, τὰς δὲ λοιπὰς λδ΄ ἐν τῷ τετάρτῳ ἔτει. Ἡ δὲ φράσις αὐτοῦ μετὰ τῆς συνήθους σαφηνείας καὶ καθαρότητος καὶ τὸ λαμπρὸν καὶ εὔρουν ἐνδείκνυται, τὸ πολύχουν τῶν νοημάτων, καὶ τῶν παραδειγμάτων τὴν προσφυεστάτην εὐπορίαν συνυποφαίνουσα. Ἡλάττωται δὲ ὅμως τῆς ἐν ταῖς Πράξεσι φράσεως ἐπὶ τὸ ταπεινότερον ἀπενηνεγμένη, ὅσον τῶν εἰς τὸν ἀπόστολον ἑρμηνειῶν καὶ ἔτι τῶν εἰς τὸν Ψαλτῆρα ὑπομνημάτων ἢ ἐν ταῖς Πράξεσιν ὑπολείπεται».

Στὴ συνέχεια ὅμως ὁ Montfaucon, λέγει, ἐσφαλμένα, ὅτι ὁ Φώτιος ἀναφέρει 40 ὁμιλίες ἐνῶ στὸ ἑλληνικὸ κείμενο ποὺ παραθέτει ἀναφέρεται σαφῶς καὶ ὁλογράφως «αἱ εἰς τὰς Πράξεις ὁμιλίαι πεντήκοντα μὲν εἰσι». Ἐξ ἄλλου στὴν ἔκδοση τοῦ J.—P. Migne ἀναφέρονται 55 ὁμιλίες. Βλ. PG 103, 504B. Στὴν περίπτωση αὐτὴ καὶ σχετικὰ μὲ τὸν ἀριθμὸ τῶν ὁμιλιῶν ποὺ ἀναφέρει ὁ Φώτιος, μπορεῖ νὰ παρατηρηθεῖ ὅτι πιθανὸν τὸ ἀντίτυπο τοῦ Φωτίου νὰ ἦταν διαφορετικὸ καὶ νὰ εἶχε διαφορετικὴ κατάταξη τῶν ὁμιλιῶν. Ἴσως αὐτὴ ἡ ἐκδοχὴ ἐξηγεῖ κάπως τὴν διαφορετικὴ ἀρίθμηση ἀπὸ τὸν Φώτιο.

22. Β. de Montfaucon, σ. VI, «Ἡλάττωται δὲ ὅμως τῆς ἐν ταῖς Πράξεσι φράσεως ἐπὶ τὸ ταπεινότερον ἀπενηνεγμένη». Τὸ ἴδιο ἀναγράφεται καὶ στὴν ἔκδ. PG 103, 504C.

Σχετικὰ παρατηρεῖται, ὅτι, ἂν οἱ ὁμιλίες στὶς Πράξεις, ποὺ ἐκφωνήθηκαν στὴν Κωνσταντινούπολη, ἔχουν συντεθεῖ σὲ χαμηλότερο ὕφος, αὐτὸ πρέπει νὰ ἀποδοθεῖ μᾶλλον στὰ γεγονότα, μὲ τὴ στάση τοῦ Γαϊνᾶ καὶ τῶν Γότθων, τὰ ὁποῖα τότε ἐπίεζαν ἀσφυκτικὰ τὴν πολιτεία καὶ ἀπορροφοῦσαν πολὺ ἀπὸ τὸ ἐνδιαφέρον καὶ τὸ χρόνο τοῦ ἀρχιεπισκόπου. Ἔτσι τὸ κλίμα τῆς κοινωνικῆς ἀστάθειας καὶ τῆς κρίσεως ποὺ ἐπικρατοῦσε γενικότερα στὴν Κωνσταντινούπολη, μαζὶ μὲ τὰ πολλὰ καὶ ποικίλα καθήκοντα ποὺ ἀσκοῦσε ὁ Χρυσόστομος φαίνεται ὅτι δὲν τοῦ ἐπέτρεψαν νὰ ἀσχοληθεῖ περισσότερο μὲ τὶς ὁμιλίες αὐτές, καὶ δὲν τὸν ἄφησαν νὰ τὶς ἐπιμεληθεῖ προσεκτικότερα. Ἴσως ἀκόμη, ὑποστηρίζεται ἀπὸ ἄλλους, ἡ τόση διαφοροποίηση ποὺ παρατηρεῖται στὸ ὕφος, σὲ σύγκριση μὲ τὶς ἄλλες ὁμιλίες του, νὰ ὀφείλεται καὶ στὰ χειρόγραφα˙ νὰ ἔγιναν δηλαδὴ διαφορετικὲς γραφὲς στὰ χειρόγραφα, ὥστε τελικὰ νὰ δημιουργηθεῖ ἕνα διαφορετικὸ περιεχόμενο μὲ τὴ συρραφή του. Ἂν καὶ ἡ ἄποψη αὐτὴ δὲν εἶναι δυνατὸν νὰ εὐσταθεῖ, διότι οἱ διαφοροποιήσεις ἢ προσθῆκες, ποὺ ἀναφέρονται ὅτι ἔγιναν καὶ ποὺ θὰ προέκυπταν ἀπὸ τὴν ἀντιγραφικὴ ἐργασία τῆς χειρόγραφης παράδοσης τοῦ κειμένου, δὲν θὰ μποροῦσαν νὰ ἀλλοιώσουν τὸ κείμενο σὲ τέτοιο βαθμό, ποὺ νὰ θέσουν σὲ ἀμφισβήτηση τὴν πατρότητα τοῦ Χρυσοστόμου. Ἀκόμη, αὐτὲς οἱ διαφοροποιήσεις ἢ προσθῆκες δὲν προσφέρονταν πολὺ καὶ οὔτε μποροῦσαν μὲ τόση εὐκολία νὰ δικαιολογηθοῦν στὸ ἔργο τοῦ Χρυσοστόμου. Ἐντύπωση πάντως προκαλεῖ τὸ γεγονός, γιατὶ ὁ Χρυσόστομος μετὰ τὴν ἐξήγηση τοῦ κύριου μέρους πλαισιώνει αὐτὸ μὲ μερικοὺς στίχους καὶ μὲ ἐξήγηση σύντομη καὶ διαφορετικὴ μερικὲς φορὲς ἀπ' ἐκείνη τοῦ πρώτου, ἢ ὅταν προτάσσει κατὰ στερεότυπο τρόπο τὴ φράση, «ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα», φράση ποὺ δὲν ἀπαντᾶται σὲ ἄλλα ἔργα του.

Ἀπάντηση ποὺ θὰ μποροῦσε νὰ δοθεῖ καὶ στὴ περίπτωση αὐτή, εἶναι ὅτι ὁ Χρυσόστομος φαίνεται πῶς δὲν εἶχε προλάβει, γιὰ τοὺς λόγους ποὺ ἀναφέρθηκαν προηγουμένως, νὰ ἐπεξεργασθεῖ τὸ ὑλικὸ τῶν ὁμιλιῶν, ποὺ εἶχε ἐκφωνήσει καὶ ὅτι εἶναι πολὺ πιθανὸν ὅτι δὲν εἶχε κάνει καμιὰ εἰδικὴ προετοιμασία ὅταν ἐκφωνοῦσε τὶς ὁ-

μιλίες αὐτές. Φαίνεται ἀκόμη ὅτι ἐπειδὴ δὲν ἦταν τόσο σαφὴς ἡ πληρότητα τῆς σύνθεσης τῆς πρώτης φάσεως τῆς ἑρμηνείας ποὺ εἶχε κάνει ἀρχικὰ στὸ πρῶτο μέρος, πρόσθεσε καὶ μιὰ δεύτερη ἑρμηνεία, πράγμα ποὺ ἴσως μπορεῖ νὰ ἐξηγήσει ἔτσι τὸ διαφοροποιημένο ὕφος ποὺ παρουσιάζεται στὶς μακροσκελεῖς αὐτὲς προσθῆκες σὲ συνδυασμὸ πάντοτε μὲ τὰ ὅσα ἀναφέρονται παραπάνω γιὰ τὸν τρόπο ἑρμηνείας καὶ τὴ μορφὴ καὶ τὸ ὕφος τοῦ κειμένου. Ἀλλὰ καὶ ἐκεῖνα ποὺ συνήθως ἀκολουθοῦν τὶς προσθῆκες αὐτὲς διασώζουν πάντοτε τὸν ἐκφραστικὸ χαρακτῆρα καί, βέβαια, τὴν εὐγλωττία τοῦ Χρυσοστόμου, ὥστε νὰ θεωροῦνται καὶ γιὰ ἕνα ἀκόμη λόγο ὅτι προέρχονται ἀπὸ τὸν ἴδιο τὸν Χρυσόστομο[23].

Χρόνος ἐκφωνήσεως τῶν Ὁμιλιῶν. Σχετικὰ μὲ τὸν τόπο καὶ χρόνο, ποὺ ἐκφωνήθηκαν οἱ ὁμιλίες αὐτές, πληροφορούμαστε ἀπὸ τὸν ἴδιο τὸ Χρυσόστομο, ὁ ὁποῖος πολλὲς φορὲς δηλώνει τὴν ἰδιότητά του ὡς ἐπισκόπου καὶ τὴν κατοχὴ τῆς ἐπισκοπικῆς ἕδρας. Ἔτσι μὲ τὰ ὅσα μᾶς λέγει στὴν 44, 4 ὁμιλία του «ἰδοὺ τῇ χάριτι τοῦ Θεοῦ καὶ ἡμεῖς λοιπὸν τριετίαν ἔχομεν»[24], συνάγεται ὅτι ὅταν ὁ Χρυσόστομος ἐκφωνοῦσε τὴν ὁμιλία αὐτή, ἦταν ἤδη τρία χρόνια στὸ θρόνο τῆς Κωνσταντινουπόλεως ἀφ' ὅτου κατέλαβε αὐτὸν στὶς 26 Φεβρουαρίου 398. Κατὰ συνέπεια, σύμφωνα μὲ τὴν πληροφορία αὐτὴ τοῦ ἴδιου τοῦ Χρυσοστόμου, ἡ ἐκφώνηση τῶν ὁμιλιῶν αὐτῶν τοποθετεῖται στὴν Κωνσταντινούπολη στὰ 401 καὶ μετά.

Ὅτι ὁ Χρυσόστομος ἦταν ἐπίσκοπος, ὅταν ἐκφωνοῦσε τὶς ὁμιλίες αὐτές, ἔχομε μαρτυρίες καὶ ἀπὸ ἄλλες του ἀναφορὲς στὶς ὁμιλίες του αὐτές. Ὅπως στὴν ὁμιλία 8, 3 ὅπου λέγει· «Ἢ καθέλετέ με ταυτησὶ τῆς ἀρχῆς, ἢ μένοντα μὴ περιβάλλετε κινδύνοις. Οὐκ ἀνέχομαι ἐπὶ τὸν θρόνον τοῦτον ἀναβαίνειν μὴ μεγάλα κατορθῶν· εἰ γὰρ μὴ τοῦτο δυνατόν, βέλτιον ἑστάναι κάτω. Ἄρχοντος γὰρ μηδὲν τοὺς ἀρχομένους ὠφελοῦντος οὐδὲν ἀθλιώτερον»[25]

---

23. B. de Montfaucon, σ. VII.
24. Ὁμιλ. 44, 4 ἐκδ. B. de Montfaucon, σ. 375D καὶ πρόλογος σ. VII.
25. Ὁμιλ. 8, 3 ἐκδ. B. de Montfaucon σ. 78A.

Στὴν ἴδια ὁμιλία καὶ σ' ἄλλο σημεῖο, λέγει, «καὶ ἕως ἂν ἐν τῷ θρόνῳ καθέζωμαι τούτῳ, οὐδὲν προσήσομαι τῶν αὐτοῦ δικαιωμάτων. Ἂν μέ τις καταβιβάσῃ, λοιπὸν ἀνεύθυνός εἰμι· ἕως δ' ἂν ὑπεύθυνος ὦ, οὐ δύναμαι παριδεῖν»[26]. Ἐπίσης στὴν ὁμιλία 9, 6, λέγει· «Ἀλλὰ σύ, φησίν, ἄρχων εἶ καὶ ἐπίσκοπος», καὶ σὲ ἄλλα σημεῖα[27].

Στὴν ὁμιλία του 41, 2 λέγει ὅτι τὸν προηγούμενο χρόνο, «πέρυσι», εἶχε γίνει σεισμὸς ποὺ συγκλόνισε τὴν Κωνσταντινούπολη ἀπὸ τὰ θεμέλια[28]. Ἐπίσης καὶ στὴν ὁμιλία 7,2 μνημονεύει τὸ σεισμό[29]. Ὁ σεισμὸς αὐτός, ποὺ ἀναφέρεται καὶ ἀπὸ τὸν Συνέσιο (372—414), θὰ πρέπει νὰ τοποθετηθεῖ στὰ 400. Ἄρα καὶ ἀπὸ τὴ μαρτυρία αὐτῶν τῶν ὁμιλιῶν του, ὁ χρόνος ἐκφωνήσεως τῶν ὁμιλιῶν θὰ πρέπει καὶ πάλι νὰ τοποθετηθεῖ στὰ 401, στὴ Κωνσταντινούπολη.

Μὲ αὐτὴν τὴν χρονολογικὴ τοποθέτηση συμφωνεῖ μὲν ὁ Βαρώνιος (1538—1607), ἀλλὰ δὲν συμφωνεῖ ὁ Tillemont (1637—1698), ὁ ὁποῖος τοποθετεῖ τὸ σεισμὸ στὰ 399, ὁπότε οἱ ὁμιλίες κατ' αὐτὸν θὰ πρέπει νὰ ἐκφωνήθηκαν στὰ 400[30].

Σύμφωνα μὲ τὰ παραπάνω λοιπόν, ὡς πιθανότερος χρόνος, κατὰ τὸν ὁποῖο ἐκφωνήθηκαν οἱ ὁμιλίες αὐτές, εἶναι τὰ τέλη τοῦ 400 ἢ ἀρχὲς τοῦ 401.

Ἐκτὸς ἀπὸ αὐτὰ ὁ Χρυσόστομος ἀναφέρει στὴν ὁμιλία του 41, 3 καὶ ἕνα ἄλλο περιστατικό· «τὰ κατὰ Θεόδωρον ἐκεῖνον γεγενημένα πέρυσι, τίνα οὐκ ἐξέπληξε. Καὶ ὅμως οὐδὲν πλέον γέγονε», χωρὶς νὰ ἔχει ἐξακριβωθεῖ μὲ βεβαιότητα οὔτε ποιὸς εἶναι ὁ Θεόδωρος, οὔτε ποιὸ εἶναι τὸ περιστατικὸ ἐκεῖνο ποὺ συνέβη «πέρυσι»[31].

---

26. Ὁμιλ. 8, 3 ἐκδ. B. de Montfaucon σ. 79A.
27. Ὁμιλ. 9, 6 ἐκδ. B. de Montfaucon σ. 91C καὶ Ὁμιλ. 3, 4 καὶ 5, σ. 34E. κ.ἀ.
28. Ὁμιλ. 41, 2 ἐκδ. B. de Montfaucon σ. 347D «Εἰπὲ γάρ μοι, οὐ πέρυσι ἐτίναξεν ὁ Θεὸς τὴν πόλιν;».
29. Ὁμιλ. 7, 2 ἐκδ. B. de Montfaucon σ. 67A «Εἰ μέμνησθε ὡς, ὅτε τὴν πόλιν ἡμῖν ἔσεισεν ὁ Θεός...» κ.ἀ.
30. L. de Tillemont. Βασικό του ἔργο εἶναι: Memories pour servir à l'Histoire Ecclésiastique des six premiers... τ. I—XVI, A Venise 1732.
31. Ὁμιλ. 41, 3 ἐκδ. B. de Montfaucon σ. 347A. Νὰ ἐννοεῖ μ' αὐτὸ ὁ Χρυσόστομος τὴν ἀπόφαση τοῦ φίλου του μοναχοῦ Θεοδώρου, μετέπειτα ἐπίσκοπου Μοψουεστίας, νὰ ἐγκαταλείψει τὴν ἄσκηση γιὰ χάρη μιᾶς ὡραίας νέας;

Τέλος ὁ Φώτιος, ἔχοντας ὑπ' ὄψη του τὰ ὅσα ἀναφέρει ὁ Χρυσόστομος στὴν ὁμιλία 44, 3, ὅτι «διὰ τριῶν δὲ πολλάκις ἡμερῶν ἢ ἑπτὰ τοῦτο ποιοῦντες»[32], παρατηρεῖ ὅτι οἱ ὁμιλίες αὐτὲς τοῦ Χρυσοστόμου στὶς Πράξεις τῶν Ἀποστόλων ἔγιναν καθ' ὅλη τὴ διάρκεια τοῦ χρόνου· δὲν γίνονταν καθημερινά, ἀλλὰ μιὰ ὁμιλία μετὰ ἀπὸ κάθε πέντε ἢ ἑπτὰ ἡμέρες[33].

=○=

Σημείωση μεταφραστή.

Βασικὸς σκοπὸς τῆς μεταφράσεως εἶναι νὰ ἐπιτύχει νὰ φέρει τοὺς ἀναγνῶστες σὲ ἐπαφὴ μὲ τὰ κείμενα τοῦ Χρυσοστόμου γιὰ εὐκολότερη κατανόησή τους, λόγω τῆς μεγάλης σπουδαιότητας τὴν ὁποία παρουσιάζουν αὐτά, καὶ φυσικὰ σὲ καμιὰ περίπτωση δὲν μπορεῖ νὰ ἀποβλέπει στὴν ὑποκατάσταση ἐκείνων.

Εἶναι βέβαιο ὅμως ὅτι καὶ ἡ καλύτερη μετάφραση δὲν εἶναι δυνατὸν ποτὲ νὰ ἀποδώσει τὴν ὀμορφιὰ καὶ γλαφυρότητα, ποὺ παρουσιάζουν τὰ πατερικὰ κείμενα στὴν ἀρχική τους μορφὴ γενικότερα καὶ πιὸ πολὺ τοῦ Χρυσοστόμου εἰδικότερα.

Ἐκτὸς ἀπ' αὐτὲς τὶς δυσκολίες ποὺ γενικὰ παρουσιάζουν τὰ πατερικὰ κείμενα, οἱ ὁμιλίες τοῦ Χρυσοστόμου εἰδικὰ στὶς Πράξεις παρουσιάζουν ἀκόμη μεγαλύτερες δυσκολίες, ἐξ αἰτίας τῆς μορφῆς τοῦ κειμένου τους καὶ γιὰ τοὺς λόγους ποὺ ἀναφέραμε παραπάνω.

Γι' αὐτὸ καὶ καταβλήθηκε μεγαλύτερη προσπάθεια γιὰ νὰ ξεπερασθοῦν οἱ δυσκολίες αὐτὲς καὶ νὰ λυθοῦν τὰ μεταφραστικὰ προβλήματα. Ἂν ὅμως δὲν κατορθώθηκε αὐτὸ νὰ ἐπιτευχθεῖ τελείως, οἱ ὁποιεσδήποτε ἀτέλειες, παραλείψεις ἢ παρανοήσεις, ποὺ θὰ ὀφείλονται στὸν μεταφραστή, ἀφήνονται στὴν εὐμενὴ κρίση τῶν ἀναγνωστῶν.

Στὸν τόμο αὐτὸ περιλαμβάνονται οἱ ὁμιλίες τοῦ Χρυσοστόμου στὶς Πράξεις ἀπὸ α'—κγ', τὸ δὲ κείμενο αὐτῶν εἶναι παρμένο ἀπὸ τὴν ἔκδοση τοῦ B. de Montfaucon.

---

32. Ὁμιλ. 44, 3, ἐκδ. B. de Montfaucon σ. 375D.

33. PG 103, 504 B. «Αἱ γὰρ εἰς τὰς Πράξεις ὁμιλίαι 55 (κατὰ Montfaucon 50) μὲν εἰσι, σχεδὸν δὲ δι' ὅλου αὐτῷ τοῦ ἐνιαυτοῦ ἐρρήθησαν· οὐ γὰρ καθ' ἡμέραν ταύτας, ἀλλὰ καὶ ὑπὲρ πέντε καὶ ὑπὲρ ἑπτὰ καὶ πλείω καθωμίλει. Ἃς δῆλον αὐτὸς ποιεῖ ὅτι ἀρχιερατεύων κατὰ τρίτον ἔτος ὡμίλησε». Ἐνῶ ὁ Χρυσόστομος ἀναφέρει «διὰ τριῶν πολλάκις ἡμερῶν» καὶ ὄχι πέντε.

ΟΜΙΛΙΑ Α΄
(Πράξ. 1, 1 - 5)

«Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη».

1. Πολλοῖς τουτὶ τὸ βιβλίον οὐδ' ὅτι ἔνι γνώριμόν ἐστιν, οὔτε αὐτό, οὔτε ὁ γράψας αὐτὸ καὶ συνθείς. Διὸ καὶ μάλιστα εἰς ταύτην ἐμαυτὸν ἔκρινα θεῖναι τὴν πραγματείαν, ὥστε καὶ τοὺς ἀγνοοῦντας διδάξαι, καὶ μὴ ἀφεῖναι τοσοῦτον λανθάνειν καὶ ἀποκρύπτεσθαι θησαυρόν. Οὐδὲ γὰρ ἔλαττον αὐτῶν τῶν Εὐαγγελίων ὠφελῆσαι ἡμᾶς δυνήσεται· τοσαύτης ἐμπέπλησται φιλοσοφίας καὶ δογμάτων ὀρθότητος, καὶ θαυμάτων ἐπιδείξεως, καὶ μάλιστα τῶν παρὰ τοῦ Πνεύματος εἰργασμένων.

Μὴ δὴ λοιπὸν παρατρέχωμεν αὐτό, ἀλλὰ μετὰ ἀκριβείας ἐξετάζωμεν. Καὶ γὰρ τὰς προρρήσεις, ἃς ἐν τοῖς Εὐαγγελίοις ὁ Χριστὸς προαναφωνεῖ, ταύτας εἰς ἔργον ἐξελθούσας ἐνταῦθα ἔστιν ἰδεῖν, καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων διαλάμπουσαν τὴν ἀλήθειαν, καὶ πολλὴν τῶν μαθητῶν τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν τὴν ἀπὸ τοῦ Πεύματος αὐτοῖς ἐγγενομένην. Καὶ γὰρ ὅπερ ἤκουσαν τοῦ Χριστοῦ λέγοντος, ὅτι πᾶς «Ὁ πιστεύων εἰς ἐμέ, τὰ σημεῖα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει», καὶ προλέγοντος τοῖς μαθηταῖς, ὅτι ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσονται, καὶ ὅτι ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν αὐτούς, καὶ τὰ ἀνήκεστα πείσονται, καὶ ὅτι περιέσονται πάντων, καὶ ὅτι τὸ εὐαγγέλιον κηρυχθήσεται ἐν ὅλῳ τῷ κόσμῳ, ταῦτα πάντα μετὰ ἀκριβείας

---

1. Δηλαδὴ τὸ Εὐαγγέλιο
1α. Πράξ. 1, 1.
2. Ἰω. 14, 12.
3. Ματθ. 10, 17 - 18.

ΟΜΙΛΙΑ Α΄
(Πράξ. 1, 1 - 5)

«Στὸ πρῶτο βιβλίο ποὺ ἔγραψα[1], Θεόφιλε, ἔκαμα λόγο γιὰ ὅλα ὅσα ὁ Ἰησοῦς ἄρχισε νὰ κάνει καὶ νὰ διδάσκει μέχρι τὴν ἡμέρα, ποὺ ἀναλήφθηκε στοὺς οὐρανούς, ἀφοῦ ἔδωσε μέσω τοῦ ἁγίου Πνεύματος ἐντολὲς στοὺς Ἀποστόλους, τοὺς ὁποίους εἶχε ἐκλέξει»[1α].

1. Σὲ πολλοὺς αὐτὸ ἐδῶ τὸ βιβλίο δὲν εἶναι ἀρκετὰ γνωστό, οὔτε αὐτὸ τὸ ἴδιο, οὔτε ὁ συγγραφέας του. Γι' αὐτὸ καὶ προτίμησα πρὸ πάντων νὰ ἀσχοληθῶ μὲ τὸ ἔργο αὐτό, ὥστε καὶ αὐτοὺς ποὺ τὸ ἀγνοοῦν νὰ διδάξω καὶ ἕνα τόσο μεγάλο θησαυρὸ νὰ μὴ ἀφήσω νὰ ἀγνοεῖται καὶ νὰ μένει ἀποκρυμμένος. Διότι θὰ μπορέσει νὰ μᾶς ὠφελήσει ὄχι λιγώτερο ἀπὸ τὰ ἴδια τὰ εὐαγγέλια· εἶναι γεμάτο ἀπὸ τόση πολὺ φιλοσοφία καὶ ὀρθότητα διδασκαλίας πίστεως, καὶ ἐπίδειξη θαυμάτων, ποὺ ἔχουν γίνει μάλιστα ἀπὸ τὸ ἅγιο Πνεῦμα.

Ἂς μὴ τὸ ἐξετάζομε λοιπὸν ἐπιπόλαια, ἀλλὰ προσεκτικά. Διότι καὶ τὶς προφητεῖες, ποὺ προλέγει ὁ Χριστὸς στὰ εὐαγγέλια, εἶναι δυνατὸν νὰ τὶς δεῖς νὰ πραγματοποιοῦνται ἐδῶ, καὶ ἀπὸ τὰ ἴδια τὰ γεγονότα νὰ διαλάμπει ἡ ἀλήθεια, καὶ μεγάλη μεταβολὴ τῶν μαθητῶν πρὸς τὸ καλύτερο νὰ ἔχει γίνει σ' αὐτοὺς ἀπὸ τὴν ἐνέργεια τοῦ ἁγίου Πνεύματος. Διότι καὶ ἐκεῖνα, ποὺ ἄκουσαν νὰ λέγει ὁ Χριστός, ὅτι· «ἐκεῖνος ποὺ πιστεύει σ' ἐμένα, τὰ θαυματουργικὰ ἔργα, ποὺ ἐγὼ κάμνω, καὶ ἐκεῖνος θὰ κάμει καὶ μεγαλύτερα ἀπὸ αὐτὰ θὰ κάμει»[2], καὶ νὰ προλέγει στοὺς μαθητὲς ὅτι θὰ ὁδηγηθοῦν σὲ ἡγεμόνες καὶ βασιλεῖς, καὶ ὅτι θὰ τοὺς μαστιγώσουν στὶς συναγωγές τους[3], καὶ ὅτι θὰ ὑποστοῦν σκληρὰ δεινὰ καὶ ὅτι θὰ ὑπερισχύσουν σ' ὅλα, καὶ ὅτι τὸ εὐαγγέλιο θὰ κηρυχθεῖ σ' ὅλο τὸν

ἁπάσης ἐκβεβηκότα ἐν τῷ βιβλίῳ τούτῳ ἔστιν ἰδεῖν, καὶ πλείονα τούτων ἕτερα, ἅπερ εἴρηκεν αὐτοῖς συνών. Ὄψει δὲ καὶ αὐτοὺς τοὺς ἀποστόλους ἐνταῦθα καθάπερ πτηνοὺς διατρέχοντας γῆν καὶ θάλατταν, καὶ τοὺς δειλοὺς ἐκείνους καὶ ἀσυνέτους ἀθρόον ἄλλους ἀντ' ἄλλων γενομένους, καὶ χρημάτων ὑπεροπτιάς, καὶ δόξης, καὶ θυμοῦ, καὶ ἐπιθυμίας, πάντων ἁπλῶς ἀνωτέρους γεγονότας, καὶ πολλὴν τὴν ὁμόνοιαν ἔχοντας, καὶ οὐδαμοῦ οὐδεμίαν βασκανίαν ὡς ἔμπροσθεν, οὐδὲν τὸν περὶ πρωτείων ἔρωτα, ἀλλὰ πᾶσαν ἀπηκριβωμένην ἐν αὐτοῖς τὴν ἀρετήν, καὶ τὴν ἀγάπην μεθ' ὑπερβολῆς διαλάμπουσαν, ὑπὲρ ἧς καὶ πολλὰ παρήγγειλεν αὐτοῖς λέγων, ὅτι «Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους».

Ἔστι δὲ καὶ δόγματα ἐνταῦθα εὑρεῖν, ἅπερ, εἰ μὴ τοῦτο ἦν τὸ βιβλίον, οὐδενὶ σαφῶς οὕτω γνώριμα ἐγένοντο· ἀλλὰ τὸ κεφάλαιον τῆς σωτηρίας ἡμῶν ἀπεκρύπτετο καὶ ἄδηλον ἦν καὶ βίου καὶ δογμάτων ἕνεκεν.

Τὸ πλέον δὲ τῶν ἐνταῦθα ἐγκειμένων, Παύλου πράξεις εἰσί, τοῦ περισσότερον πάντων κοπιάσαντος. Καὶ τὸ αἴτιον, ὅτι αὐτοῦ φοιτητὴς ἦν ὁ τὸ βιβλίον τοῦτο συνθεὶς Λουκᾶς ὁ μακάριος· οὗ τὴν ἀρετὴν πολλαχόθεν μὲν καὶ ἄλλοθεν ἔστιν ἰδεῖν, μάλιστα δὲ ἐκ τοῦ πρὸς τὸν διδάσκαλον ἀδιασπάστως ἔχειν, καὶ διαπαντὸς αὐτῷ παρακολουθεῖν. Ὅτε γοῦν Δημᾶς καὶ Ἑρμογένης αὐτὸν ἐγκατέλιπον, ὁ μὲν εἰς Γαλατίαν, ὁ δὲ εἰς Δαλματίαν ἀπελθών, ἄκουσον τί φησι περὶ τούτου· «Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ»· καὶ Κορινθίοις δὲ ἐπιστέλλων περὶ αὐτοῦ, φησίν· «Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν Ἐκκλησιῶν». Καὶ ὅταν λέγῃ, ὅτι «Ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα»· καί, «Κατὰ τὸ εὐαγγέλιον, ὃ παρελάβετε», τὸ τούτου λέγει· ὥστε οὐκ ἄν τις ἁμάρτοι τὴν πραγματείαν ταύτην αὐτῷ ἀναθείς. Ὅταν δὲ εἴπω, «τούτῳ», τῷ Χριστῷ λέγω.

---

4. Ἰω. 13, 35.
5. Β΄ Τιμ. 1, 15.
* Κατὰ τὸ κείμενο ὁ Δημᾶς μετέβη στὴ Θεσσαλονίκη, ὁ Τίτος στὴ Δαλματία καὶ ὁ Κρίσκης στὴ Γαλατία.
6. Β΄ Τιμ. 4, 10-11.
7. Β΄ Κορ. 8, 18.
8. Α΄ Κορ. 15, 5.
9. Α΄ Κορ. 15, 1.

κόσμο, ὅλα αὐτὰ εἶναι δυνατὸ νὰ τὰ δεῖς στὸ βιβλίο αὐτὸ νὰ ἐκπληρώνονται μὲ κάθε ἀκρίβεια, καὶ ἄλλα περισσότερα ἀπ' αὐτά, ποὺ ἔχει πεῖ ὅταν ζοῦσε μαζί τους. Θὰ δεῖς δὲ ἐδῶ καὶ αὐτοὺς τοὺς Ἀποστόλους σὰν πτηνὰ νὰ διατρέχουν τὴν ξηρὰ καὶ τὴ θάλασσα καὶ τοὺς δειλοὺς ἐκείνους καὶ ἀσύνετους μὲ μιᾶς νὰ γίνονται ἄλλοι ἀντὶ ἄλλων, καὶ περιφρονητὲς χρημάτων καὶ δόξης, καὶ θυμοῦ καὶ ἐπιθυμίας, ὅλων γενικὰ νὰ ἔχουν γίνει ἀνώτεροι, καὶ νὰ ἔχουν μεγάλη ὁμόνοια, καὶ πουθενὰ κανένα φθόνο, ὅπως πρίν, οὔτε σφοδρὴ ἐπιθυμία γιὰ πρωτεῖα, ἀλλ' ὅλη ἡ ἀρετὴ σ' αὐτοὺς νὰ εἶναι τέλεια, καὶ τὴν ἀγάπη νὰ διαλάμπει ὑπερβολικά, γιὰ τὴν ὁποία καὶ πολλὰ παράγγειλε σ' αὐτοὺς λέγοντας, ὅτι «ἀπ' αὐτὸ θὰ ξέρουν ὅλοι, ὅτι εἶσθε μαθητές μου, ἐὰν ἔχετε ἀγάπη μεταξύ σας»[4].

Ὑπάρχουν δὲ ἐδῶ καὶ δόγματα νὰ βρεῖς, ποὺ ἂν δὲν ἦταν αὐτὸ τὸ βιβλίο, σὲ κανένα δὲν θὰ γίνονταν τόσο γνωστὰ μὲ τόση σαφήνεια· ἀλλὰ καὶ τὸ κυριώτερο μέρος τῆς σωτηρίας μας θὰ ἀποκρυβόταν καὶ θὰ ἔμεινε ἄγνωστο καὶ ὡς πρὸς τὴ ζωὴ καὶ ὡς πρὸς τὰ δόγματα.

Τὸ περισσότερο δὲ ἀπὸ τὰ ὅσα ἐξιστοροῦνται ἐδῶ, εἶναι οἱ Πράξεις τοῦ Παύλου, ποὺ κοπίασε πιὸ πολὺ ἀπ' ὅλους. Καὶ αἰτία αὐτοῦ εἶναι, ὅτι ὁ συγγραφέας τοῦ βιβλίου αὐτοῦ ἦταν μαθητής του, ὁ μακάριος Λουκᾶς, τοῦ ὁποίου τὴν ἀρετὴ εἶναι δυνατὸ νὰ δεῖς καὶ ἀπὸ πολλὰ μὲν ἄλλα, κυρίως ὅμως ἀπὸ τὸ ὅτι βρισκόταν συνέχεια κοντὰ στὸ διδάσκαλο καὶ πάντοτε τὸν παρακολουθοῦσε. Ὅταν λοιπὸν ὁ Δημᾶς καὶ ὁ Ἑρμογένης[5] τὸν ἐγκατέλειψαν, ἀναχωρώντας, ὁ μὲν στὴ Γαλατία, ὁ δὲ στὴ Δαλματία*, ἄκουσε τί λέγει γι' αὐτόν· «Λουκᾶς μόνο εἶναι μαζί μου»[6]· καὶ πρὸς τοὺς Κορινθίους δὲ γράφοντας λέγει γι' αὐτόν· «τοῦ ὁποίου ὁ ἔπαινος γιὰ τὴν ἐπιτυχία ποὺ εἶχε τὸ κήρυγμά του σ' ὅλες τὶς ἐκκλησίες»[7]. Καὶ ὅταν λέγει ὅτι «φανερώθηκε στὸν Πέτρο καὶ ἔπειτα στοὺς δώδεκα»[8], καὶ «σύμφωνα μὲ τὸ Εὐαγγέλιο ποὺ παραλάβατε»[9], τὸ εὐαγγέλιο τούτου ἐννοεῖ· ὥστε δὲν θὰ ἔσφαλλε κανένας ἀποδίδοντας σ' αὐτὸν τὴν πραγματεία αὐτή. Ὅταν δὲ

Εἰ δέ τις λέγοι, καὶ τί δήποτε οὐχὶ πάντα συνέγραψε, μέχρι τέλους ὢν μετ' αὐτοῦ; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι καὶ ταῦτα ἀρκοῦντα ἦν τοῖς βουλομένοις προσέχειν, καὶ ὅτι πρὸς τὰ κατεπείγοντα ἀεὶ ἵσταντο, καὶ ὅτι οὐκ ἐν τῷ λογογραφεῖν ἦν αὐτοῖς ἡ σπουδή· πολλὰ γὰρ καὶ ἀγράφῳ παραδόσει δεδώκασι.

Καὶ πάντα μὲν οὖν ἄξια θαύματος τὰ ἐν τῷ βιβλίῳ τούτῳ κείμενα, μάλιστα δὲ τῶν ἀποστόλων ἡ συγκατάβασις, ἣν καὶ τὸ Πνεῦμα αὐτοῖς ὑπέβαλλε, παρασκευάζον αὐτοὺς τῷ τῆς οἰκονομίας ἐνδιατρίβειν λόγῳ. Διὰ δὴ τοῦτο τοσαῦτα περὶ Χριστοῦ διαλεχθέντες, ὀλίγα μὲν περὶ τῆς θεότητος αὐτοῦ εἰρήκασι, τὰ δὲ πλείονα περὶ τῆς ἀνθρωπότητος διελέγοντο, καὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως, καὶ τῆς ἀναβάσεως. Τὸ γὰρ ζητούμενον τέως τοῦτο ἦν, τὸ πιστευθῆναι, ὅτι ἀνέστη καὶ ἀνέβη εἰς οὐρανούς.

Ὥσπερ οὖν καὶ αὐτὸς ὁ Χριστὸς μάλιστα πάντων ἐσπούδαζε δεῖξαι, ὅτι παρὰ τοῦ Πατρὸς ἥκει, οὕτω καὶ οὗτος ὅτι ἀνέστη καὶ ἀνελήφθη, καὶ πρὸς αὐτὸν ἀπῆλθε, καὶ παρ' αὐτοῦ ἀφῖκτο. Εἰ γὰρ μὴ τοῦτο ἐπιστεύθη πρότερον, πολλῷ μᾶλλον τῆς προσθήκης γενομένης τῆς κατὰ τὴν ἀνάστασιν καὶ τὴν ἀνάληψιν, ἄπιστον ἅπαν τὸ δόγμα τοῖς Ἰουδαίοις ἔδοξεν εἶναι. Διὸ ἠρέμα καὶ κατὰ μικρὸν αὐτοὺς ἐπὶ τὰ ὑψηλότερα ἀνάγει. Ἐν δὲ Ἀθήναις καὶ ἄνθρωπον αὐτὸν ἁπλῶς καλεῖ ὁ Παῦλος, οὐδὲν πλέον εἰπών· εἰκότως. Εἰ γὰρ αὐτὸν τὸν Χριστὸν διαλεγόμενον περὶ τῆς εἰς τὸν Πατέρα ἰσότητος λιθάσαι πολλάκις ἐπεχείρησαν, καὶ βλάσφημον διὰ τοῦτο ἐκάλουν, σχολῇ γ' ἂν παρὰ τῶν ἁλιέων τοῦτον τὸν λόγον ἐδέξαντο, καὶ ταῦτα τοῦ σταυροῦ προχωρήσαντος.

10. Πραξ. 17, 31.
11. Ἰω. 8, 58-59. Πρβλ. καὶ 8. 42.

λέγω, «σ' αὐτόν», ἐννοῶ τὸ Χριστό. Ἐὰν δὲ θὰ ἔλεγ κάποιος, καὶ τί, τέλος πάντων, δὲν τὰ συνέγραψε ὅλ ἐνῶ βρισκόταν μαζί του μέχρι τέλους; ἐκεῖνο θὰ μποροι σαμε νὰ ποῦμε, ὅτι καὶ αὐτὰ ἦταν ἀρκετὰ σ' ἐκείνου ποὺ θέλουν νὰ προσέχουν καὶ ὅτι στὰ κατεπείγοντα πά τοτε ἔστρεφαν τὴν προσοχή τους, καὶ ὅτι ἡ φροντίδ τους δὲν ἦταν ἡ συγγραφή· διότι πολλὰ μᾶς τὰ παρέδω σαν καὶ μὲ τὴν ἄγραφη παράδοση.

Καὶ ὅλα βέβαια ὅσα περιέχονται στὸ βιβλίο αὐτὸ εἶνα ἀξιοθαύμαστα, κυρίως ὅμως ἡ συγκατάβαση τῶν Ἀποστό λων, τὴν ὁποία καὶ τὸ ἅγιο Πνεῦμα ὑπέβαλλε σ' αὐτούς προετοιμάζοντάς τους νὰ ἐμμένουν στὸ λόγο τοῦ Θεοῦ γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων. Γι' αὐτὸ ἀκριβῶς, ἐνῶ δίδαξαν τόσα πολλὰ γιὰ τὸ Χριστό, γιὰ μὲν τὴν θεότητά του λίγα ἔχουν πεῖ, γιὰ δὲ τὴν ἀνθρώπινη φύση του πε ρισσότερα δίδασκαν, γιὰ τὸ πάθος, τὴν ἀνάσταση καὶ τὴν ἀνάληψη. Διότι κατὰ πρῶτο λόγο τὸ ζητούμενο ἦταν τοῦτο, νὰ γίνει δηλαδὴ πιστευτὸ ἀπὸ τὸν κόσμο, ὅτι ἀναστήθηκε καὶ ἀναλήφθηκε στοὺς οὐρανούς.

Ὅπως ἀκριβῶς λοιπὸν καὶ ὁ ἴδιος ὁ Χριστὸς περισσότερο ἀπ' ὅλα προσπαθοῦσε νὰ ἀποδείξει, ὅτι ἔχει ἔλθει ἀπὸ τὸν Πατέρα του, ἔτσι καὶ ὁ Λουκᾶς προσπαθεῖ ν' ἀποδείξει, ὅτι ἀναστήθηκε καὶ ἀναλήφθηκε καὶ πῆγε πρὸς τὸν Πατέρα του, ἀπὸ τὸν ὁποῖο καὶ εἶχε ἔλθει. Διότι, ἂν αὐτὸ δὲν γινόταν πιστευτὸ προηγουμένως, πολὺ περισσότερο, μὲ τὴν προσθήκη τῶν ὅσων ἔγιναν κατὰ τὴν ἀνάσταση καὶ τὴν ἀνάληψη, τὸ ὅλο δόγμα θὰ φαινόταν στοὺς Ἰουδαίους, ὅτι εἶναι ἀπίστευτο. Γι' αὐτὸ σιγὰ - σιγὰ καὶ ἤρεμα τοὺς ἀνεβάζει στὰ ψηλότερα. Στὴν Ἀθήνα δὲ ἁπλῶς ἄνθρωπο[10] τὸν ὀνομάζει ὁ Παῦλος, χωρὶς νὰ πεῖ τίποτε περισσότερο. Καὶ ὀρθά. Διότι, ἂν τὸν ἴδιο τὸ Χριστό, ποὺ δίδασκε γιὰ τὴν ἰσότητά του πρὸς τὸν Πατέρα, ἐπιχείρησαν πολλὲς φορὲς νὰ λιθοβολήσουν, καὶ γι' αὐτὴ τὴ διδασκαλία του τὸν ἀποκάλεσαν βλάσφημο[11], πολὺ λιγώτερο, βέβαια, δὲν θὰ δέχονταν τὴ διδασκαλία αὐτὴ ἀπὸ τοὺς ἁλιεῖς, καὶ αὐτά, τὴ στιγμὴ ποὺ τὸ κήρυγμα τοῦ σταυροῦ προχωροῦσε.

2. *Καὶ τί δεῖ λέγειν τοὺς Ἰουδαίους, ὅπου γε καὶ αὐτοὶ τότε πολλάκις οἱ μαθηταὶ τῶν ὑψηλοτέρων ἀκούοντες δογμάτων ἐθορυβοῦντο καὶ ἐσκανδαλίζοντο; Διὰ τοῦτο καὶ ἔλεγε· «Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι». Εἰ δὲ ἐκεῖνοι οὐκ ἐδύναντο, οἱ συγγενόμενοι χρόνον τοσοῦτον αὐτῷ, καὶ τοσούτων κοινωνήσαντες ἀπορρήτων, καὶ τοσαῦτα θεασάμενοι θαύματα, πῶς ἄνθρωποι ἀπὸ βωμῶν καὶ εἰδώλων καὶ θυσιῶν, καὶ αἰλούρων, καὶ κροκοδείλων (τοιαῦτα γὰρ ἦν τῶν Ἑλλήνων τὰ σεβάσματα), καὶ τῶν ἄλλων τῶν κακῶν τότε πρῶτον ἀποσπασθέντες, ἀθρόον τοὺς ὑψηλοὺς τῶν δογμάτων ἐδέξαντο λόγους; πῶς δὲ ἂν καὶ Ἰουδαῖοι, οἱ καθ' ἑκάστην ἡμέραν μανθάνοντες, καὶ ἐνηχούμενοι ὑπὸ τοῦ νόμου. «Ἄκουε Ἰσραήλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλλος», ἐπὶ ξύλου σταυροῦ ἰδόντες προσηλωμένον αὐτόν· μᾶλλον δὲ καὶ σταυρώσαντες καὶ θάψαντες, καὶ οὐδὲ ἀναστάντα θεασάμενοι· ἀκούοντες, ὅτι Θεός ἐστιν αὐτὸς οὗτος, καὶ τῷ Πατρὶ ἴσος, οὐκ ἂν μάλιστα πάντων ἀπεπήδησάν τε καὶ ἀπερράγησαν; Διά τοι τοῦτο ἠρέμα καὶ κατὰ μικρὸν αὐτοὺς προσβιβάζουσι, καὶ πολλῇ μὲν κέχρηνται τῇ τῆς συγκαταβάσεως οἰκονομίᾳ, διαψιλεστέρας δὲ ἀπολαύουσι τῆς τοῦ Πνεύματος χάριτος, καὶ μείζονα ὧν αὐτὸς πεποίηκεν ἐργάζονται τῷ αὐτοῦ ὀνόματι, ἵνα ἑκατέρωθεν αὐτοὺς χαμαὶ κειμένους ἀναστήσωσι, καὶ τὸν περὶ τῆς ἀναστάσεως πιστώσωνται λόγον. Καὶ γὰρ τοῦτο μάλιστά ἐστι τουτὶ τὸ βιβλίον, ἀπόδειξις ἀναστάσεως. Τούτου δὲ πιστευθέντος, ὁδῷ καὶ τὰ ἄλλα προύβαινεν.*

Ἡ μὲν οὖν ὑπόθεσις καὶ ὁ τοῦ βιβλίου σκοπὸς ἅπας, ὡς ἄν τις παχυμερῶς συλλαβὼν εἴποι, οὗτος μάλιστά ἐστιν. Ἀκούσωμεν δὲ λοιπὸν αὐτῶν τῶν προοιμίων. «Τὸ μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν». Τίνος ἕνεκεν αὐτὸν ἀναμιμνή-

12. Ἰω. 16, 12.
13. Δευτ. 6, 4.
13α. Στὸ εὐαγγέλιό του.

2. Καὶ γιατί πρέπει νὰ ἀναφέρω τοὺς Ἰουδαίους, ἀ
φοῦ πολλὲς φορές, βέβαια, τότε οἱ ἴδιοι οἱ μαθητὲς ἀκοι
οντας τὶς μεγαλύτερες ἀλήθειες τῆς πίστεως ταράσσον
ταν καὶ σκανδαλίζονταν; Γι' αὐτὸ καὶ ἔλεγε: «πολλὰ ἔχι
ἀκόμη νὰ σᾶς πῶ, ἀλλὰ δὲν μπορεῖτε τώρα νὰ τὰ κατα
λάβετε»[12]. Ἐὰν δὲ ἐκεῖνοι δὲν μποροῦσαν νὰ τὰ καταλά
βουν, ποὺ ἔμειναν τόσο καιρὸ κοντά του, καὶ ποὺ συμ
μετεῖχαν σὲ τόσα ἀπόρρητα, καὶ ποὺ εἶδαν τόσα θαύματα
πῶς θὰ δέχονταν μὲ μιᾶς τὶς ὑψηλὲς ἀλήθειες τῆς πί
στεως, ἄνθρωποι, ποὺ μόλις τότε ἀποχωρίσθηκαν γιὰ πρώ
τη φορὰ ἀπὸ βωμοὺς καὶ εἴδωλα καὶ θυσίες καὶ αἰλουρου
καὶ κροκόδειλους (γιατί τέτοια ἦταν τὰ ἀντικείμενα λα
τρείας καὶ σεβασμοῦ τῶν εἰδωλολατρῶν) καὶ ἄλλα κακά
Πῶς δὲ μποροῦσαν οἱ Ἰουδαῖοι, ποὺ καθημερινὰ μά
θαιναν καὶ καθοδηγοῦνταν ἀπὸ τὸ Νόμο· «ἄκουε Ἰσραήλ
Κύριος ὁ Θεός σου, Κύριος εἶναι ἕνας καὶ ἐκτὸς ἀπὸ αὐ
τὸν δὲν ὑπάρχει ἄλλος»[13], καὶ ποὺ εἶδαν αὐτὸν καρφωμένο
ἐπάνω στὸ ξύλο τοῦ σταυροῦ· μᾶλλον δὲ ποὺ σταύρωσαν
καὶ ἔθαψαν αὐτόν, καὶ ποὺ δὲν τὸν εἶδαν ἀναστημένο
ἀκούοντας ὅτι αὐτὸς ὁ ἴδιος εἶναι Θεὸς καὶ ὅτι εἶναι ἴσος
μὲ τὸν Πατέρα του, δὲν θὰ ἐξεγείρονταν καὶ δὲν θὰ ἀντι-
δροῦσαν πιὸ πολὺ ἀπὸ ὅλους; Γι' αὐτὸ λοιπὸν σιγὰ - σιγὰ
καὶ ἤρεμα τοὺς κάνουν νὰ πεισθοῦν καὶ προσφέρονται
σ' αὐτοὺς μὲ πολλὴ συγκατάβαση, ἀπολαμβάνουν δὲ πλου-
σιοπάροχα τὴ χάρη τοῦ ἁγίου Πνεύματος, καὶ ἐπιτελοῦν
στὸ ὄνομά του μεγαλύτερα ἀπὸ ἐκεῖνα, ποὺ ἔκαμε ὁ Χρι-
στός, γιὰ νὰ ἀνυψώσουν καὶ μὲ τοὺς δύο τρόπους αὐτοὺς
ποὺ εἶναι πεσμένοι κάτω καὶ νὰ ἐπιβεβαιώσουν τὸ κήρυγμα
τῆς ἀναστάσεως. Καὶ γι' αὐτὸ ἀκριβῶς τὸ βιβλίο αὐτὸ εἶναι
ἀπόδειξη τῆς ἀναστάσεως. Ἐὰν δὲ αὐτὸ γινόταν πιστευτό,
τ' ἄλλα θὰ ἔπαιρναν τὸ δρόμο τους καὶ θὰ προόδευαν.

Ἡ μὲν λοιπὸν ὑπόθεση καὶ ὅλος ὁ σκοπὸς τοῦ βι-
βλίου, ὅπως θὰ μποροῦσε κανένας νὰ πεῖ σὲ γενικὲς γραμ-
μές, εἶναι κυρίως αὐτός. Ἂς ἀκούσουμε δὲ στὴ συνέχεια
αὐτὴ τὴν εἰσαγωγή. «Στὸ μὲν πρῶτο λόγο[13α] μίλησα, Θεόφι-
λε, γιὰ ὅλα ὅσα ὁ Ἰησοῦς ἄρχισε νὰ κάνει καὶ νὰ διδάσκει».

σκει τοῦ Εὐαγγελίου; Ὥστε τὴν οἰκείαν ἀκρίβειαν ἐνδέξασθαι. Καὶ γὰρ ἀρχόμενος τῆς πραγματείας ἐκείνης, φησίν· «Ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι». Καὶ οὔτε τῇ οἰκείᾳ ἀρκεῖται μαρτυρίᾳ μόνον, ἀλλὰ καὶ ἀνάγει ἐπὶ τοὺς ἀποστόλους τὸ πᾶν, λέγων· «Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπαρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου». Διὸ τὸν λόγον ἀξιόπιστον ἐκεῖ ποιήσας, οὐδὲ δεῖται ἐνταῦθα ἑτέρας βεβαιώσεως, ἅπαξ αὐτοῦ πιστευθέντος, καὶ δι' ἐκείνου τὸ ἀκριβὲς αὐτὸν τῆς ἀληθείας κατηχήσας. Ὁ γὰρ ἅπερ ἤκουσεν ἀξιόπιστος γενόμενος γράψαι, καὶ πιστευθείς, πολλῷ μᾶλλον ὁ ταῦτα συνθεὶς ἃ μὴ παρ' ἑτέρων παρείληφεν, ἀλλ' ἃ εἶδε καὶ ἤκουσε, πιστευθῆναι δίκαιος ἂν ἦν. Εἰ γὰρ τὰ τοῦ Χριστοῦ ἐδέξω, φησί, πολλῷ μᾶλλον τὰ τῶν ἀποστόλων.

Τί οὖν; ἱστορία μόνον τὸ πρᾶγμά ἐστι, καὶ Πνεύματος ἄμοιρος ὁ λόγος; Οὐδαμῶς. Πῶς; Ὅτι ἅπερ οἱ ἀπαρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου αὐτῷ παρέδοσαν, τοῦ Πνεύματος ἦσαν. Καὶ διατί μὴ εἶπεν, ὅτι «καθὼς παρέδοσαν ἡμῖν οἱ Πνεύματος ἁγίου καταξιωθέντες», ἀλλ', «Οἱ ἀπ' ἀρχῆς αὐτόπται γενόμενοι»; Ὅτι τοῦτο μάλιστα εἰς πίστιν ἐστὶν ἀξιόπιστον, τὸ παρὰ αὐτοπτῶν μαθεῖν· ἐκεῖνο δὲ καὶ ἀλαζονεία, καὶ τῦφος ἂν ἔδοξε τοῖς ἀνοήτοις. Διὸ καὶ Ἰωάννης οὕτως ἔλεγεν· «Ἐγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ». Καὶ ὁ Χριστὸς δὲ οὕτω διαλέγεται τῷ Νικοδήμῳ παχυτέρῳ ὄντι· «Ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐδεὶς λαμβά-

14. Λουκ. 1, 3.
15. Λουκ. 1, 2.
16. Ἰω. 1, 34.

Γιὰ ποιὸ λόγο ὑπενθυμίζει σ' αὐτὸν τὸ εὐαγγέλιο; Γιὰ νὰ ἀποδείξει τὴν ἀκρίβεια τῶν λεγομένων του. Διότι καὶ στὴν ἀρχὴ τῆς πραγματείας ἐκείνης λέγει· «φάνηκε καλὸ καὶ σὲ μένα ποὺ τὰ ἔχω παρακολουθήσει ἀπὸ τὴν ἀρχὴ ὅλα λεπτομερῶς νὰ σοῦ τὰ γράψω μὲ τὴ σειρά»[14]. Καὶ δὲν ἀρκεῖται μόνο στὴν δική του μαρτυρία, ἀλλὰ καὶ ἀποδίδει στοὺς 'Αποστόλους τὸ πᾶν, λέγοντας· «ὅπως μᾶς τὰ παρέδωσαν ἐκεῖνοι, ποὺ ἀπὸ τὴν ἀρχὴ ἦταν αὐτόπτες μάρτυρες καὶ ὑπηρέτες τοῦ κηρύγματος»[15]. Γι' αὐτό, ἀφοῦ ἔκαμε ἐκεῖ τὸν λόγο ἀξιόπιστο, δὲν χρειάζεται ἐδῶ ἄλλη ἐπιβεβαίωση, ἀφοῦ τότε ὁ λόγος πιστεύθηκε καὶ μὲ ἐκεῖνον δίδαξε στὸ Θεόφιλο τὴν ἀκριβῆ ἀλήθεια. Διότι, ἐφόσον ἔγινε ἀξιόπιστος αὐτὸς ποὺ ἔγραψε ἐκεῖνα ποὺ ἄκουσε, καὶ ἔγινε πιστευτός, πολὺ περισσότερο εἶναι δίκαιο νὰ γίνει πιστευτὸς αὐτὸς ποὺ ἔγραψε αὐτὰ ἐδῶ ποὺ δὲν ἔχει παραλάβει ἀπὸ ἄλλους, ἀλλ' ὁ ἴδιος τὰ εἶδε καὶ τὰ ἄκουσε. Διότι, ἂν δέχθηκες τὰ ἀναφερόμενα στὸ Χριστό, λέγει, πολὺ περισσότερο πρέπει νὰ δεχθεῖς τὰ ἀναφερόμενα στοὺς 'Αποστόλους.

Τί λοιπόν; εἶναι μόνον ἱστορία ἡ ὑπόθεση καὶ ὁ λόγος εἶναι ἀμέτοχος τοῦ ἁγίου Πνεύματος; Καθόλου. Πῶς; Διότι, ἐκεῖνα ποὺ παρέδωσαν σ' αὐτὸν αὐτοί, ποὺ ἔγιναν ἀπὸ τὴν ἀρχὴ αὐτόπτες μάρτυρες καὶ ὑπηρέτες τοῦ λόγου τοῦ Χριστοῦ, ἦταν τοῦ ἁγίου Πνεύματος.

Καὶ γιατί δὲν εἶπε, ὅτι 'ὅπως μᾶς τὰ παρέδωσαν ἐκεῖνοι, ποὺ ἔγιναν αὐτόπτες μάρτυρες', ἀλλὰ «ποὺ ἀπὸ τὴν ἀρχὴ ἦταν αὐτόπτες μάρτυρες»; Διότι αὐτὸ ποὺ πολὺ περισσότερο ὁδηγεῖ σὲ ἀξιοπιστία, εἶναι ἡ μάθηση ἀπὸ αὐτόπτες μάρτυρες· ἐκεῖνο δὲ θὰ φαινόταν στοὺς ἀνόητους ὑπερηφάνεια καὶ ἐγωϊσμός. Γι' αὐτὸ καὶ ὁ 'Ιωάννης ἔλεγε ὡς ἑξῆς: «ἐγὼ ἔχω δεῖ καὶ ἔχω βεβαιώσει ὅτι αὐτὸς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ»[16]. Καὶ ὁ Χριστὸς δὲ παρομοίως συνομιλεῖ μὲ τὸν Νικόδημο, ποὺ εἶναι πιὸ βραδύνους στὴν πίστη· «γι' αὐτὸ ποὺ ξέρουμε μιλᾶμε καὶ αὐτὸ ποὺ ἔχουμε δεῖ μαρτυροῦμε, καὶ τὴ μαρτυρία μας κανένας

νει». Καὶ πάλιν δεικνύς, ὅτι πολλὰ καὶ ἀπὸ ὄψεως μαρτυρεῖν ἐστι, τοῖς μαθηταῖς ἔλεγε· «Καὶ ὑμεῖς μαρτυρεῖτε περὶ ἐμοῦ, ὅτι ἀπ᾿ ἀρχῆς μετ᾿ ἐμοῦ ἐστε». Καὶ αὐτοὶ οἱ ἀπόστολοι πολλαχοῦ οὕτω φασί· «Μάρτυρες ἡμεῖς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ». Καὶ μετὰ ταῦτα δὲ πιστούμενος τὴν ἀνάστασιν ὁ Πέτρος ἔλεγεν· «Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ». Τάχιον γὰρ τὴν παρὰ τῶν συγγενομένων ἀνθρώπων μαρτυρίαν ἐδέχοντο, διὰ τὸ τῆς περὶ τοῦ Πνεύματος ἐννοίας σφόδρα τέως ἀποδεῖν. Διὰ τοῦτο καὶ Ἰωάννης ἐν τῇ τοῦ Εὐαγγελίου συγγραφῇ ἔλεγεν, ὅτι αὐτὸς εἶδε, περὶ τοῦ αἵματος καὶ τοῦ ὕδατος διαλεγόμενος, τὴν ὄψιν αὐτοῖς ἀντὶ μαρτυρίας τιθεὶς μεγίστης· καίτοι ὄψεως ἀκριβέστερα τὰ παρὰ τοῦ Πνεύματος, ἀλλ᾿ οὐ παρὰ τοῖς ἀπίστοις.

Ἐπεὶ ὅτι Πνεύματος μετεῖχεν ὁ ἀνήρ, πολλαχόθεν δῆλον, ἀπό τε τῶν σημείων τῶν νῦν γινομένων, ἀπό τε τοῦ καὶ τοὺς τυχόντας τότε μεταλαμβάνειν Πνεύματος, ἀπό τε τῆς Παύλου μαρτυρίας («Οὗ γάρ, φησίν, ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ»), ἀπό τε τῆς κατὰ τὴν χειροτονίαν ψήφου. Εἰπὼν γὰρ τοῦτο, ἐπάγει· «Ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν Ἐκκλησιῶν, συνέκδημος ἡμῶν ἐν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾿ ἡμῶν».

3. Καὶ ὅρα αὐτοῦ τὸ ἄτυφον. Οὐ γὰρ λέγει, «τὸ μὲν πρῶτον εὐαγγέλιον, ὃ εὐηγγελισάμην»· ἀλλά, «Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην», μείζονα ἑαυτοῦ εἶναι νομίζων τοῦ εὐαγγελίου τὴν προσηγορίαν. Καίτοι γε ὁ ἀπόστολος ἐντεῦθεν αὐτὸν κοσμεῖ λέγων· «Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ». Ἀλλ᾿ αὐτὸς μετριάζει καί φησι· «Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην

17. Ἰω. 3, 11.
18. Ἰω. 15, 27.
19. Πράξ. 5, 32.
20. Πράξ. 10, 41.
21. Β΄ Κορ. 8, 18.
22. Β΄ Κορ. 8, 19.
23. Β΄ Κορ. 8, 18.

δέν τή δέχεται»[17]. Καί πάλι ἀποδεικνύοντας, ὅτι ὑπάρχουν πολλά πρός ἀποκάλυψη ἀπό αὐτά πού ἔχουν δεῖ, ἔλεγε στούς μαθητές: «καί σεῖς μαρτυρεῖτε γιά μένα, γιατί εἶστε ἀπό τήν ἀρχή μαζί μου»[18]. Καί οἱ ἴδιοι οἱ Ἀπόστολοι σέ πολλά σημεῖα λέγουν· «Καί ἡμεῖς εἴμαστε μάρτυρες αὐτῶν τῶν πραγμάτων, ὅπως εἶναι καί τό ἅγιο Πνεῦμα, πού ἔδωσε ὁ Θεός σ' ἐκείνους πού πειθαρχοῦν σ' αὐτόν»[19]. Καί μετά ἀπό αὐτά ἐπιβεβαιώνοντας ὁ Πέτρος τήν ἀνάσταση, ἔλεγε: «ἐμεῖς, πού φάγαμε καί ἤπιαμε μαζί του»[20]. Διότι γρηγορώτερα δέχονταν τήν μαρτυρία ἀπό τούς ἀνθρώπους, πού ἦταν μαζί του, ἐφόσον τότε δέν εἶχαν καθόλου μάθει τήν ἔννοια τοῦ ἁγίου Πνεύματος. Γι' αὐτό καί ὁ Ἰωάννης κατά τήν συγγραφή τοῦ Εὐαγγελίου του ἔλεγε, ὅτι ὁ ἴδιος εἶδε, ὅταν δίδασκε γιά τό αἷμα καί τό ὕδωρ, ὅτι χρησιμοποίησε σ' αὐτούς ἀντί πολύ μεγάλης μαρτυρίας τήν ὅραση, καίτοι ἐκεῖνα πού προέρχονται ἀπό τό ἅγιο Πνεῦμα εἶναι ἀκριβέστερα ἀπό τήν ὅραση, ἀλλ' ὄχι στούς ἄπιστους.

Ἐπειδή δέ ὁ Λουκᾶς μετεῖχε τοῦ ἁγίου Πνεύματος, εἶναι φανερό ἀπό πολλά σημεῖα, καί ἀπό τά θαύματα πού γίονται τώρα, καί ἀπό τό ὅτι καί τότε συνήθως ἄνθρωποι μεταλάμβαναν τό ἅγιον Πνεῦμα, καί ἀπό τή μαρτυρία τοῦ Παύλου, «αὐτός, λέγει, πού ἐπαινεῖται γιά τό ἔργο του ὑπέρ τοῦ Εὐαγγελίου»[21], καί ἀπό τήν ψῆφο κατά τήν χειροτονία του· διότι μόλις εἶπε αὐτό, προσθέτει: «ἀλλά καί διορίσθηκε ἀπό τίς ἐκκλησίες νά εἶναι συνοδοιπόρος μας στήν ὑπηρεσία αὐτή πού προσφέρουμε»[22].

3. Καί παρατήρησε τήν ταπεινοφροσύνη του· διότι δέν λέγει: «Τό μέν πρῶτο εὐαγγέλιο, πού εὐαγγελίσθηκα», ἀλλά «τόν μέν πρῶτο λόγο πού ἔκαμα», θεωρώντας ὅτι ἡ ὀνομασία τοῦ Εὐαγγελίου εἶναι μεγαλύτερη ἀπό τόν ἑαυτό του· καίτοι βέβαια ὁ Ἀπόστολος Παῦλος ἀπό τότε τιμᾶ αὐτόν λέγοντας· «αὐτός, πού ἐπαινεῖται γιά τό ἔργο του ὑπέρ τοῦ Εὐαγγελίου»[23]. Ἀλλ' αὐτός μετριάζει καί λέγει· «Στό μέν πρῶτο βιβλίο, πού ἔγραψα, Θεόφιλε,

περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν»· οὐχ ἁπλῶς, «περὶ πάντων», ἀλλ' ἀπ' ἀρχῆς μέχρι τέλους· Ἄχρι γὰρ τῆς ἡμέρας, φησίν, ἧς ἀνελήφθη.

Καὶ μὴν Ἰωάννης δείκνυσιν, ὅτι οὐκ ἦν δυνατὸν πάντα γράψαι. Θέλων γὰρ τοῦτο δηλῶσαι, εἰπών, «Ἅτινα, ἐὰν γραφῆται καθ' ἕν, οὐδὲ αὐτὸν τὸν κόσμον, οἶμαι, χωρῆσαι», προστίθησι, «τὰ γραφόμενα βιβλία». Πῶς οὖν, φησί, «περὶ πάντων» οὗτος λέγει; Ἀλλ' οὐκ εἶπε, "πάντα", ἀλλά, «περὶ πάντων»· ὡς ἂν εἴποι τις, ἁδρομερῶς καὶ παχυμερῶς· ἢ «περὶ πάντων» λέγει, τῶν συνεχόντων καὶ κατεπειγόντων. Εἶτα δείκνυσι καὶ ποίων πάντων. «Ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν», τὰ θαύματα καὶ τὰς διδασκαλίας αἰνιττόμενος. Οὐ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι καὶ ποιῶν ἐδίδασκεν. Ὅρα δὲ αὐτοῦ καὶ τὴν φιλάνθρωπον καὶ ἀποστολικὴν γνώμην, εἰ καὶ ἑνὸς ἕνεκεν τοσαύτην ἐποιεῖτο ἀκρίβειαν, ὡς ὁλόκληρον Εὐαγγέλιον γράψαι. «Ἵνα γὰρ ἔχῃς», φησί, «περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν». Καὶ γὰρ ἤκουσε τοῦ Χριστοῦ λέγοντος· «Οὐκ ἔστι θέλημα τοῦ Πατρός μου, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων». Καὶ τίνος ἕνεκεν οὐχ ἓν βιβλίον ἐποίησεν ἑνὶ τῷ Θεοφίλῳ ἐπιστέλλων, ἀλ εἰς δύο διεῖλεν ὑποθέσεις; Σαφηνείας ἕνεκεν, καὶ τοῦ διαναπαῦσαι τὸν ἀκροατήν· ἄλλως δέ, καὶ τῇ ὑποθέσει διῃρημέναι εἰσὶν αἱ πραγματεῖαι.

Σκόπει δὲ ὅπως ἑαυτοῦ τοὺς λόγους ὁ Χριστὸς διὰ τῶν ἔργων ἀξιοπίστους ἐποίει. Περὶ πρᾳότητος παρῄνει, καὶ ἔλεγε· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ». Ἐδίδασκεν ἀκτήμονας εἶναι, καὶ τοῦτο ἐδείκνυτο διὰ τῶν ἔργων· « Ὁ γὰρ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει, ποῦ τὴν κεφαλὴν κλίνῃ», φησί. Πάλιν ἐκέλευσε τοὺς ἐχθροὺς ἀγαπᾶν. Ἐδίδαξε τοῦτο ἐπὶ τοῦ σταυροῦ εὐχόμενος ὑπὲρ τῶν σταυρούντων. Ἔλεγε, «Τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν,

---

24. Ἰω. 21,25.
25. Λουκᾶ 1.4.
26. Ματθ. 18,14.
27. Ματθ. 11,29.

μίλησα γιὰ ὅλα ὅσα ἄρχισε νὰ κάνει καὶ νὰ διδάσκει ὁ Ἰησοῦς». Ὄχι ἁπλῶς γιὰ ὅλα, ἀλλ' ὅσα ἀπὸ τὴν ἀρχὴ μέχρι τέλους· μέχρι δηλαδὴ τὴν ἡμέρα, λέγει, ποὺ ἀναλήφθηκε.

Καὶ βέβαια ὁ Ἰωάννης ἀποδεικνύει ὅτι δὲν ἦταν δυνατὸν ὅλα νὰ τὰ γράψει, διότι θέλοντας νὰ δηλώσει αὐτό, ἀφοῦ εἶπε «τὰ ὁποῖα, ἐὰν γραφοῦν καθένα, νομίζω ὅτι οὔτε ὁλόκληρος ὁ κόσμος θὰ τὰ χωροῦσε», προσθέτει· «τὰ βιβλία ποὺ θὰ γράφονταν»[24]. Πῶς λοιπόν, λέγει, αὐτὸς ὁμιλεῖ γιὰ ὅλα; Ὅμως δὲν εἶπε «ὅλα», ἀλλά, «γιὰ ὅλα», ὅπως θὰ μποροῦσε κάποιος νὰ πεῖ περιληπτικὰ καὶ γενικά: ὁμιλεῖ γιὰ ὅλα τὰ οὐσιώδη καὶ σπουδαῖα. Ἔπειτα ἐξηγεῖ γιὰ ποιὰ ὅλα, «ὅσα δηλαδὴ ἄρχισε ὁ Ἰησοῦς νὰ κάνει καὶ νὰ διδάσκει», ὑπονοώντας τὰ θαύματα καὶ τὶς διδασκαλίες. Ὄχι δὲ μόνο αὐτό, ἀλλὰ καὶ πράττοντας δίδασκε. Παρατήρησε δὲ τὴ φιλάνθρωπη καὶ ἀποστολικὴ πρόθεση αὐτοῦ, ἂν καὶ ἔγραψε γιὰ χάρη ἑνός, δηλαδὴ τοῦ Θεόφιλου, τόσο πολὺ ἀκριβολογοῦσε, ὥστε ὁλόκληρο Εὐαγγέλιο νὰ γράψει. «Γιὰ νὰ ἔχεις, λέγει, τὴν βεβαιότητα τῶν λόγων ποὺ διδάχθηκες»[25]. Ἐξ ἄλλου, ἄκουσε τὸ Χριστὸ ποὺ λέγει· «δὲν εἶναι θέλημα τοῦ Πατρός μου, νὰ χαθεῖ ἕνας ἀπὸ τοὺς μικροὺς αὐτούς»[26]. Καὶ γιατί δὲν συνέγραψε ἕνα βιβλίο ἀποστέλλοντάς το στὸ Θεόφιλο ποὺ εἶναι ἕνας, ἀλλὰ τὸ χώρισε σὲ δυὸ ὑποθέσεις; Χάριν σαφήνειας καὶ γιὰ νὰ διαναπαύσει τὸν ἀκροατή· ἄλλωστε δὲ καὶ ὡς πρὸς τὴν ὑπόθεση οἱ πραγματεῖες εἶναι χωρισμένες.

Πρόσεχε δὲ πῶς τοὺς λόγους του ὁ Χριστὸς τοὺς ἔκανε ἀξιόπιστους μὲ τὰ ἔργα. Γιὰ πραότητα συμβούλευε καὶ ἔλεγε: «μάθετε ἀπὸ μένα ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς κατὰ τὸ φρόνημα καὶ τὴ διάθεση»[27]. Δίδασκε νὰ εἶναι οἱ ὀπαδοί του ἀκτήμονες καὶ αὐτὸ ἀποδείκνυε μὲ τὰ ἔργα του· «διότι ὁ Υἱὸς τοῦ ἀνθρώπου δὲν ἔχει ποῦ νὰ γύρει τὸ κεφάλι του»[28], λέγει. Πάλι προέτρεπε νὰ ἀγαπᾶμε τοὺς ἐχθρούς· δίδαξε αὐτό, εὐχόμενος, ὅταν ἦταν ἐπάνω στὸ σταυρό, γιὰ τοὺς σταυρωτές του. Ἔλεγε: «καὶ σὲ ἐκεῖνον ποὺ θέλει νὰ σὲ πάει στὸ δικαστήριο καὶ νὰ

ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον». Ὁ δὲ οὐχὶ τὰ ἱμάτια μόνον, ἀλλὰ καὶ τὸ αἷμα ἔδωκεν. Οὕτω καὶ τοῖς μαθηταῖς ἐκέλευσε ποιεῖν. Διὸ καὶ ὁ Παῦλος ἔλεγε· «Καθὼς ἔχετε τύπον ἡμᾶς». Οὐδὲν γὰρ διδασκάλου ψυχρότερον, ἐν λόγοις φιλοσοφοῦντος μόνον. Τοῦτο γὰρ οὐ διδασκάλου, ἀλλ' ὑποκριτοῦ. Διὰ τοῦτο οἱ ἀπόστολοι πρότερον ἀπὸ τοῦ βίου ἐδίδασκον, καὶ τότε ἀπὸ τῶν ῥημάτων· μᾶλλον δὲ οὐδὲ ἔδει ῥημάτων αὐτοῖς, τῶν ἔργων βοώντων. Οὐκ ἂν δέ τις ἁμάρτοι καὶ τὸ πάθος αὐτοῦ πρᾶξιν καλέσας· ἐν τῷ γὰρ παθεῖν ἐποίησε τὸ μέγα καὶ θαυμαστὸν ἔργον ἐκεῖνο, τὸν θάνατον καταλύσας, καὶ τὰ ἄλλα πάντα ἐργασάμενος.

«Ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη. «Διὰ Πνεύματος ἐντειλάμενος»· τουτέστι, «πνευματικὰ πρὸς αὐτοὺς εἰπὼν ῥήματα, οὐδὲν ἀνθρώπινον». Ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν· ἢ ὅτι διὰ Πνεύματος αὐτοῖς ἐνετείλατο. Ὁρᾷς, πῶς ταπεινῶς ἔτι διαλέγεται περὶ αὐτοῦ, ὡς καὶ αὐτὸς περὶ ἑαυτοῦ, λέγων· «Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια»; Καὶ γὰρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐνήργει ἐν ἐκείνῳ τῷ ναῷ. Τί δαὶ ἐνετείλατο; «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν». Μέγα τῶν ἀποστόλων τὸ ἐγκώμιον. ὅταν τοιαῦτα ὦσιν ἐγκεχειρισμένοι· τῆς οἰκουμένης λέγω τὴν σωτηρίαν· ὅταν ῥήματα τοῦ Πνεύματος γέμοντα· ὃ δή που καὶ αἰνιττόμενος εἶπεν, τὸ «Διὰ Πνεύματος ἁγίου» τουτέστι, «καὶ τὰ ῥήματα, ἃ ἐλάλησα ὑμῖν, Πνεῦμά ἐστι». Τοῦτο δέ φησι, τὸν ἀκροατὴν εἰς ἐπιθυμίαν λοιπὸν ἄγων τοῦ μαθεῖν τὰς

29. Ματθ. 5, 40.
30. Φιλιπ. 3, 17.
31. Ματθ. 12, 28.
32. Ματθ. 28, 20.
33. Ἰω. 6, 63.

σοῦ πάρει τὸ ὑποκάμισο, ἄφησέ του καὶ τὸ ἐπανωφόρι σου»[29]. Ἐκεῖνος δὲ ὄχι μόνο τὰ ἐνδύματα, ἀλλὰ καὶ τὸ αἷμα ἔδωσε. Τὸ ἴδιο παράγγελε καὶ στοὺς μαθητὲς νὰ πράττουν. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «καθὼς ἔχετε παράδειγμα τὸ πρότυπο τὰ δικό μας»[30]. Διότι δὲν ὑπάρχει τίποτε πιὸ ψυχρὸ ἀπὸ τὸ διδάσκαλο, ποὺ διδάσκει μόνο μὲ λόγια· διότι αὐτὸ δὲν εἶναι χαρακτηριστικὸ διδασκάλου, ἀλλὰ ὑποκριτῆ. Γι' αὐτὸ οἱ Ἀπόστολοι πρῶτα μὲ τὴ ζωή τους δίδασκαν, καὶ ἔπειτα μὲ τὰ λόγια τους, μᾶλλον δὲ αὐτοὶ δὲν χρειάζονταν καθόλου τοὺς λόγους, ἀφοῦ τὰ ἔργα φώναζαν. Δὲν θὰ ἔσφαλλε κανένας νὰ ὀνομάσει καὶ τὸ πάθος τοῦ Χριστοῦ πράξη· διότι μὲ τὸ πάθος του ἔκανε τὸ μεγάλο καὶ θαυμαστὸ ἐκεῖνο ἔργο, δηλαδὴ καταλύοντας τὸ θάνατο καὶ πράττοντας ὅλα τ' ἄλλα.

«Μέχρι τὴν ἡμέρα ποὺ ἀναλήφθηκε στοὺς οὐρανούς, ἀφοῦ μὲ τὸ ἅγιο Πνεῦμα ἔδωσε ἐντολὲς στοὺς Ἀποστόλους, ποὺ εἶχε ἐκλέξει». «Ἀφοῦ ἔδωσε ἐντολὲς μὲ τὸ ἅγιο Πνεῦμα», δηλαδή, «ἀφοῦ εἶπε πρὸς αὐτοὺς λόγους πνευματικοὺς καὶ τίποτε ἀνθρώπινο». Ἢ αὐτὸ λοιπὸν εἶναι δυνατὸν νὰ ποῦμε, ἢ ὅτι μὲ τὸ ἅγιο Πνεῦμα ἔδωσε ἐντολὲς σ' αὐτούς. Βλέπεις ἀκόμη μὲ πόση ταπείνωση διδάσκει γι' αὐτό, ὅπως καὶ ὁ ἴδιος ὁ Χριστὸς γιὰ τὸν ἑαυτό του, λέγοντας: «ἂν δὲ ἐγὼ μὲ τὴν δύναμη τοῦ Πνεύματος τοῦ Θεοῦ ἐκδιώκω τὰ δαιμόνια»[31]; Διότι καὶ τὸ Πνεῦμα τὸ ἅγιο ἐνεργοῦσε σ' ἐκεῖνο τὸ ναὸ τοῦ ἀνθρώπινου σώματος τοῦ Χριστοῦ. Ποιὲς δὲ ἐντολὲς ἔδωσε; «Πηγαίνετε καὶ κάνετε μαθητὲς ὅλα τὰ ἔθνη, βαπτίζοντας αὐτοὺς στὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντας αὐτοὺς νὰ φυλάττουν ὅλα, ὅσα σᾶς διέταξα»[32]. Μεγάλος ὁ ἔπαινος τῶν Ἀποστόλων, ὅταν τόσο μεγάλα καὶ σπουδαῖα ἔχουν ἀναλάβει· τὴ σωτηρία τῆς οἰκουμένης ἐννοῶ· ὅταν τὰ λόγια τους εἶναι γεμάτα ἀπὸ Πνεῦμα ἅγιο, τὸ ὁποῖο βέβαια, καὶ ὑπονοώντας εἶπε, τὸ «μὲ τὸ Πνεῦμα τὸ ἅγιο», δηλαδὴ «καὶ τὰ λόγια ποὺ ἐγὼ σᾶς λέγω, εἶναι Πνεῦμα»[33]. Αὐτὸ δὲ λέγει, γιὰ νὰ ὁδηγήσει τὸν ἀκροατὴ στὴν ἐπιθυμία νὰ μάθει τὶς ἐντολὲς καὶ γιὰ νὰ κάνει τοὺς Ἀποστόλους

ἐντολάς, καὶ ἀξιοπίστους τοὺς ἀποστόλους ποιῶν, εἴ γε τὰ τοῦ Πνεύματος μέλλουσι λέγειν, καὶ τὰς τοῦ Χριστοῦ ἐντολάς.

«Ἐντειλάμενος οὖν, φησίν, ἀνελήφθη». Οὐκ εἶπεν, 'ἀνέβη', ἐπειδὴ ἔτι ὡς περὶ ἀνθρώπων διαλέγεται. Ἄρα καὶ μετὰ τὴν ἀνάστασιν ἐδίδασκε τοὺς μαθητάς· ἀλλὰ τὸν χρόνον τοῦτον οὐδεὶς εἶπεν ἡμῖν μετὰ ἀκριβείας ἅπαντα. Ἀλλ' ἐγχρονίζει μὲν αὐτῷ ὁ Ἰωάννης τῶν ἄλλων μᾶλλον, καὶ οὗτος· πάντα δὲ σαφῶς οὐδεὶς ἀπήγγειλε (πρὸς γὰρ ἕτερον ἠπείγοντο)· ἐμάθομεν δὲ ταῦτα διὰ τῶν ἀποστόλων· ἃ γὰρ ἤκουσαν καὶ εἶπον. «Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα». Εἰπὼν περὶ τῆς ἀναλήψεως πρότερον, λέγει καὶ περὶ τῆς ἀναστάσεως. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι «Ἀνελήφθη», ἵνα μὴ νομίσῃς ὑφ' ἑτέρων αὐτὸν ἀνειλῆφθαι, ἐπήγαγεν· «Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα». Εἰ γὰρ ἐν τῷ μείζονι ἑαυτὸν παρέστησε, πολλῷ μᾶλλον ἐν τῷ ἐλάττονι.

4. Εἶδες, πῶς λανθανόντως παρασπείρει τὰ μεγάλα ταυτί δόγματα; «Δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς». Οὐ γὰρ ὥσπερ πρὸ τῆς ἀναστάσεως ἀεὶ μετ' αὐτῶν ἦν, οὕτω καὶ τότε. Ὅρα γάρ. Οὐκ εἶπε, «τεσσαράκοντα ἡμέρας», ἀλλά, «Δι' ἡμερῶν τεσσαράκοντα». Ἐφίστατο γάρ, καὶ ἀφίπτατο πάλιν. Τί δήποτε; Ἀνάγων αὐτῶν τὰς διανοίας, καὶ οὐκ ἔτι συγχωρῶν ὁμοίως πρὸς αὐτὸν διακεῖσθαι ὥσπερ καὶ ἔμπροσθεν. Οὐχ ἁπλῶς δὲ τοῦτο ἐποίει, ἀλλ' ἑκάτερα μετὰ ἀκριβείας κατασκευάζων, καὶ τὸ πιστευθῆναι τὴν ἀνάστασιν, καὶ τὸ μείζονα αὐτὸν νομισθῆναι λοιπὸν ἢ κατὰ ἄνθρωπον. Καίτοι γε ταῦτα ἐναντία ἦν. Ὑπὲρ μὲν γὰρ τοῦ πιστευθῆναι τὴν ἀνάστασιν πολλὰ ἀνθρώπινα ἔδει γενέσθαι· ὑπὲρ δὲ θατέρου, τοὐναντίον. Ἀλλ' ὅμως ἀμφότερα γέγονε μετὰ τοῦ προσήκοντος καιροῦ.

Τίνος δὲ ἕνεκεν οὐχὶ πᾶσιν, ἀλλὰ τοῖς ἀποστόλοις ἐφάνη;

ἀξιόπιστους, ἄν βέβαια πρόκειται νὰ διδάσκουν τὰ λόγια τοῦ ἁγίου Πνεύματος καὶ τὶς ἐντολὲς τοῦ Χριστοῦ.

«Ἀφοῦ λοιπόν, λέγει, ἔδωσε ἐντολές, ἀναλήφθηκε». Δὲν εἶπε' 'ἀνέβηκε', ἐπειδὴ ἀκόμη διδάσκει ὡς ἄνθρωπος. Ἄρα καὶ μετὰ τὴν ἀνάσταση δίδασκε τοὺς μαθητές' ἀλλὰ στὸ χρονικὸ αὐτὸ διάστημα κανένας δὲν μᾶς τὰ εἶπε μὲ ἀκρίβεια. Ἀλλὰ ἐμμένει μὲν σ' αὐτὸ περισσότερο ἀπὸ τοὺς ἄλλους ὁ Ἰωάννης καὶ αὐτός, ὁ Λουκᾶς Ὅλα δὲ μὲ σαφήνεια κανένας δὲν τὰ ἐξέθεσε (διότι ἐνδιαφέρονταν πιὸ πολὺ γιὰ ἄλλο)· μάθαμε δὲ αὐτὰ ἀπὸ τοὺς Ἀποστόλους, διότι αὐτὰ ποὺ ἄκουσαν, αὐτὰ καὶ μᾶς εἶπαν' «στοὺς ὁποίους καὶ ἐμφανίσθηκε ζωντανός». Ἀφοῦ προηγουμένως εἶπε γιὰ τὴν ἀνάληψη, λέγει τώρα καὶ γιὰ τὴν ἀνάσταση. Διότι, ἐπειδὴ εἶπε, ὅτι «ἀναλήφθηκε», γιὰ νὰ μὴ νομίσεις ὅτι αὐτὸς ἀναλήφθηκε ἀπὸ ἄλλους, πρόσθεσε, «στοὺς ὁποίους καὶ ἐμφανίσθηκε ζωντανός». Διότι, ἄν στὸ μεγαλύτερο παρουσίασε τὸν ἑαυτό του, πολὺ περισσότερο στὸ μικρότερο.

4. Εἶδες, πῶς χωρὶς νὰ γίνει ἀντιληπτὸ διασπείρει αὐτὰ ἐδῶ τὰ μεγάλα δόγματα; «Γιὰ σαράντα ἡμέρες ἐμφανιζόταν σ' αὐτούς». Διότι δὲν ἦταν ὅπως ἀκριβῶς πρὶν ἀπὸ τὴν Ἀνάσταση, ποὺ ἦταν πάντοτε μαζί τους, κατὰ τὸν ἴδιο τρόπο καὶ τότε' διότι πρόσεξε' δὲν εἶπε «σαράντα ἡμέρες», ἀλλά, «γιὰ σαράντα ἡμέρες». Διότι ἐμφανιζόταν καὶ ἐξαφανιζόταν πετώντας πάλι. Τί λοιπὸν ἔγινε; Ἀνυψώνοντας τὸν νοῦ τους, δὲν τοὺς ἐπέτρεψε πλέον νὰ συμπεριφέρονται πρὸς αὐτὸν κατὰ τὸν ἴδιο τρόπο, ὅπως καὶ προηγουμένως. Δὲν ἔκαμε δὲ μόνο αὐτό, ἀλλὰ μὲ ἀκρίβεια προετοίμαζε καὶ τὰ δύο' καὶ τὴν βεβαιότητα γιὰ τὴν ἀνάσταση, καὶ στὴ συνέχεια τὴν πίστη, ὅτι αὐτὸς εἶναι ἀνώτερος ἀπὸ ἕνα ἁπλὸ ἄνθρωπο. Ἄν καὶ βέβαια αὐτὰ εἶναι ἀντίθετα. Διότι γιὰ μὲν τὴν βεβαιότητα τῆς ἀναστάσεως ἔπρεπε νὰ γίνουν πολλὰ ἀνθρώπινα, γιὰ δὲ τὸ ἄλλο, δηλαδὴ τὴν ἀνωτερότητά του, τίποτε' ἀλλ' ὅμως καὶ τὰ δύο ἔχουν γίνει στὸν κατάλληλο χρόνο.

Γιὰ ποιὸ δὲ λόγο δὲν ἐμφανίσθηκε σ' ὅλους, ἀλλὰ μό-

Ὅτι φάντασμα ἂν ἔδοξεν εἶναι τοῖς πολλοῖς, οὐκ εἰδόσι τὸ ἀπόρρητον τοῦ μυστηρίου. Εἰ γὰρ καὶ αὐτοὶ οἱ μαθηταὶ ἠπίστουν τὴν ἀρχὴν καὶ ἐθορυβοῦντο, καὶ ἁφῆς ἐδεήθησαν τῆς διὰ χειρός, καὶ τραπέζης, τί τοὺς πολλοὺς εἰκὸς παθεῖν ἦν; Διά τοι τοῦτο ἐκ τῶν σημείων ἀναμφίβολον ποιεῖ τῆς ἀναστάσεως τὴν ἀπόδειξιν, ὥστε μὴ τοῖς τότε μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς μετὰ ταῦτα φανερὰν γενέσθαι τὴν ἀνάστασιν. Ὅπερ γὰρ ἐκείνοις ἐκ τῆς ὄψεως τῶν σημείων, τοῦτο ἐκ τῆς πίστεως πᾶσιν ὕστερον ἔμελλεν ἔσεσθαι. Διά τοι τοῦτο καὶ τοὺς ἀπίστους ἐντεῦθεν συλλογιζόμεθα. Εἰ γὰρ οὐκ ἀνέστη, ἀλλὰ μένει νεκρός, πῶς ἐν τῷ ὀνόματι αὐτοῦ οἱ ἀπόστολοι σημεῖα ἐποίησαν; Ἀλλ' οὐκ ἐποίησαν σημεῖα; Πῶς οὖν συνέστη τὸ ἔθνος τὸ ἡμέτερον; Οὐ γὰρ δὴ καὶ πρὸς τοῦτο ἀντιστήσονται, οὐδὲ τοῖς ὁρωμένοις μαχήσονται. Ὥστε ὅταν λέγωσι μὴ γενέσθαι σημεῖα, μειζόνως ἑαυτοὺς καταισχύνουσι. Τοῦτο γὰρ μέγιστον σημεῖον, τὸ χωρὶς σημείων τὴν οἰκουμένην προσδραμεῖν ἅπασαν, ὑπὸ δώδεκα πτωχῶν καὶ ἀγραμμάτων ἀνθρώπων ἁλιευθεῖσαν. Οὐδὲ γὰρ πλούτῳ χρημάτων, οὐ σοφίᾳ λόγων, οὐκ ἄλλῳ τινὶ τοιούτῳ περιεγένοντο οἱ ἁλιεῖς· ὥστε καὶ ἄκοντες ὁμολογήσουσι θείαν εἶναι ἐν αὐτοῖς δύναμιν· ἀμήχανον γὰρ ἀνθρωπίνην ἰσχὺν δυνηθῆναι τοσαῦτα ποτέ.

Διά τοι τοῦτο καὶ αὐτὸς τεσσαράκοντα ἡμέρας ἔμεινε μετὰ τὴν ἀνάστασιν, ἔλεγχον διδοὺς ἐν τῷ μακρῷ χρόνῳ τῆς ὄψεως τῆς οἰκείας, ἵνα μὴ φάντασμα εἶναι νομίσωσι τὸ ὁρώμενον. Καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ τράπεζαν προσετίθει· ὅπερ οὖν καὶ προϊὼν λέγει· «Καὶ συναλιζόμενος αὐτοῖς». Τοῦτο δὲ ἀεὶ καὶ αὐτοὶ οἱ ἀπόστολοι τεκμήριον ἐποιοῦντο τῆς ἀναστάσεως λέγοντες· «Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐ-

νον στοὺς Ἀποστόλους; Διότι θὰ φαινόταν φάντασμα στοὺς πολλούς, ποὺ δὲν γνώριζαν τὸ μυστήριο· διότι, ἂν καὶ οἱ ἴδιοι οἱ μαθητές του ἀπιστοῦσαν στὴν ἀρχὴ καὶ ταράσσονταν, καὶ χρειάσθηκαν νὰ τὸν ἀγγίσουν μὲ τὸ χέρι τους, καὶ νὰ παρακαθήσουν μαζί του σὲ τράπεζα, τί θὰ ἦταν φυσικὸ νὰ πάθουν οἱ πολλοί; Γι' αὐτὸ λοιπὸν ἀπό τὰ θαύματα κάμνει ἀναμφίβολη τὴν ἀπόδειξη τῆς ἀναστάσεως, ὥστε ὄχι μόνο στοὺς τότε, ἀλλά καὶ σ' ὅλους τοὺς μετέπειτα νὰ γίνει φανερὴ ἡ ἀνάσταση. Διότι αὐτὸ ποὺ σ' ἐκείνους ἔγινε μὲ τὴν ὅραση τῶν θαυμάτων, αὐτὸ ἐπρόκειτο νὰ συμβεῖ σ' ὅλους ὕστερα μὲ τὴν πίστη. Γι' αὐτὸ βέβαια συμπεραίνουμε ἀπ' αὐτὰ καὶ γιὰ τοὺς ἄπιστους. Διότι, ἂν δὲν ἀναστήθηκε, ἀλλὰ μένει νεκρός, πῶς μὲ τὸ ὄνομά του οἱ Ἀπόστολοι ἔκαναν θαύματα; Ἀλλὰ μήπως δὲν ἔκαμαν θαύματα; Πῶς λοιπὸν δημιουργήθηκε τὸ ἔθνος μας; Διότι οὔτε πρὸς αὐτὸ θὰ ἀντισταθοῦν πλέον, οὔτε πρὸς τὰ βλεπόμενα θὰ πολεμήσουν. Ὥστε, ὅταν λέγουν ὅτι δὲν ἔγιναν θαύματα, πιό πολὺ τοὺς ἑαυτούς τους ἐντροπιάζουν. Διότι αὐτὸ εἶναι μεγαλύτερο θαῦμα, ἡ χωρὶς θαύματα προσέλευση ὁλόκληρης τῆς οἰκουμένης, ποὺ προσελκύσθηκε ἀπὸ δώδεκα φτωχοὺς καὶ ἀγράμματους ἀνθρώπους. Διότι οἱ ψαράδες ἐπεκράτησαν χωρὶς νὰ ἔχουν ἄφθονα χρήματα, οὔτε μὲ τὴ σοφία τῶν λόγων τους, οὔτε μὲ ὅ,τιδήποτε ἄλλο, ὥστε καὶ παρὰ τὴν θέλησή τους θὰ ὁμολογήσουν ὅτι ὑπάρχει σ' αὐτοὺς θεία δύναμη· διότι εἶναι ἀδύνατο ἀνθρώπινη δύναμη νὰ ἐπιτύχει τόσα πολλά.

Γι' αὐτό, βέβαια, καὶ αὐτὸς σαράντα ἡμέρες ἔμεινε μετὰ τὴν ἀνάσταση, δίνοντας τὴ δυνατότητα, στὸ μακρὸ αὐτὸ χρόνο, νὰ ἐλέγχουν τὴ δική του παρουσία, γιὰ νὰ μὴ νομίσουν, ὅτι αὐτὸ ποὺ βλέπουν εἶναι φάντασμα. Καὶ δὲν ἀρκέσθηκε μόνο σ' αὐτό, ἀλλὰ καὶ τράπεζα πρόσθετε· πράγμα ποὺ καὶ συνεχίζοντας λέγει· «καὶ συναναστρεφόμενος αὐτοὺς καὶ συντρώγοντας μαζί τους». Αὐτὸ δὲ πάντοτε καὶ οἱ ἴδιοι οἱ Ἀπόστολοι χρησιμοποιοῦσαν σὰν ἀπόδειξη τῆς ἀναστάσεως λέγοντας· «οἱ ὁποῖοι φάγαμε καὶ

τῷ». Τί δὲ καὶ φαινόμενος ἐποίει, δι' ὧν ἐπήγαγε δείκνυσι λέγων· «Ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ». Ἐπεὶ δὲ καὶ πεπονηκότες ἦσαν, καὶ τεταραγμένοι τοῖς ἤδη γεγενημένοις, καὶ πρὸς μεγάλους ἔμελλον λοιπὸν ἐξιέναι ἀγῶνας, τοῖς περὶ τῶν μελλόντων αὐτοὺς ἀνακτώμενος λόγοις, «Παρήγγειλεν ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένουν τὴν ἐπαγγελίαν τοῦ Πατρός». Πρῶτον αὐτοὺς εἰς τὴν Γαλιλαίαν ἐξήγαγε, δεδοικότας ἔτι καὶ τρέμοντας, ἵνα μετὰ ἀδείας ἀκούσωσι τῶν λεγομένων. Εἶτα ἐπειδὴ ἤκουσαν, καὶ τεσσαράκοντα συνδιέτριψαν ἡμέρας, «Παρήγγειλε μὴ ἀπὸ Ἱεροσολύμων χωρίζεσθαι». Τί δήποτε; Καθάπερ τινὰς στρατιώτας μέλλοντας εἰς πλῆθος ἐμπίπτειν, οὐδεὶς ἀφίησιν ἐξελθεῖν, ἕως ἂν ὁπλίσωνται· οὐδὲ ἵππους προπηδᾶν τῆς βαλβῖδος, ἕως ἂν τὸν ἡνίοχον λάβωσιν· οὕτω δὴ καὶ αὐτοὺς πρὸ τῆς τοῦ Πνεύματος καθόδου φανῆναι ἐπὶ τῆς παρατάξεως οὐκ ἠφίει, ὥστε μὴ γενέσθαι εὐχειρώτους καὶ ἁλωσίμους τοῖς πολλοῖς.

Οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐπειδὴ πολλοὶ ἦσαν οἱ μέλλοντες πιστεύειν αὐτόθι. Καὶ πρὸς τούτοις πάλιν, ἵνα μὴ λέγωσί τινες, ὅτι τοὺς γνωρίμους ἀφέντες παρὰ τοῖς ξένοις ἦλθον κομπάσαι, τούτου χάριν παρ' αὐτοῖς τοῖς πεφονευκόσι παρέχουσι τὰ τεκμήρια τῆς ἀναστάσεως, παρ' αὐτοῖς τοῖς ἐσταυρωκόσι, τοῖς θάψασιν, ἐν αὐτῇ τῇ πόλει ἐν ᾗ τὸ πρᾶγμα τὸ παράνομον ἐτολμήθη, ὥστε καὶ τοὺς ἔξωθεν ἐπιστομισθῆναι ἅπαντας. Ὅταν γὰρ οἱ ἐσταυρωκότες αὐτοὶ φαίνωνται καὶ πεπιστευκότες, εὔδηλον, ὅτι καὶ ὁ σταυρὸς καὶ τοῦ τολμήματος ἐδείκνυτο ἡ παρανομία, καὶ τῆς ἀναστάσεως πολλὴ ἡ ἀπόδειξις. Εἶτα ἵνα μὴ λέγωσι, πῶς οὖν δυνησόμεθα μεταξὺ ἀνθρώπων μιαρῶν καὶ φονούντων, καὶ τοσούτων ὄντων,

---

34. Πραξ. 10, 41.

ήπιαμε μαζί του»[14]. Τί δὲ ἔκανε καὶ ὅταν ἐμφανιζόταν φανερώνει μὲ ἐκεῖνα ποὺ πρόσθεσε λέγοντας· «παρου σιαζόταν σ' αὐτοὺς καὶ μιλοῦσε γιὰ τὴ βασιλεία τοῦ Θεοῦ» Ἐπειδὴ ὅμως ἦταν καταπονημένοι καὶ τρομαγμένοι μὲ τά ὅσα ἤδη εἶχαν γίνει, καὶ ἐπρόκειτο στὴ συνέχεια νὰ ἐξέλ θουν σὲ μεγάλους ἀγῶνες, τονώνοντας αὐτοὺς μὲ τοὺς λόγους γιὰ τὰ μέλλοντα, «παράγγειλε ἀπὸ τὰ Ἱεροσόλυμα νὰ μὴ ἀπομακρύνονται, ἀλλὰ νὰ περιμένουν τὴν ἐκπλήρωση τῆς ὑποσχέσεως τοῦ Πατρός, γιὰ τὴν ἀποστολὴ τοῦ ἁγίου Πνεύματος». Πρῶτα ἔβγαλε αὐτοὺς στὴ Γαλιλαία, ἐνῶ ἦταν ἀκόμη φοβισμένοι καὶ ἔτρεμαν, γιὰ νὰ ἀκούσουν ἄφοβα αὐτὰ ποὺ θὰ τοὺς ἔλεγε. Ἔπειτα, ἀφοῦ ἄκουσαν καὶ σαράντα ἡμέρες ἔζησαν μαζί του, «παράγγειλε νὰ μὴ ἀπομακρύνονται ἀπὸ τὰ Ἱεροσόλυμα». Τί τέλος πάντων; Ὅπως ἀκριβῶς λίγους στρατιῶτες, ποὺ πρόκειται νὰ ἐπιτεθοῦν σὲ πλῆθος ἀντιπάλων, κανένας δὲν τοὺς ἀφήνει νὰ ἐξέλθουν, μέχρι νὰ ἐξοπλισθοῦν, οὔτε τὰ ἄλογα νὰ περάσουν τὴν ἀφετηρία μέχρι νὰ δεχθοῦν ἐπάνω τους τὸν ἱππέα, κατὰ τὸν ἴδιο τρόπο λοιπὸν καὶ αὐτοὺς δὲν τοὺς ἄφηνε νὰ ἐμφανισθοῦν σὲ παράταξη μάχης πρὶν ἀπὸ τὴν κάθοδο τοῦ ἁγίου Πνεύματος, γιὰ νὰ μὴ καταβληθοῦν καὶ εὔκολα συλληφθοῦν ἀπὸ τοὺς πολλούς.

Ὄχι μόνο δὲ γι' αὐτό, ἀλλὰ καὶ ἐπειδὴ πολλοὶ ἦταν ἐκεῖνοι ποὺ ἐπρόκειτο νὰ πιστεύσουν στὰ Ἱεροσόλυμα. Καὶ ἐπὶ πλέον πάλι γιὰ νὰ μὴ λέγουν μερικοί, ὅτι ἀφοῦ ἄφησαν τοὺς γνωστούς τους στὰ Ἱεροσόλυμα σὲ ξένους ἦλθαν νὰ ἐπιδειχθοῦν, ἐξ αἰτίας αὐτοῦ παρέχουν τὶς ἀποδείξεις τῆς ἀναστάσεως, σ' αὐτοὺς ποὺ τὸν εἶχαν σταυρώσει, ποὺ τὸν εἶχαν θάψει, στὴν ἴδια τὴν πόλη στὴν ὁποία ἀποτολμήθηκε ἡ παράνομη ἐνέργεια, ὥστε νὰ ἀποστομωθοῦν καὶ ὅλοι ὅσοι προέρχονταν ἔξω ἀπὸ τὰ Ἱεροσόλυμα. Διότι, ὅταν οἱ ἴδιοι ποὺ τὸν εἶχαν σταυρώσει φαίνονται καὶ ὅτι ἔχουν πιστεύσει, εἶναι φανερό, ὅτι καὶ ὁ σταυρὸς καὶ ἡ παρανομία τοῦ τολμήματος ἀποκαλύπτονταν, καὶ μεγάλη ἦταν ἡ ἀπόδειξη τῆς ἀναστάσεως. Ἔπειτα γιὰ νὰ μὴ λέγουν οἱ μαθητὲς 'πῶς λοιπὸν θὰ μπορέσουμε νὰ μέ-

ὀλίγοι καὶ εὐτελεῖς ὄντες μένειν, ὅρα, πῶς λύει τὴν ἀγωνίαν, εἰπών· «Ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρός, ἣν ἠκούσατέ μου». Καὶ πότε ἤκουσαν, φησίν; Ὅτε ἔλεγε· «Συμφέρει ὑμῖν ἵνα ἐγὼ ἐπέλθω. Ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς»· καὶ πάλιν, «Ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον πέμψει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν».

5. Καὶ τίνος ἕνεκεν οὐχὶ παρόντος αὐτοῦ οὐδὲ ἀπελθόντος εὐθέως παρεγένετο, ἀλλ' αὐτὸς μὲν τῇ τεσσαρακοστῇ ἡμέρᾳ ἀνῆλθε, τὸ δὲ Πνεῦμα παρεγένετο ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς; Καὶ πῶς, εἰ μηδέπω παρεγεγόνει, ἔλεγε, «Λάβετε Πνεῦμα ἅγιον»; Ἵνα δεκτικοὺς αὐτοὺς ποιήσῃ, καὶ ἀρκοῦντας πρὸς τὴν ὑποδοχήν. Εἰ γὰρ ἄγγελον μέλλων ὁρᾶν ὁ Δανιὴλ παρίετο, πολλῷ μᾶλλον οὗτοι μέλλοντες τοσαύτην δέχεσθαι χάριν. Ἢ τοῦτο οὖν ἔστιν εἰπεῖν, ἢ ὅτι τὸ μέλλον ἔσεσθαι ὡς ἤδη γεγενημένον εἴρηκεν· ὥσπερ ὅταν λέγῃ, «Πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ». Τίνος δὲ ἕνεκεν οὐκ εὐθὺς τότε παρεγεγόνει; Ἐν ἐπιθυμίᾳ αὐτοὺς ἔδει γενέσθαι τοῦ πράγματος, καὶ οὕτω δέξασθαι τὴν χάριν. Διὰ τοῦτο ὅτε αὐτὸς ἀπέστη, τότε ἐκεῖνο ἦλθεν. Εἰ δὲ ἦλθε, παρόντος αὐτοῦ, οὐκ ἂν ἐν τοσαύτῃ ἐγένοντο προσδοκίᾳ. Διὰ τοῦτο οὐδὲ εὐθέως ἀνελθόντος αὐτοῦ παραγίνεται, ἀλλὰ μετὰ ὀκτὼ ἢ ἐννέα ἡμέρας.

Οὕτω καὶ ἡμεῖς πρὸς τὸν Θεὸν τότε μάλιστα διεγειρόμεθα, ὅταν ἐν χρείᾳ καταστῶμεν. Διὰ τοῦτο καὶ Ἰωάννης τότε μάλιστα πέμπει τοὺς μαθητὰς πρὸς τὸν Χριστόν, ὅτε ἔμελλον ἐν χρείᾳ εἶναι τοῦ Ἰησοῦ, τὸ δεσμωτήριον οἰκοῦντος ἐκείνου. Ἄλλως δέ, ἔδει ἐν οὐρανῷ φανῆναι τὴν ἡμετέραν φύσιν, καὶ

---

35. Ἰω. 16, 7.
36. Ἰω. 14, 16.
37. Ἰω. 20, 22.
38. Πρβλ. Δαν. 8, 15-17.
39. Λουκ. 10, 19.

νουμε ἀνάμεσα σ' ἀνθρώπους ποὺ εἶναι ἀχρεῖοι καὶ φο νιάδες καὶ τόσοι πολλοί, ἐνῶ ἡμεῖς εἴμαστε λίγοι καὶ ἀσή μαντοι'; κοίταξε πῶς λύνει τὴν ἀγωνία τους λέγοντας «ἀλλὰ νὰ περιμένουν τὴν ἐκπλήρωση τῆς ὑποσχέσεως τοῦ Πατρός, γιὰ τὴν ὁποία μὲ ἀκούσατε νὰ σᾶς ὁμιλῶ». Κα πότε ἄκουσαν, λέγει; Ὅταν ἔλεγε' «ὅτι εἶναι συμφέρον σας ἐγὼ νὰ φύγω· διότι ἐὰν ἐγὼ δὲν φύγω, ὁ Παράκλη τος δὲν θὰ ἔλθει σὲ σᾶς»[35]. Καὶ πάλι' «θὰ παρακαλέσω τὸν Πατέρα μου καὶ θὰ σᾶς δώσει ἄλλον Παράκλητο, γιὰ νὰ μένει μαζί σας πάντοτε»[36].

5. Καὶ γιὰ ποιὸ λόγο δὲν παρουσιάσθηκε ἀμέσως τὸ ἅγιο Πνεῦμα, ἐνῶ ὁ Χριστὸς ἦταν παρών, ἢ ὅταν ἀνεχώ ρησε, ἀλλ' αὐτὸς μὲν τὴν τεσσαρακοστὴ ἡμέρα ἀνῆλθε στοὺς οὐρανούς, τὸ δὲ Πνεῦμα ἐμφανίσθηκε ὅταν συμ πληρωνόταν ἡ ἡμέρα τῆς Πεντηκοστῆς; Καὶ πῶς, ἐφόσον ἀκόμα δὲν εἶχε ἔλθει, ἔλεγε, «λάβετε Πνεῦμα ἅγιον»[37] Γιὰ νὰ τοὺς κάνει δεκτικοὺς καὶ ἱκανοὺς γιὰ τὴν ὑποδοχή του· διότι, ἂν ὁ Δανιήλ, ὅταν ἐπρόκειτο νὰ δεῖ ἄγγελο φοβήθηκε, πολὺ περισσότερο αὐτοί, ποὺ ἐπρόκειτο νὰ δεχθοῦν τόσο μεγάλη χάρη[38]. Ἢ αὐτὸ λοιπὸν εἶναι δυνα τὸ νὰ ποῦμε, ἢ ὅτι εἶπε ἐκεῖνο ποὺ θὰ συμβεῖ στὸ μέλλον σὰν ἤδη γεγονός, ὅπως ἀκριβῶς ὅταν λέγει' «πατεῖτε ἐπά νω σὲ φίδια καὶ σκορπιοὺς καὶ ἐπάνω σ' ὅλη τὴ δύναμι τοῦ ἐχθροῦ»[39]. Γιὰ ποιὸ λόγο δὲ τότε δὲν εἶχε ἐμφανισθε ἀμέσως; Διότι ἔπρεπε νὰ ἐπιθυμήσουν τὸ πρᾶγμα καὶ ἔτσ νὰ δεχθοῦν τὴν χάρη. Γι' αὐτό, ὅταν αὐτὸς ἐξαφανιζόταν ἀπὸ τὰ μάτια τους ἀνερχόμενος στοὺς οὐρανούς, τότε ἦλθε ἐκεῖνο. Ἐὰν δὲ ἐρχόταν, ἐνῶ αὐτὸς ἦταν παρών δὲν θὰ ἀνέμεναν μὲ τόση προσδοκία. Γι' αὐτὸ δὲν ἐμφα νίζεται ἀμέσως μετὰ τὴν ἀνάληψή του, ἀλλὰ ὕστερα ἀπὸ ὀκτὼ ἢ ἐννέα ἡμέρες.

Ἔτσι καὶ ἐμεῖς, τότε προπάντων καταφεύγομε πρὸς τὸ Θεό, ὅταν βρεθοῦμε στὴν ἀνάγκη. Γι' αὐτὸ καὶ ὁ Ἰωάννης τότε κυρίως στέλνει τοὺς μαθητές του πρὸς τὸ Χριστό ὅταν ἐπρόκειτο νὰ χρειασθοῦν τὸν Ἰησοῦν, ὅταν ἐκεῖνος βρισκόταν στὸ δεσμωτήριο. Ἀλλιῶς δέ, ἔπρεπε νὰ ἐμφα

τὰς καταλλαγὰς γενέσθαι ἀπηρτισμένας, καὶ τότε ἐλθεῖν τὸ Πνεῦμα, καὶ καθαρὰν γενέσθαι τὴν ἡδονήν. Εἰ γὰρ παρόντος αὐτοῦ, ὁ μὲν ἀπῆλθεν, ὁ δὲ ἔμεινεν, οὐκ ἂν ἦν τοσαῦτα τὰ τῆς παραμυθίας· καὶ γὰρ σφόδρα αὐτοῦ δυσαποσπάστως εἶχον. Διὸ καὶ ἔλεγε παραμυθούμενος αὐτούς· «Συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω». Διὰ τοῦτο καὶ ἡμέρας ἀναμένει τὰς μεταξύ, ἵνα μικρὸν ἀθυμήσαντες, καὶ ἐν χρείᾳ, ὅπερ ἔφην, καταστάντες, ὁλόκληρον καὶ καθαρὰν καρπώσωνται τὴν ἡδονήν. Εἰ δὲ ἔλαττον ἦν τὸ Πνεῦμα, οὐκ ἦν ἀρκοῦσα ἡ παραμυθία. Πῶς δὲ καὶ ἔλεγε, «Συμφέρει ὑμῖν»; Διὰ τοῦτο τὰ μείζονα αὐτῷ τετήρηται τῆς διδασκαλίας, ἵνα μὴ ἔλαττον αὐτὸ νομίσωσι.

Σκόπει δὲ ἡλίκην αὐτοῖς ἀνάγκην ἐπέθηκεν ἐν Ἱεροσολύμοις εἶναι, τῷ ὑποσχέσθαι ἐκεῖ τὸ Πνεῦμα παρέχεσθαι. Ἵνα γὰρ μὴ πάλιν μετὰ τὴν ἀνάληψιν αὐτοῦ φύγωσι, τῇ προσδοκίᾳ ταύτῃ καθάπερ τινὶ δεσμῷ κατέχει πάντας αὐτοὺς ἐκεῖσε. Εἰπὼν δέ, «Περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρός, ἣν ἠκούσατέ μου», ἐπήγαγεν· «Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας». Δείκνυσι λοιπὸν τὸ μέσον αὐτοῦ καὶ Ἰωάννου, οὐκ ἔτι ὡς πρὸ τούτου συνεσκιασμένως (καὶ γὰρ σφόδρα συνεσκίασε τὸν λόγον ὅτε ἔλεγεν· «Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν»), ἀλλὰ νῦν φανερώτερον· «Ἰωάννης, φησίν, ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ». Οὐκ ἔτι κέχρηται τῇ μαρτυρίᾳ, ἀλλὰ ἀναμιμνήσκει τοῦ προσώπου μόνον, εἰς μνήμην τῶν παρ' αὐτοῦ εἰρημένων ἐνάγων, καὶ δείκνυσιν αὐτοὺς ἤ-

40. Ἰω. 16, 7.
41. Ματθ. 11, 11.

νισθεῖ στὸν οὐρανὸ ἡ ἀνθρώπινη φύση μας, καὶ νὰ ἔχει συντελεσθεῖ ἡ συμφιλίωσή μας τέλεια μὲ τὸ Θεό, καὶ τότε νὰ ἔλθει τὸ Πνεῦμα τὸ ἅγιο, καὶ καθαρὴ νὰ γίνει ἡ εὐχαρίστηση. Διότι, ἂν ἦταν παρὸν τὸ ἅγιο Πνεῦμα, καὶ ὁ μὲν Ἰησοῦς ἀνέβαινε στοὺς οὐρανούς, ὁ δὲ Παράκλητος παρέμεινε, δὲν θὰ ἦταν τόσα πολλὰ τὰ ἀγαθὰ τῆς παρηγορίας· διότι πάρα πολὺ δύσκολα μποροῦσαν νὰ τὸν ἀποχωρισθοῦν. Γι' αὐτὸ καὶ ἔλεγε παρηγορώντας τους· «σᾶς συμφέρει νὰ φύγω»[40]. Γι' αὐτὸ καὶ ἀναμένει τὶς ἡμέρες ἀνάμεσα στὴν ἀνάληψη καὶ στὴν Πεντηκοστή, γιὰ νὰ καρπωθοῦν ὁλόκληρη καὶ καθαρὴ τὴν εὐχαρίστηση, ἀφοῦ στενοχωρηθοῦν λίγο, καὶ ἀφοῦ βρεθοῦν, ὅπως εἶπα, σὲ ἀνάγκη. Ἐὰν δὲ ἦταν λιγώτερο τὸ Πνεῦμα, δὲν θὰ ἦταν ἀρκετὴ ἡ παρηγορία. Πῶς δὲ καὶ ἔλεγε, «σᾶς συμφέρει»; Γι' αὐτὸ καὶ ἔχει διαφυλάξει τὰ σπουδαιότερα τῆς διδασκαλίας γιὰ τὸ ἅγιο Πνεῦμα, γιὰ νὰ μὴ τὸ θεωρήσουν μικρότερο.

Πρόσεξε δὲ πόσο μεγάλη ἀνάγκη πρόσθεσε σ' αὐτοὺς νὰ βρίσκονται στὰ Ἱεροσόλυμα, μὲ τὴν ὑπόσχεση ὅτι ἐκεῖ θὰ παρασχεθεῖ τὸ ἅγιο Πνεῦμα. Διότι πάλι γιὰ νὰ μὴ φύγουν μετὰ τὴν ἀνάληψή του, μὲ τὴν προσδοκία αὐτή, σὰν μὲ κάποιο δεσμό, συγκρατεῖ ὅλους αὐτοὺς ἐκεῖ. Λέγοντας δέ, «νὰ περιμένουν τὴν ἐκπλήρωση τῆς ὑποσχέσεως τοῦ Πατρός, γιὰ τὴν ὁποία μὲ ἀκούσατε νὰ σᾶς ὁμιλῶ», πρόσθεσε, «διότι ὁ Ἰωάννης μὲν βάπτισε μὲ ἁπλὸ νερό, σεῖς δὲ θὰ βαπτισθεῖτε μὲ Πνεῦμα ἅγιο ὕστερα ἀπὸ λίγες ἡμέρες». Φανερώνει λοιπὸν τὸ ἐνδιάμεσο ἀνάμεσα σ' αὐτὸν καὶ τὸν Ἰωάννη, ὄχι πιὰ ὅπως πρὶν ἀπὸ αὐτὸ κατὰ τρόπο συγκαλυμμένο (διότι πάρα πολὺ συγκάλυπτε τὸ λόγο του, ὅταν ἔλεγε, «ὁ μικρότερος στὴ βασιλεία τῶν οὐρανῶν εἶναι μεγαλύτερος ἀπὸ αὐτόν»)[41], ἀλλὰ τώρα πιὸ φανερά· διότι λέγει· «ὁ Ἰωάννης βάπτισε μὲ ἁπλὸ νερό, σεῖς δὲ θὰ βαπτισθεῖτε μὲ Πνεῦμα ἅγιο». Δὲν χρησιμοποιεῖ πιὰ τὴν μαρτυρία, ἀλλὰ ἐνθυμεῖται τὸ πρόσωπο μόνο, ἐπαναφέροντας στὴ μνήμη τους τὰ ὅσα εἶχε πεῖ καὶ ἀποδεικνύει, ὅτι αὐτοὶ εἶναι πλέον μεγαλύτεροι ἀπὸ τὸν

δη μείζους λοιπὸν γεγενημένους Ἰωάννου, εἴ γε ἐν Πνεύματι ἔμελλον καὶ αὐτοὶ βαπτίζειν. Καὶ οὐκ εἶπεν, «ὑμᾶς δὲ ἐγὼ βαπτίζω ἐν Πνεύματι ἁγίῳ», ἀλλά, «Βαπτισθήσεσθε», διδάσκων ἡμᾶς ταπεινοφρονεῖν. Τοῦτο γὰρ ἀπὸ τῆς μαρτυρίας Ἰωάννου δῆλον λοιπὸν ἦν, ὅτι αὐτὸς ἦν ὁ βαπτίζων, εἰπόντος, ὅτι «Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί»· διὸ καὶ μόνου αὐτοῦ ἐμνημόνευσε.

Τὰ μὲν οὖν εὐαγγέλια, ὧν ὁ Χριστὸς ἐποίησε καὶ εἶπεν ἱστορία τίς ἐστιν· αἱ δὲ Πράξεις, ὧν ὁ ἕτερος Παράκλητος εἶπε καὶ ἐποίησε. Καὶ τότε μὲν γὰρ πολλὰ καὶ αὐτὸς ἐποίει, ὥσπερ οὖν καὶ νῦν ὁ Χριστὸς ἐνεργεῖ, καθάπερ καὶ τότε· ἀλλά, τότε μὲν διὰ τοῦ ναοῦ, νῦν δὲ διὰ τῶν ἀποστόλων· καὶ τότε μὲν εἰς παρθενικὴν ἦλθε μήτραν, καὶ ναὸν διέπλασε, νῦν δὲ εἰς ψυχὰς ἀποστολικάς· καὶ τότε μὲν ἐν εἴδει περιστερᾶς, νῦν δὲ ἐν εἴδει πυρός. Τί δήποτε; Ἐκεῖ μὲν τὸ πρᾶον δηλῶν, ἐνταῦθα δὲ καὶ τὸ τιμωρητικόν. Καὶ τῆς κρίσεως δὲ εὐκαίρως ἀναμιμνήσκει. Ὅτε μὲν γὰρ ἁμαρτήματα συγχωρῆσαι ἔδει, πολλῆς ἔδει τῆς πραότητος· ἐπειδὴ δὲ ἐτύχομεν τῆς δωρεᾶς, λοιπὸν καὶ κρίσεως καὶ ἐξετάσεως καιρός. «Πῶς δέ, Βαπτισθήσεσθε», λέγει, ὕδατος οὐκ ὄντος ἐν τῷ ὑπερῴῳ; Ὅτι τὸ κυριώτερον τὸ Πνεῦμά ἐστι, δι' οὗ καὶ τὸ ὕδωρ ἐνεργεῖ· ὥσπερ οὖν καὶ αὐτὸς κεχρίσθαι λέγεται, οὐδαμοῦ χρισάμενος ἐλαίῳ, ἀλλὰ Πνεῦμα δεξάμενος· ἄλλως δὲ καὶ ὕδατι βαπτιζομένους αὐτούς ἐστιν εὑρεῖν, καὶ ἐν διαφόροις καιροῖς. Ἐφ' ἡμῶν μὲν γὰρ ἀμφότερα γίνεται ὑφ' ἕν, τότε δὲ διεσπασμένως. Παρὰ γὰρ τὴν ἀρχὴν ὑπὸ Ἰωάννου ἐβαπτίσθησαν· καὶ μὴ θαυμάσῃς.

Εἰ γὰρ πόρναι καὶ τελῶναι ἐπὶ τὸ βάπτισμα ᾔεσαν ἐκεῖνο, πολλῷ μᾶλλον οἱ μετὰ ταῦτα βαπτίζεσθαι μέλλοντες ὑπὸ τοῦ

---

42. Λουκ. 3, 16.

'Ιωάννη, ἐφόσον βέβαια ἐπρόκειτο καὶ αὐτοὶ νὰ βαπτισθοῦν μὲ Πνεῦμα ἅγιο. Καὶ δὲν εἶπε, 'ἐγὼ σᾶς βαπτίζω μὲ τὸ Πνεῦμα μου τὸ ἅγιο', ἀλλὰ «θὰ βαπτισθεῖτε», διδάσκοντας νὰ εἴμαστε ταπεινόφρονες. Διότι αὐτό, τὸ ὅτι αὐτὸς ἦταν ἐκεῖνος ποὺ βαπτίζει, ἔγινε φανερὸ στὴ συνέχεια ἀπὸ τὴν μαρτυρία τοῦ 'Ιωάννου, ποὺ εἶπε, «αὐτὸς θὰ σᾶς βαπτίσει μὲ Πνεῦμα ἅγιο καὶ μὲ τὸ καθαρτικὸ πῦρ τῆς χάριτος»[42]· γι' αὐτὸ καὶ μόνο αὐτὸν θυμήθηκε.

Τὰ μὲν Εὐαγγέλια λοιπὸν εἶναι μιὰ ἱστορία ἐκείνων ποὺ ὁ Χριστὸς ἔκαμε καὶ εἶπε, οἱ δὲ Πράξεις εἶναι ἱστορία ἐκείνων ποὺ ἔκαμε καὶ εἶπε ὁ ἄλλος Παράκλητος. Διότι καὶ τότε μὲν πολλὰ καὶ αὐτὸς ἔκανε, ὅπως ἀκριβῶς λοιπὸν ἐνεργεῖ καὶ τώρα ὁ Χριστός· κατὰ τὸν ἴδιο ἀκριβῶς τρόπο καὶ τότε· ἀλλὰ τότε μὲν ἐνεργοῦσε μὲ τὸ ναό, δηλαδὴ μὲ τὴ σωματικὴ παρουσία του, τώρα δὲ μὲ τοὺς 'Αποστόλους· καὶ τότε μὲν ἦλθε σὲ παρθενικὴ μήτρα καὶ διεμόρφωσε ναό, σωματικὴ μορφή, τώρα δὲ ἦλθε σὲ ἀποστολικὲς ψυχές· καὶ τότε μὲν ἦλθε τὸ Πνεῦμα σὰν περιστέρι, τώρα δὲ σὰν πύρινες γλῶσσες. Τί τέλος πάντων σημαίνουν αὐτά; 'Εκεῖ μὲν φανερώνοντας τὸ ἤρεμο, ἐδῶ δὲ τὸ τιμωρητικό. Καὶ τὴν κρίση ἐνθυμεῖται σὲ κατάλληλη στιγμή. Διότι ὅταν μὲν ἐπρόκειτο νὰ συγχωρήσει ἁμαρτήματα, χρειαζόταν μεγάλη ἠρεμία, ἐφόσον δὲ ἐπιτύχαμε τὴ δωρεά, στὴ συνέχεια εἶναι καιρὸς καὶ κρίσεως καὶ ἐξετάσεως. Πῶς δέ, λέγει, «θὰ βαπτισθεῖτε», ἀφοῦ νερὸ δὲν ὑπάρχει στὸ ὑπερῶο; Διότι τὸ κυριώτερο τὸ Πνεῦμα εἶναι, μὲ τὸ ὁποῖο καὶ τὸ νερὸ ἐνεργεῖ· ὅπως ἀκριβῶς λοιπὸν καὶ αὐτὸς λέγεται ὅτι ἔχει χρισθεῖ χωρὶς πουθενὰ νὰ χρισθεῖ μὲ ἔλαιο, ἀλλὰ λαμβάνοντας τὸ Πνεῦμα· ἄλλωστε καὶ αὐτοὺς εἶναι δυνατὸν νὰ βρεῖς νὰ βαπτίζονται μὲ νερὸ καὶ σὲ διάφορους καιρούς. Διότι σ' ἐμᾶς μὲν καὶ τὰ δυό, βάπτισμα καὶ χρίσμα, τελοῦνται σ' ἕνα, τότε δὲ τελοῦνταν χωριστά. Διότι στὴν ἀρχὴ βαπτίσθηκαν ἀπὸ τὸν 'Ιωάννη καὶ μὴ ἀπορήσεις.

Διότι, ἐὰν στὸ βάπτισμα ἐκεῖνο πήγαιναν πόρνες καὶ τελῶνες, πολὺ περισσότερο θὰ πήγαιναν ἐκεῖνοι, ποὺ ἐ-

Πνεύματος. Εἶτα ἵνα μὴ λέγωσιν, «ἐν ἐπαγγελίαις ἀεὶ τὸ πρᾶγμα», (καὶ γὰρ καὶ ἤδη πολλὰ περὶ αὐτοῦ διελέχθη), μηδὲ νομίσωσιν αὐτὸ ἐνέργειαν εἶναι ἀνυπόστατον, ἀπάγων αὐτοὺς τῆς τοιαύτης ὑπονοίας, «Οὐ μετὰ πολλὰς ταύτας ἡμέρας», φησί. Καὶ οὐκ ἐδήλωσε πότε, ἵνα ἀεὶ γρηγορῶσιν, ἀλλ' ὅτι μὲν ἐγγὺς ἔσται εἶπεν, ἵνα μὴ ἐκλυθῶσι, πότε δέ, οὐκ ἔτι προσέθηκεν, ἵνα ἀεὶ νήφωσιν. Οὐ τούτῳ δὲ μόνον αὐτοὺς πιστοῦται, τῇ ταχύτητι λέγω τοῦ καιροῦ, ἀλλὰ καὶ τῷ λέγειν, «Τὴν ἐπαγγελίαν, ἣν ἠκούσατέ μου». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· «οὐ νῦν ὑμῖν εἶπον, φησί, μόνον, ἀλλὰ καὶ ἤδη ἐπηγγειλάμην, ἃ ποιήσω πάντως». Τί τοίνυν θαυμάζεις, εἰ τὴν ἡμέραν τῆς συντελείας μὴ λέγει, ὅπου γε ταύτην τὴν οὕτως ἐγγὺς οὖσαν οὐκ ἠθέλησαι ποιῆσαι κατάδηλον; Καὶ μάλα εἰκότως, ἵν' ἀεὶ ἐγρηγορότες ὦσι καὶ ἐν προσδοκίᾳ καὶ μερίμνῃ.

6. Οὐ γάρ ἐστιν, οὐκ ἔστι χάριτος ἀπολαῦσαι μὴ νήφοντα. Ἢ οὐχ ὁρᾷς, τί φησι καὶ Ἠλίας πρὸς τὸν μαθητήν; «Ἐὰν ἴδῃς με ἀναλαμβανόμενον, ἔσται σοι οὕτω»· τουτέστι, γενήσεταί σοι τοῦτο, ὃ αἰτεῖς. Καὶ ὁ Χριστὸς δὲ πανταχοῦ τοῖς προσιοῦσιν ἔλεγε· «Πιστεύεις;». Ἐὰν γὰρ μὴ οἰκειωθῶμεν πρὸς τὸ διδόμενον, οὐδὲ τῆς εὐεργεσίας σφόδρα αἰσθανόμεθα. Οὕτω καὶ ἐπὶ Παύλου· οὐκ εὐθέως ἡ χάρις ἦλθεν, ἀλλὰ τρεῖς ἡμέραι ἐγένοντο μεταξύ, ἐν αἷς ἦν τυφλός, ὑπὸ τοῦ φόβου σμηχόμενος καὶ προπαρασκευαζόμενος. Καθάπερ γὰρ οἱ τὴν ἁλουργίδα βάπτοντες, πρότερον ἑτέροις τισὶ τὸ δεχόμενον τὴν βαφὴν προπαρασκευάζουσιν, ἵνα μὴ ἐξίτηλον γένηται τὸ ἄνθος, οὕτω δὴ καὶ ἐνταῦθα πρότερον μεμεριμνημένην κατασκευάζει τὴν ψυχὴν ὁ Θεός, καὶ τότε τὴν χάριν ἐκχεῖ.

---

43. Δ' Βασ. 2, 10.
* κόκκινα ἐνδύματα.

πρόκειτο κατόπιν νὰ βαπτισθοῦν ἀπὸ τὸ ἅγιο Πνεῦμα. Ἔπειτα, γιὰ νὰ μὴ λέγουν, ὅτι «τὸ πράγμα βρίσκεται πάντοτε στὶς ὑποσχέσεις», (διότι καὶ πολλὰ πιὰ δίδαξε γι' αὐτό), οὔτε νὰ νομίσουν, ὅτι τὸ ἅγιον Πνεῦμα εἶναι μιὰ ἐνέργεια χωρὶς ὑπόσταση, ἀπομακρύνοντας αὐτοὺς ἀπὸ μιὰ τέτοια ὑπόνοια, λέγει· «ὄχι ὕστερα ἀπὸ πολλὲς ἡμέρες». Καὶ δὲν φανέρωσε πότε, γιὰ νὰ βρίσκονται πάντοτε σὲ ἐγρήγορση, ἀλλ' εἶπε ὅτι θὰ εἶναι κοντὰ γιὰ νὰ μὴ χαλαρώσουν καὶ διαλυθοῦν· πότε δὲ ἀκριβῶς, καθόλου δὲν ἀνέφερε, γιὰ νὰ εἶναι πάντοτε ἄγρυπνο. Ὄχι δὲ μόνο μὲ αὐτὸ βεβαιώνει αὐτούς, μὲ τὴν ταχύτητα ἐννοῶ τοῦ καιροῦ, ἀλλὰ καὶ μὲ τὴ φράση, «τὴν ἐπαγγελία ποὺ ἀκούσατε νὰ σᾶς δίνω». Αὐτὸ δὲ ποὺ λέγει εἶναι τὸ ἑξῆς, ὄχι μόνο τώρα σᾶς εἶπα, λέγει, ἀλλὰ καὶ ἤδη σᾶς παράγγειλα ἐκεῖνα, ποὺ θὰ κάμω ὁπωσδήποτε. Γιατὶ λοιπὸν ἀπορεῖς, ἂν δὲν λέγει τὴν ἡμέρα τῆς συντελείας, ἐφόσον βέβαια αὐτήν, ποὺ εἶναι τόσο κοντά, δὲν θέλησε νὰ φανερώσει; Καὶ πάρα πολὺ δικαιολογημένα, γιὰ νὰ εἶναι πάντοτε σὲ ἐγρήγορση καὶ σὲ ἀναμονὴ καὶ φροντίδα.

6. Διότι δὲν εἶναι δυνατὸ ν' ἀπολαύσεις τὴ χάρη, ὅταν δὲν εἶσαι προσεκτικός. Ἢ δὲν βλέπεις τί λέγει καὶ ὁ Ἠλίας πρὸς τὸ μαθητή του; «ἂν μὲ δεῖς νὰ ἀνέρχομαι στοὺς οὐρανοὺς καὶ σὲ σένα θὰ γίνει ἔτσι»[4]· δηλαδή, θὰ γίνει καὶ σὲ σένα αὐτό, ποὺ ζητᾶς. Καὶ ὁ Χριστὸς δὲ παντοῦ σ' αὐτοὺς ποὺ προσέρχονταν, ἔλεγε, «πιστεύεις;». Διότι, ἂν δὲν ἀποδεχθοῦμε μὲ φιλικότητα αὐτὸ ποὺ προσφέρεται, οὔτε τὴν εὐεργεσία αἰσθανόμαστε πάρα πολύ. Τὸ ἴδιο καὶ μὲ τὸν Παῦλο συνέβηκε, δὲν ἦλθε ἀμέσως ἡ χάρη, ἀλλὰ πέρασαν στὸ μεταξὺ τρεῖς ἡμέρες, κατὰ τὶς ὁποῖες ἦταν τυφλός, ἀπαλλασσόμενος ἀπὸ τὸ φόβο καὶ προετοιμαζόμενος. Διότι, ὅπως ἀκριβῶς οἱ βαφεῖς τῆς πορφύρας*, προετοιμάζουν δοκιμάζοντας προηγουμένως μὲ διάφορα ἄλλα ἐκεῖνο ποὺ πρόκειται νὰ δεχθεῖ τὴ βαφή, γιὰ νὰ μὴ χάνει τὸ χρῶμα του τὸ ἄνθος, κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ ἐδῶ προηγουμένως ἐπιμελημένα προετοιμάζει τὴν ψυχὴ ὁ Θεός, καὶ τότε χορη-

Διὰ τοῦτο καὶ οὐδὲ εὐθέως τὸ Πνεῦμα ἔπεμψεν, ἀλλ' ἐν τῇ πεντηκοστῇ. Εἰ δὲ λέγοι τις, τίνος ἕνεκεν καὶ ἡμεῖς οὐκ ἐν τῷ καιρῷ τούτῳ βαπτίζομεν; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι ἡ μὲν χάρις ἡ αὐτὴ καὶ τότε καὶ νῦν· ἡ δὲ διάνοια ὑψηλοτέρα γίνεται νῦν, νηστείᾳ προπαρασκευαζομένη. Καὶ ὁ τῆς πεντηκοστῆς δὲ καιρὸς ἔχει τινὰ λόγον οὐκ ἀπεικότα. Ποῖον δὴ τοῦτον; Ἀρκοῦντα ἐνόμισαν οἱ πατέρες εἶναι χαλινὸν ἐπιθυμίας πονηρᾶς καὶ μεγάλην διδασκαλίαν τὸ βάπτισμα, εἰς τὸ καὶ ἐν καιρῷ τρυφῆς σωφρονεῖν.

Καθάπερ οὖν αὐτῷ συναλιζόμενοι τῷ Χριστῷ, καὶ τραπέζης κοινωνοῦντες, μηδὲν ἁπλῶς πράττωμεν, ἀλλ' ἐν νηστείαις καὶ εὐχαῖς, καὶ σωφροσύνῃ πολλῇ διάγωμεν. Εἰ γὰρ ἐπὶ ἀρχὴν μέλλων ἰέναι τις βιωτικήν, παρασκευάζει ἑαυτῷ ἅπαντα τὸν βίον, καὶ ἵνα τύχῃ τινὸς ἀξιώματος, καὶ χρήματα ἀναλίσκει καὶ χρόνον δαπανᾷ, καὶ μυρίους ὑπομένει πόνους, τίνος ἂν εἴημεν ἡμεῖς ἄξιοι μετὰ τοσαύτης ῥαθυμίας τῇ βασιλείᾳ τῶν οὐρανῶν προσιόντες καὶ οὔτε πρὶν ἢ λαβεῖν σπουδάζοντες, καὶ μετὰ τὸ λαβεῖν ῥαθυμοῦντες; Διὰ γὰρ τοῦτο μετὰ τὸ λαβεῖν ῥαθυμοῦμεν, ἐπειδὴ πρὶν ἢ λαβεῖν οὐκ ἐγρηγόραμεν. Διὰ τοῦτο πολλοὶ μετὰ τὸ λαβεῖν εὐθέως ἐπὶ τὸν πρότερον ἐπανῆλθον ἔμετον, καὶ χείρους ἐγένοντο, καὶ χαλεπωτέραν ἐπεσπάσαντο κόλασιν, τῶν μὲν προτέρων ἀπαλλαγέντες ἁμαρτημάτων, ταύτῃ δὲ μειζόνως τὸν κριτὴν παροξύναντες, ὅτι τοσαύτης ἀπαλλαγέντες ἀρρωστίας, οὐδὲ οὕτως ἐσωφρονίσθησαν, ἀλλ' ἔπαθον ὅπερ ἠπείλησε τῷ παραλυτικῷ ὁ Χριστός, λέγων· «Ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται»· καὶ ὃ περὶ τῶν Ἰουδαίων δὲ προύλε-

44. Ἰω. 5, 14.

γεῖ τὴ χάρη. Γι' αὐτὸ καὶ δὲν ἀπέστειλε ἀμέσως τὸ ἅγιο Πνεῦμα, ἀλλὰ κατὰ τὴν Πεντηκοστή. Ἐὰν δὲ ἐρωτᾶ κάποιος, γιατί καὶ ἐμεῖς δὲν βαπτίζουμε κατ' αὐτὸν τὸν καιρό, ἐκεῖνο θὰ μπορούσαμε νὰ ποῦμε, ὅτι ἡ μὲν χάρη τοῦ Θεοῦ εἶναι ἡ ἴδια καὶ τότε καὶ τώρα, ἡ δὲ διάνοια τώρα ἐξυψώνεται, προετοιμαζόμενη μὲ τὴ νηστεία. Καὶ ὁ καιρὸς τῆς Πεντηκοστῆς ἔχει κάποια δικαιολογία ὄχι παράλογη. Ποιὰ λοιπὸν εἶναι αὐτή; Οἱ Πατέρες θεώρησαν ὅτι τὸ βάπτισμα εἶναι ἰσχυρὸς χαλινὸς τῆς πονηρῆς ἐπιθυμίας καὶ μεγάλη διδασκαλία γιὰ νὰ σωφρονεῖ σὲ περίοδο ἀπολαύσεως.

Ὅπως ἀκριβῶς λοιπόν, ὅταν συναναστρεφόμαστε μὲ τὸ Χριστό, καὶ ὅταν συμμετέχουμε στὴν ἁγία Τράπεζα, δὲν κάνουμε τίποτε ἁπλό, ἀλλὰ ζοῦμε μὲ νηστεῖες καὶ προσευχὲς καὶ μὲ σωφροσύνη μεγάλη. Διότι, ἐὰν ἐκεῖνος, ποὺ πρόκειται νὰ ἀρχίσει ἕνα βιοποριστικὸ ἐπάγγελμα, προετοιμάζει γιὰ τὸν ἑαυτό του ὅλη του τὴ ζωή, καὶ γιὰ νὰ ἐπιτύχει κάποιο ἀξίωμα, καὶ χρήματα δαπανᾶ καὶ χρόνο σπαταλᾶ καὶ ἄπειρους κόπους ὑπομένει, τίνος θὰ εἴμαστε ἐμεῖς ἄξιοι, ὅταν προσερχόμαστε μὲ τόση ἀδιαφορία στὴ βασιλεία τῶν οὐρανῶν, καὶ χωρὶς νά δείνουμε προθυμία γιὰ τὴν προετοιμασία, οὔτε πρὶν λάβομε τὸ βάπτισμα, ἀλλὰ καὶ μετὰ τὸ βάπτισμα ἀδιαφοροῦμε. Διότι γι' αὐτὸ καὶ μετὰ τὸ βάπτισμα γινόμαστε ὀκνηροὶ καὶ ἀδιάφοροι, ἐπειδὴ πρὶν τὸ λάβομε δὲν εἴμαστε ἄγρυπνοι. Γι' αὐτὸ πολλοὶ μετὰ τὸ βάπτισμα ἐπέστρεψαν ἀμέσως στὸν προηγούμενο ἐμετὸ καὶ ἔγιναν χειρότεροι καὶ ἐπέσυραν σκληρότερη τὴν τιμωρία τους, ἂν καὶ ἀπαλλάχθηκαν ἀπὸ τὰ προηγούμενα ἁμαρτήματα, μὲ τὴν συμπεριφορά τους ὅμως αὐτὴ ἐξόργισαν περισσότερο τὸν κριτή, διότι, ἐφόσον ἀπαλλάχθηκαν ἀπὸ τόσο μεγάλη ἀρρώστια, οὔτε μὲ τὸν τρόπο αὐτὸ σωφρονίσθηκαν, ἀλλ' ἔπαθαν ἐκεῖνο, ποὺ ἀπείλησε ὁ Χριστὸς στὸν παραλυτικό, λέγοντας, «πρόσεξε, ἔχεις γίνει ὑγιής· μὴ ἁμαρτάνεις πλέον, γιὰ νὰ μὴ σοῦ συμβεῖ τίποτε χειρότερο»[41]· καὶ ἐκεῖνο ποὺ προέλεγε γιὰ τοὺς Ἰουδαίους, δείχνοντας ὅτι θὰ πάθουν ἀνεπανόρ-

γε, δεικνὺς ὅτι τὰ ἀνήκεστα πείσονται ἀγνωμονοῦντες· «Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, φησίν, ἁμαρτίαν οὐκ εἶχον».

Ὥστε διπλᾶ καὶ τετραπλᾶ τὰ μετὰ ταῦτα ἁμαρτήματα γίνεται. Πῶς; Ὅτι μετὰ τὴν τιμὴν ἀγνώμονες γινόμεθα καὶ πονηροί. Καὶ διὰ τοῦτο οὐδὲν ἡμῖν βοηθεῖ λοιπὸν τὸ λουτρὸν εἰς τὸ πρασιέρας τυχεῖν τιμωρίας. Σκόπει δέ· ἔσχε τις ἁμαρτήματα χαλεπά, ἢ φονεύσας, ἢ μοιχεύσας, ἢ ἕτερόν τι χαλεπώτερον ἐργασάμενος, ἀφέθη διὰ τοῦ λουτροῦ ταῦτα. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἁμάρτημα, καὶ ἀσέβημα, ὅπερ οὐκ εἴκει καὶ παραχωρεῖ τῇ δωρεᾷ· θεία γάρ ἐστιν ἡ χάρις. Πάλιν ἐμοίχευσέ τις καὶ ἐφόνευσεν· ἡ μὲν προτέρα μοιχεία λέλυται, καὶ ὁ φόνος ἐκεῖνος ἐγκεχώρηται, καὶ οὐκ ἀνακαλεῖται («Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις τοῦ Θεοῦ»), ὑπὲρ δὲ τῶν μετὰ τὸ βάπτισμα τοσαύτην διδόαμεν δίκην, ὅσην ἂν εἰ καὶ ἐκεῖνα ἀνεκλήθη, καὶ πολλῷ χείρονα. Οὐκέτι γὰρ ἁπλοῦν ἐστι τὸ ἁμάρτημα, ἀλλὰ διπλοῦν καὶ τριπλοῦν. Ὅτι δὲ μείζων τούτων τῶν ἁμαρτημάτων ἡ δίκη, ἄκουσον, τί φησιν ὁ Παῦλος· «Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, και τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας;».

Τάχα πολλοὺς ἀπετρέψαμεν νῦν λαβεῖν τὸ βάπτισμα. Ἀλλ' οὐ διὰ τοῦτο ταῦτα εἰρήκαμεν, ἀλλ' ἵνα λαβόντες μείνωσιν ἐν σωφροσύνῃ καὶ ἐπιεικείᾳ πολλῇ. Ἀλλὰ δέδοικα, φησίν. Εἰ ἐδεδοίκεις ἔλαβες ἂν καὶ ἐφύλαξας. Ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο οὐ λαμβάνω, φησί, διὰ τὸ φοβεῖσθαι. Τὸ δὲ οὕτως ἀπελθεῖν οὐ δέδοικας; Φιλάνθρωπός ἐστι, φησίν, ὁ Θεός. Οὐκοῦν λάβε τὸ

45. Ἰω. 15, 22.
46. Ρωμ. 11, 29.
47. Ἑβρ. 10, 28-29.

θωτα κακά, ἐφόσον θὰ εἶναι ἀγνώμονες· «ἂν δὲν εἶχα ἔλθει στὴ γῆ καὶ δὲν τοὺς εἶχα διδάξει, λέγει, δὲν θὰ εἶχαν ἁμαρτία»[45].

Ὥστε διπλὰ καὶ τετραπλὰ γίνονται τὰ ἁμαρτήματα ποὺ διαπράττονται ὕστερα. Πῶς; Διότι μετὰ τὴν τιμὴ ποὺ μᾶς κάνει ὁ Θεός, νὰ μᾶς δώσει τὴ χάρη του, γινόμαστε ἀγνώμονες καὶ πονηροί. Καὶ γι' αὐτὸ καθόλου δὲν μᾶς βοηθάει στὴ συνέχεια τὸ λουτρό, γιὰ νὰ τύχουμε ἐπιεικέστερης τιμωρίας. Πρόσεχε δέ· διέπραξε κάποιος ἁμαρτήματα φοβερά, ἢ ἀφοῦ φόνευσε ἢ ἐμοίχευσε ἢ διέπραξε κάποιο ἄλλο φοβερώτερο, συγχωρέθηκαν μὲ τὸ λουτρὸ τοῦ βαπτίσματος αὐτά. Διότι δὲν ὑπάρχει, δὲν ὑπάρχει κανένα ἁμάρτημα καὶ ἀσέβεια, ποὺ δὲν ὑποχωρεῖ καὶ δὲν παραμερίζει μὲ τὴ δωρεά, διότι εἶναι θεία χάρις. Πάλι· ἐμοίχευσε κάποιος καὶ φόνευσε· ἡ μὲν προηγούμενη μοιχεία ἔχει συγχωρεθεῖ καὶ ὁ φόνος ἐκεῖνος ἔχει συγχωρεθεῖ καὶ δὲν ἀνακαλεῖται («διότι τὰ χαρίσματα καὶ ἡ κλήση τοῦ Θεοῦ δὲν ἀνακαλοῦνται»)[46], γιὰ τὰ ἁμαρτήματα ὅμως τὰ μετὰ τὸ βάπτισμα, τόσον πολὺ τιμωρούμαστε, σὰν νὰ εἶχαν ἀνακληθεῖ καὶ ἐκεῖνα, καὶ πολὺ χειρότερα· διότι δὲν εἶναι ἕνα ἁπλὸ ἁμάρτημα, ἀλλὰ διπλὸ καὶ τριπλό. Ὅτι δὲ εἶναι μεγαλύτερη ἡ τιμωρία γιὰ τὰ ἁμαρτήματα αὐτά, ἄκουσε τί λέγει ὁ Παῦλος· «ἐφόσον δὲ παραβεῖ κάποιος τὸ νόμο τοῦ Μωϋσέως, θανατώνεται χωρὶς ἐπιείκεια μὲ τὴν μαρτυρία δύο ἢ τριῶν μαρτύρων, πόσο νομίζετε χειρότερης τιμωρίας θὰ κριθεῖ ἔνοχος ἐκεῖνος ποὺ περιφρόνησε τὸν Υἱὸ τοῦ Θεοῦ καὶ θεώρησε τὸ αἷμα τῆς διαθήκης, μὲ τὸ ὁποῖο ἁγιάσθηκε, σὰν κοινὸ αἷμα ἀνθρώπου, καὶ ἔδειξε περιφρόνηση στὸ Πνεῦμα τῆς χάριτος»[47].

Ἴσως τώρα ἀποτρέψαμε πολλοὺς νὰ λάβουν τὸ βάπτισμα. Ὅμως δὲν εἴπαμε αὐτὰ γι' αὐτὸν τὸ λόγο, ἀλλά, ἀφοῦ λάβουν τὸ βάπτισμα, νὰ παραμείνουν σ' αὐτὸ μὲ σωφροσύνη καὶ πολλὴ ἐπιείκεια. Ἀλλὰ φοβᾶμαι, ἴσως πεῖ κάποιος. Ἐὰν φοβόσουν θὰ τὸ λάμβανες καὶ θὰ τὸ φύλαγες. Ἀλλὰ γι' αὐτὸ μὲν δὲν τὸ λαμβάνω, γιὰ τὸ φόβο. Τὸ ν' ἀποθάνεις ὅμως ἔτσι, δὲν φοβᾶσαι; Εἶναι φιλάν-

βάπτισμα· φιλάνθρωπος γάρ ἐστι καὶ βοηθεῖ. Σὺ δέ, ἔνθα μὲν ἂν δέῃ σπουδάσαι, οὐ προβάλλῃ τὴν φιλανθρωπίαν ταύτην· ἔνθα δ' ἂν θέλῃς ἀναβαλέσθαι τότε αὐτῆς μέμνησαι· καίτοι τότε καιρὸν ἂν ἔχοι ἡ φιλανθρωπία αὕτη, καὶ μᾶλλον αὐτῆς ἐπιτευξόμεθα, ὅταν καὶ τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν. Ὁ μὲν γὰρ τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψας, καὶ μετὰ τὸ βάπτισμα ἁμαρτάνων οἷα εἰκὸς ἄνθρωπον ὄντα, μετανοῶν τεύξεται φιλανθρωπίας· ὁ δὲ ὥσπερ σοφιζόμενος τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ἀπελθὼν ἄμοιρος τῆς χάριτος, ἀπαραίτητον ἕξει τὴν τιμωρίαν. Τί δὲ τοιαῦτα κατὰ τῆς σεαυτοῦ σωτηρίας προβάλλῃ; Ἀμήχανον γάρ, ἀμήχανον, ὡς ἔγωγε οἶμαι, τὸν τοιαύταις ἐλπίσιν ἀναβαλλόμενον ἐργάσασθαί τι γενναῖον καὶ ἀγαθόν.

Σὺ δὲ ἀνθ' ὅτου τοσοῦτον φόβον ἀναδέχῃ, καὶ τὸ ἄδηλον τοῦ μέλλοντος προβάλλῃ; διατί μὴ μεταβάλλεις τὸν φόβον τοῦτον εἰς πόνον καὶ σπουδήν, ἵν' ἔσῃ μέγας καὶ θαυμαστός; τί βέλτιον, φοβεῖσθαι, ἢ ποιεῖν; Εἴ τις σε ἐκάθισεν ἐν οἴκῳ πεπονηκότι ἀργοῦντα, εἰπών, ὅτι 'προσδόκα ἐπὶ τὴν σὴν κεφαλὴν πεσεῖσθαι τὴν ὀροφὴν σαθρὰν οὖσαν (ἴσως μὲν γὰρ πεσεῖται, ἴσως δὲ οὐ πεσεῖται), εἰ δὲ μὴ τοῦτο θέλεις, ἐργάζου καὶ τὸν ἀσφαλέστερον οἴκει θάλαμον', τί ἂν εἵλου μᾶλλον, τὴν ἀργίαν ἐκείνην μετὰ τοῦ φόβου, ἢ τὴν ἐργασίαν ταύτην μετὰ τοῦ θαρρεῖν; Οὐκοῦν οὕτω καὶ νῦν ποίει. Τὸ μὲν γὰρ ἄδηλον τοῦ μέλλοντος καθάπερ οἶκός τίς ἐστι σαθρός, ἀεὶ πτῶσιν ἀπειλῶν, ἡ δὲ ἐργασία αὕτη, ἡ πόνον ἔχουσα, τὸ ἀσφαλὲς ἐγγυᾶται.

7. Μὴ γένοιτο μὲν οὖν ἡμᾶς ἐμπεσεῖν εἰς ἀνάγκην τοσαύτην, ὥστε ἁμαρτάνειν μετὰ τὸ λουτρόν· πλὴν εἰ καὶ γένοιτό τι τοιοῦτον, μηδὲ οὕτως ἀπογνῶμεν. Φιλάνθρωπός ἐστιν ὁ Θεός, καὶ πολλὰς ἡμῖν δέδωκεν ὁδοὺς ἀφέσεως καὶ μετὰ ταῦτα. Πλὴν ὥσπερ οἱ μετὰ τὸ λουτρὸν ἁμαρτάνοντες, τῶν κατηχου-

θρωπος, λέγει, ὁ Θεός. Λοιπὸν λάβε τὸ βάπτισμα, διότ εἶναι φιλάνθρωπος καὶ βοηθάει. Σὺ δέ, ὅπου μὲν πρέπε νὰ φροντίσεις μὲ προσοχή, δὲν προβάλλεις τὴ φιλανθρω πία αὐτή, ὅπου δὲ θέλεις τὴν ἀναβολή, τότε θυμᾶσαι αὐ τήν˙ ἂν καὶ τότε ἡ φιλανθρωπία αὐτὴ θὰ ἔχει τὸν κατάλ ληλο καιρό, καὶ ἐπιτυγχάνομε αὐτὴν καλύτερα, ὅταν κα τὰ δικά μας συνεισφέρουμε. Διότι, ἐκεῖνος ποὺ ἐναπέθεσε τὸ κάθε τι στὸ Θεό, καὶ μετὰ τὸ βάπτισμα ἁμαρτάνοντας ὅπως εἶναι φυσικὸ στὸν ἄνθρωπο, μόλις μετανοήσει θὰ τύχει τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ἐκεῖνος ὅμως ποὺ σὰν νὰ καταδολιεύεται τὴ φιλανθρωπία τοῦ Θεοῦ, ἀπέρ χεται χωρὶς τὴ χάρη τοῦ Θεοῦ, θὰ ἔχει ἀπαραίτητη τὴν τιμωρία. Γιατί δὲ προβάλλεις τέτοια ἐναντίον τῆς σω τηρίας σου; Διότι εἶναι ἀδύνατο, εἶναι ἀδύνατο, ὅπως ἐγὼ βέβαια νομίζω, αὐτὸς ποὺ ἀναβάλλει τὴ σωτηρία μὲ τέ τοιες ἐλπίδες, νὰ ἐπιτελέσει κάτι γενναῖο καὶ ἀγαθό.

Σὺ δὲ ἀπὸ τότε, ποὺ ἀναδέχθηκες τόσο φόβο, προφασίζεσαι καὶ τὸ ἄγνωστο τοῦ μέλλοντος; γιατί δὲν μεταβάλλεις τὸ φόβο αὐτὸ σὲ κόπο καὶ φροντίδα, γιὰ νὰ γίνεις μεγάλος καὶ θαυμαστός; Τί εἶναι καλύτερο, νὰ φοβᾶσαι ἢ νὰ προσπαθεῖς; Ἂν κάποιος σὲ πήγαινε νὰ καθίσεις σὲ οἰκία ποὺ ἔχει πάθει βλάβες, καὶ σοῦ ἔλεγε, 'περίμενε νὰ πέσει ἡ ὀροφὴ ἐπάνω στὸ κεφάλι σου, ἀφοῦ εἶναι ἑτοιμόρροπη, (διότι ἴσως μὲν πέσει, ἴσως δὲ νὰ μὴ πέσει), ἐὰν δὲ δὲν θέλεις αὐτό, ἐργάζου καὶ κατοίκησε σὲ ἀσφαλέστερο θάλαμο', τί θὰ προτιμοῦσες περισσότερο, τὴν ἀργία ἐκείνη μὲ φόβο, ἢ τὴν ἐργασία αὐτὴ μὲ τὸ θάρρος; Λοιπὸν κατὰ τὸν ἴδιο τρόπο καὶ τώρα κάνε˙ διότι τὸ μὲν ἄγνωστο τοῦ μέλλοντος εἶναι ὅπως ἀκριβῶς μία οἰκία ἑτοιμόρροπη, ποὺ πάντοτε ἀπειλεῖ πτώση, ἡ δὲ ἐργασία αὐτή, ποὺ ἔχει κόπο, ἐγγυᾶται τὴν ἀσφάλεια.

7. Εὔχομαι λοιπὸν νὰ μὴ ἐμπέσουμε σὲ τόσο μεγάλη ἀνάγκη, ὥστε νὰ ἁμαρτήσομε μετὰ τὸ λουτρὸ τοῦ βαπτίσματος˙ πλήν, καὶ ἂν συμβεῖ κάτι τέτοιο, οὔτε τότε πρέπει νὰ ἀπελπισθοῦμε. Φιλάνθρωπος εἶναι ὁ Θεὸς καὶ μᾶς ἔχει δώσει πολλοὺς τρόπους συγχωρήσεως καὶ μετὰ ταῦ τα. Ὅμως, ὅπως ἀκριβῶς, ὅσοι ἀπὸ τοὺς κατηχουμέ

μένων κατὰ τοῦτο μᾶλλον κολάζονται, οὕτως οἱ εἰδότες, ὅτι μετανοίας ἐστὶ φάρμακα, καὶ μὴ θέλοντες αὐτοῖς κεχρῆσθαι, χαλεπώτερα ὑποστήσονται. Ὅσῳ γὰρ ἂν ἐπιτείνηται ἡ φιλανθρωπία τοῦ Θεοῦ, τοσούτῳ καὶ ἡ κόλασις αὔξεται μᾶλλον, ἐὰν μὴ εἰς δέον τῇ φιλανθρωπίᾳ χρησώμεθα. Τί λέγεις, ἄνθρωπε; Μεστὸς ὢν κακῶν τοσούτων, καὶ ἀπεγνωσμένος, ἀθρόον ἐγένου φίλος, καὶ πρὸς τὴν ἀνωτάτω τιμὴν ἀνηνέχθης, οὐκ ἐξ οἰκείων πόνων, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ δωρεᾶς, καὶ πάλιν ἐπὶ τὴν προτέραν ἐπανῆλθες ἀσχημοσύνην, καὶ δέον κολασθῆναι χαλεπῶς· ὁ δὲ οὐδὲ οὕτως ἀπεστράφη, ἀλλ' ἔδωκε μυρίας ἀφορμὰς σωτηρίας, δι' ὧν ἔσῃ φίλος.

Καὶ ὁ μὲν Θεὸς ταῦτα, σὺ δὲ οὐδὲ οὕτως ἐθέλεις πονεῖν. Καὶ ποίας ἄξιος ἔσῃ συγγνώμης λοιπόν; πῶς δὲ οὐκ εἰκότως Ἕλληνές σε γελάσονται, καθάπερ κηφῆνά τινα ζῶντα εἰκῇ καὶ μάτην; Εἰ γὰρ δυνατή, φησίν, ἡ παρ' ὑμῶν φιλοσοφία, δείξατε, τί βούλεται τῶν ἀμυήτων τὸ πλῆθος; Καλὰ τὰ μυστήρια καὶ ποθεινά· ἀλλ' οὐδεὶς ψυχορραγῶν λουτρὸν λαμβανέτω. Οὐ γὰρ ἐκεῖνος τῶν μυστηρίων ὁ καιρός, ἀλλὰ τῶν διαθηκῶν· μυστηρίων δὲ καιρός, ὑγεία φρενῶν, καὶ σωφροσύνη ψυχῆς. Εἰπὲ γάρ μοι, εἰ διαθήκας οὐκ ἄν τις ἕλοιτο οὕτω διακείμενος γράψαι· κἂν γράψῃ δέ, δίδωσι τοῖς μετὰ ταῦτα λαβὴν (διὰ γάρ τοι τοῦτο καὶ προτάττουσι ταυτὶ τὰ ῥήματα λέγοντες· ὅτι ζῶν καὶ φρονῶν καὶ ὑγιαίνων ἐπισκήπτω περὶ τῶν ἐμαυτοῦ), πῶς ἄν τις ἐξεστηκὼς δυνηθείη μετὰ ἀκριβείας μυσταγωγεῖσθαι; Εἰ γὰρ περὶ βιωτικῶν πραγμάτων βουλευομένῳ οὐκ ἂν ἐπιτρέψαιεν οἱ τῶν ἔξωθεν νόμοι τῷ μὴ σφόδρα ὑγιαίνοντι διατάττεσθαι, καὶ ταῦτα ἐν τοῖς αὐ-

νους ἁμαρτάνουν μετὰ τὸ λουτρό, κατὰ τοῦτο μᾶλλον τιμωροῦνται, κατὰ τὸν ἴδιο τρόπο καὶ ὅσοι γνωρίζουν, ὅτι ὑπάρχουν φάρμακα μετανοίας καὶ δὲν θέλουν νὰ τὰ χρησιμοποιήσουν, θὰ ὑποστοῦν χειρότερα. Διότι ὅσο ἡ φιλανθρωπία τοῦ Θεοῦ παρατείνεται, τόσο περισσότερο μεγαλώνει καὶ ἡ τιμωρία, ἂν δὲν χρησιμοποιοῦμε τὴ φιλανθρωπία ὅπως πρέπει. Τί λέγεις, ἄνθρωπε; Ἤσουν γεμάτος ἀπὸ τόσα κακὰ καὶ ἀπελπισμένος καὶ διὰ μιᾶς ἔγινες φίλος, καὶ ἀνυψώθηκες στὴν ἀνώτατη τιμή, ὄχι ἀπὸ τὶς δικές σου προσπάθειες, ἀλλ' ἀπὸ τὴ δωρεὰ τοῦ Θεοῦ, καὶ πάλι ἐπανῆλθες στὴν προηγούμενη ἀσχημοσύνη, καὶ ἔπρεπε νὰ τιμωρηθεῖς σκληρά, ὁ Θεὸς ὅμως οὔτε τότε σὲ ἀποστράφηκε, ἀλλὰ σοῦ πρόσφερε ἄπειρες ἀφορμὲς σωτηρίας, μὲ τὶς ὁποῖες νὰ γίνεις φίλος του.

Καὶ ὁ Θεὸς μὲν αὐτὰ ἔπραξε, σὺ δὲ οὔτε κατ' αὐτὸν τὸν τρόπο θέλεις νὰ κοπιάζεις. Καὶ ποιᾶς συγγνώμης θὰ εἶσαι ἄξιος στὴ συνέχεια; Πῶς δὲ ὄχι δικαιολογημένα δὲν θὰ σὲ περιγελάσουν οἱ ἐθνικοί, σὰν κάποιο κηφήνα, ποὺ ζεῖ ἄσκοπα καὶ ἀνώφελα; Διότι, ἂν ἡ φιλοσοφία σας, λέγουν, εἶναι ἰσχυρή, δεῖξτε τί ἐπιθυμεῖ τὸ πλῆθος τῶν ἀμύητων; Καλὰ εἶναι τὰ μυστήρια καὶ ἐπιθυμητά, ἀλλὰ κανένας ἂς μὴ λαμβάνει τὸ λουτρὸ τοῦ βαπτίσματος ὅταν ψυχορραγεῖ· διότι δὲν εἶναι ἐκεῖνος ὁ καιρὸς τῶν μυστηρίων, ἀλλὰ τῶν διαθηκῶν· ὁ καιρὸς δὲ τῶν μυστηρίων ἀπαιτεῖ νοῦ ὑγιὴ καὶ σωφροσύνη ψυχῆς. Διότι πές μου, ἐὰν κάποιος δὲν θὰ ἤθελε νὰ γράψει διαθῆκες εὑρισκόμενος σὲ τέτοια κατάσταση, καὶ ἂν ἀκόμη δὲ γράψει, δίνει ἀφορμὴ στοὺς μετέπειτα νὰ τὶς προσβάλουν, (διότι γι' αὐτὸ βέβαια καὶ προτάσσουν αὐτὲς τὶς λέξεις, λέγοντας, ὅτι ζώντας καὶ ἔχοντας σῶο τὸ νοῦ καὶ ἐνῶ εἶμαι ὑγιής, ἀναθέτω τὰ περιουσιακά μου στοιχεῖα), πῶς θὰ μποροῦσε κάποιος μὲ ἀκρίβεια νὰ κατηχηθεῖ στὰ μυστήρια, βρισκόμενος σὲ κατάσταση διανοητικῆς ταραχῆς; Διότι, ἂν σ' ἐκεῖνον ποὺ θέλει νὰ συντάξει διαθήκη γιὰ τὰ βιοτικὰ πράγματα, δὲν θὰ ἐπέτρεπαν οἱ ἐξωχριστιανικοὶ νόμοι σ' ἐκεῖνον ποὺ δὲν θὰ ἦταν ἀπολύτως ὑγιής, καὶ αὐτά, σ' ἐκεῖνον ποὺ

τοῦ μέλλοντι νομοθετεῖν, πῶς περὶ βασιλείας οὐρανῶν μανθάνων, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, δυνήσῃ σαφῶς πάντα μαθεῖν, πολλάκις καὶ παραπλὴξ ὑπὸ τῆς ἀρρωστίας γενόμενος; πότε δὲ τὰ ῥήματα ἐκεῖνα πρὸς τὸν Χριστὸν ἐρεῖς, συνθαπτόμενος αὐτῷ, μέλλων ἀποπηδᾷν; Καὶ γὰρ καὶ διὰ τῶν ἔργων, καὶ διὰ τῶν ῥημάτων ἐπιδείκνυσθαι χρὴ τὴν εὔνοιαν. Σὺ δὲ ταὐτὸν ποιεῖς, οἷον ἂν εἴ τις ἀπογράφεσθαι βούλοιτο στρατιώτης, τοῦ πολέμου λύεσθαι μέλλοντος· ἢ ἀθλητὴς ἀποδύεσθαι, τοῦ θεάτρου λοιπὸν ἀναστάντος. Καὶ γὰρ ὅπλα διὰ τοῦτο λαμβάνεις, οὐχ ἵνα εὐθέως ἀποπηδήσῃς, ἀλλ' ἵνα λαβὼν κατὰ τοῦ ἐναντίου τρόπαιον στήσῃς.

Μηδεὶς νομιζέτω ἄκαιρον εἶναι τὸν περὶ τούτων λόγον, εἰ μή ἐστι τεσσαρακοστὴ νῦν. Διὰ γὰρ τοῦτο δάκνομαι, ὅτι καιρὸν παρατηρεῖτε ἐν τοῖς τοιούτοις. Καίτοι γε ὁ εὐνοῦχος ἐκεῖνος, καὶ βάρβαρος ὢν καὶ ὁδοιπορῶν, καὶ ἐν μέσῃ λεωφόρῳ ὤν, καιρὸν οὐκ ἐζήτησεν· ἀλλ' οὐδὲ ὁ δεσμοφύλαξ, καὶ ταῦτα μεταξὺ δεσμωτῶν ὤν, καὶ τὸν διδάσκαλον μεμαστιγωμένον καὶ δεδεμένον ὁρῶν, καὶ τέως αὐτὸν μέλλων ἔνδον ἔχειν. Ἐνταῦθα δὲ οὐ δεσμωτήριον οἰκοῦντες, οὐδ' ἐν ὁδοῖς ὄντες, ἀναβάλλονται πολλοί, καὶ ταῦτα ὄντες πρὸς ἐσχάτας ἀναπνοάς.

8. Εἰ μὲν οὖν ἔτι ἀμφιβάλλεις, ὅτι Θεός ἐστιν ὁ Χριστός, ἔξω στῆθι, καὶ μηδὲ θείων ἄκουε λόγων, μηδὲ ἐν τοῖς κατηχουμένοις ἀρίθμει σαυτόν· εἰ δὲ θαρρεῖς, καὶ οἶδας τοῦτο σαφῶς, τί μέλλεις; τί δὲ ἀναδύῃ καὶ ὀκνεῖς; Δέδοικα μὴ ἁμάρτω, φησί. Τὸ δὲ χαλεπώτερον οὐ δέδοικας, μὴ μετὰ φορτίων τοσούτων ἀπέλθῃς ἐκεῖ; Οὐδὲ γάρ ἐστιν ἴσον χάριτος προκειμένης μὴ τυχεῖν, καὶ κατορθοῦν ἐπιχειροῦντα ἀ-

48. Πραξ. 8, 27.
49. Πραξ. 16, 27-29.
49α. Δηλαδὴ τὸν Παῦλο.

πρόκειται νὰ διαθέσει τὴν περιουσία του, πῶς σύ, ὅτα' διδάσκεσαι γιὰ τὴ βασιλεία τῶν οὐρανῶν, καὶ γιὰ τ‹ ἀπόρρητα ἐκεῖνα ἀγαθά, θὰ μπορέσεις νὰ μάθεις ὅλα μι ἀκρίβεια, ἀφοῦ ἔγινες πολλὲς φορὲς καὶ παράλυτος ἀπ‹ ψυχικὲς ἀρρώστιες; Πότε δὲ θὰ πεῖς τὰ λόγια ἐκεῖνα πρὸς τὸ Χριστό, ὅτι θάπτεσαι μαζὶ μὲ αὐτόν, ἐνῶ σκέπτεσα νὰ ἀποσκιρτήσεις; Διότι καὶ μὲ τὰ ἔργα καὶ μὲ τὰ λόγια πρέπει νὰ ἐπιδεικνύομε τὴν εὔνοια. Σὺ ὅμως κάνεις τὸ ἴδιο, ποὺ κάνει κάποιος στρατιώτης ὅταν θέλει νὰ διαγραφεῖ ἀπὸ τὸ στράτευμα, ἐνῶ ὁ πόλεμος πρόκειται νὰ τελειώσει, ἢ κάποιος ἀθλητὴς ποὺ θέλει ν' ἀποβάλει τὰ ἀθλητικά του ροῦχα, ἐνῶ στὸ στάδιο οἱ θεατὲς ἔχουν σηκωθεῖ ἄρθιοι· διότι γι' αὐτὸ καὶ ὅπλα λαμβάνεις, ὄχι γιὰ νὰ ἀποσκιρτήσεις ἀμέσως, ἀλλὰ λαμβάνοντάς τα νὰ στήσεις τρόπαιο ἐναντίον τοῦ ἐχθροῦ.

Κανένας ἂς μὴ νομίσει ὅτι ὁ λόγος εἶναι ἄκαιρος γι' αὐτά, ἐφόσον δὲν εἶναι τώρα τεσσαρακοστή· διότι γι' αὐτὸ στενοχωροῦμαι, ἐπειδὴ γιὰ τέτοια θέματα προσέχετε τὸν καιρό· ἂν καὶ ὁ εὐνοῦχος ἐκεῖνος ἦταν βάρβαρος καὶ ὁδοιποροῦσε[48], καὶ ἦταν στὸ μέσο τοῦ δρόμου, δὲν ἐξέτασε τὸν καιρό, ἀλλ' οὔτε ὁ δεσμοφύλακας, καὶ αὐτό, ἂν καὶ βρισκόταν ἀνάμεσα στοὺς φυλακισμένους[49] καὶ ἔβλεπε τὸ διδάσκαλο[49α] νὰ εἶναι μαστιγωμένος καὶ δεμένος καὶ ἀναλογιζόταν ὅτι προηγουμένως ἐπρόκειτο νὰ τὸν κρατεῖ φυλακισμένο. Ἐδῶ δέ, ἂν καὶ δὲν βρισκόμαστε φυλακισμένοι, οὔτε στοὺς δρόμους, πολλοὶ ἀναβάλλουν, καὶ αὐτό, ἂν καὶ εἶναι πρὸς τὰ τελευταῖα τῆς ζωῆς τους.

8. Ἐὰν λοιπὸν ἀκόμα ἀμφιβάλλεις, ὅτι ὁ Χριστὸς εἶναι Θεός, στάσου ἔξω καὶ οὔτε θεῖα λόγια νὰ ἀκούσεις, οὔτε στοὺς κατηχουμένους νὰ συγκαταριθμεῖς τὸν ἑαυτό σου· ἐὰν δὲ ἔχεις θάρρος καὶ γνωρίζεις αὐτὸ μὲ ἀκρίβεια, γιατί καθυστερεῖς; γιατί ἀποφεύγεις καὶ διστάζεις; Φοβᾶμαι μήπως ἁμαρτήσω, λέγει. Δὲν φοβᾶσαι ὅμως τὸ φοβερώτερο, μήπως μὲ τόσα φορτία ἁμαρτιῶν ἀπέλθεις στὴν ἄλλη ζωή; Διότι δὲν εἶναι τὸ ἴδιο, τὸ νὰ μὴ λάβεις τὴ χάρη ποὺ εἶναι ἐνώπιόν σου, καὶ τὸ νὰ ἀποτύχεις ὅταν

ποτυχεῖν. Εἰπὲ δή μοι, ἂν γὰρ ἐγκαλῇ, τίνος ἕνεκεν οὐ προσῆλθες, τίνος ἕνεκεν οὐ κατώρθωσας, τί ἐρεῖς; Ἐκεῖ μὲν γὰρ τάχα τὸ φορτικὸν ἔχεις εἰπεῖν καὶ τῶν προσταγμάτων καὶ τῆς ἀρετῆς· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. Χάρις γάρ ἐστι δωρεὰν παρεχομένη τὴν ἐλευθερίαν. Ἀλλὰ δέδοικας μὴ ἁμάρτῃς; Ταῦτα μετὰ τὸ βάπτισμα λέγε. Τότε ἔχε τὸν φόβον, ὥστε φυλάξαι τὴν παρρησίαν, ἣν ἔλαβες, οὐχ ὥστε μὴ λαβεῖν δωρεὰν τοιαύτην. Νῦν δὲ πρὸ μὲν τοῦ βαπτίσματος εὐλαβὴς σύ, μετὰ δὲ τὸ βάπτισμα ῥάθυμος.

Ἀλλὰ τὸν καιρὸν ἀναμένεις τῆς τεσσαρακοστῆς; Τίνος ἕνεκεν; μὴ γὰρ ἔχει τι πλέον ἐκεῖνος ὁ καιρός; Οἱ γοῦν ἀπόστολοι οὐκ ἐν τῷ πάσχα κατηξιώθησαν τῆς χάριτος, ἀλλ' ἐν ἑτέρῳ καιρῷ· καὶ οἱ τρισχίλιοι καὶ οἱ πεντακισχίλιοι, ὅτε ἐβαπτίσθησαν, πάσχα οὐκ ἦν καιρός· καὶ ὁ Κορνήλιος καὶ ὁ εὐνοῦχος καὶ ἕτεροι πλείους. Μὴ τοίνυν καιρὸν ἀναμένωμεν, μήποτε μέλλοντες ἀναβαλλόμενοι ἀπέλθωμεν κενοὶ καὶ ἔρημοι τοσούτων ἀγαθῶν. Πῶς οἴεσθε ὀδυνῶμαι, ὅταν ἀκούσω, ὅτι ἀμύητός τις ἀπηνέχθη ἐντεῦθεν, τὰς ἀφορήτους ἐννοῶν κολάσεις ἐκείνας, τὴν ἀπαραίτητον τιμωρίαν; πῶς δάκνομαι πάλιν, ὅταν ἑτέρους ἴδω πρὸς τὰς ἐσχάτας φθάνοντας ἀναπνοάς, καὶ μηδὲ ἐντεῦθεν σωφρονιζομένους; Διά τοι τοῦτο πολλὰ τῆς δωρεᾶς ταύτης ἀνάξια γίνεται. Δέον γὰρ εὐφραίνεσθαι καὶ χορεύειν καὶ χαίρειν καὶ στεφανοῦσθαι, ἑτέρου μυσταγωγουμένου. Ὅταν ἀκούσῃ τοῦ κάμνοντος ἡ γυνή, ὅτι τοῦτο ἐπέσκηψεν ὁ ἰατρός, ὡς ἐπὶ κακῷ τινι κατακόπτεται καὶ θρηνεῖ, καὶ κωκυτοὶ καὶ οἰμωγαὶ πανταχοῦ τῆς οἰκίας ὡς ἐπὶ καταδίκων τῶν τὴν ἐσχάτην ἀπαγομένων ὁδόν. Καὶ ἐκεῖνος δὲ πάλιν τότε ὀδυνᾶται πλέον, κἂν ἀνενέγκῃ ἀπὸ τῆς ἀρρωστίας, χαλεπώτερον ἀλγεῖ ὡς ἐπηρεασθείς. Ἐπειδὴ γὰρ

ἐπιχειρεῖς νὰ τὴν κατορθώσεις. Διότι, πές μου, λοιπόν, ὅταν θὰ κατηγορεῖσαι γιὰ ποιὸ λόγο δὲν προσῆλθες, γιὰ ποιὸ λόγο δὲν κατόρθωσες, τί θὰ ἀπαντήσεις; Διότι ἐκεῖ μὲν ἴσως ἔχεις νὰ ἀπαντήσεις τὸ δύσκολο τῶν προσταγμάτων καὶ τῆς ἀρετῆς, ἐδῶ δὲ δὲν ἔχεις ν' ἀπαντήσεις τίποτε παρόμοιο. Διότι εἶναι ἡ χάρη ποὺ προσφέρει δωρεὰν τὴν ἐλευθερία. Ἀλλὰ φοβᾶσαι μήπως ἁμαρτήσεις. Αὐτὰ νὰ τὰ λέγεις μετὰ τὸ βάπτισμα. Τότε νὰ ἔχεις τὸ φόβο, ὥστε νὰ διατηρήσεις τὴν παρρησία, ποὺ ἔλαβες, ὄχι ὥστε νὰ μὴ λάβεις τέτοια δωρεά. Τώρα ὅμως πρὶν ἀπὸ τὸ βάπτισμα εἶσαι περίφοβος, μετὰ δὲ τὸ βάπτισμα ἀδιάφορος.

Ἀλλὰ τὸν καιρὸ τῆς τεσσαρακοστῆς ἀναμένεις; Γιὰ ποιὸ λόγο, διότι μήπως ἐκεῖνος ὁ καιρὸς ἔχει τίποτε περισσότερο; Οἱ Ἀπόστολοι δηλαδὴ δὲν θεωρήθηκαν ἄξιοι τῆς χάριτος τὸ Πάσχα, ἀλλὰ σὲ ἄλλο καιρό· καὶ οἱ τρεῖς χιλιάδες καὶ οἱ πέντε χιλιάδες ὅταν βαπτίσθηκαν, δὲν ἦταν καιρὸς Πάσχα· καὶ ὁ Κορνήλιος καὶ ὁ Εὐνοῦχος καὶ ἄλλοι περισσότεροι. Ἂς μὴ περιμένουμε λοιπὸν τὸν καιρό, μήπως βραδύνοντας καὶ ἀναβάλλοντας ἀποχωρήσουμε κενοὶ καὶ στερημένοι ἀπὸ τόσα ἀγαθά. Πῶς, νομίζετε, θλίβομαι, ὅταν ἀκούσω ὅτι κάποιος χωρὶς νὰ κατηχηθεῖ ἔφυγε ἀπὸ τὴ ζωὴ αὐτή, σκεπτόμενος τὶς ἀφόρητες ἐκεῖνες τιμωρίες, τὴν ἀπαραίτητη τιμωρία; πῶς πάλι στενοχωριέμαι, ὅταν δῶ ἄλλους νὰ φθάνουν στὸ τέλος τῆς ζωῆς τους καὶ νὰ μὴ ἔχουν ἀπ' αὐτὸ ἀκόμη σωφρονισθεῖ; Γι' αὐτὸ λοιπὸν γίνονται πολλὰ ἀνάξια τῆς δωρεᾶς αὐτῆς. Διότι εἶναι πρέπον νὰ εὐφραίνεσθε καὶ νὰ χορεύετε καὶ νὰ χαίρεσθε καὶ νὰ ἐπιβραβεύετε, ὅταν κάποιος πρόκειται νὰ κατηχηθεῖ. Ὅταν ἡ σύζυγος τοῦ ἀρρώστου ἀκούσει, ὅτι αὐτὸ παράγγειλε ὁ ἰατρός, σὰν νὰ πρόκειται γιὰ κάτι κακό, κατακόπτεται καὶ θρηνεῖ καὶ κραυγὲς καὶ ὀδυρμοὶ ἀκούονται παντοῦ στὴν οἰκία, ὅπως καὶ μὲ τοὺς κατάδικους ὅταν ὁδηγοῦνται στὸν τελευταῖο τους δρόμο. Καὶ ὁ ἄρρωστος δὲ πάλι τότε ὑποφέρει πιὸ πολύ, καὶ ἂν ἀκόμη ἔχει συνέλθει ἀπὸ τὴν ἀρρώστια, πονάει φοβερώτερα, ἐπειδὴ ἔχει ἐπηρεασθεῖ ἀπὸ τοὺς θρήνους τοῦ περιβάλλοντός του. Διότι, ἐπειδὴ δὲν ἔχει προετοιμασθεῖ γιὰ τὴν

οὐ παρεσκευάσατο πρὸς ἀρετήν, ὀκνεῖ λοιπόν, καὶ ἀναδύεται πρὸς τοὺς ἀγῶνας τοὺς μετὰ ταῦτα.

Ὁρᾷς, οἷα ὁ διάβολος κατασκευάζει μηχανήματα, ὅσην τὴν αἰσχύνην, ὅσον τὸν γέλωτα; Ἀπαλλαγῶμεν τοίνυν τούτου τοῦ γέλωτος· ζήσωμεν ὡς ὁ Χριστὸς ἐκέλευσε. Διὰ τοῦτο ἔδωκε τὸ βάπτισμα, οὐχ ἵνα λαβόντες ἀπέλθωμεν, ἀλλ' ἵνα ἐπιζήσαντες καρποὺς ἐπιδειξώμεθα. Πῶς ἐρεῖς, καρποφόρει, τῷ ἀπιόντι, τῷ ἐκκοπέντι; οὐκ ἤκουσας, ὅτι «Ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη»; Πῶς οὖν τὰ ἐναντία γίνεται; Καὶ γὰρ ἡ γυνὴ παρέστηκε πενθοῦσα, ὅτε χαίρειν ἔδει· τὰ τέκνα ὀδυρόμενα, ὅτε συνήδεσθαι ἐχρῆν· αὐτὸς ὁ κείμενος ἐσκοτωμένος, θορύβου γέμων καὶ ταραχῆς, ὅτε πανηγυρίζειν ἔδει· ἀθυμίας πεπληρωμένος πολλῆς, διὰ τὴν ὀρφανίαν τῶν τέκνων, διὰ τὴν χηρείαν τῆς γυναικός, διὰ τὴν ἐρημίαν τῆς οἰκίας. Οὕτω τις προσέρχεται μυστηρίοις; εἰπέ μοι· οὕτως ἅπτεται τραπέζης ἱερᾶς; ταῦτα ἀνεκτά; Κἂν μὲν βασιλεὺς πέμψῃ γράμματα, τοὺς ἐν δεσμωτηρίῳ λύων, εὐφροσύνη καὶ χαρά, ὁ δὲ Θεὸς καταπέμπει τὸ Πνεῦμα ἐξ οὐρανῶν, οὐχὶ ἐλλείμματα χρημάτων, ἀλλ' ὁλόκληρα ἁμαρτήματα συγχωρῶν, καὶ πάντες θρηνεῖτε καὶ ὀδύρεσθε; Τίς ἡ ἀνωμαλία αὕτη; Οὔπω γὰρ λέγω, ὅτι καὶ νεκροῖς ἐπεχύθη ὕδωρ καὶ τὰ ἅγια ἐρρίφη εἰς γῆν· ἀλλ' οὐχ ἡμεῖς τούτων αἴτιοι, ἀλλ' οἱ ἀγνώμονες.

Διὸ παρακαλῶ πάντα ἀφέντας συστρέψαι ἑαυτοὺς καὶ προσιέναι τῷ βαπτίσματι μετὰ προθυμίας ἁπάσης, ἵνα καὶ ἐν τῷ παρόντι πολλὴν ἐπιδειξάμενοι σπουδήν, τῆς μελλούσης τύχωμεν παρρησίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

50. Γαλ. Ε, 22.

ἀρετή, διστάζει στὴ συνέχεια καὶ ἀποφεύγει νὰ ἐπιδοθεῖ στοὺς μετέπειτα ἀγῶνες.

Βλέπεις τί λογῆς τεχνάσματα ἐπινοεῖ ὁ διάβολος, πόση εἶναι ἡ αἰσχύνη, πόσος ὁ σαρκασμός; Ἂς ἀπαλλαγοῦμε λοιπὸν ἀπὸ αὐτὸν τὸν σαρκασμό· ἂς ζήσουμε ὅπως ὁ Χριστὸς παράγγειλε. Γι' αὐτὸ ἔδωσε τὸ βάπτισμα, ὄχι γιὰ νὰ πεθάνουμε, ἀφοῦ τὸ λάβομε, ἀλλ' ἀφοῦ ζήσουμε ἀρκετά, νὰ παρουσιάσουμε καρπούς. Πῶς, θὰ πεῖς, «καρποφόρησε σ' αὐτὸν ποὺ ἀπέρχεται, σ' αὐτὸν ποὺ ἀποκόβεται ἀπὸ τὴ ζωή; Δὲν ἄκουσες ὅτι «ὁ καρπὸς τοῦ Πνεύματος εἶναι ἀγάπη, χαρά, εἰρήνη»[50]; Πῶς λοιπὸν γίνονται τὰ ἀντίθετα; Διότι καὶ ἡ σύζυγος παραστάθηκε πενθώντας, ὅταν ἔπρεπε νὰ χαίρεται· τὰ παιδιὰ κλαίοντας, ὅταν ἔπρεπε νὰ χαίρονται μαζί· ὁ ἴδιος ὁ ἄρρωστος, βασανισμένος, γεμάτος ἀπὸ θόρυβο καὶ ταραχή, ὅταν ἔπρεπε νὰ πανηγυρίζει· καταστενοχωρημένος πολὺ γιὰ τὴν ὀρφάνια τῶν παιδιῶν, γιὰ τὴ χηρεία τῆς συζύγου, τὴν ἐρήμωση τῆς οἰκίας του. Πές μου, ἔτσι προσέρχεται κάποιος στὰ μυστήρια, ἔτσι πλησιάζει τὴν ἱερὴ τράπεζα; εἶναι αὐτὰ ἀνεκτά; Καὶ ἂν μὲν κάποιος βασιλιὰς στείλει γράμματα γιὰ νὰ ἀπελευθερώσει τοὺς φυλακισμένους, τότε ὑπάρχει εὐθυμία καὶ χαρά, ὅταν δὲ ὁ Θεὸς ἀποστέλλει ἀπὸ τὸν οὐρανὸ τὸ ἅγιο Πνεῦμα, γιὰ νὰ συγχωρήσει ὄχι ἐλλείμματα χρημάτων, ἀλλ' ὁλόκληρα ἁμαρτήματα, τότε ὅλοι θρηνεῖτε καὶ κλαῖτε; Ποιὰ εἶναι αὐτὴ ἡ ἀνωμαλία; Δὲν ὁμιλῶ βέβαια γιὰ τὸ ὅτι καὶ στοὺς νεκροὺς χύθηκε τὸ νερὸ τοῦ βαπτίσματος, καὶ ρίχθηκαν τὰ ἅγια στὴ γῆ· ὅμως δὲν εἴμαστε ἐμεῖς αἴτιοι αὐτῶν, ἀλλὰ οἱ ἀγνώμονες.

Γι' αὐτό, παρακαλῶ, ἀφοῦ τ' ἀφήσετε ὅλα, νὰ συγκεντρωθεῖτε στοὺς ἑαυτούς σας καὶ νὰ προσέλθετε στὸ βάπτισμα μὲ προθυμία, γιὰ νὰ ἐπιτύχουμε, ἀφοῦ καὶ στὸ παρὸν ἐπιδείξουμε μεγάλη προσπάθεια, τὴ μέλλουσα παρρησία, τὴν ὁποία εἴθε ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκουν ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Β΄
(Πράξ. 1, 6 - 11)

«Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;».

1. Ὅταν τι μέλλωσιν ἐρωτᾶν οἱ μαθηταί, ὁμοῦ προσέρχονται. Τοῦτο δὲ ποιοῦσιν, ἵνα τῷ πλήθει δυσωπήσωσιν. Ἤδεισαν γάρ, ὅτι τὸ πρώην παρ' αὐτοῦ εἰρημένον, ὅτι «Οὐδεὶς οἶδε τὴν ἡμέραν», διακρουομένου ἦν, οὐκ ἀγνοοῦντος, ἀλλ' ἀναβαλλομένου τὴν ἀπόκρισιν· ὅθεν πάλιν προσέρχονται καὶ ἐρωτῶσιν. Οὐκ ἂν δὲ ἠρώτησαν, εἴ γε ὄντως ἦσαν πεπεισμένοι. Ἐπειδὴ γὰρ ἤκουσαν, ὅτι Πνεῦμα μέλλουσι λαμβάνειν, ὡς ἄξιοι λοιπὸν ὄντες ἤθελον μαθεῖν, καὶ πρὸς ἀπαλλαγὴν ἦσαν ἕτοιμοι. Οὐ γὰρ ἐβούλοντο καθεῖναι ἑαυτοὺς εἰς κινδύνους, ἀλλὰ ἀναπνεῦσαι· διότι οὐ μικρὰ ἦν τὰ συμβεβηκότα αὐτοῖς, ἀλλὰ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος ἐπεκρεμάσθη. Οὐδὲν οὖν αὐτῷ περὶ τοῦ Πνεύματος εἰπόντες, ἐρωτῶσι λέγοντες· «Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;». Καὶ οὐκ εἶπον, πότε; ἀλλά, «εἰ νῦν;» φησίν· οὕτως ἐπεθύμουν τὴν ἡμέραν μαθεῖν. Διὸ καὶ μετὰ πλείονος προσίασι τῆς τιμῆς. Ἐμοὶ δὲ δοκεῖ οὐδὲ τετρανῶσθαί πως αὐτοῖς, τίς ποτε ἦν ἡ βασιλεία· οὔπω γὰρ ἦν τὸ Πνεῦμα διδάξαν αὐτούς. Καὶ οὐκ εἶπον, πότε ταῦτα ἔσται, ἀλλὰ τί; «Εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;»· ὡς ἤδη ἐκπεπτωκυῖαν. Ταῦτα οὕτω πυνθάνονται, ὅτι περὶ τὰ αἰσθητὰ ἔτι

1. Πραξ. 1, 6.
2. Ματθ. 24, 36.

ΟΜΙΛΙΑ Β΄
(Πράξ. 1, 6 - 11)

«Ἀφοῦ λοιπὸν τὸν πλησίασαν ὅλοι μαζὶ οἱ μαθητὲς τὸν ρωτοῦσαν λέγοντας· Κύριε, μήπως αὐτὸν τὸν καιρὸ πρόκειται νὰ ἀποκαταστήσεις τὴ βασιλεία τοῦ Ἰσραήλ;»[1].

1. Ὅταν πρόκειται νὰ ρωτήσουν κάτι οἱ μαθητές, προσέρχονται μαζί. Πράττουν δὲ αὐτὸ γιὰ νὰ ἐπιτύχουν μὲ τὸ πλῆθος τὸ σκοπὸ γιὰ τὸν ὁποῖο ἰκετεύουν. Διότι γνώριζαν, ὅτι ἐκεῖνο, ποὺ εἶχε πεῖ ὁ ἴδιος προηγουμένως, ὅτι «κανένας δὲν γνωρίζει τὴν ἡμέρα»[2], ἦταν ἀποφυγὴ καὶ ὄχι ἄγνοια, ἐπειδὴ ἀνέβαλλε τὴν ἀπόκριση. Γι' αὐτὸ πάλι προσέρχονται καὶ ἐρωτοῦν. Δὲν θὰ ρωτοῦσαν, ἂν βέβαια ἦταν πράγματι πεπεισμένοι. Διότι, ἐπειδὴ ἄκουσαν, ὅτι πρόκειται νὰ λάβουν τὸ ἅγιο Πνεῦμα, ἤθελαν νὰ μάθουν, σὰν νὰ ἦταν πιὰ ἄξιοι καὶ ἕτοιμοι ν' ἀπαλλαγοῦν ἀπὸ τὴν ἐπιρροὴ τοῦ Διδασκάλου τους. Διότι δὲν ἤθελαν νὰ ὑποβάλουν τοὺς ἑαυτούς τους σὲ κινδύνους, ἀλλὰ νὰ ἀνακουφισθοῦν· καθ' ὅσον δὲν ἦταν μικρὰ αὐτά, ποὺ εἶχαν συμβεῖ σ' αὐτούς, ἀλλὰ γιὰ τὰ ἔσχατα ὑπῆρχεν ὁ κίνδυνος. Χωρὶς λοιπὸν νὰ ποῦν σ' αὐτὸν κάτι γιὰ τὸ ἅγιο Πνεῦμα, ἐρωτοῦν, λέγοντας· «Κύριε, μήπως αὐτὸν τὸν καιρό, πρόκειται ν' ἀποκαταστήσεις τὴ βασιλεία τοῦ Ἰσραήλ;». Καὶ δὲν εἶπαν 'πότε;' ἀλλά, «μήπως πρόκειται τώρα;», λέγει· τόσο πολὺ ἤθελαν νὰ μάθουν τὴν ἡμέρα. Γι' αὐτὸ καὶ προσῆλθαν μὲ μεγαλύτερη τιμή. Ἐμένα ὅμως μοῦ φαίνεται, ὅτι οὔτε σ' αὐτοὺς διευκρινίσθηκε καλὰ ποτέ, ποιὰ ἦταν ἡ βασιλεία· διότι δὲν εἶχε δοθεῖ ἀκόμα τὸ Πνεῦμα, γιὰ νὰ τοὺς διδάξει. Καὶ δὲν ἀνέφεραν, πότε θὰ γίνουν αὐτά; ἀλλὰ τί; «μήπως αὐτὸν τὸν καιρὸ πρόκειται ν' ἀποκαταστήσεις τὴ βασιλεία τοῦ Ἰσραήλ;»· σὰν δηλαδὴ νὰ εἶχε ἤδη ἐκπέσει. Αὐτὰ ζητοῦν νὰ τὰ πληροφορη-

διέκειντο, εἰ καὶ μὴ ὁμοίως ὡς πρότερον· οὐδὲ γὰρ οὐδέπω γεγένηντο βελτίους. Οὕτω λοιπὸν οὗτοι μείζονα περὶ αὐτοῦ ἐφαντάζοντο. Ἐπεὶ οὖν ἀνήχθησαν, καὶ αὐτὸς ἀνηγμένως αὐτοῖς διαλέγεται. Οὐκέτι γὰρ λέγει πρὸς αὐτούς, ὅτι «Οὐδὲ ὁ Υἱὸς οἶδε τὴν ἡμέραν», ἀλλὰ τί; «Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ».

Μείζονα αἰτεῖτε, φησί. Καὶ μὴν ἤδη ἔμαθον καὶ ἃ πολλῷ μείζονα ἦν. Καὶ ἵνα μάθῃς τοῦτο ἀκριβῶς, ὅρα πόσα ἀπαριθμοῦμαι. Τί μεῖζον, εἰπέ μοι, τοῦ μαθεῖν αὐτοὺς ἅπερ ἔμαθον; Ἔμαθον γοῦν, ὅτι Υἱὸς τοῦ Θεοῦ ἐστι, καὶ Υἱὸν ἔχει ὁ Θεὸς ὁμότιμον· ἔμαθον, ὅτι ἀνάστασις ἔσται· ἔμαθον, ὅτι ἀνελθὼν ἐκάθισεν ἐν δεξιᾷ τοῦ Πατρός· τὸ τούτου φρικωδέστερον ἔμαθον, ὅτι σὰρξ ἄνω κάθηται καὶ προσκυνεῖται ὑπὸ ἀγγέλων· ἔμαθον, ὅτι ἥξει πάλιν κρῖναι πάντα τὸν κόσμον· ἔμαθον, ὅτι μέλλουσι καθεδεῖσθαι καὶ αὐτοὶ τότε κριταὶ τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ· ἔμαθον, ὅτι Ἰουδαῖοι ἐκβάλλονται, οἱ δὲ ἐξ ἐθνῶν ἀντεισέρχονται. Τὸ ταῦτα εἰδέναι ὅτι ἔσται, μέγα· τὸ δὲ μαθεῖν, ὅτι βασιλεύσει τις ἢ τὸ πότε, οὐδὲν μέγα. Ἔμαθε Παῦλος ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι· τὰ πρὸ τοῦ κόσμου ἅπαντα ἔμαθε. Τί μαθεῖν δυσκολώτερον, τὴν ἀρχήν, ἢ τὸ τέλος; Εὔδηλον, ὅτι τὸ πρῶτον. Οὐκοῦν τοῦτο Μωϋσῆς ἔμαθε, καὶ πότε, καὶ πρὸ πόσων χρόνων, δείκνυσι δι' ὧν ἀριθμεῖ τὰ ἔτη. Τοῦτο καὶ Σολομῶν, διὸ καὶ ἔλεγε· «Μνημονεύσω τὰ ἀπ' αἰῶνος».

Ὅτι τοίνυν ἐγγύς ἐστιν, ἴσασι μετὰ ταῦτα καὶ οὗτοι· ὥσπερ καὶ ὁ Παῦλος, λέγων· «Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶ-

---

3. Μαρκ. 13, 32.
4. Ἰω. 5, 17. 19-23.
5. Ματθ. 17, 9. Πρβλ. Ἰω. 11, 25.
6. Λουκ. 22, 69.
7. Μάρκ. 16, 19.
8. Ματθ. 16, 27 καὶ Λουκ. 21, 27.
9. Ματθ. 19, 28.
10. Λουκ. 21, 24.
11. Β' Κορ. 12, 4.
12. Παροιμ. 8, 21.

θοῦν κατ' αὐτὸν τὸν τρόπο, ἐπειδὴ ἀκόμα ἐξακολουθοῦσαν νὰ ἐνδιαφέρονται γιὰ τὰ αἰσθητά, ἂν καὶ ὄχι ὅμοια μὲ πρίν· διότι ἀκόμα δὲν εἶχαν γίνει καλύτεροι. Ἔτσι δηλαδὴ φαντάζονταν αὐτοὶ μεγαλύτερα γι' αὐτόν. Ὅταν ὅμως αὐτοὶ ὑψώθηκαν πνευματικὰ καὶ αὐτὸς συνομιλεῖ μαζί τους κατὰ τρόπο ὑψηλό. Διότι δὲν λέγει πλέον πρὸς αὐτοὺς ὅτι «οὔτε ὁ Υἱὸς γνωρίζει τὴν ἡμέρα»[3], ἀλλὰ τί; «Δὲν εἶναι δική σας ὑπόθεση νὰ ξέρετε τοὺς χρόνους ἢ τοὺς καιρούς, τοὺς ὁποίους ὁ Πατὴρ κράτησε γιὰ τὴ δική του ἐξουσία».

Ζητεῖτε μεγαλύτερα, λέγει. Καὶ βέβαια ἔμαθαν ἤδη καὶ αὐτά, ποὺ ἦταν πολὺ μεγαλύτερα. Καὶ γιὰ νὰ μάθεις αὐτὸ ἀκριβῶς, κοίταζε πόσα θὰ ἀπαριθμήσω. Πές μου, τί μεγαλύτερον θὰ μάθουν αὐτοὶ ἀπὸ ἐκεῖνα ποὺ ἔμαθαν; Ἔμαθαν ἤδη ὅτι εἶναι Υἱὸς τοῦ Θεοῦ, καὶ ὅτι ὁ Θεὸς ἔχει ἰσότιμο Υἱό[4]. Ἔμαθαν ὅτι θὰ ὑπάρξει ἀνάσταση[5]. Ἔμαθαν ὅτι ὅταν ἀπέλθει στοὺς οὐρανοὺς θὰ καθίσει στὰ δεξιὰ τοῦ Πατρός[6]. Ἔμαθαν τὸ πιὸ φρικῶδες ἀπ' αὐτά, ὅτι σάρκα κάθεται ἐπάνω καὶ προσκυνεῖται ἀπὸ τοὺς ἀγγέλους[7]. Ἔμαθαν ὅτι θὰ ἔλθει πάλι νὰ κρίνει ὅλο τὸν κόσμο[8]. Ἔμαθαν ὅτι τότε πρόκειται νὰ καθίσουν καὶ αὐτοὶ κριτὲς τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ[9]· ἔμαθαν, ὅτι οἱ Ἰουδαῖοι ἐκβάλλονται ἔξω, καὶ ὅτι ἀντὶ αὐτῶν εἰσέρχονται οἱ ἐξ ἐθνῶν[10]. Τὸ νὰ γνωρίζει κανένας ὅτι θὰ γίνουν αὐτά, εἶναι σπουδαῖο πράγμα, τὸ νὰ μάθει ὅμως, ὅτι κάποιος θὰ βασιλεύσει ἢ τὸ πότε, δὲν εἶναι μεγάλο πράγμα. Ἔμαθε ὁ Παῦλος ἐκεῖνα, ποὺ δὲν ἐπιτρέπεται σὲ ἄνθρωπο νὰ πεῖ[11]· ἔμαθε ὅλα τὰ πρὶν ἀπὸ τὸν κόσμο. Τί εἶναι δυσκολώτερο νὰ μάθει κανένας, τὴν ἀρχὴ ἢ τὸ τέλος; Εἶναι ὁλοφάνερο, ὅτι τὸ πρῶτο. Λοιπὸν τοῦτο ὁ Μωϋσῆς ἔμαθε, καὶ πότε καὶ πρὶν ἀπὸ πόσα χρόνια, ἀποδεικνύουν τὰ ἔτη, ποὺ ἀπαριθμεῖ. Αὐτὸ τὸ ἔμαθε καὶ ὁ Σολομῶν, γι' αὐτὸ καὶ ἔλεγε· «Μνημονεύσω τὰ ἀπ' αἰῶνος»[12].

Τὸ ὅτι λοιπὸν εἶναι πλησίον ἐγνώρισαν κατόπιν καὶ αὐτοί, ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος, λέγοντας, «Ὁ Κύ-

τε». Ἀλλὰ τότε οὐκ ἔγνωσαν, καίτοι λαβόντες τεκμήρια. Ὁ δὲ Χριστὸς ὥσπερ εἶπεν. «Οὐ μετὰ πολλὰς ταύτας ἡμέρας», ἀγρυπνεῖν αὐτοὺς βουλόμενος, καὶ οὐκ ἐδήλωσε φανερῶς, οὕτω καὶ νῦν ποιεῖ. Ἄλλως δέ, καὶ ἐκεῖνοι ἐνταῦθα οὐ περὶ συντελείας, ἀλλὰ περὶ βασιλείας ἐρωτῶσι· διὸ καί, «Εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;», ἔλεγον. Ὁ δὲ οὐδὲ τοῦτο αὐτοῖς ἐξεκάλυψε. Περὶ δὲ τοῦ τέλους καὶ πρὸ τούτου τοῦτο ἠρώτων· ἀλλ' οὐχ ὥσπερ ἐκεῖ ἀπεκρίνατο σφοδρότερον, ἀπάγων αὐτοὺς τοῦ νομίζειν τὴν ἀπαλλαγὴν εἶναι πλησίον, καὶ ἐνέβαλεν εἰς τοὺς κινδύνους· οὕτω καὶ ἐνταῦθα, ἀλλ' ἡμερώτερον. Ἵνα γὰρ μὴ δικῶσιν ὑβρίσθαι, μηδὲ προφάσεις εἶναι ταῦτα, ἄκουσον καὶ πῶς εὐθέως αὐτοῖς δώσειν ἐπαγγέλλεται ἐφ' ᾧ ἐχάρησαν. Ἐπήγαγε γοῦν· «Ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλήμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς».

Εἶτα, ἵνα μὴ πάλιν αὐτὸν ἐρωτῶσιν, εὐθέως ἀνελήφθη. Καθάπερ οὖν ἐκεῖ τῷ φόβῳ αὐτοὺς ἐσκότωσε, καὶ τῷ εἰπεῖν, «οὐκ οἶδα», οὕτω καὶ ἐνταῦθα, τὸ «Ἀνελήφθη» εἰπών. Καὶ γὰρ πολλὴν τοῦ πράγματος εἶχον τὴν ἐπιθυμίαν, καὶ οὐκ ἂν ἀπέστησαν, καὶ σφόδρα ἀναγκαῖον ἦν αὐτοὺς μὴ μαθεῖν· Εἰπὲ γάρ μοι· τί μᾶλλον ἀπιστοῦσιν Ἕλληνες; ὅτι συντέλεια ἔσται, ἢ ὅτι ὁ Θεὸς γέγονεν ἄνθρωπος καὶ ἐκ Παρθένου προῆλθε μήτρας καὶ μετὰ σαρκὸς ὤφθη ἄνθρωπος; ἆρ' οὐχὶ τοῦτο; Πάντως καὶ σὺ ἐρεῖς. Ἀλλὰ γὰρ αἰσχύνομαι συνεχῶς ὑπὲρ τούτου λέγων, ὡς περὶ πράγματός τινος ἀδιαφόρου. Εἶτα πάλιν ἵνα μὴ εἴπωσι, διατί ἐπαίρεις τὸ πρᾶγμα; «Οὓς ὁ Πατήρ, φησίν, ἔ-

13. Φιλιπ. 4, 5-6.
24. Ἰω. 5, 21.

ριος εἶναι πλησίον. Μὴ μεριμνᾶτε γιὰ τίποτε»[11]. Ἀλλὰ τότε δὲν τὸ γνώριζαν, ἂν καὶ ἔλαβαν ἀποδείξεις. Ὁ δὲ Χριστὸς ὅπως ἀκριβῶς εἶπε, «ὄχι ὕστερα ἀπὸ πολλὲς ἡμέρες», θέλοντας αὐτοὶ νὰ ἀγρυπνοῦν, καὶ δὲν τὸ φανέρωσε καθαρά, ἔτσι καὶ τώρα κάνει. Ἄλλωστε καὶ ἐκεῖνοι ἐδῶ, δὲν ἐρωτοῦν γιὰ τὴν συντέλεια, ἀλλὰ γιὰ τὴ βασιλεία. Γι' αὐτὸ καὶ ἔλεγαν, «Μήπως, Κύριε, αὐτὸν τὸν καιρὸ θὰ ἀποκαταστήσεις τὴ βασιλεία τοῦ Ἰσραήλ;». Αὐτὸς δὲ οὔτε αὐτὸ ἀποκάλυψε σ' αὐτούς. Γιὰ τὸ τέλος τοῦ κόσμου δὲ καὶ τὰ πρὶν ἀπὸ αὐτό, αὐτὸ ἐρωτοῦσαν νὰ μάθουν. Ἀλλὰ δὲν ἀποκρίθηκε, ὅπως ἀκριβῶς ἐκεῖ, κατὰ τρόπο σφοδρό, ἀπομακρύνοντας αὐτοὺς ἀπὸ τὸ νὰ νομίζουν ὅτι ἡ λύτρωση εἶναι κοντὰ καὶ ἐνέβαλε αὐτοὺς στοὺς κινδύνους· ἔτσι καὶ ἐδῶ, ἀλλὰ κατὰ τρόπο ἡμερώτερο. Γιὰ νὰ μὴ νομίζουν δηλαδή, ὅτι θὰ προσβληθοῦν, οὔτε ὅτι αὐτὰ εἶναι προφάσεις, ἄκουσε πῶς ὑπόσχεται ὅτι ἀμέσως θὰ δώσει σ' αὐτούς, πράγμα γιὰ τὸ ὁποῖο καὶ χάρηκαν. Πρόσθεσε δηλαδή· «Ἀλλὰ θὰ λάβετε δύναμη, ὅταν θὰ ἔλθει τὸ ἅγιο Πνεῦμα ἐπάνω σας καὶ θὰ εἶσθε μάρτυρές μου καὶ στὴν Ἰερουσαλὴμ καὶ σ' ὁλόκληρη τὴν Ἰουδαία καὶ Σαμάρεια καὶ μέχρι τὰ πέρατα τῆς γῆς».

Ἔπειτα, γιὰ νὰ μὴ τὸν ἐρωτοῦν καὶ πάλι, ἀμέσως ἀναλήφθηκε. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖ τοὺς ταλαιπώρησε ὑπερβολικὰ μὲ τὸ φόβο καὶ λέγοντας, «δὲν γνωρίζω», ἔτσι καὶ ἐδῶ, μὲ τὸ νὰ πεῖ «ἀνελήφθη». Καὶ διότι εἶχαν μεγάλη ἐπιθυμία γιὰ τὸ πράγμα αὐτὸ καὶ δὲν θὰ παρετοῦνταν καὶ διότι ἦταν ὑπερβολικὰ ἀναγκαῖο νὰ μὴ τὸ μάθουν. Διότι, πές μου· γιὰ ποιὸ πράγμα περισσότερο δείχνουν ἀπιστία οἱ ἐθνικοί; ὅτι θὰ ὑπάρξει συντέλεια, ἢ ὅτι ὁ Θεὸς ἔχει γίνει ἄνθρωπος καὶ ὅτι προῆλθε ἀπὸ μήτρα παρθένου καὶ ὅτι ἐμφανίσθηκε ἄνθρωπος μὲ σάρκα; ἄραγε δὲν εἶναι αὐτό; Ὁπωσδήποτε καὶ σὺ θὰ συμφωνήσεις. Ἀλλ' ὅμως ἐντρέπομαι νὰ ὁμιλῶ συνέχεια γι' αὐτό, σὰν νὰ πρόκειται γιὰ κάποιο ἀδιάφορο πράγμα. Ἔπειτα πάλι γιὰ νὰ μὴ ποῦν, γιατί μᾶς ἀπομακρύνεις τὸ πράγμα, λέγει, «Τοὺς καιροὺς ποὺ ὁ Πατὴρ κράτησε γιὰ τὴ δική

θετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ». Καὶ μὴν μία Πατρὸς καὶ αὐτοῦ ἐξουσία, ὡς ὅταν λέγῃ· «Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ». Εἰ ἔνθα ἐργάσασθαι δεῖ, μετὰ τῆς αὐτῆς αὐτῷ πράττει ἐξουσίας, ἔνθα εἰδέναι χρή, οὐχὶ μετὰ τῆς αὐτῆς οἶδεν ἐξουσίας; Καὶ μὴν τοῦ μαθεῖν τὴν ἡμέραν πολλῷ μεῖζον τὸ νεκροὺς ἐγείρειν. Εἰ τὸ μεῖζον μετ' ἐξουσίας ποιεῖ, οὐ πολλῷ μᾶλλον τὸ ἕτερον;

2. Ἀλλ' ἵνα μάθητε, ἐπὶ ὑποδείγματος ποιήσω τοῦτο φανερόν. Ὥσπερ ὅταν ἴδωμεν παιδίον ἀποκλαιόμενον, καὶ συνεχῶς βουλόμενόν τι λαβεῖν παρ' ἡμῶν οὐκ ἀναγκαῖον αὐτῷ, μᾶλλον ἀποκρύψαντες, γυμνὰς δείκνυμεν τὰς χεῖρας, λέγοντες, 'Ἰδοὺ οὐκ ἔχομεν', οὕτω καὶ αὐτὸς τοῖς ἀποστόλοις πεποίηκεν. Ἀλλ' ὥσπερ τὸ παιδίον ἐκεῖνο, καὶ μὴ δεικνύντων ἡμῶν ἐπίκειται κλαῖον, εἰδὸς ὅτι ἐξηπάτηται· εἶτα ἀφέντες ἄπιμεν λέγοντες, 'καλεῖ με ὁ δεῖνα', καὶ ἕτερόν τι ἀντ' αὐτοῦ διδόαμεν, βουλόμενοι αὐτὸ ἀπαγαγεῖν τῆς προαιρέσεως, καὶ θαυμάζοντες ἐκεῖνο ἀντὶ τούτου, καὶ δόντες ἀποπηδῶμεν, οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. Ἐζήτουν ἐκεῖνοι λαβεῖν· ἔφη οὗτος μὴ ἔχειν. Ὅμως καὶ πρῶτον ἐφόβησεν· ἐπεὶ δὲ πάλιν ἐζήτουν, ὄψῃ πάλιν μὴ ἔχειν. Πλὴν οὐ φοβεῖ νῦν, μετὰ τὸ δεῖξαι τοῦτο ὃ πεποίηκε, λέγει καὶ εὐπρόσωπον ἀφορμήν· ὅτι «Ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ». Τί οὖν; σὺ οὐκ οἶδας τὰ τοῦ Πατρός; ἀλλ' αὐτὸν μὲν γινώσκεις, τὰ δὲ αὐτοῦ οὐκέτι; Αὐτὸς εἶπας· «Οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός»· καί, «Τὸ μὲν Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ»· σὺ δὲ οὐδὲ τοῦτο οἶδας; Ἄπαγε. Οὐχ ἵνα τοῦτο ὑποπτεύσωμεν, τοῦτο εἴρηκεν, ἀλλ' ἀγνοεῖν προσποιεῖται, τῆς ἀκαίρου ζητή-

15. Λουκ. 10, 22 καὶ Ματθ. 11, 27.
16. Α' Κορ. 2, 10.

του ἐξουσία». Καὶ βέβαια μιὰ εἶναι ἡ ἐξουσία τοῦ Πατρὸς καὶ αὐτοῦ, ὅπως ὅταν λέγει· «Ὅπως ὁ Πατὴρ ἀνασταίνει τοὺς νεκροὺς καὶ τοὺς ζωοποιεῖ, ἔτσι καὶ ὁ Υἱὸς ἐκείνους ποὺ θέλει τοὺς ζωοποιεῖ»[15]. Ἐὰν ὅπου πρέπει νὰ ἐργασθεῖ, πράττει αὐτὸ μὲ τὴν ἴδια πρὸς αὐτὸν ἐξουσία, ὅπου χρειάζεται νὰ γνωρίζει, δὲν γνωρίζει μὲ τὴν ἴδια ἐξουσία; Καὶ βέβαια εἶναι πολὺ μεγαλύτερο ν' ἀνασταίνει τοὺς νεκροὺς ἀπὸ τοῦ νὰ γνωρίζει τὴν ἡμέρα. Ἐὰν τὸ μεγαλύτερο πράττει μὲ ἐξουσία, δὲν πράττει πολὺ περισσότερο τὸ ἄλλο;

2. Ἀλλὰ γιὰ νὰ μάθετε, θὰ σᾶς τὸ κάνω φανερὸ μὲ παράδειγμα· Ὅπως ἀκριβῶς ὅταν δοῦμε ἕνα παιδὶ νὰ κλαίει καὶ νὰ θέλει συνέχεια νὰ λάβει κάτι ἀπὸ ἐμᾶς, ποὺ δὲν τοῦ εἶναι ἀναγκαῖο, ἀφοῦ λοιπὸν τὸ ἀποκρύψουμε, δείχνουμε τὰ χέρια μας ἄδεια, λέγοντας, 'νά, δὲν ἔχουμε', ἔτσι καὶ αὐτὸς ἔκαμε στοὺς Ἀποστόλους. Ἀλλ' ὅπως ἀκριβῶς τὸ παιδὶ ἐκεῖνο καὶ ὅταν δὲν τοῦ δείχνουμε αὐτὸ ποὺ θέλει, ἐπιμένει νὰ κλαίει, ξέροντας ὅτι ἔχει ἐξαπατηθεῖ, ἔπειτα ἀφήνοντάς το φεύγομε, λέγοντας, 'μὲ φωνάζει ὁ τάδε', καὶ τοῦ δίνουμε κάτι ἄλλο ἀντὶ ἐκείνου ποὺ ἤθελε, θέλοντας νὰ τὸ ἀπομακρύνουμε ἀπὸ τὴν ἐπιθυμία του, καὶ θαυμάζοντας ἐκεῖνο ἀντὶ αὐτοῦ, καί, ἀφοῦ τὸ δώσουμε, ἀπομακρυνόμαστε. Ἔτσι καὶ ὁ Χριστὸς ἔκαμε. Ζητοῦσαν ἐκεῖνοι νὰ λάβουν, αὐτὸς τοὺς εἶπεν ὅτι δὲν ἔχει. Βέβαια καὶ προηγουμένως τοὺς φόβησε· ἐπειδὴ ὅμως πάλι ζητοῦσαν, τοὺς εἶπε καὶ πάλι, ὅτι δὲν ἔχει. Πλὴν ὅμως δὲν τοὺς φοβίζει τώρα, ἀλλὰ μετὰ τὴν ἀπόδειξη αὐτοῦ, ποὺ ἔχει κάνει, προβάλλει καὶ δικαιολογημένη ἀφορμή· ὅτι «ὁ Πατήρ του τὸ κράτησε αὐτὸ γιὰ τὴ δική του ἐξουσία». Τί λοιπόν; ἐσὺ δὲν γνωρίζεις τὰ τοῦ Πατρός; ἀλλ' αὐτὸν μὲν τὸν γνωρίζεις, τὰ αὐτοῦ δὲ ὄχι; Σὺ εἶπες, «Κανένας δὲν γνωρίζει τὸν Πατέρα, παρὰ μόνο ὁ Υἱός»[15], καί, «Τὸ μὲν Πνεῦμα τὰ ἐρευνᾶ ὅλα, ἀκόμη καὶ τὰ βάθη τοῦ Θεοῦ»[16]. Ἐσὺ δὲ οὔτε αὐτὸ τὸ γνωρίζεις; Μακριὰ μιὰ τέτοια σκέψη. Τὸ εἶπε αὐτὸ ὄχι γιὰ νὰ ὑποπτευθοῦμε κάτι τέτοιο, ἀλλὰ προσποιεῖται ὅτι τὸ ἀγνοεῖ, ἀπομακρύνοντας

σεως ἀπάγγων αὐτούς. Ἐφοβήθησαν οὖν ἐρωτῆσαι πάλιν, ἵνα μὴ ἀκούσωσι· «Καὶ ὑμεῖς ἀσύνετοί ἐστε;». Πολλῷ γὰρ μᾶλλον αὐτὸν ἐφοβοῦντο νῦν, ἢ τὸ πρότερον.

«Ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς». Ὥσπερ γὰρ ἐκεῖ οὐ πρὸς ἃ ἠρώτησαν ἀπεκρίνατο (διδασκάλου γὰρ τοῦτό ἐστι, μὴ ὃ βούλεται ὁ μαθητής, ἀλλ' ἃ συμφέρει μαθεῖν, διδάσκειν), οὕτω καὶ νῦν, ἃ ἔδει μαθεῖν διὰ τοῦτο προλέγει, ἵνα μὴ ταραχθῶσιν. Ἄρα ἔτι ἀσθενεῖς ἦσαν. Ὥστε δὲ παρρησιάζεσθαι, ἐπῆρεν αὐτῶν τὰς ψυχάς, καὶ τὰ φορτικὰ συνεκάλυψεν. Ἐπειδὴ γὰρ ἔμελλεν αὐτοὺς μικρὸν ὕστερον λοιπὸν καταλιμπάνειν, ταῦτα διαλεγόμενος οὐδὲν λέγει λυπηρὸν ἁπλῶς· ἀλλὰ τί; Μετ' ἐγκωμίου τὰ λυπηρά φησι, μονονουχὶ λέγων, «μὴ φοβηθῆτε· Λήψεσθε γὰρ δύναμιν ἐπελθόντες τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλήμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ Σαμαρείᾳ». Ἐπειδὴ γὰρ εἶπεν· «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε», νῦν δὲ βούλεται ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ κηρύσσειν αὐτούς, καὶ ἃ τότε οὐκ εἶπεν, ἐνταῦθα προσέθηκε, «Καὶ ἕως ἐσχάτου τῆς γῆς», λέγων. Καὶ τὸ πάντων φοβερώτερον εἰπών, ἵνα μὴ πάλιν αὐτὸν ἐρωτῶσι, «Βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν».

Ὁρᾷς ὅτι αὐτοὶ ἐκήρυξαν καὶ ἐπλήρωσαν τὸ εὐαγγέλιον; Ὄντως μέγα αὐτοῖς ἐχαρίσατο. Ὅπου δεδοίκατε, φησίν, ἐν Ἱεροσολύμοις, ἐκεῖ κηρύξατε πρῶτον, καὶ ὕστερον «ἕως ἐσχάτου τῆς γῆς». Εἶτα πάλιν τῶν λεχθέντων ἡ πίστις· «Βλεπόντων αὐτῶν ἐπήρθη», φησί. Βλεπόντων μὲν γὰρ οὐκ ἀνέστη· «Βλεπόντων δὲ ἐπήρθη»· ἐπειδὴ οὐδὲ ἐνταῦθα ἡ ὄψις τὸ πᾶν ἴσχυσε. Καὶ γὰρ τῆς ἀναστάσεως τὸ μὲν τέλος εἶδον, τὴν δὲ ἀρχὴν οὐκέτι· καὶ τῆς ἀναλήψεως τὴν μὲν ἀρχὴν εἶ-

17. Ματθ. 15, 16 καὶ Μαρκ. 7, 18.
18. Ματθ. 10, 5.

αὐτοὺς ἀπὸ τὴν ἀνώφελη ζήτηση. Φοβήθηκαν λοιπὸν νὰ ἐρωτήσουν πάλι, γιὰ νὰ μὴ ἀκούσουν, «καὶ σεῖς εἶσθε ἀνόητοι;»[17]. Διότι πολὺ περισσότερο φοβοῦνταν αὐτὸν τώρα, παρὰ προηγουμένως.

«Ἀλλὰ θὰ λάβετε δύναμη, ὅταν θὰ ἔλθει τὸ ἅγιο Πνεῦμα ἐπάνω σας». Διότι, ὅπως ἀκριβῶς ἐκεῖ δὲν ἀποκρίθηκε σὲ ὅσα τὸν ρώτησαν· (διότι αὐτὸ εἶναι τὸ ἔργο τοῦ διδασκάλου, νὰ διδάσκει ὄχι ἐκεῖνα ποὺ θέλει ὁ μαθητής, ἀλλὰ ἐκεῖνα ποὺ συμφέρει νὰ μάθει)· ἔτσι καὶ τώρα, ἐκεῖνα ποὺ ἔπρεπε νὰ μάθουν, γι' αὐτὸ τοὺς τὰ προλέγει, γιὰ νὰ μὴ ταραχθοῦν. Ἄρα ἦταν ἀκόμη ἀσθενεῖς. Ὥστε γιὰ νὰ ἔχουν παρρησία, ἀνύψωσε τὶς ψυχές τους, καὶ ἀπέκριψε ἐκεῖνα ποὺ ἐνοχλοῦσαν. Διότι, ἐπειδὴ ἐπρόκειτο ὕστερα ἀπὸ λίγο νὰ τοὺς ἐγκαταλείψει πλέον, διδάσκοντας αὐτά, δὲν τοὺς λέγει τίποτε τὸ λυπηρό, ἀλλὰ τί; Μὲ ἐγκώμιο λέγει τὰ λυπηρά, σχεδὸν λέγοντας, μὴ φοβηθεῖτε· «Διότι θὰ λάβετε δύναμη, ὅταν ἔλθει τὸ ἅγιο Πνεῦμα ἐπάνω σας, καὶ θὰ εἶσθε μάρτυρές μου, καὶ στὴν Ἰερουσαλὴμ καὶ σ' ὅλη τὴν Ἰουδαία καὶ Σαμάρεια». Ἐπειδὴ δηλαδὴ εἶπε, «πρὸς τοὺς ἐθνικοὺς μὴ πηγαίνετε, καὶ σὲ πόλη τῶν Σαμαρειτῶν μὴ εἰσέλθετε»[18], τώρα δὲ θέλει σ' ὅλη τὴν Ἰουδαία καὶ Σαμάρεια αὐτοὶ νὰ κηρύττουν ἐκεῖνα, ποὺ δὲν εἶπε τότε, τὰ πρόσθεσε ἐδῶ, λέγοντας «καὶ μέχρι τὰ πέρατα τῆς γῆς». Καὶ ἀφοῦ τοὺς εἶπε τὸ φοβερώτερο ἀπ' ὅλα, γιά νά μὴ τὸν ἐρωτοῦν πάλι, «Ἐνῶ ἐκεῖνοι τὸν ἔβλεπαπαν, ἀνυψώθηκε καὶ ἕνα σύννεφο τὸν ἀπέκρυψε ἀπὸ τά μάτια τους». Βλέπεις ὅτι αὐτοὶ κήρυξαν καὶ συμπλήρωσαν τὸ Εὐαγγέλιο; Πράγματι μεγάλο δῶρο χάρισε σ' αὐτούς. Ἐκεῖ ὅπου φοβηθήκατε, λέγει, δηλαδὴ στὰ Ἰεροσόλυμα, ἐκεῖ πρῶτα κηρύξατε, καὶ ὕστερα ὥς τὰ πέρατα τῆς γῆς. Ἔπειτα πάλι ἡ πίστη τῶν λεχθέντων· «Ἐνῶ ἐκεῖνοι τὸν ἔβλεπαν», λέγει, «αὐτὸς ἀνυψώθηκε». Διότι δὲν ἀναστήθηκε ὅταν ἐκεῖνοι ἔβλεπαν, ἐνῶ τὸν ἔβλεπαν ὅταν ἀνυψώθηκε. Ἐπειδὴ οὔτε ἡ ὅραση κατόρθωσε τὸ πᾶν. Καθόσον τῆς ἀναστάσεως τὸ μὲν τέλος τὸ εἶδαν, τὴν δὲ ἀρχὴ ὄχι· καὶ τῆς ἀναλήψεως τὴν μὲν ἀρχὴ εἶδαν,

δον, τὸ δὲ τέλος οὐκέτι. Παρεῖλκε γὰρ ἐκεῖνο τὸ τὴν ἀρχὴν ἰδεῖν, αὐτοῦ τοῦ ταῦτα φθεγγομένου παρόντος, καὶ τοῦ μνήματος δηλοῦντος, ὅτι οὐκ ἔστιν ἐκεῖ· ἀλλὰ τὸ μετὰ τοῦτο λόγῳ ἔδει μαθεῖν. Ἐπειδὴ γὰρ οὐκ ἀρκοῦσιν οἱ ὀφθαλμοὶ δεῖξαι τὸ ὕψος, οὐδὲ παιδεῦσαι πότερον εἰς τὸν οὐρανὸν ἀνῆλθεν, ἢ ὡς εἰς τὸν οὐρανόν, ὅρα τί γίνεται. Ὅτι μὲν αὐτός ἐστιν ὁ Ἰησοῦς, ᾔδεσαν ἐξ ὧν διελέγετο πρὸς αὐτοὺς (πόρρωθεν γὰρ οὐκ ἐνῆν ἰδόντας γνῶναι), ὅτι δὲ εἰς τὸν οὐρανὸν ἀναλαμβάνεται, αὐτοὶ λοιπὸν ἐδίδασκον οἱ ἄγγελοι. Ὅρα, πῶς οὐ πάντα Πνεύματι, ἀλλὰ καὶ ὄψει γενέσθαι οἰκονομεῖται. Διατί δὲ νεφέλη ὑπέλαβεν αὐτόν; Καὶ τοῦτο τεκμήριον, ὅτι εἰς οὐρανὸν ἀνῆλθεν. Οὐ πῦρ, ὡς ἐπὶ Ἡλίου, οὐδὲ ἅρμα πύρινον· ἀλλὰ νεφέλη αὐτὸν ὑπέλαβεν, ὃ τοῦ οὐρανοῦ σύμβολον ἦν, καθὼς ὁ προφήτης φησίν, «Ὁ τιθεὶς νέφει τὴν ἐπίβασιν αὐτοῦ», εἰ καὶ περὶ τοῦ Πατρὸς εἴρηται τοῦτο. Διὰ τοῦτο λέγει, ὅτι «ἐπὶ νεφέλης», δεικνύς, ὅτι ἐν τῷ συμβόλῳ αὐτῷ τῆς θείας δυνάμεως· οὐδαμοῦ γὰρ ἄλλη τις δύναμις ἐπὶ νεφέλης φαίνεται. Ἄκουε πάλιν, τί φησιν ἄλλος προφήτης· «Ὁ Θεὸς κάθηται ἐπὶ νεφέλης κούφης».

3. Περὶ ἀναγκαίου γὰρ τῆς ἐρωτήσεως οὔσης, καὶ προσεχόντων αὐτῶν σφόδρα τοῖς λεγομένοις, καὶ διεγηγερμένων καὶ οὐ νυσταζόντων, τοῦτο γέγονε. Καὶ ἐν τῷ ὄρει δὲ νεφέλη δι' αὐτόν, ὅτε Μωϋσῆς εἰσῆλθεν εἰς τὸν γνόφον, ἀλλ' οὐ δι' ἐκεῖνον ἦν ἡ νεφέλη. Καὶ οὐκ εἶπεν, ὅτι «Πορεύομαι», μόνον, ἵνα μὴ πάλιν ἀλγήσωσιν, ἀλλ' εἶπε καί, ὅτι «Τὸ πνεῦμα πέμπω». Ἄρα ὅτι εἰς τὸν οὐρανὸν ἀπῄει, διὰ τῶν ὀφθαλμῶν ἐμάνθανον. Βαβαὶ οἵου θεάματος κατηξιώθησαν. «Καὶ ὡς ἀτενίζοντες ἦσαν», φησίν, «εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ, οἳ καὶ

19. Δ' Βασ. 2, 11.
20. Ψαλμ. 103, 3.
21. Ἠσ. 19, 1.
22. Ἐξοδ. 33, 9.
23. Ἰω. 16, 5. 7.

τὸ δὲ τέλος καθόλου. Διότι ἦταν περιττὸ ἐκεῖνο, τὸ νὰ δοῦν δηλαδὴ τὴν ἀρχή, ἀφοῦ αὐτὸς ποὺ ἔλεγε αὐτὰ ἦταν παρών, καὶ τὸ μνῆμα φανέρωνε, ὅτι δὲν εἶναι ἐκεῖ· ἀλλὰ τὸ μετὰ ἀπὸ αὐτό, ἔπρεπε νὰ μάθουν μὲ τὸ λόγο. Διότι, ἐπειδὴ δὲν ἀρκοῦν οἱ ὀφθαλμοὶ νὰ φανερώσουν τὸ ὕψος, οὔτε νὰ διδάξουν τί ἀπὸ τὰ δύο, ἀνῆλθε στὸν οὐρανὸ ἢ σὰν στὸν οὐρανό, κοίταξε τί γίνεται. Ὅτι μὲν αὐτὸς εἶναι ὁ Ἰησοῦς, τὸ γνώρισαν ἀπὸ ἐκεῖνα ποὺ δίδασκε πρὸς αὐτοὺς (διότι δὲν ἦταν μακριά, ὥστε ὅσοι μποροῦσαν νὰ τὸν δοῦν, νὰ τὸν γνωρίσουν), ὅτι δὲ στὸν οὐρανὸ ἀνέρχεται, οἱ ἴδιοι πλέον οἱ ἄγγελοι τὸ δίδασκαν. Κοίταξε πῶς ὅλα ρυθμίζεται νὰ γίνουν ὄχι μόνο μὲ τὸ ἅγιο Πνεῦμα, ἀλλὰ καὶ μὲ τὴν ὅραση. Γιατί ὅμως νεφέλη παρέλαβε αὐτόν; Καὶ αὐτὸ εἶναι ἀπόδειξη, ὅτι ἀνῆλθε στὸν οὐρανό. *Οὔτε πῦρ, ὅπως συνέβηκε μὲ τὸν Ἠλία, οὔτε ἅρμα πύρινο*[19], *ἀλλὰ νεφέλη παρέλαβε αὐτόν, ποὺ ἦταν σύμβολο τοῦ οὐρανοῦ, καθὼς λέγει ὁ προφήτης, «Αὐτὸς ποὺ τοποθέτησε νέφη γιὰ νὰ ἐπιβαίνει ἐπ' αὐτῶν»*[20], ἂν καὶ ἔχει λεχθεῖ *αὐτὸ γιὰ τὸν Πατέρα του. Γι' αὐτὸ λέγει*, ὅτι «ἐπάνω *στὰ σύννεφα»*, ἀποδεικνύοντας ὅτι ἀνέρχεται μὲ αὐτὸ τὸ σύμβολο τῆς θείας δυνάμεως· διότι πουθενὰ κάποια ἄλλη δύναμη δὲν φαίνεται ἐπάνω στὰ σύννεφα. Ἄκουε πάλι τί λέγει ἄλλος Προφήτης· «Ὁ Θεὸς κάθεται ἐπάνω σὲ ἐλαφρὴ νεφέλη»[21].

3. Διότι αὐτὸ συνέβηκε, ἐνῶ ἡ ἐρώτηση ἦταν γιὰ κάτι τὸ ἀναγκαῖο, καί, ἐνῶ πρόσεχαν αὐτοὶ πολὺ στὰ λεγόμενα καὶ ἦταν σὲ κατάσταση διεγέρσεως καὶ δὲν ἦταν κοιμισμένοι. Ἀλλὰ καὶ στὸ ὄρος ὑπῆρχε νεφέλη γι' αὐτόν, ὅταν ὁ Μωϋσῆς εἰσῆλθε στὸ θεῖο γνόφο[22], διότι δὲν ἦταν γιὰ τὸν Μωϋσῆ ἡ νεφέλη. Καὶ δὲν εἶπε μόνο «ὅτι πορεύομαι»[23], γιὰ νὰ μὴ στενοχωρηθοῦν πάλι, ἀλλ' εἶπε, ὅτι «θὰ στείλω τὸ Πνεῦμα»[23]. Ἄρα μάθαιναν μὲ τὴν ὅρασή τους ὅτι ἀνέρχονταν στὸν οὐρανό. Πῶ, πῶ! ποίου θεάματος καταξιώθηκαν. «Καὶ καθὼς», λέγει, «κοιτοῦσαν μὲ προσοχὴ πρὸς τὸν οὐρανό, ἐνῶ αὐτὸς ἀνυψωνόταν, καὶ ξαφνικὰ δύο ἄνδρες μὲ ἐνδύματα λευκὰ στάθηκαν κοντά τους

εἶπον· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν». Δεικτικῶς ἐχρήσαντο τῇ λέξει, «Οὗτος», εἰπόντες, «ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθαι αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν». Πάλιν τὸ σχῆμα φαιδρόν. Ἄγγελοι γὰρ ἀθρόον τινὲς εἰς τύπον ἀνθρώπων σχηματισθέντες ἐπέστησαν, καί φασιν, «Ἄνδρες Γαλιλαῖοι». Ἀξιόπιστοι λοιπὸν ἐδόκουν ἐκείνοις ἐκ τοῦ εἰπεῖν, «Ἄνδρες Γαλιλαῖοι». Τί γὰρ ἔδει τοὺς εἰδότας τὴν πατρίδα μαθεῖν, εἰ μὴ τοῦτο ἦν; Καὶ τῷ σχήματι δὲ ἐπέστρεψαν καὶ ἐδήλουν, ὅτι ἀπὸ τοῦ οὐρανοῦ εἰσι.

Διατί μὴ ταῦτα αὐτὸς αὐτοῖς λέγει, ἀλλ' οἱ ἄγγελοι; Διελέχθη αὐτοῖς προλαβὼν αὐτὸς πάντα, ὥστε ἀναμιμνήσκοντος ἦν αὐτοὺς διὰ τῶν ἀγγέλων ἅπερ ἤκουσαν. Καὶ οὐκ εἶπον, ὃν ἐθεάσασθε ἀναληφθέντα, ἀλλά, «Πορευόμενον εἰς τὸν οὐρανόν», δηλῶν ὅτι ἀνάβασίς ἐστιν ἡ ἀνάληψις· σαρκὸς δὲ τὸ ἀναληφθῆναί ἐστι. Διὰ τοῦτό φασιν· «Ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν, οὕτως ἐλεύσεται»· οὐ 'πεμφθήσεται', ἀλλ', «Ἐλεύσεται». Ποῦ οὖν τὸ ἔλαττον; «Νεφέλη ὑπέλαβεν αὐτόν». Καλῶς. Αὐτὸς γὰρ ἐπέβη τῆς νεφέλης· διότι· «Ὁ ἀναβὰς αὐτός ἐστι καὶ ὁ καταβάς». Σὺ δέ μοι ὅρα, πῶς τὰ μὲν κατὰ τὴν ἐκείνων διάνοιαν φθέγγονται, τὰ δὲ ἀξίως τοῦ Θεοῦ. Ἐπήρθη λοιπὸν ἡ διάνοια τῶν ὁρώντων· ἐχαρίσατο αὐτοῖς τῆς δευτέρας παρουσίας οὐ μικρὸν γνώρισμα. Τὸ γάρ, «Οὕτως ἐλεύσεται», τοῦτο δηλοῦντός ἐστι· μετὰ τοῦ σώματος, φησίν, ὃ ἐπόθουν ἀκοῦσαι· καὶ ὅτι πάλιν εἰς κρίσιν ἥξει οὕτως ἐπὶ νεφέλης.

«Καὶ ἰδού», φησίν, «ἄνδρες δύο παρεστήκεισαν». Διατί εἶπεν, «Ἄνδρες»; Ἀκριβῶς γὰρ ἑαυτοὺς ἀπετύπωσαν εἰς ἄνδρας ὡς μὴ πτοηθῆναι. Οἳ καὶ εἶπον· «Τί ἑστήκατε ἐμβλέ-

---

24. Ἐφεσ. 4, 10.

καὶ τοὺς εἶπαν· "Ἄνδρες Γαλιλαῖοι, γιατί στέκεσθε, καὶ κοιτάζετε στὸν οὐρανό; Αὐτὸς ὁ Ἰησοῦς, ποὺ ἀναλήφθηκε ἀπὸ σᾶς στὸν οὐρανό». Ἐνδεικτικὰ χρησιμοποίησαν τὴ λέξη «αὐτός», λέγοντας, «ποὺ ἀνελήφθηκε ἀπὸ σᾶς στὸν οὐρανό, κατὰ τὸν ἴδιο τρόπο θὰ ἔλθει, ὅπως τὸν εἴδατε νὰ ἀνεβαίνει στὸν οὐρανό». Πάλι τὸ σχῆμα χαρούμενο. Διότι μερικοὶ ἄγγελοι διὰ μιᾶς, ἀφοῦ ἔλαβαν μορφὴ ἀνθρώπων, παρουσιάσθηκαν καὶ λέγουν, «"Ἄνδρες Γαλιλαῖοι». Φαίνονται λοιπὸν σ' ἐκείνους ἀξιόπιστοι ἀπὸ τὸ ὅτι εἶπαν, «"Ἄνδρες Γαλιλαῖοι». Διότι, τί χρειαζόταν αὐτὰ ποὺ γνώριζαν, νὰ μάθουν τὴν πατρίδα τους, ἐὰν δὲν ἦταν αὐτό; Καὶ ἐπέστρεψαν στὸ σχῆμα τους καὶ φανέρωναν, ὅτι προέρχονται ἀπὸ τὸν οὐρανό.

Γιατί αὐτὰ δὲν τοὺς τὰ λέγει ὁ ἴδιος, ἀλλὰ οἱ ἄγγελοι; Δίδαξε αὐτούς, ἀφοῦ ὁ ἴδιος τὰ προεῖπε ὅλα, ὥστε μὲ τοὺς ἀγγέλους ὑπενθύμιζε σ' αὐτοὺς αὐτά, ποὺ ἄκουσαν. Καὶ δὲν εἶπαν, αὐτὸν ποὺ εἴδατε ἀναληφθέντα, ἀλλ' «Αὐτὸν ποὺ εἴδατε νὰ ἀνεβαίνει στὸν οὐρανό», φανερώνοντας ὅτι ἡ ἀνάληψη εἶναι ἀνάβαση, καὶ μάλιστα ἀνάληψη τῆς σάρκας. Γι' αὐτὸ λέγει· «Αὐτὸς ποὺ ἀναλήφθηκε ἀπὸ σᾶς, κατὰ τὸν ἴδιο τρόπο θὰ ἔλθει»· ὄχι, 'θὰ σταλεῖ', ἀλλά, «θὰ ἔλθει». Ποῦ εἶναι λοιπὸν τὸ μικρότερο; «Σύννεφο τὸν ἀπέκρυψε». Πολὺ καλά. Γιατί αὐτὸς ἀνέβηκε ἐπάνω στὸ σύννεφο, καθόσον «αὐτὸς ποὺ ἀνέβηκε, αὐτὸς ὁ ἴδιος εἶναι ποὺ κατέβηκε»[24]. Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεξε πῶς, ἄλλα μὲν λέγονται ἀνάλογα μὲ τὴν διανοητικὴ ἱκανότητα ἐκείνων, ἄλλα δὲ ὅπως ἀξίζει στὸ Θεό. Ἀνυψώθηκε πλέον ἡ διάνοια ἐκείνων ποὺ ἔβλεπαν· χάρισε σ' αὐτοὺς ὄχι μικρὸ δεῖγμα τῆς δεύτερης παρουσίας. Διότι τό, «Κατὰ τὸν ἴδιο τρόπο θὰ ἔλθει», αὐτὸ φανερώνει· μὲ τὸ σῶμα, λέγει, πρᾶγμα ποὺ ἐπιθυμοῦσαν ν' ἀκούσουν· καὶ ὅτι πάλι θὰ ἔλθει γιὰ τὴν κρίση κατὰ τὸν ἴδιο τρόπο ἐπάνω σὲ σύννεφο.

«Καὶ ξαφνικά», λέγει, «δύο ἄνδρες στάθηκαν κοντά τους». Γιατί εἶπε, «"Ἄνδρες»; Διότι ἀκριβῶς ἀπεικόνισαν τοὺς ἑαυτούς τους σὲ ἄνδρες, γιὰ νὰ μὴ πτοηθοῦν. Αὐτοὶ

πονιες εἰς τὸν οὐρανόν;». Ἅμα κολακευόντων ἦν τὰ ῥήματα, καὶ οὐκ ἐώντων αὐτοὺς προσδοκᾶν αὐτὸν πάλιν εὐθέως. Οὗτοι τὸ μὲν μεῖζον λέγουσι, τὸ δὲ ἔλαττον οὐκέτι. Ὅτι μὲν γὰρ οὕτως ἐλεύσεται, καὶ ὡς ἐξ οὐρανοῦ αὐτὸν χρὴ προσδέξασθαι, φασί, τὸ δὲ πότε, σιγῶσι. Λοιπὸν ἀπὸ τῆς θέας ἐκείνης ἐπέστρεψαν αὐτοὺς πρὸς τὸν αὐτῶν λόγον· ἵνα μὴ διὰ τὸ μὴ δύνασθαι θεωρεῖν, νομίσωσιν αὐτὸν μὴ ἀνεληλυθέναι, ἀλλ' ἐν ᾧ διαλέγονται φθάσειν. Εἰ γὰρ πρὸ τούτου ἔλεγον, «Ποῦ ὑπάγεις», πολλῷ μᾶλλον καὶ νῦν ἂν εἶπον· «Εἰ ἐν τῷ χρόνῳ τούτῳ, φησίν, ἀποκαθιστάνεις τὴν βασιλείαν τοῦ Ἰσραήλ;». Οὕτως ᾔδεσαν αὐτοῦ τὸ ἥμερον, ὅτι καὶ μετὰ τὸ παθεῖν ἐρωτῶσιν αὐτόν, «Εἰ ἀποκαθιστάνεις;». Καὶ μὴν ἔμπροσθεν εἶπεν αὐτοῖς, ὅτι «Μελλήσετε ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων· ἀλλ' οὔπω τὸ τέλος», οὐδὲ τὰ Ἱεροσόλυμα ἁλώσεται. Νῦν δὲ περὶ βασιλείας ἐρωτῶσιν, οὐ περὶ συντελείας. Ἄλλως δέ, οὐδὲ μακρὸν λοιπὸν πρὸς αὐτοὺς ἀποτείνει λόγον μετὰ τὴν ἀνάστασιν. Ὡς δὴ οὖν καὶ αὐτοὶ εὐδοκιμήσοντες, εἰ τοῦτο γένοιτο, ἐρωτῶσιν. Αὐτὸς δὲ ὅτι οὐκ ἀποκαθιστάνει, οὐκ ἐδήλωσε. Τί γὰρ ἦν τοῦτο ἀναγκαῖον αὐτοὺς μαθεῖν; Διά τοι τοῦτο καὶ δεδοικότες οὐκ ἔτι εἶπον, «τί τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος;»· ἀλλ', «Εἰ τὴν βασιλείαν τῷ Ἰσραὴλ ἀποκαθιστάνεις;». Ἐνόμιζον γὰρ αὐτὴν ἤδη παρεῖναι. Αὐτὸς δὲ καὶ ἐν παραβολαῖς ἔδειξεν, ὅτι οὐκ ἐγγύς· καὶ ἔνθα ἠρώτησαν, οὐ πρὸς αὐτὸ ἀπεκρίνατο, ἀλλά, «Λήψεσθε, φησί, δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς». Ὅρα, «Ἐπελθόντος», οὐ 'πεμφθέντος', εἶπεν, ἵνα τὸ ἰσότιμον δείξῃ. Πῶς οὖν, ὦ πνευματομάχε, κτίσμα τολμᾶς εἰπεῖν;

25. Ἰω. 13, 36.
26. Μαρκ. 13, 7 καὶ Ματθ. 24, 6.
27. Ματθ. 24, 3.

δὲ εἶπαν· «Γιατί στέκεσθε, κοιτάζοντας στὸν οὐρανό;». Συγχρόνως ὅμως τὰ λόγια τους ἦταν κολακευτικὰ καὶ δὲν τοὺς ἄφηναν νὰ περιμένουν ἀμέσως αὐτὸν καὶ πάλι. Αὐτοὶ τὸ μὲν μεγαλύτερο λέγουν, ὄχι ὅμως καὶ τὸ μικρότερο. Διότι λέγουν μὲν ὅτι κατὰ τὸν ἴδιο τρόπο θὰ ἔλθει καὶ ὅτι πρέπει νὰ ἀναμένουν αὐτὸν ἀπὸ τὸν οὐρανό, ἀποσιωποῦν ὅμως τὸ πότε. Ἔπειτα ἀπὸ τὴ θέα ἐκείνη ἐπέστρεψαν αὐτοὺς στὸ δικό τους λόγο, ὥστε μὲ αὐτὰ ποὺ τοὺς λέγουν νὰ τοὺς προλάβουν νὰ μὴ νομίσουν ὅτι αὐτὸς δὲν ἀναλήφθηκε, ἐπειδὴ δὲν θὰ μποροῦσαν νὰ τὸν βλέπουν. Διότι, ἂν πρὶν ἀπ' αὐτὸ ἔλεγαν, «Ποῦ πηγαίνεις;»[25], πολὺ περισσότερο καὶ τώρα θὰ μποροῦσαν νὰ ποῦν· «Μήπως κατ' αὐτὸν τὸν χρόνο θὰ ἀποκαταστήσεις τὴ βασιλεία τοῦ Ἰσραήλ;». Ἔτσι γνώρισαν τὴ πραότητά του, διότι καὶ μετὰ τὸ πάθος του τὸν ἐρωτοῦν· «Μήπως θὰ ἀποκαταστήσεις;». Καὶ βέβαια προηγουμένως εἶπε σ' αὐτούς, ὅτι «πρόκειται νὰ ἀκούσετε πολέμους καὶ φῆμες γιὰ πολέμους, ἀλλὰ δὲν εἶναι ἀκόμα τὸ τέλος»[26], οὔτε τὰ Ἱεροσόλυμα θὰ κυριευθοῦν. Τώρα ὅμως ρωτοῦν γιὰ τὴ βασιλεία, ὄχι γιὰ τὴ συντέλεια. Ἐξ ἄλλου δέ, δὲν ἀπευθύνει πλέον πρὸς αὐτοὺς μακρὸ λόγο μετὰ τὴν ἀνάσταση. Βέβαια καὶ αὐτοὶ ἐρωτοῦν σὰν νὰ ἐπρόκειτο νὰ ἱκανοποιηθοῦν, ἐὰν θὰ συνέβαινε τοῦτο. Αὐτὸς ὅμως δὲν φανέρωσε, ὅτι δὲν πρόκειται νὰ ἀποκαταστήσει τὴ βασιλεία. Διότι, γιατί ἦταν ἀναγκαῖο αὐτὸ νὰ τὸ μάθουν αὐτοί; Γι' αὐτό, βέβαια, καὶ ἐπειδὴ φοβοῦνταν, δὲν εἶπαν ἀκόμα, «Ποιὸ εἶναι τὸ σημεῖο τῆς παρουσίας σου καὶ τῆς συντέλειας τοῦ αἰώνα;»[27] ἀλλ' εἶπαν, «Μήπως θὰ ἀποκαταστήσεις τὴ βασιλεία τοῦ Ἰσραήλ;». Διότι νόμιζαν ὅτι αὐτὴ εἶναι ἤδη παροῦσα. Αὐτὸς δὲ καὶ μὲ παραβολὲς φανέρωσε, ὅτι δὲν εἶναι κοντὰ καὶ ὅταν τὸν ρώτησαν, δὲν ἀπάντησε σ' αὐτό, ἀλλά, «Θὰ λάβετε», λέγει, «δύναμη, ὅταν θὰ ἔλθει τὸ ἅγιο Πνεῦμα ἐπάνω σας». Πρόσεχε, «ὅταν ἔλθει», εἶπε, ὄχι 'ὅταν θὰ σταλεῖ', γιὰ νὰ δείξει τὴν ἰσοτιμία. Πῶς λοιπόν, πνευματομάχε, τολμᾶς νὰ πεῖς, ὅτι εἶναι κτίσμα τὸ Πνεῦμα*.

«Καὶ ἔσεσθέ μοι μάρτυρες». Ἠνίξατο τὴν ἀνάληψιν· μᾶλλον δὲ ἃ ἤδη προήκουσαν, καὶ νῦν αὐτοὺς πάλιν ἀνέμνησεν. Ἤδη ἐδείχθη, ὅτι εἰς τὸν οὐρανὸν ἀνῆλθε. «Νεφέλη καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ», φησί· τοῦτο γὰρ δηλοῖ τό, «Νεφέλη ὑπέλαβεν αὐτόν»· τὸν τοῦ οὐρανοῦ φησὶ Δεσπότην. Καθάπερ γὰρ βασιλέα δείκνυσιν ὄχημα βασιλικόν, οὕτω καὶ ἐπ' αὐτὸν ἐπέμφθη ὄχημα βασιλικόν, ἵνα μηδὲν φθέγξωνται λυπηρόν, μηδὲ τὸ αὐτὸ πάθωσιν, ὅπερ ὁ Ἐλισσαῖος, τοῦ διδασκάλου ἀναληφθέντος, διαρρήξας τὸν χιτωνίσκον. Καὶ τί φασιν; «Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται»· καί, «Ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς». Εἰκότως. Ἐπὶ στόματος γὰρ δύο μαρτύρων σταθήσεται πᾶν ῥῆμα. Καὶ ταῦτα αὐτὰ φθέγγονται. «Καὶ ἐν ἐσθῆτι, φησί, λευκῇ». Ὥσπερ ἤδη ἄγγελον εἶδον ἐπὶ τοῦ μνήματος ἐν ἐσθήσεσιν ἀναστραπτούσαις, καὶ προεῖπεν αὐτῶν καὶ τὴν διάνοιαν· οὕτω καὶ τῆς ἀναλήψεως αὐτοῦ κῆρυξ ἄγγελος γίνεται· εἰ καὶ οἱ προφῆται πολλαχοῦ προεῖπον, ὥσπερ καὶ περὶ τῆς ἀναστάσεως.

4. *Πανταχοῦ ἄγγελοι γίνονται κήρυκες, ὡς ἐπὶ τῆς γεννήσεως, ὡς πρὸς τὴν Μαρίαν πάλιν, ὡς ἐπὶ τῆς ἀναστάσεως· οὕτω δὴ καὶ ἐπὶ τῆς ἀναλήψεως· μᾶλλον δὲ καὶ ἐπὶ τῆς δευτέρας παρουσίας ἄγγελοι φανοῦνται προτρέχοντες. Εἰπόντες δέ, «Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν», ἵνα μὴ αὐτοὺς ἐξαπορήσωσιν, ἐπήγαγον, «Οὕτως ἐλεύσεται». Ἀνέπνευσαν μικρὸν ἀκούσαντες, ὅτι πάλιν ἐλεύσεται, καὶ ὅτι οὕτω, καὶ οὐκ ἔσται ἀπρόσιτος. Καὶ τὸ «Ἀφ' ὑμῶν» δέ, οὐχ ἁπλῶς πρόσκειται, ἀλλὰ τῆς ἀγάπης ἐστὶ παραστατικὸν τῆς εἰς αὐτοὺς καὶ τῆς ἐκλογῆς, καὶ ὅτι οὐκ ἀφήσει, οὓς ἐξελέξατο. Τῆς μὲν οὖν*

---

28. Ψαλμ. 96, 2.
29. Δ' Βασ. 2, 12.
30. Δευτ. 19, 15. 17 καὶ Ματθ. 18, 16.
* Ἐδῶ ὁ Χρυσόστομος ἀφ' ἑνὸς μὲν τονίζει τὴν ἰσοτιμία τῶν προσώπων τῆς Ἁγ. Τριάδος, ἀφ' ἑτέρου δὲ καταφέρεται ἐναντίον ἐκείνων οἱ ὁποῖοι ἀμφισβητοῦν αὐτήν, ἰδίως τοῦ Ἁγίου Πνεύματος.
31. Ματθ. 28, 2.

«Καὶ θὰ εἴσθε μάρτυρές μου». Ὑπαινίχθηκε τὴν ἀνάληψη· μᾶλλον δὲ ἐκεῖνα ποὺ ἤδη ἄκουσαν προηγουμένως, καὶ τώρα πάλι ὑπενθύμισε σ' αὐτούς. Ἤδη ἀποδείχθηκε ὅτι ἀνῆλθε στοὺς οὐρανούς. Διότι λέγει, «Νεφέλη καὶ θεῖο φῶς κάτω ἀπὸ τὰ πόδια του»[28]· διότι αὐτὸ σημαίνει τὸ «νεφέλη ἀπέκρυψε αὐτὸ ἀπὸ τὰ μάτια τους»· ἐννοεῖ τὸν Δεσπότη τοῦ οὐρανοῦ. Διότι, ὅπως ἀκριβῶς τὸν βασιλέα ἀποδεικνύει τὸ βασιλικὸ ὄχημα, κατὰ τὸν ἴδιο τρόπο καὶ πρὸς αὐτὸν ἐστάλη τὸ ὄχημα τὸ βασιλικό, γιὰ νὰ μὴ ποῦν τίποτε τὸ λυπηρό, οὔτε νὰ πάθουν τὸ ἴδιο ποὺ ἔπαθε καὶ ὁ Ἐλισσαῖος, ὅταν, ἐνῶ ἀνερχόταν στοὺς οὐρανούς, ὁ διδάσκαλός του ἔσχισε τὸ ὑποκάμισό του[29]. Καὶ τί λέγουν; «Αὐτὸς ὁ Ἰησοῦς, ποὺ ἀναλήφθηκε ἀπὸ σᾶς στὸν οὐρανό, κατὰ τὸν ἴδιο τρόπο θὰ ἔλθει», καὶ «Νὰ δύο ἄνδρες στάθηκαν κοντά τους». Πολὺ εὔλογα, διότι «μὲ τὴν μαρτυρία δύο μαρτύρων θὰ πιστοποιηθεῖ κάθε λόγος». Καὶ αὐτὰ λέγουν αὐτοί. Καὶ «μὲ λευκὰ ἐνδύματα», λέγει. Ὅπως ἀκριβῶς ἤδη εἶδαν ἄγγελο ἐπάνω στὸ μνῆμα μὲ ἀπαστράπτοντα ἐνδύματα, καὶ προεῖπε καὶ τὴ σκέψη αὐτῶν[31], ἔτσι καὶ γιὰ τὴν ἀνάληψη αὐτοῦ ἄγγελος γίνεται κήρυκας· ἂν καὶ οἱ προφῆτες σὲ πολλὰ σημεῖα τὴν προεῖπαν, ὅπως ἀκριβῶς προφήτευσαν καὶ γιὰ τὴν ἀνάσταση αὐτοῦ.

4. Παντοῦ ἄγγελοι γίνονται κήρυκες, ὅπως κατὰ τὴ γέννηση, ὅπως πάλι πρὸς τὴ Μαρία, ὅπως κατὰ τὴν ἀνάσταση· ἔτσι λοιπὸν καὶ κατὰ τὴν ἀνάληψη, μᾶλλον δὲ καὶ κατὰ τὴν δευτέρα παρουσία, οἱ ἄγγελοι θὰ ἐμφανισθοῦν τρέχοντας μπροστὰ ἀπ' αὐτόν. Ἀφοῦ δὲ εἶπαν, «αὐτὸς ποὺ ἀναλήφθηκε ἀπὸ σᾶς στὸν οὐρανό», γιὰ νὰ μὴ εὑρεθοῦν αὐτοὶ σὲ ἀμηχανία, πρόσθεσαν, «θὰ ἔλθει κατὰ τὸν ἴδιο τρόπο». Ἀνακουφίσθηκαν λίγο, ὅταν ἄκουσαν, ὅτι πάλι θὰ ἔλθει, καὶ ὅτι θὰ ἔλθει κατὰ τὸν ἴδιο τρόπο, καὶ ὅτι δὲν θὰ εἶναι ἀπρόσιτος. Καὶ τὸ «ἀπὸ σᾶς» δέ, δὲν προστίθεται στὴν τύχη, ἀλλὰ ἐκφράζει τὴν ἀγάπη του πρὸς αὐτοὺς καὶ τὴν ἐκλογὴ καὶ ὅτι δὲν θὰ ἀφήσει αὐτοὺς ποὺ ἐξέλεξε. Τῆς μὲν λοιπὸν ἀναστάσεως αὐτὸς

ἀναστάσεως αὐτὸς γέγονε μάρτυς (πάντων γὰρ τοῦτο θαυμασιώτερον ἦν μετὰ τὸν τόκον, μᾶλλον δὲ καὶ πρὸ τοῦ τόκου, τὸ ἑαυτὸν ἀναστῆσαι. «Λύσατε» γάρ, φησί, «τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγὼ ἐγερῶ αὐτόν»), τῆς δὲ μελλούσης παρουσίας, οἱ ἄγγελοι, «Οὕτως ἐλεύσεται», λέγοντες. Εἴ τις τοίνυν ἐπιθυμεῖ τὸν Χριστὸν ἰδεῖν, εἴ τις ἀλγεῖ, ὅτι οὐκ εἶδον αὐτόν, τοῦτο ἀκούσας, βίον θαυμαστὸν ἐπιδεικνύσθω, καὶ πάντως ὄψεται καὶ οὐκ ἀποτεύξεται. Μετὰ γὰρ πλείονος ἥξει δόξης· πλὴν οὕτω μετὰ νεφέλης, οὕτω μετὰ σώματος· καὶ πολλῷ θαυμασιώτερον ἰδεῖν αὐτὸν ἀπὸ τοῦ οὐρανοῦ καταβαίνοντα, ἢ ἀπὸ τῆς γῆς ἀναβαίνοντα.

Ὅτι μὲν οὖν ἥξει, εἶπον, ἐπὶ τίνι δέ, οὐκέτι προσέθηκαν. Τοῦτο τὴν ἀνάστασιν βεβαιοῖ. Εἰ γὰρ μετὰ σώματος ἀνελήφθη, πολλῷ μᾶλλον μετὰ σώματος ἀνέστη. Ποῦ εἰσιν οἱ διαπιστοῦντες τῇ ἀναστάσει; τίνες εἰσίν; εἰπέ μοι· Ἕλληνες, ἢ Χριστιανοί; ἀγνοῶ γάρ· μᾶλλον δὲ οἶδα ἀκριβῶς. Ἕλληνες γάρ εἰσιν, οἱ καὶ τῇ δημιουργίᾳ τῆς κτίσεως διαπιστοῦντες. Τῶν γὰρ αὐτῶν ἐστι μὴ συγχωρεῖν ἐξ οὐκ ὄντων ποιεῖν τι τῷ Θεῷ, καὶ τὰ κείμενα μὴ λέγειν αὐτὸν ἀνιστᾶν. Εἶτα αἰσχυνόμενοι, ὅτι οὐκ ἴσασι τὴν δύναμιν τοῦ Θεοῦ, ἵνα μὴ τοῦτο ἐγκαλῶνται, φασίν· 'οὐ διὰ τοῦτο ταῦτα λέγομεν, ἀλλ' ὅτι οὐ χρεία σώματος'. Εὔκαιρον ἀληθῶς εἰπεῖν· «Ὁ γὰρ μωρὸς μωρὰ λαλήσει». Οὐκ αἰσχύνεσθε ἐξ οὐκ ὄντων οὐδὲν διδόντες ποιεῖν τὸν Θεόν; Εἰ δὲ ἐξ ὄντων ποιεῖ, τί διαφέρει τῶν ἀνθρώπων; Ἀλλὰ πόθεν, φησί, τὰ κακά; Μὴ γάρ, ἐπειδὴ οὐκ οἶδας πόθεν, ἕτερον ὀφείλεις ἐπεισάγειν κακὸν ἐν τῇ γνώσει τῶν κακῶν; Δύο γὰρ γίνεται ἄτοπα· ἓν μὲν οὖν, ὅτι τοῦτο λέγειν τολμᾷς· εἰ γὰρ μὴ λέγεις ἐξ οὐκ ὄντων τὰ ὄντα

32. Ἰω. 2, 19.
33. Ἡσ. 32, 6.

ἔγινε μάρτυρας, (διότι αὐτὸ ἦταν τὸ πιὸ θαυμαστὸ ἀπ᾽ ὅσα συνέβηκαν μετὰ τὴ γέννηση, μᾶλλον δὲ καὶ πρὶν ἀπὸ τὴ γέννηση, ἡ ἀνάσταση δηλαδὴ τοῦ ἑαυτοῦ του. Διότι λέγει, «Γκρεμίστε αὐτὸ τὸ ναὸ καὶ σὲ τρεῖς ἡμέρες θὰ τὸν ἀνοικοδομήσω»[32], τῆς δὲ μέλλουσας παρουσίας οἱ ἄγγελοι λέγοντας, «θὰ ἔλθει κατὰ τὸν ἴδιο τρόπο». Ἐὰν λοιπὸν κάποιος ἐπιθυμεῖ νὰ δεῖ τὸ Χριστό, ἐὰν πονεῖ, διότι δὲν εἶδε αὐτόν, ἀφοῦ ἀκούσει αὐτό, ἂς ἐπιδείξει ζωὴ θαυμαστὴ καὶ ὁπωσδήποτε θὰ τὸν δεῖ καὶ δὲν θὰ ἀποτύχει. Διότι θὰ ἔλθει μὲ μεγαλύτερη δόξα καὶ μὲ τὸν ἴδιο τρόπο, μὲ τὴν νεφέλη, δηλαδὴ καὶ μὲ τὸ σῶμα· καὶ πολὺ θαυμασιώτερα θὰ δεῖ αὐτὸν νὰ κατεβαίνει ἀπὸ τὸν οὐρανό, παρὰ νὰ ἀνεβαίνει ἀπὸ τὴ γῆ.

Τὸ ὅτι βέβαια θὰ ἔλθει, τὸ εἶπαν, δὲν πρόσθεσαν ὅμως μὲ ποιὸ τρόπο. Αὐτὸ βεβαιώνει τὴν ἀνάσταση. Διότι, ἂν ἀναλήφθηκε μὲ τὸ σῶμα, πολὺ περισσότερο μὲ τὸ σῶμα ἀναστήθηκε. Ποῦ εἶναι ἐκεῖνοι ποὺ δυσπιστοῦν στὴν ἀνάσταση; Ποιοὶ εἶναι; Πές μου· ἐθνικοὶ ἢ χριστιανοί; διότι τὸ ἀγνοῶ· μᾶλλον δὲ γνωρίζω ἀκριβῶς. Διότι εἶναι οἱ ἐθνικοί, ποὺ δυσπιστοῦν καὶ στὴ δημιουργία τῆς κτίσεως. Διότι αὐτοὶ εἶναι ἐκεῖνοι ποὺ δὲν δέχονται ὅτι ὁ Θεὸς δημιουργεῖ κάτι ἀπὸ τὸ μηδὲν καὶ ἀρνοῦνται ὅτι ἀνασταίνει τοὺς νεκρούς. Ἔπειτα, ἐπειδὴ ντρέπονται, διότι δὲν γνωρίζουν τὴ δύναμη τοῦ Θεοῦ, γιὰ νὰ μὴ κατηγοροῦνται γι᾽ αὐτό, λέγουν· Δὲν τὰ λέμε αὐτὰ γι᾽ αὐτό, ἀλλ᾽ ἐπειδὴ δὲν χρειάζεται τὸ σῶμα. Εἶναι ἐπίκαιρο νὰ ποῦμε «ὅτι ὁ ἀνόητος ἀνόητα θὰ πεῖ»[33]. Δὲν ντρέπεσθε νὰ μὴ ἀποδέχεσθε ὅτι ὁ Θεὸς μπορεῖ νὰ δημιουργήσει ἀπὸ τὸ μηδέν; Ἐὰν δὲ ἀπὸ τὰ προϋπάρχοντα δημιουργεῖ, σὲ τί διαφέρει ἀπὸ τοὺς ἀνθρώπους; Ἀλλά, λέγει, ἀπὸ ποῦ προέρχονται τὰ κακά; Μήπως δηλαδή, ἐπειδὴ δὲν γνωρίζεις ἀπὸ ποῦ, πρέπει νὰ προσθέτεις ἄλλο κακὸ στὴ γνώση τῶν κακῶν; Διότι ἔτσι δημιουργοῦνται δύο ἄτοπα· ἕνα λοιπόν, τὸ ὅτι τολμᾶς νὰ λέγεις αὐτό· διότι, ἐὰν δὲν παραδέχεσαι, ὅτι ὁ Θεὸς δημιουργεῖ τὰ ὄντα ἀπὸ τὸ μηδέν, πολὺ περισσότερο δὲν γνωρίζεις ἀπὸ ποῦ προέρ-

ποιεῖν τὸν Θεόν, πολλῷ μᾶλλον οὐκ εἴσῃ πόθεν τὰ κακά· ἕτερον δέ, ὅτι ἀγένητον τὴν κακίαν τοῦτο λέγων εἰσάγεις. Ἐννόησον, ὅσον ἐστὶ χαλεπόν βουλόμενον εὑρεῖν τὴν πηγὴν τῶν κακῶν, ταύτην τε ἀγνοῆσαι, καὶ ἑτέραν προσθεῖναι αὐτῇ. Ζήτει πόθεν τὰ κακά, καὶ μὴ βλασφήμει τὸν Θεόν.

Καὶ πῶς βλασφημῶ, φησί; Τί λέγεις; οὐ βλασφημεῖς, ὅταν ἀγένητον εἰσάγῃς τὸ κακόν; ὅταν ἴσον δύνασθαι τῷ Θεῷ συγχωρῇς; ὅταν ἰσοσθενῆ δύναμιν εἰσάγῃς τῶν κακῶν; ὅταν ἀγένητον; Ὅρα γάρ, τί φησιν ὁ Παῦλος· «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται». Ὁ μέντοι διάβολος ἀμφότερα ἔφησεν εἶναι τῆς ὕλης, ἵνα μηδαμόθεν λοιπὸν τὸν Θεὸν ἐπιγνῶμεν. Τί γὰρ δυσκολώτερον; εἰπέ μοι· τὸ φύσει κακὸν καλὸν ποιῆσαι (εἴ γε τί ἐστι· καθ' ὑμᾶς γὰρ λέγω· φύσει γὰρ οὐδὲν ἔστι ποιῆσαι καλὸν καλοῦ συνεργόν), ἢ τὸ ἐξ οὐκ ὄντων; Τί εὐκολώτερον (ὡς ἐπὶ ποιότητος λέγω), τὴν οὐκ οὖσαν ποιότητα εἰσαγαγεῖν, ἢ τὴν οὖσαν μεταβαλεῖν εἰς τὸ ἐναντίον; τί εὐκολώτερον, τὴν οὐκ οὖσαν οἰκίαν ποιῆσαι, ἢ τὴν ἔρημον οὖσαν ἄνωθεν ἐργάσασθαι; Εὔδηλον, ὅτι ἐκεῖνο. Οὐκοῦν τοῦτο ἀδύνατον. Ὥσπερ οὖν τοῦτο ἀμήχανον, οὕτω καὶ ἐκεῖνο ἀδύνατον, εἰς τὸ ἐναντίον λέγω τὸ ἐνεργεῖν.

5. Εἰπέ μοι, τί δυσκολώτερον; μύρον κατασκευάσαι, ἢ τὸν βόρβορον βιάσασθαι τὰ τοῦ μύρου ἐργάσασθαι; Τί εὐκολώτερον, εἰπέ μοι, τούτων; (ἐπειδὴ τοῖς ἡμετέροις λογισμοῖς τὸν Θεὸν ὑποβάλλομεν, ἀλλ' οὐχ ἡμεῖς· μὴ γένοιτο· ἀλλ' ὑμεῖς) ὀφθαλμοὺς πλάσαι, ἢ τυφλὸν ποιῆσαι βλέπειν μένοντα

34. Ρωμ. 1, 20.

χονται τὰ κακά· τὸ ἄλλο δέ, τὸ ὅτι, λέγοντας αὐτό, παρουσιάζεις τὴν κακία ἀδημιούργητη. Σκέψου, πόσο φοβερὸ εἶναι, θέλοντας νὰ βρεῖς τὴν πηγὴ τῶν κακῶν, καὶ νὰ ἀγνοήσεις αὐτήν, καὶ νὰ προσθέσεις ἄλλη σ' αὐτήν. Ζήτα ἀπὸ ποῦ προέρχονται τὰ κακὰ καὶ μὴ βλασφημεῖς τὸ Θεό.

Καὶ πῶς βλασφημῶ; λέγει. Τί λέγεις; δὲν βλασφημεῖς, ὅταν παρουσιάζεις τὸ κακὸ ὅτι εἶναι ἀγένητο; Ὅταν ἀποδέχεσαι ὅτι ὁ Θεὸς μπορεῖ νὰ κάνει ὅσα καὶ ὁ ἄνθρωπος; Ὅταν παρουσιάζεις τὴ δύναμη τῶν κακῶν ἰσοδύναμη μὲ τὴ δύναμη τοῦ Θεοῦ; Ὅταν τὰ παρουσιάζεις ἀδημιούργητα; Διότι πρόσεχε τί λέγει ὁ Παῦλος· «Διότι οἱ ἀόρατες ἰδιότητές του, δηλαδὴ ἡ αἰώνια δύναμή του καὶ ἡ θεότητά του, βλέπονται καθαρά, ἀφ' ὅτου δημιουργήθηκε ὁ κόσμος, γινόμενες νοητὲς μέσω τῶν δημιουργημάτων»[34]. Ὁ μὲν λοιπὸν διάβολος δίδαξε ὅτι καὶ τὰ δύο εἶναι ὑλικά, γιὰ νὰ μὴ γνωρίσουμε ἀπὸ πουθενὰ πλέον τὸ Θεό. Διότι τί εἶναι δυσκολώτερο; Πές μου· τὸ νὰ κάνεις τὸ ἐκ φύσεως κακό, καλὸ (ἂν βέβαια εἶναι δυνατὸ κάτι τέτοιο· αὐτὸ τὸ λέγω σύμφωνα μὲ τὴ δική σας γνώμη· διότι ἐκ φύσεως δὲν εἶναι δυνατὸ νὰ κάνεις τὸ κακὸ συνεργὸ τοῦ καλοῦ), ἢ κάτι ἀπὸ τὸ μηδέν; Τί εὐκολώτερο (γιὰ ποιότητα ὁμιλῶ), νὰ δημιουργήσεις ποιότητα ἀπὸ τὸ μηδέν, ἢ αὐτὴν ποὺ ὑπάρχει νὰ μετατρέψεις στὸ ἀντίθετο; Τί εἶναι εὐκολώτερο, νὰ κατασκευάσεις οἰκία ἀπὸ τὴν ἀρχή, ἢ νὰ ἐπισκευάσεις αὐτὴν ποὺ εἶναι ἐρημωμένη; Εἶναι φανερὸ ὅτι ἐκεῖνο, ἐνῶ αὐτὸ βέβαια εἶναι ἀδύνατο. Ὅπως ἀκριβῶς λοιπὸν αὐτὸ εἶναι ἀκατόρθωτο, ἔτσι καὶ ἐκεῖνο εἶναι ἀδύνατο, ἐννοῶ τὸ νὰ ἐνεργεῖ ἀντίθετα.

5. Πές μου, τί εἶναι δυσκολώτερο; νὰ παρασκευάσεις μύρο ἢ νὰ ἐξαναγκάσεις τὸ βοῦρκο νὰ χρησιμοποιηθεῖ σὰν μύρο; Τί εἶναι εὐκολώτερο ἀπὸ αὐτά, πές μου; (ἐπειδὴ ὑποβάλλουμε τὸ Θεὸ στοὺς δικούς μας λογισμούς, ὄχι ὅμως ἐμεῖς, μὴ γένοιτο, ἀλλ' ἐσεῖς), νὰ δημιουργήσεις ὀφθαλμούς, ἢ νὰ κάνεις τυφλό, παραμένοντας τυφλὸς νὰ

τυφλόν, καὶ ὀξυωπέστερον τοῦ βλέποντος, καὶ τῇ τυφλότητι ἀποχρήσασθαι εἰς βλέψιν, καὶ τῇ κωφότητι εἰς ἀκοήν; Ἐμοὶ δοκεῖ ἐκεῖνο. Τὸ δυσκολώτερον οὖν δίδως τῷ Θεῷ, εἰπέ μοι, καὶ τὸ εὐκολώτερον οὐχί; Τί λέγω τοῦτο; Ἀλλὰ καὶ τὰς ψυχὰς ἐκ τῆς οὐσίας αὐτοῦ εἶναί φασιν. Ἀλλ' ὅρα, πόσα τὰ ἀσεβῆ καὶ ἀνόητα. Πρῶτον, βουλόμενοι δεῖξαι, ὅτι ἐκ τοῦ Θεοῦ τὰ κακά, ἕτερον τούτου ἀσεβέστερον ἐπεισάγουσιν· ὁμόχρονα γὰρ αὐτῷ, καὶ οὐδενὸς αὐτῶν πρεσβύτερον τὸν Θεὸν λέγουσι, τὸ γέρας τὸ μέγα καὶ αὐτοῖς διδόναι τολμῶντες. Δεύτερον, καὶ ἀνώλεθρον τὴν κακίαν φασίν· οὐ γὰρ τὸ ἀγένητον ἀναιρεῖται. Ὁρᾶτε τὴ βλασφημίαν; Ὥστε ἀνάγκη, ἢ μηδὲν τοῦ Θεοῦ εἶναι· ἤ, εἰ μὴ ταῦτα, καὶ Θεὸν μὴ εἶναι. Τρίτον ὅπερ ἔφην, ταύτῃ τοι πολεμοῦσι καὶ αὐτοὶ ἑαυτοῖς, καὶ προσαγανακτεῖν τὸν Θεὸν μᾶλλον παρασκευάζουσιν. Τέταρτον, τὴν ἄστατον ὕλην τοσαύτην ἐπιτηδειότητα ἔχειν διδόασι. Πέμπτον, τῆς ἀγαθότητος τοῦ Θεοῦ τὴν πονηρίαν αἰτίαν φασὶ γεγενῆσθαι, καὶ ὅτι χωρὶς ταύτης ὁ ἀγαθὸς οὐκ ἦν ἀγαθός. Ἕκτον, τὰς ὁδοὺς ἡμῖν ἀποκλείουσι τῆς θεογνωσίας. Ἕβδομον, τὸν Θεὸν εἰς ἀνθρώπους κατάγουσι, καὶ φυτά, καὶ ξύλα. Εἰ γὰρ ἡ μὲν ἡμετέρα ψυχὴ τῆς τοῦ Θεοῦ οὐσίας ἐστίν, ἡ δὲ μετενσωμάτωσις καὶ εἰς σικυοὺς καὶ πέπονας ἐκβαίνει καὶ κρόμμυα, ἄρα τοῦ Θεοῦ ἡ οὐσία εἰς σικυοὺς ἔσται.

Κἂν μὲν εἴπωμεν, ὅτι Πνεῦμα ἅγιον ναὸν ἔπλασεν ἐν τῇ Παρθένῳ, καταγελῶσιν· ἄν, ὅτι ἐνῴκησεν ἐν τῷ πνευματικῷ ναῷ, πάλιν γελῶσιν. Αὐτοὶ δὲ καὶ εἰς σικυοὺς καὶ πέπονας καὶ μυίας καὶ κάμπας καὶ ὄνους τοῦ Θεοῦ τὴν οὐσίαν κατάγοντες, οὐκ αἰσχύνονται, καινόν τινα εἰδωλολατρίας ἐξευρίσκοντες τρόπον. Ἀλλ' οὐ τὸ κρόμμυον ἐν τῷ Θεῷ, ἀλλ' ὁ Θεὸς ἐν τῷ κρομμύῳ ἐστί. (Μὴ γὰρ τὸ κρόμμυον ἔστω Θεός).

βλέπει, καὶ πολὺ πιὸ καλύτερα ἀπὸ ἐκεῖνον ποὺ βλέπει, καὶ νὰ μεταχειρισθεῖς τὴν τυφλότητα γιὰ ὅραση καὶ τὴν κωφότητα γιὰ ἀκοή; Ἐμένα μοῦ φαίνεται ἐκεῖνο. Πές μου τὸ δυσκολώτερο λοιπὸν τὸ ἀποδίδεις στὸ Θεό, τὸ δὲ εὐκολώτερο ὄχι; Γιατί λέγω αὐτό; Καθόσον λέγουν ὅτι καὶ οἱ ψυχὲς εἶναι ἀπὸ τὴν οὐσία αὐτοῦ. Ἀλλὰ πρόσεχε, πόσα εἶναι τὰ ἀσεβῆ καὶ ἀνόητα. Πρῶτο, θέλοντας νὰ ἀποδείξουν ὅτι τὰ κακὰ προέρχονται ἀπὸ τὸ Θεό, παρουσιάζουν ἄλλο ἀσεβέστερο ἀπ' αὐτό· διότι λέγουν, ὅτι τὰ κακὰ ἔγιναν κατὰ τὸν ἴδιο χρόνο μὲ τὸ Θεό, καὶ ὅτι ὁ Θεὸς δὲν εἶναι ἀρχαιότερος κανενὸς ἀπὸ αὐτά, τολμώντας νὰ ἀποδίδουν τὸ μεγάλο βραβεῖο σ' αὐτά. Δεύτερο, ὑποστηρίζουν ὅτι ἡ κακία δὲν καταστρέφεται· διότι τὸ ἀδημιούργητο δὲν καταστρέφεται. Βλέπετε τὴ βλασφημία; Ὥστε εἶναι ἀνάγκη, ἢ τίποτε νὰ μὴ εἶναι τοῦ Θεοῦ, ἤ, ἐὰν ὄχι αὐτά, καὶ Θεὸς νὰ μὴ ὑπάρχει. Τρίτο, ὅπως προανέφερα, πολεμοῦν μὲ τὸν τρόπο αὐτὸ οἱ ἴδιοι τοὺς ἑαυτούς τους καὶ συντελοῦν ἐπὶ πλέον νὰ ἀγανακτεῖ περισσότερο ὁ Θεός. Τέταρτο, ἀποδίδουν στὴν ἄστατη ὕλη τὴ δυνατότητα νὰ ἔχει τόση ἐπιτηδειότητα. Πέμπτο, ἰσχυρίζονται ὅτι ἡ κακία ἔγινε αἰτία τῆς ἀγαθότητας τοῦ Θεοῦ, καὶ ὅτι χωρὶς αὐτὴν ὁ ἀγαθὸς δὲν θὰ ἦταν ἀγαθός. Ἕκτο, ἀποκλείουν ἀπὸ μᾶς τοὺς δρόμους τῆς θεογνωσίας. Ἕβδομο, κατεβάζουν τὸ Θεὸ σ' ἀνθρώπους καὶ φυτὰ καὶ ξύλα. Διότι, ἂν μὲν ἡ ψυχή μας προέρχεται ἀπὸ τὴν οὐσία τοῦ Θεοῦ, κατὰ δὲ τὴν μετενσάρκωση καταλήγει καὶ σὲ ἀγγούρια καὶ πεπόνια καὶ κρεμμύδια, ἄρα ἡ οὐσία τοῦ Θεοῦ θὰ βρίσκεται σὲ ἀγγούρια!

Καὶ ὅταν μὲν ποῦμε, ὅτι τὸ ἅγιο Πνεῦμα ἔπλασε ναὸ στὴν Παρθένο, μᾶς χλευάζουν, ἂν ποῦμε, ὅτι κατοίκησε στὸν πνευματικὸ ναό, πάλι γελοῦν. Αὐτοὶ δέ, κατεβάζοντας τὴν οὐσία τοῦ Θεοῦ καὶ σ' ἀγγούρια καὶ πεπόνια, καὶ μύγες καὶ κάμπιες καὶ ὄνους, δὲν ντρέπονται, ἐξευρίσκοντας ἔτσι κάποιο καινούριο τρόπο εἰδωλολατρίας. Ὅμως δὲν βρίσκεται τὸ κρεμμύδι στὸ Θεό, ἀλλ' ὁ Θεὸς στὸ κρεμμύδι. (Ἂς μὴ γίνει δηλαδὴ τὸ κρεμμύδι Θεός). Γιατί

Τί φεύγεις τὴν μετενσωμάτωσιν τοῦ Θεοῦ; Αἰσχρόν, φησίν, ἐστίν. Οὐκοῦν πολλῷ μᾶλλον τοῦτο αἰσχρόν. Ἀλλ' οὐκ αἰσχρόν; Πῶς; Ὅπερ γὰρ ἂν εἰς ἡμᾶς γένηται, ὄντως αἰσχρόν. Εἴδετε συρφετὸν ἀσεβείας; Ἀλλὰ διατί οὐ βούλονται ἀνίστασθαι σῶμα; Τί δὲ καὶ ἐροῦσιν; Ὅτι τὸ σῶμα πονηρόν; Πόθεν οὖν οἶδας, εἰπέ μοι, τὸν Θεόν; πόθεν ἔχεις τῶν ὄντων τὴν γνῶσιν; Ὁ δὲ φιλόσοφος πόθεν φιλόσοφος, εἰ μηδὲν συντελεῖ τὸ σῶμα; Πήρωσον τὰς αἰσθήσεις, καὶ μάθε τι τῶν δεόντων. Τί δὲ μωρότερον ψυχῆς γένοιτ' ἄν, εἰ ἐξ ἀρχῆς τὰς αἰσθήσεις εἴη πεπηρωμένη; Εἰ γὰρ ἑνὸς μέρους μόνον πήρωσις, τοῦ ἐγκεφάλου λέγω, τὸ πᾶν αὐτῆς βλάβη γίνεται, εἰ μέλλοι καὶ τὰ ἄλλα πεπηρῶσθαι, ποῦ χρήσιμος ἔσται; Δεῖξον μοι χωρὶς σώματος ψυχήν. Ἢ οὐκ ἀκούεις ἰατρῶν λεγόντων, 'νόσος γὰρ παροῦσα δεινῶς ψυχὴν ἀμαυροῖ';

Μέχρι τίνος οὐκ ἀπάγξεσθε; Τὸ σῶμα τῆς ὕλης ἐστίν; εἰπέ μοι. Καλῶς. Οὐκοῦν ἔδει μισεῖν αὐτό· τί τοίνυν αὐτὸ τρέφεις; Τί θάλπεις; Οὐκοῦν ἔδει ἀναιρεῖν σαυτόν; Οὐκοῦν ἔδει ἀπαλλάττεσθαι τοῦ δεσμωτηρίου. Ἄλλως δέ, ὁ Θεὸς οὐ δύναται περιγενέσθαι τῆς ὕλης ἂν μὴ συμπλακῇ. Ἐπιτάξαι γὰρ οὐ δύναται, ἕως ἂν οὐ συγγένηται αὐτῇ, καὶ δι' ὅλης σταθῇ. Ὢ τῆς ἀσθενείας. Καὶ βασιλεὺς μὲν ἐπιτάττων πάντα ποιεῖ, ὁ δὲ Θεὸς τοῖς πονηροῖς οὐκ ἐπιτάττων; Ὅλως δὲ εἰ ἀγαθοῦ τινος ἄμοιρος ἦν, οὐκ ἂν ἔστη ἡ ὕλη. Οὐ γὰρ ἔχει φύσιν ἡ πονηρία συνίστασθαι, ἂν μή τινος ἐπιλάβηται τῶν τῆς ἀρετῆς· ὥστε εἰ πρὸ τούτου ἀμιγὴς ἦν ἀρετῆς, πάλαι ἂν διεφθάρη· καὶ γὰρ τοῦτον ἔχει τὸν τρόπον τὰ κακά.

Ἔστω τις ἀσελγὴς καὶ μηδὲ ὅλως ἑαυτοῦ κατεχέτω, εἰ

ἀποφεύγεις τὴ μετενσωμάτωση τοῦ Θεοῦ; Εἶναι αἰσχρό, λέγει. Λοιπὸν πολὺ περισσότερο εἶναι αἰσχρὸ αὐτό. Ἀλλὰ δὲν εἶναι αἰσχρό; Πῶς; Διότι ἐκεῖνο ποὺ θὰ μποροῦσε νὰ γίνει σὲ μᾶς, εἶναι πράγματι αἰσχρό. Εἴδατε συρφετὸ ἀσέβειας; Ἀλλὰ γιατί δὲν θέλουν νὰ ἀνασταίνεται τὸ σῶμα; Τί δὲ θὰ ποῦν; Ὅτι τὸ σῶμα εἶναι πονηρό; Πές μου, ἀπὸ ποῦ λοιπὸν γνωρίζεις τὸ Θεό; ἀπὸ ποὺ ἔχεις τὴ γνώση τῶν ὄντων; Ὁ δὲ φιλόσοφος ἀπὸ ποῦ εἶναι φιλόσοφος, ἂν σὲ τίποτε δὲν συντελεῖ τὸ σῶμα; Ἀκρωτηρίασε τὶς αἰσθήσεις καὶ μάθε κάτι ἀπὸ τὰ ἀναγκαῖα. Τί δὲ θὰ μποροῦσε νὰ ὑπάρξει μικρότερο ἀπὸ τὴν ψυχή, ἂν ἀπὸ τὴν ἀρχὴ εἶχε τὶς αἰσθήσεις ἀκρωτηριασμένες; Διότι, ἂν ἡ ἀναπηρία, ἑνὸς μέρους μόνον, τοῦ ἐγκεφάλου ἐννοῶ, βλάπτει ὁλόκληρη τὴν ψυχή, ἐὰν συνέβαινε καὶ τὰ ἄλλα νὰ γίνουν ἀνάπηρα, ποὺ θὰ ἦταν τότε χρήσιμη; Δεῖξε μου ψυχὴ χωρὶς σῶμα. Ἢ δὲν ἀκούεις τοὺς ἰατροὺς νὰ λέγουν, 'ὅταν ἡ νόσος εἶναι παροῦσα, φθείρει φοβερὰ τὴν ψυχή';

Μέχρι ποίου σημείου θὰ κινδυνεύετε νὰ πνιγεῖτε; Πές μου, τὸ σῶμα προέρχεται ἀπὸ τὴν ὕλη; Καλῶς. Λοιπὸν ἔπρεπε νὰ μισεῖς αὐτό· γιατί λοιπὸν τὸ τρέφεις; γιατὶ περιθάλπεις αὐτό; Ἔπρεπε λοιπὸν νὰ αὐτοκτονεῖς, ἔπρεπε νὰ ἀπαλλαγεῖς ἀπὸ τὸ δεσμωτήριο. Ἀλλιῶς δὲ ὁ Θεὸς δὲν μπορεῖ νὰ ὑπερισχύσει τῆς ὕλης, ἂν δὲν συμπλακεῖ μὲ αὐτήν. Διότι δὲν μπορεῖ νὰ διατάζει αὐτήν, μέχρις ὅτου ἔλθει σὲ σχέση μὲ αὐτήν, καὶ σταθεροποιηθεῖ αὐτή. Πώ, πὼ μέγεθος ἀσθένειας. Καὶ βασιλεὺς μέν, ὅταν διατάσσει τὰ πάντα γίνονται, ὁ δὲ Θεὸς τοὺς πονηροὺς δὲν μπορεῖ νὰ τοὺς διατάσσει; Ἐὰν δὲ ἡ ὕλη ἦταν ἐξ ὁλοκλήρου ἄμοιρη κάποιου ἀγαθοῦ, δὲν θὰ μποροῦσε νὰ σταθεῖ. Διότι ἡ πονηρία ἐκ φύσεως δὲν μπορεῖ νὰ ὑπάρχει, ἂν δὲν προσλάβει κάτι ἀπὸ τὴν ἀρετή· ὥστε, ἂν πρὶν ἀπὸ αὐτὸ δὲν ἦταν ἀναμειγμένη μὲ τὴν ἀρετή, πρὸ πολλοῦ θὰ εἶχε διαφθαρεῖ. Καθόσον αὐτὸν τὸν τρόπο ἀκολουθοῦν τὰ κακά.

Ἂς ὑποθέσουμε ὅτι κάποιος εἶναι ἀσελγὴς καὶ δὲν

ζήσετε δέκα ἡμέρας; Ἔστω τις λῃστὴς καὶ πρὸς πάντας ἀσυνείδητος, ἔστω καὶ πρὸς τοὺς συλλῃστεύοντας, εἰ ζήσεται ὅλως; Ἔστω τις κλέπτης ἀναίσχυντος, καὶ μὴ ἐρυθριάτω, ἀλλὰ δημοσίᾳ κλεπτέτω, εἰ βιώσεται ὁ τοιοῦτος; Οὐκ ἔχει φύσιν τὰ κακὰ συνίστασθαι, ἂν μὴ καὶ μικρόν τι παρὰ τῶν ἀγαθῶν λάβῃ, ὥστε καὶ κατ' αὐτοὺς ὁ Θεὸς αὐτὰ συνέστησεν. Ἔστω πόλις ἀνδρῶν πονηρῶν, εἰ στήσεταί ποτε; Πονηροὶ δὲ ἔστωσαν, μὴ πρὸς τοὺς ἀγαθούς, ἀλλὰ καὶ πρὸς ἑαυτούς. Ἀλλ' οὐ δυνατὸν στῆναι. «Ὄντως ἐμωράνθησαν φάσκοντες εἶναι σοφοί». Εἰ τὸ σῶμα κακόν, πάντα ἁπλῶς καὶ εἰκῇ τὰ ὁρώμενα, καὶ ὕδωρ, καὶ γῆ, καὶ ἥλιος, καὶ ἀήρ. Καὶ γὰρ καὶ ὁ ἀὴρ σῶμα, εἰ καὶ μὴ παχὺ καὶ ναστόν. Εὔκαιρον οὖν εἰπεῖν· «Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας».

Ἀλλὰ μὴ ἀνεχώμεθα, ἀλλ' ἀποτειχίσωμεν αὐτοῖς τὰς ἀκοάς. Ἔστι γάρ, ἔστι σωμάτων ἀνάστασις. Τοῦτο ὁ τάφος δηλοῖ ὁ ἐν Ἰεροσολύμοις· τοῦτο τὸ ξύλον, ἔνθα προσεδέθη καὶ ἐμαστιγώθη. «Συνεφάγομεν γὰρ αὐτῷ», φησί, «καὶ συνεπίομεν». Πιστεύωμεν τοίνυν τῇ ἀναστάσει, καὶ πράττωμεν ἄξια ταύτης, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

35. Ρωμ. 1, 22.
36. Ψαλμ. 118, 86.
37. Πραξ. 10, 41.

συγκρατεῖ τὸν ἑαυτό του καθόλου· θὰ μποροῦσε νὰ ζήσει δέκα ἡμέρες; Ἂν δὲ εἶναι κάποιος ληστὴς καὶ ἀσυνείδητος πρὸς ὅλους, ἀκόμη καὶ πρὸς τοὺς συνεργάτες του ληστές, θὰ ζήσει καθόλου; Ἐὰν κάποιος εἶναι ἀναίσχυντος κλέπτης, ποὺ δὲν κοκκινίζει ἀπὸ ἐντροπή, ἀλλὰ κλέπτει δημόσια, θὰ μπορέσει νὰ ἐπιβιώσει αὐτός; Ἐκ φύσεως τὰ κακὰ δὲν μποροῦν νά ὑπάρχουν, ἂν δὲν λάβουν κάτι, ἔστω καὶ μικρό, ἀπὸ τὰ ἀγαθά, καὶ ἑπομένως, κατ' αὐτούς, ὁ Θεὸς δημιούργησε αὐτά. Ἂς ὑποθέσουμε ὅτι ὑπάρχει κάποια πόλη μὲ ἀνθρώπους κακούς· θὰ σταθεῖ ποτέ; Καὶ εἶναι κακοὶ ὄχι μόνο πρὸς τοὺς ἀγαθούς, ἀλλὰ καὶ μεταξύ τους. Ἀλλὰ δὲν εἶναι δυνατὸν νὰ ἐπιβιώσουν. Πράγματι «ἔγιναν μωροί, λέγοντας ὅτι εἶναι σοφοί»[85]. Ἐὰν τὸ σῶμα ἦταν κακό, τότε ὅλα γενικὰ τὰ βλεπόμενα, καὶ τὸ νερό, καὶ ἡ γῆ, καὶ ὁ ἥλιος καὶ ὁ ἀέρας, θὰ ἦταν κακά. Διότι καὶ ὁ ἀέρας εἶναι σῶμα, ἂν καὶ δὲν εἶναι παχὺ καὶ πυκνό. Εἶναι ἐπίκαιρο λοιπὸν νὰ ποῦμε, «Οἱ παράνομοι μοῦ διηγήθηκαν φλυαρίες»[86].

Ὅμως ἂς μὴ ἀνεχόμαστε, ἀλλ' ἂς κλείσουμε τ' αὐτιά μας πρὸς αὐτούς. Διότι ὑπάρχει, ὑπάρχει ἀνάσταση. Αὐτὸ τὸ φανερώνει ὁ τάφος στά Ἱεροσόλυμα· αὐτὸ τὸ φανερώνει τὸ ξύλο τοῦ σταυροῦ, ὅπου προσδέθηκε καὶ μαστιγώθηκε. Διότι λέγει «Φάγαμε καὶ ἤπιαμε μαζί του μετὰ τὴν ἀνάσταση»[87]. Ἂς πιστεύομε λοιπὸν στὴν ἀνάσταση καὶ ἂς πράττουμε ἔργα ἀντάξια αὐτῆς, γιὰ νά ἐπιτύχουμε καὶ τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, μετὰ τοῦ ὁποίου στὸν Πατέρα, μαζὶ καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει δόξα, δύναμη, τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Γ΄

(Πράξ. 1, 12 - 26)

«Τότε ὑπέστρεψαν οἱ ἀπόστολοι εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλήμ, Σαββάτου ἔχον ὁδόν».

1. «Τότε», φησίν, «ὑπέστρεψαν». Τότε, πότε; Ὅτε ἤκουσεν. Οὐ γὰρ ἂν ἄλλως ἠνέσχοντο, εἰ μὴ ἑτέραν αὐτοῖς παρουσίαν ὑπέσχετο. Δοκεῖ δέ μοι καὶ ἐν Σαββάτῳ γεγονέναι ταῦτα. Οὐ γὰρ ἂν οὕτω καὶ τὸ διάστημα ἐδήλωσεν εἰπών, «Ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλήμ, Σαββάτου ἔχον ὁδόν», εἰ μὴ ὡρισμένον τι μῆκος ὁδοιπορίας ἐβάδιζον ἐν τῇ ἡμέρᾳ τοῦ Σαββάτου. «Καὶ ὅτε εἰσῆλθον εἰς τὸ ὑπερῷον ἀνέβησαν, οὗ ἦσαν καταμένοντες». Ἄρα λοιπὸν ἐν Ἱεροσολύμοις ἔμενον μετὰ τὴν ἀνάστασιν. «Ὅ τε Πέτρος», φησί, «καὶ Ἰάκωβος, καὶ Ἰωάννης». Οὐκ ἔτι μετὰ τοῦ ἀδελφοῦ μόνος οὗτος ἀριθμεῖται, ἀλλὰ καὶ Ἀνδρέας μετὰ Πέτρου· «Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος ὁ Ἀλφαίου, καὶ Σίμων ὁ ζηλωτής, καὶ Ἰούδας Ἰακώβου». Καλῶς ἐμνημόνευσε τῶν μαθητῶν. Ἐπειδὴ γὰρ ὁ μὲν προέδωκεν, ὁ δὲ ἠρνήσατο, ὁ δὲ ἠπίστησε, δείκνυσιν, ὅτι πλὴν ἐκείνου πάντες ἦσαν σῶοι.

«Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει σὺν ταῖς γυναιξί». Καλῶς. Μέγα γὰρ τοῦτο ὅπλον ἐν τοῖς πειρασμοῖς καὶ τοῦτο ἦσαν προπαιδευθέντες ἱκανῶς ὑπ' αὐτοῦ τοῦ διδασκάλου. Ἄλλως δέ, καὶ ὁ πα-

---

1. Πράξ. 1, 12.

1α. Τὸ μῆκος τοῦτο, κατὰ τὴν Ἰουδαϊκὴ παράδοση ἦταν περὶ τὰ 1400 μ.

ΟΜΙΛΙΑ Γ΄
(Πράξ. 1, 12 - 26)

«Τότε οἱ μαθητὲς ἐπέστρεψαν στὴν Ἱερουσαλὴμ ἀπὸ τὸ ὄρος ποὺ λέγεται Ἐλαιών καὶ ποὺ εἶναι κοντὰ στὴν Ἱερουσαλὴμ σὲ ἀπόσταση πορείας ποὺ ἐπιτρέπεται νὰ βαδίσουν κατὰ τὸ Σάββατο»[1].

1. «Τότε», λέγει, «ἐπέστρεψαν». Τότε, πότε; Ὅταν ἄκουσαν. Διότι ἀλλιῶς δὲν θὰ ἀνέχονταν, ἐὰν δὲν ὑποσχόταν σ' αὐτοὺς ἄλλη παρουσία. Νομίζω δὲ ὅτι αὐτὰ ἔχουν γίνει καὶ σὲ ἡμέρα Σάββατο. Διότι δὲν θὰ φανέρωνε ἔτσι καὶ τὸ χρονικὸ διάστημα, λέγοντας, «ἀπὸ τὸ ὄρος, ποὺ λέγεται ὄρος τῶν Ἐλαιῶν, καὶ εἶναι κοντὰ στὴν Ἱερουσαλήμ, σὲ ἀπόσταση πορείας ποὺ ἐπιτρέπεται τὴν ἡμέρα τοῦ Σαββάτου», ἐὰν δὲν βάδιζαν κάποια ὁρισμένη ἀπόσταση ὁδοιπορίας κατὰ τὴν ἡμέρα τοῦ Σαββάτου[1α]. «Καὶ ὅταν εἰσῆλθαν στὴν πόλη, ἀνέβηκαν στὸ ἀνώγιο, ὅπου συγκεντρώνονταν». Ἄρα μετὰ τὴν Ἀνάσταση ἔμεναν πλέον στὰ Ἱεροσόλυμα. «Καὶ ὁ Πέτρος, λέγει, καὶ ὁ Ἰάκωβος, καὶ ὁ Ἰωάννης». Αὐτὸς καθόλου δὲν ἀριθμεῖται, ἀλλὰ μόνο μαζὶ μὲ τὸν ἀδελφό του, ἀλλὰ καὶ ὁ Ἀνδρέας μαζὶ μὲ τὸν Πέτρο· «ὁ Φίλιππος καὶ ὁ Θωμᾶς, ὁ Βαρθολομαῖος καὶ ὁ Ματθαῖος, ὁ Ἰάκωβος ὁ υἱὸς τοῦ Ἀλφαίου, ὁ Σίμων ὁ Ζηλωτής, καὶ Ἰούδας ὁ υἱὸς τοῦ Ἰακώβου». Καλῶς ἀνέφερε τοὺς μαθητές. Διότι, ἐπειδὴ ὁ μὲν ἕνας τὸν πρόδωσε, ὁ δὲ ἄλλος τὸν ἀρνήθηκε, ἄλλος δὲ ἔδειξε ἀπιστία, φανερώνει ὅτι ἐκτὸς ἐκείνου, ὅλοι ἦταν σῶοι.

«Ὅλοι αὐτοὶ ἦταν προσηλωμένοι μὲ μιὰ ψυχὴ στὴν προσευχὴ καὶ στὴ δέηση μαζὶ μὲ μερικὲς γυναῖκες». Πολὺ καλῶς. Διότι αὐτὸ εἶναι μεγάλο ὅπλο στοὺς πειρασμούς, καὶ σ' αὐτὸ εἶχαν διαπαιδαγωγηθεῖ ἀπὸ πρὶν ἀρκετὰ ἀπὸ τὸν ἴδιο τὸν διδάσκαλο. Ἐξάλλου δὲ καὶ ὁ παρὼν πειρα-

ρῶν πειρασμὸς αὐτοὺς εἰς τοῦτο ἦγε. Διὰ τοῦτο ἀναβαίνουσι καὶ εἰς τὸ ὑπερῷον· σφόδρα γὰρ ἐδεδοίκεσαν τοὺς Ἰουδαίους. «Σὺν γυναιξί», φησίν. Εἶπε γάρ, ὅτι ἠκολούθησαν αὐτῷ. «Καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ». Πῶς οὖν λέγει, ὅτι εἰς τὰ ἴδια αὐτὴν ἔλαβε τότε ὁ μαθητής; Ἀλλὰ συναγαγὼν πάλιν αὐτοὺς ὁ Χριστός, οὕτω λοιπὸν πάλιν αὐτοῖς καὶ ἐκείνη συνῆν. «Καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ». Τούτους λέγει, οἳ ἀπιστοῦντες πρότερον ἦσαν αὐτῷ.

«Καὶ ἐν ταῖς ἡμέραις ταύταις, ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν εἶπε». Καὶ ὡς θερμός, καὶ ὡς ἐμπιστευθεὶς παρὰ τοῦ Χριστοῦ τὴν ποίμνην, καὶ ὡς τοῦ χοροῦ πρῶτος, ἀεὶ πρότερος ἄρχεται τοῦ λόγου («Ἦν τε ὄχλος ὀνομάτων», φησίν, «ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσιν»), «Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν Γραφὴν ταύτην, ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον». Τί δήποτε οὐ τὸν Χριστὸν ἠξίωσε μόνος, ὥστε αὐτῷ δοῦναι εἰς τὸν τόπον Ἰούδα τινά; διατί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ ποιοῦνται τὴν ἐκλογήν; Βελτίων λοιπὸν ἦν γεγονὼς ὁ Πέτρος αὐτὸς ἑαυτοῦ. Τοῦτο τοίνυν ἐστὶν εἰπεῖν περὶ τούτου. Περὶ δὲ τοῦ μὴ ἁπλῶς, ἀλλ' ἐξ ἀποκαλύψεως αἰτεῖν τὸν τὴν χορείαν ἀναπληρώσοντα, δύο αἰτίας ἐροῦμεν· μίαν μέν, ὅτι περὶ ἄλλα ἠσχόληντο· δευτέραν δέ, ὅτι τοῦ παρεῖναι αὐτοῖς τὸν Χριστὸν τεκμήριον μέγιστον τοῦτο. Καθάπερ γὰρ παρὼν ἐξελέγετο, οὕτω καὶ ἀπών. Οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίαν. Ὅρα δὲ αὐτὸν μετὰ κοινῆς πάντα ποιοῦντα γνώμης· οὐδὲν αὐθεντικῶς, οὐδὲ ἀρχικῶς. Καὶ οὐκ εἶπεν οὕτως ἁπλῶς· 'ἀντὶ τοῦ Ἰούδα τοῦτον καταλέγομεν'· ἀλλὰ παραμυθούμενος αὐτοὺς ὑπὲρ τοῦ γεγενημένου, βλέπε, πῶς μεταχειρίζει τὸν λόγον. Οὐ γὰρ μικρὰν ἀπορίαν ἐνεποίησε τὸ γεγονός· καὶ μὴ θαυμάσῃς. Εἰ γὰρ νῦν τοῦτο πολλοὶ περιστρέ-

---

2. Ἰω. 19, 27.

σμός σ' αὐτὸ ὁδήγησε αὐτούς. Γι' αὐτὸ καὶ ἀνεβαίνουν στὸ ὑπερῷο. Διότι εἶχαν φοβηθεῖ πάρα πολὺ τοὺς Ἰουδαίους. «Μαζὶ μὲ μερικὲς γυναῖκες», λέγει. Ἐπειδὴ εἶπε, ὅτι τὸν ἀκολούθησαν. «Καὶ τὴ Μαρία τὴ μητέρα τοῦ Ἰησοῦ καὶ μαζὶ μὲ τοὺς ἀδελφούς του». Πῶς λοιπὸν λέγει, «ὅτι τὴν πῆρε ὁ μαθητὴς στὸ σπίτι του»[2]; Ἀλλ' ἀφοῦ πάλι συγκέντρωσε ὁ Χριστὸς αὐτούς, μὲ τὸν τρόπο αὐτὸ στὴ συνέχεια πάλι μὲ αὐτοὺς παραβρισκόταν καὶ ἐκείνη. «Καὶ μαζὶ μὲ τοὺς ἀδελφούς του». Ἐννοεῖ αὐτοὺς ποὺ εἶχαν ἀπιστήσει σ' αὐτὸν προηγουμένως.

«Καὶ κατὰ τὶς ἡμέρες αὐτὲς σηκώθηκε ὁ Πέτρος στὸ μέσον τῶν μαθητῶν καὶ εἶπε». Καὶ σὰν θερμὸς καὶ σὰν ἐμπιστευμένος τὴν ποίμνη ἀπὸ τὸ Χριστό, καὶ σὰν ὁ πρῶτος τοῦ χοροῦ τῶν Ἀποστόλων, πάντοτε ἀρχίζει πρῶτος τὸ λόγο. («Ἦταν δὲ ἐκεῖ», λέγει, «παρόντα περὶ τὰ ἑκατὸν εἴκοσι πρόσωπα»). «Ἄνδρες ἀδελφοί, ἔπρεπε νὰ ἐκπληρωθεῖ ἡ γραφὴ αὐτή, τὴν ὁποία προεῖπε τὸ Πνεῦμα τὸ ἅγιο». Γιατί τέλος πάντων δὲν παρακάλεσε μόνο τὸ Χριστό, γιὰ νὰ δώσει γι' αὐτὸν κάποιον στὴ θέση τοῦ Ἰούδα; καὶ γιατί δὲν κάνουν τὴν ἐκλογὴ μόνοι τους; Ὁ Πέτρος, εἶχε γίνει πιὰ αὐτὸς ὁ ἴδιος καλύτερος τοῦ ἑαυτοῦ του. Αὐτὸ λοιπὸν εἶναι δυνατὸν νὰ λεχθεῖ γι' αὐτόν. Γιὰ τὸ ὅτι δὲ ὄχι ἁπλῶς, ἀλλ' ἐξ ἀποκαλύψεως ζητοῦν ἐκεῖνον ποὺ θὰ ἀναπληρώσει τὸν ὅμιλο τῶν μαθητῶν, δυὸ αἰτίες θὰ ποῦμε· μία μέν, ὅτι ἀσχολοῦνταν μὲ ἄλλα. δεύτερη δέ, ὅτι αὐτὸ ἦταν μέγιστη ἀπόδειξη τῆς παρουσίας τοῦ Χριστοῦ σ' αὐτούς. Διότι, ὅπως ἀκριβῶς ὅταν ἦταν παρὼν προέβαινε στὴν ἐκλογὴ τῶν μαθητῶν, κατὰ τὸν ἴδιο τρόπο καὶ ὅταν ἦταν ἀπών. Δὲν ἦταν ἀσήμαντο αὐτὸ γιὰ παρηγορία. Πρόσεξε δὲ τὸν Πέτρο, ποὺ ὅλα τὰ κάμνει μὲ σύμφωνη γνώμη καὶ τῶν ἄλλων. Δὲν κάνει τίποτε κατὰ τρόπο αὐθεντικό, οὔτε σὰν ἀρχηγός. Καὶ δὲν εἶπε ἔτσι ἁπλῶς, 'ἀντὶ τοῦ Ἰούδα αὐτὸν συμπεριλαμβάνομε', ἀλλὰ γιὰ νὰ παρηγορήσει αὐτοὺς γιὰ τὸ γεγονός, βλέπε πῶς μεταχειρίζεται τὸ λόγο. Διότι τὸ γεγονὸς δὲν παρουσίασε μικρὴ δυσχέρεια. Καὶ μὴ ἀπορήσεις. Διότι, ἂν αὐτὸ τώρα πολλοὶ

φουσι, τί τότε εἰκὸς ἦν αὐτοὺς λέγειν;

«Ἄνδρες», φησίν, «ἀδελφοί». Εἰ ὁ Κύριος ἀδελφοὺς αὐτοὺς ἐκάλεσε, πολλῷ μᾶλλον οὗτος· διὸ καὶ πάντων παρόντων τοῦτο ἀναφωνεῖ. Ἰδοὺ Ἐκκλησίας ἀξίωμα καὶ ἀγγελικὴ κατάστασις. Οὐδεὶς ἦν ἐκεῖ διερρηγμένος, οὐκ ἄρσεν, οὐ θῆλυ. Τοιαύτας βούλομαι τὰς Ἐκκλησίας εἶναι καὶ νῦν. Οὐδεὶς βιωτικόν τι ἐφρόντιζεν, οὐδεὶς περὶ οἰκίας ἐμερίμνα. Τοσοῦτον ἀγαθὸν οἱ πειρασμοί· τοιοῦτον αἱ θλίψεις καλόν. «Ἔδει πληρωθῆναι τὴν Γραφὴν ταύτην ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον». Ἀεὶ παραμυθεῖται αὐτοὺς ἀπὸ τῆς προρρήσεως. Οὕτω καὶ ὁ Χριστὸς πανταχοῦ ποιεῖ. Τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτος δείκνυσιν, ὅτι οὐδὲν ξένον γέγονεν, ἀλλὰ τὸ ἤδη προειρημένον. «Ἔδει», φησί, «πληρωθῆναι τὴν Γραφὴν ταύτην, ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαυίδ». Καὶ οὐ λέγει, 'Δαυὶδ εἶπεν', ἀλλά, «τὸ Πνεῦμα δι' αὐτοῦ». Ὅρα εὐθέως ἐν προοιμίοις τοῦ βιβλίου ὁποίᾳ κέχρηται διδασκαλίᾳ. Ὁρᾷς, ὅτι οὐχ ἁπλῶς εἶπον ἀρχόμενος τῆς συγγραφῆς, ὅτι τοῦ Πνεύματός ἐστι πολιτεία τὸ βιβλίον τοῦτο; «Ἣν προεῖπε», φησί, «τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαυίδ». Σκόπει, πῶς τὸν προφήτην οἰκειοῦται, καὶ αὐτὸν ἄγει εἰς μέσον, εἰδώς, ὅτι αὐτοὺς ὠφελεῖ τὸ διὰ Δαυὶδ εἰρῆσθαι, καὶ μὴ δι' ἄλλου προφήτου.

«Περὶ Ἰούδα», φησί, τοῦ ὁδηγοῦ γενομένου». Ὅρα καὶ ἐνταῦθα τὸ φιλόσοφον τοῦ ἀνδρός. Οὐχ ὑβρίζει οὐδὲ ἐνάλλεται, λέγων, 'τοῦ μιαροῦ καὶ παμμιάρου', ἀλλ' ἁπλῶς τὸ γενόμενον δηλοῖ· οὐδὲ λέγει, 'τοῦ προδόντος', ἀλλ' ἐφ' ἑτέρους βιάζεται μεταθεῖναι τὸ ἔγκλημα, ὅσον εἰς αὐτὸν ἧκε. Καὶ οὐδὲ ἐκείνων σφόδρα καθάπτεται· «Τοῦ γενομένου γάρ», φησίν, «ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν». Καὶ πρὶν ἢ εἰπεῖν, «ποῦ εἶπεν ὁ Δαυίδ», λέγει τὰ πεπραγμέ-

ἐπαναλαμβάνουν, τί ἦταν φυσικὸ τότε νὰ λέγουν αὐτοί;

«Ἄνδρες», λέγει, «ἀδελφοί». Ἂν ὁ Κύριος ἀδελφοὺς ὀνόμασε αὐτούς, πολὺ περισσότερο αὐτός· γι' αὐτὸ καὶ ἐνῶ εἶναι ὅλοι παρόντες κάμνει αὐτὴ τὴν ἐκφώνηση. Νὰ ἀξίωμα τῆς ἐκκλησίας καὶ κατάσταση ἀγγελική. Κανένας ἐκεῖ δὲν ἦταν ποὺ ἦταν ἀποκομμένος, οὔτε ἄνδρας οὔτε γυναίκα. Τέτοιες θέλω καὶ σήμερα νὰ εἶναι οἱ ἐκκλησίες. Κανένας δὲν φρόντιζε γιὰ κάτι βιωτικό, κανένας δὲν μεριμνοῦσε γιὰ οἰκίες. Τόσο πολὺ ἀγαθὸ εἶναι οἱ πειρασμοί· τέτοιο καλὸ προκαλοῦν οἱ θλίψεις. «Ἔπρεπε νὰ ἐκπληρωθεῖ ἡ Γραφὴ αὐτή, τὴν ὁποία προεῖπε τὸ Πνεῦμα τὸ ἅγιο». Πάντοτε παρηγορεῖ αὐτοὺς μὲ τὴν προφητεία. Κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ Χριστὸς κάνει παντοῦ. Τὸν ἴδιο λοιπὸν τρόπο ἀποδεικνύει καὶ αὐτός, ὅτι δὲν συνέβηκε τίποτε τὸ παράξενο, ἀλλὰ αὐτὸ ποὺ ἤδη εἶχε προφητευθεῖ. «Ἔπρεπε», λέγει, «νὰ ἐκπληρωθεῖ ἡ γραφὴ αὐτή, τὴν ὁποία προεῖπε τὸ Πνεῦμα τὸ ἅγιο, μὲ τὸ στόμα τοῦ Δαυίδ». Καὶ δὲν λέγει, 'εἶπε ὁ Δαυίδ, ἀλλά, «τὸ πνεῦμα δι' αὐτοῦ». Πρόσεξε ἀμέσως στὸ προοίμιο τοῦ βιβλίου, ποιὰ διδασκαλία χρησιμοποιεῖ. Βλέπεις, ὅτι δὲν εἶπε ἁπλῶς, ἀρχίζοντας τὴ συγγραφή, ὅτι τὸ βιβλίο τοῦτο εἶναι πολιτεία τοῦ ἁγίου Πνεύματος; «Τὴν ὁποία προεῖπε», λέγει, «τὸ Πνεῦμα τὸ ἅγιο μὲ τὸ στόμα τοῦ Δαυίδ». Πρόσεξε πῶς οἰκειοποιεῖται τὸν προφήτη καὶ τὸν φέρει ἀνάμεσά τους, γνωρίζοντας, ὅτι ὠφελεῖ αὐτοὺς τὸ νὰ ἔχει λεχθεῖ αὐτὸ ἀπὸ τὸν Δαυίδ, καὶ ὄχι ἀπὸ κάποιον ἄλλο προφήτη.

«Γιὰ τὸν Ἰούδα», λέγει, «ποὺ ἔγινεν ἀρχηγός». Πρόσεξε καὶ ἐδῶ τὴν προσεκτικὴ διερεύνηση τοῦ ἄνδρα. Δὲν ὑβρίζει, οὔτε χοροπηδᾶ, λέγοντας, 'τοῦ μολυσμένου μὲ αἵματα καὶ τοῦ ἐξαχρειωμένου', ἀλλ' ἁπλῶς φανερώνει τὸ γεγονός· οὔτε λέγει, 'τοῦ προδότη', ἀλλὰ βιάζεται νὰ μεταθέσει τὸ ἔγκλημα σὲ ἄλλους, ὅσο ἀνῆκε σ' αὐτούς. Καὶ οὔτε γιὰ ἐκείνους ὁμιλεῖ πολύ. Διότι λέγει, «τοῦ γενομένου ὁδηγοῦ σὲ ἐκείνους, ποὺ συνέλαβον τὸν Ἰησοῦ». Καὶ προτοῦ νὰ πεῖ, «ποῦ εἶπε ὁ Δαυίδ», λέγει, τὰ ὅσα ἔπραξε αὐτός, γιὰ νὰ ἐπιβεβαιώσει μὲ τὰ παρόντα τὰ

να αὐτῷ, ἵνα ἀπὸ τῶν παρόντων καὶ τὰ μέλλοντα πιστώσηται, καὶ δείξῃ ἤδη δεδωκότα δίκην. «Ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης. Οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας». Ἠθικὸν ποιεῖ τὸν λόγον, καὶ λανθανόντως τὴν αἰτίαν παιδευτικὴν οὖσαν ἀποκαλύπτει. Οὐ λέγει γάρ, ὅτι οἱ Ἰουδαῖοι· ἀλλ', οὗτος αὐτὸ ἐκτήσατο. Ἐπειδὴ γὰρ αἱ ψυχαὶ τῶν ἀσθενῶν οὐχ οὕτω πρὸς τὰ μέλλοντα ὁρῶσιν, ὡς πρὸς τὰ παρόντα, περὶ τῆς παρούσης δίκης διαλέγεται. «Καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος». Καλῶς οὐκ ἐν τῷ ἁμαρτήματι, ἀλλ' ἐν τῇ τιμωρίᾳ τὸν λόγον ἐπῆρε. «Καὶ ἐξεχύθη», φησί, πάντα τὰ σπλάγχνα αὐτοῦ». Τοῦτο παραμυθίαν ἐκείνοις ἔφερε. «Καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλήμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Ἀκελδαμά, τουτέστι, χωρίον αἵματος».

2. Οἱ μὲν οὖν Ἰουδαῖοι ταύτῃ τῇ προσηγορίᾳ ἐκάλεσαν αὐτό, οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὸν Ἰούδαν, οὗτος δὲ εἰς τοῦτο αὐτὸ μετήγαγε, μάρτυρας τοὺς ἐχθροὺς φέρων. Τῷ τε γὰρ εἰπεῖν, ὅτι ὠνόμασαν, καὶ τῷ ἐπαγαγεῖν, «Τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν», τοῦτο δηλοῦν βούλεται. Εἶτα μετὰ τὴν ἔκβασιν οἰκείως ἐπεισάγει τὸν προφήτην λέγων· «Γέγραπται γὰρ ἐν βίβλῳ Ψαλμῶν· Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ». Τοῦτο περὶ τοῦ χωρίου καὶ τῆς οἰκίας. «Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος»· τουτέστι, τὴν ἀρχήν, τὴν ἱερωσύνην. Ὥστε οὐκ ἐμῇ γνώμῃ τοῦτο τυγχάνει, ἀλλ' ἐκείνου τοῦ ταῦτα προειρηκότος. Ἵνα γὰρ μὴ δόξῃ μεγάλῳ πράγματι ἐπιχειρεῖν, καὶ τοιούτῳ οἵῳ ὁ Χριστός, ἐπήγαγε μάρτυρα τὸν προφήτην. «Δεῖ οὖν», φησί, «τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ». Διατί κοινοῦται αὐτοῖς; Ἵνα μὴ περιμάχητον τὸ πρᾶγμα γένηται, καὶ εἰς φιλονεικίαν ἐμπέσωσιν. Εἰ γὰρ αὐτοὶ τοῦτο ἔπαθον, πολλῷ μᾶλλον ἐκεῖνοι. Καὶ ἀεὶ τοῦτο παραιτεῖται. Διὰ τοῦτο ἀρχόμενος ἔλεγεν· «Ἄνδρες ἀδελφοί, δεῖ ἐκλέξασθαι ἐξ ἡμῶν». Τῷ πλή-

---

3. Ψαλμ. 68, 28.

μέλλοντα, καὶ γιὰ νὰ ἀποδείξει, ὅτι ἤδη ἔχει τιμωρηθεῖ. «Διότι εἶχε συγκαταλεγεῖ μὲ ἐμᾶς καὶ ἔλαβε τὸ μερίδιό του στὴν ὑπηρεσία αὐτή. Αὐτὸς μὲ τὰ χρήματα τῆς ἀδικίας ἀπέκτησε ἕνα χωράφι». Ἠθικὸ κάνει τὸ λόγο καὶ κατὰ τρόπο συγκεκαλυμμένο ἀποκαλύπτει, ὅτι ἡ αἰτία εἶναι παιδαγωγική. Διότι δὲν λέγει, ὅτι οἱ Ἰουδαῖοι, ἀλλ' αὐτὸς ἀπέκτησε αὐτό. Διότι διδάσκει γιὰ τὴν παροῦσα δίκη, ἐπειδὴ οἱ ψυχὲς τῶν ἀσθενῶν δὲν βλέπουν κατ' αὐτὸν τὸν τρόπο πρὸς τὰ μέλλοντα, ὅπως πρὸς τὰ παρόντα. «Καὶ ἔπεσε πρηνής, ἄνοιξε ἡ κοιλιά του». Καλῶς δὲν ἀνέφερε γιὰ τὸ ἁμάρτημα, ἀλλὰ γιὰ τὴν τιμωρία. «Καὶ χύθηκαν ὅλα τὰ σπλάχνα του». Αὐτὸ ἔφερε σ' ἐκείνους παρηγοριά. «Καὶ αὐτὸ ἔγινε γνωστὸ σ' ὅλους τοὺς κατοίκους τῆς Ἱερουσαλήμ, ὥστε ὠνομάσθηκε τὸ χωράφι ἐκεῖνο, στὴ δική τους γλώσσα Ἀκελδαμά, δηλαδὴ χωράφι αἵματος».

2. Οἱ μὲν λοιπὸν Ἰουδαῖοι μὲ αὐτὴν τὴν ὀνομασία ὀνόμασαν αὐτό, ὄχι γι' αὐτὸν τὸ λόγο, ἀλλὰ γιὰ τὸν Ἰούδα, αὐτὸς δὲ συντέλεσε νὰ ὀνομασθεῖ αὐτὸ ἔτσι, φέροντας μάρτυρες τοὺς ἐχθρούς. Διότι καὶ μὲ τὸ νὰ πεῖ ὅτι ἐκεῖνοι τὸ ὀνόμασαν, καὶ μὲ τὸ νὰ προσθέσει, «στὴ δική τους γλώσσα», αὐτὸ θέλει νὰ δηλώσει. Ἔπειτα, μετὰ τὸ ἀποτέλεσμα, προσθέτει τὸν προφήτη λέγοντας, «Διότι εἶναι γραμμένο στὸ βιβλίο τῶν ψαλμῶν. Ἂς γίνει τὸ ἀγρόκτημά του ἔρημο καὶ κανένας νὰ μὴ κατοικεῖ σ' αὐτό»[3]. Αὐτὸ γιὰ τὸ χωρίο καὶ τὴν οἰκία. «Καὶ τὸ λειτούργημά του ἂς λάβει ἄλλος», δηλαδὴ τὴν ἀρχή, τὴν ἱερωσύνη. Ὥστε αὐτὸ δὲν εἶναι δική μου γνώμη, ἀλλ' ἐκείνου, ποὺ προεῖπε αὐτά. Διότι, γιὰ νὰ μὴ φανεῖ, ὅτι ἐπιχειρεῖ μεγάλο πράγμα, καὶ τέτοιο, ποὺ ὁ Χριστὸς πρόσθεσε σὰν μάρτυρα τὸν προφήτη. «Πρέπει λοιπόν, λέγει, ἀπὸ τοὺς ἄνδρες ποὺ ἦταν μαζί μας καθ' ὅλο τὸ χρόνο». Γιατί κάνει καὶ αὐτοὺς κοινωνούς; γιὰ νὰ μὴ γίνει τὸ πράγμα ἀντικείμενο διαμάχης καὶ ὁδηγηθοῦν σὲ φιλονικεία. Διότι, ἂν αὐτοὶ ἔπαθαν αὐτό, πολὺ περισσότερο ἐκεῖνοι. Καὶ πάντοτε παραιτεῖται ἀπὸ αὐτό. Γι' αὐτὸ ἀρχίζοντας, ἔλεγε: «Ἄνδρες ἀδελφοί, πρέπει νὰ ἐκλέξετε ἕνα ἀπὸ μᾶς». Στὸ

θει τὴν κρίσιν ἐπιτρέπει, τούς τε γινομένους αἰδεσίμους ποιῶν, καὶ αὐτὸς ἀπαλλαττόμενος ἀπεχθείας τῆς πρὸς τοὺς ἄλλους. Μεγάλα γὰρ ἀεὶ τὰ τοιαῦτα ἐργάζεται κακά. Ὅτι μὲν οὖν δεῖ γενέσθαι, τὸν προφήτην παράγει μάρτυρα· ἐκ τίνων δὲ δεῖ, αὐτὸς ἑρμηνεύει λέγων· «Ἐκ τῶν συνελθόντων ἡμῖν ἐν παντὶ χρόνῳ. Εἰ μὲν γὰρ εἶπε, τοὺς ἐπιεικεῖς δεῖ παρεῖναι, τοὺς ἄλλους ἂν ὕβρισε, νῦν δὲ τῷ χρόνῳ τὸ πρᾶγμα ἐπέτρεψεν, οὐχ ἁπλῶς Συνελθόντα, εἰπών, ἀλλ', «Ἐν παντὶ χρόνῳ, ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου, ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ σὺν ἡμῖν γενέσθαι ἕνα τούτων». Ἵνα τί γένηται; Ἵνα μὴ ἠκρωτηριασμένος ὁ χορὸς εἴη. Τί οὖν; ἑλέσθαι τὸν Πέτρον αὐτὸν οὐκ ἐνῆν; Καὶ πάνυ γε· ἀλλ' ἵνα μὴ δόξῃ χαρίζεσθαι, τοῦτο οὐ ποιεῖ. Ἄλλως δὲ καὶ Πνεύματος ἄμοιρος ἦν ἔτι.

«Καὶ ἔστησαν», φησί, «δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν». Οὐχὶ αὐτὸς αὐτοὺς ἔστησεν, ἀλλὰ πάντες. Τὴν γνώμην δὲ αὐτὸς εἰσηγήσατο, δείξας οὐδὲ αὐτὴν αὐτοῦ οὖσαν, ἀλλ' ἄνωθεν κατὰ προφητείαν· ὥστε ἐξηγητὴς γέγονεν, οὐ διδάσκαλος. «Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος». Ἴσως διὰ τὰς ὁμωνυμίας ἀμφότερα τέθεικεν· ἐπεὶ καὶ ἐν τοῖς ἀποστόλοις πολλαὶ ὁμωνυμίαι ἦσαν· Ἰάκωβος ὁ Ζεβεδαίου, καὶ Ἰάκωβος ὁ τοῦ Ἀλφαίου, Σίμων Πέτρος καὶ Σίμων ὁ ζηλωτής· Ἰούδας Ἰακώβου, καὶ Ἰούδας ὁ Ἰσκαριώτης. Ἄλλως δὲ καὶ μεταβολῆς βίου, ἴσως δὲ καὶ προαιρέσεως ἦν ἡ ὀνομασία· «Ἔστησαν», φησίν, «Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν. Καὶ προσευξάμενοι εἶπον· σύ, Κύριε, καρδιογνῶστα πάντων, ἀνάδειξον, ὃν ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα λαβεῖν τὸν κλῆρον τῆς διακονί-

πλῆθος ἐπιτρέπει νὰ κάνει τὴν κρίση, καὶ κάνοντας τοὺς γινομένους σεβάσμιους καὶ ὁ ἴδιος ἀπαλλασσόμενος τὴν ἀπέχθεια τῶν ἄλλων. Διότι τὰ τοιαῦτα πάντοτε προκαλοῦν μεγάλα κακά. Ὅτι μὲν λοιπὸν πρέπει νὰ γίνει ἡ ἐκλογή, τὸν προφήτη φέρει σὰν μάρτυρα· ἀπὸ ποιοὺς δὲ πρέπει νὰ γίνει ἡ ἐκλογή, αὐτὸς ἐξηγεῖ λέγοντας, «Ἀπὸ τοὺς ἄνδρες, ποὺ ἦταν μαζί μας καθ' ὅλο τὸ χρόνο». Διότι, ἂν μὲν ἔλεγε, ὅτι πρέπει νὰ παραβρίσκονται οἱ ἀνώτεροι, οἱ ἁρμόδιοι, θὰ περιφρονοῦσε τοὺς ἄλλους, τώρα δὲ στὸ χρόνο ἄφησε τὸ πρᾶγμα, λέγοντας ὄχι ἁπλά, ἀφοῦ συνῆλθαν, ἀλλὰ γιὰ ὅλο τὸ χρόνο κατὰ τὸν ὁποῖο συναναστράφηκε μαζί μας ὁ Κύριος Ἰησοῦς, ἀφ' ὅτου βαπτίσθηκε ἀπὸ τὸν Ἰωάννη, ὥς τὴν ἡμέρα ποὺ ἀναλήφθηκε, πρέπει ἕνας ἀπ' αὐτοὺς νὰ γίνει μαζὶ μ' ἐμᾶς μάρτυρας τῆς ἀναστάσεώς του». Γιατί νὰ γίνει; Γιὰ νὰ μὴ εἶναι ἀκρωτηριασμένος ὁ χορὸς τῶν Ἀποστόλων. Τί λοιπόν; Δὲν μποροῦσε ὁ Πέτρος νὰ ἐκλέξει αὐτόν; Καὶ βεβαιότατα, ἀλλὰ γιὰ νὰ μὴ φανεῖ, ὅτι χαρίζεται, δὲν κάνει τὴν ἐκλογή· ἄλλωστε δὲ ἦταν ἀκόμη ἄμοιρος τοῦ ἁγίου Πνεύματος.

«Καὶ ἐπρότειναν», λέγει, «δύο, τὸν Ἰωσήφ, ποὺ ἐκαλεῖτο Βαραββᾶς καὶ ποὺ ὀνομάσθηκε Ἰοῦστος, καὶ τὸν Ματθία». Δὲν ἔστησε ὁ Πέτρος αὐτούς, ἀλλὰ ὅλοι. Τὴν ἰδέα δὲ εἰσηγήθηκε αὐτός, ἀφοῦ ἀπέδειξε, ὅτι καὶ αὐτὴ δὲν ἦταν δική του, ἀλλ' ἄνωθεν, κατὰ προφητεία· ὥστε ἔγινε ἐξηγητὴς καὶ ὄχι διδάσκαλος. «Τὸν Ἰωσήφ, ποὺ ἐκαλεῖτο Βαρσαββᾶς, καὶ ποὺ ὀνομάσθηκε Ἰοῦστος». Ἴσως γιὰ τὴν συνωνυμία τους ἔχει ἀναφέρει καὶ τὰ δυό· ἐπειδὴ καὶ στοὺς Ἀποστόλους ὑπῆρχαν πολλὲς συνωνυμίες· Ἰάκωβος ὁ υἱὸς τοῦ Ζεβεδαίου, καὶ ὁ Ἰάκωβος ὁ υἱὸς τοῦ Ἀλφαίου· Σίμων ὁ Πέτρος καὶ Σίμων ὁ Ζηλωτής· Ἰούδας υἱὸς Ἰακώβου καὶ Ἰούδας ὁ Ἰσκαριώτης. Ἐξ ἄλλου δέ, ὁ ὀνομασία σήμαινε ἀλλαγὴ ζωῆς, ἴσως δὲ καὶ διαθέσεως. «Ἔστησαν», λέγει, «τὸν Ἰωσήφ, ποὺ ἐκαλεῖτο Βαρσαββᾶς, καὶ ποὺ ὀνομάσθηκε Ἰοῦστος, καὶ τὸν Ματθία. Καὶ ἀφοῦ προσευχήθηκαν, εἶπαν· Κύριε, καρδιογνώστη ὅλων, φανέρωσε, ποιὸν ἀπὸ αὐτοὺς τοὺς δυὸ

ας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον». Καλῶς λέγουσιν ἐκείνου τὸ ἁμάρτημα, δεικνύντες, ὅτι μάρτυρα αἰτοῦσιν, οὐ πλεονάζοντες τὸν ἀριθμόν, ἀλλ' ἐλαττωθῆναι οὐκ ἐῶντες.

«Καὶ ἔδωκαν κλήρους αὐτῶν (οὐδέπω γὰρ Πνεῦμα ἦν), καὶ ὁ κλῆρος ἐπὶ Ματθίαν ἔπεσε καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων». «Τότε», φησίν, «ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἰερουσαλήμ, Σαββάτου ἔχον ὁδόν». Τοῦτό φησιν ἵνα δείξῃ, ὅτι μακρὰν οὐ βαδίζουσιν ὁδόν, ὡς φόβον τινὰ μὴ γενέσθαι τρέμουσιν ἔτι καὶ δεδοικόσιν αὐτοῖς. «Καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον». Οὐκ ἐτόλμησαν γὰρ φανῆναι ἐπὶ τῆς πόλεως. Καὶ καλῶς εἰς τὸ ὑπερῷον ἀνέβησαν, ὥστε μὴ εἶναι εὔκολον ἐκ τοῦ ἑτοίμου συλληφθῆναι αὐτούς· «Καὶ ἦσαν», φησί, «προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ». Ὁρᾷς, πῶς ἐγρηγορότες ἦσαν τῇ προσευχῇ προσκαρτεροῦντες, καὶ ὁμοθυμαδὸν ὥσπερ ἐκ μιᾶς ψυχῆς προσκαρτεροῦντες; Δύο αὐτοῖς μαρτυρεῖ. Ὁ μὲν Ἰωσὴφ ἴσως τετελευτηκὼς ἦν· διὸ οὐδὲ μνήμης ἀξιοῦται. Οὐ γὰρ ἂν τῶν ἀδελφῶν πιστευσάντων ἐκεῖνος ἠπίστησεν ὁ πρὸ πάντων πιστεύσας· ἀμέλει γοῦν οὐδὲ ἁπλῶς φαίνεται οὐδαμοῦ ὡς ἀνθρώπῳ προσέχων, καθάπερ ἡ μήτηρ ἔλεγεν· «Ἐγὼ καὶ ὁ πατήρ σου ὀδυνώμενοι ἐζητοῦμέν σε». Ὥστε πρὸ πάντων αὐτὸς ἔγνω τοῦτον. Πρὸς δὲ τοὺς ἀδελφοὺς ἔλεγεν ὁ Χριστός· «Οὐ δύναται ὁ κόσμος ὑμᾶς μισεῖν, ἐμὲ δὲ μισεῖ». Καὶ ὅρα τὴν ἐπιείκειαν Ἰακώβου. Αὐτὸς ἔλαβε τὴν ἐπισκοπὴν τὴν ἐν Ἱεροσολύμοις, καὶ ὅμως τότε οὐδὲν διαλέγεται. Ὅρα δὲ καὶ τῶν ἄλλων μαθητῶν τὴν πολλὴν ταπεινοφροσύνην, πῶς αὐτῷ συγχωροῦσι τοῦ θρόνου, καὶ οὐκ ἔτι ἀμφισβητοῦσι πρὸς ἀλλήλους. Ὥσπερ γὰρ ἐν οὐρανῷ

---

4. Λουκ. 2, 48.

διάλεξες, γιὰ νὰ πάρει τὴ θέση στὴν ὑπηρεσία αὐτὴ καὶ τὴν ἀποστολὴ ἀπὸ τὴν ὁποία ξέπεσε ὁ Ἰούδας, γιὰ νὰ μεταβεῖ στὸν δικό του τόπο». Καλὰ λέγουν τὸ ἁμάρτημα ἐκείνου, φανερώνοντας, ὅτι ζητοῦν μάρτυρα, ὄχι γιὰ νὰ πλεονάζουν σὲ ἀριθμό, ἀλλὰ γιὰ νὰ μὴ ἀφήσουν νὰ ἐλαττωθοῦν.

«Καὶ ἔρριξαν κλήρους (δὲν ὑπῆρχεν ἀκόμη τὸ ἅγιο Πνεῦμα) καὶ ἔπεσε ὁ κλῆρος στὸν Ματθία καὶ συγκαταριθμήθηκε μὲ τοὺς δώδεκα». «Τότε, λέγει, ἐπέστρεψαν στὴν Ἱερουσαλὴμ ἀπὸ τὸ ὄρος, ποὺ καλεῖται ὄρος τῶν Ἐλαιῶν, καὶ ποὺ εἶναι πλησίον τῆς Ἱερουσαλήμ, σὲ ἀπόσταση πορείας, ἡ ὁποία ἐπιτρέπεται τὴν ἡμέρα τοῦ Σαββάτου». Αὐτὸ τὸ λέγει γιὰ νὰ φανερώσει, ὅτι δὲν βαδίζουν μακρινὴ ὁδό, γιὰ νὰ μὴ καταληφθοῦν ἀπὸ κάποιο φόβο, ἀφοῦ ἀκόμη αὐτοὶ τρέμουν καὶ φοβοῦνται. «Καὶ ὅταν εἰσῆλθαν στὴν πόλη, ἀνέβηκαν στὸ ὑπερῷο». Διότι δὲν τόλμησαν νὰ ἐμφανισθοῦν στὴν πόλη. Καὶ καλῶς ἀνέβηκαν στὸ ὑπερῷο, γιὰ νὰ μὴ εἶναι εὔκολο νὰ συλληφθοῦν αὐτοὶ ἀμέσως· «Καὶ ὅλοι αὐτοὶ ἦταν, λέγει, προσηλωμένοι μὲ μιὰ ψυχὴ στὴν προσευχὴ καὶ τὴ δέηση». Βλέπεις πῶς βρίσκονταν σὲ ἐγρήγορση καὶ πῶς ἦταν προσηλωμένοι στὴν προσευχή, καὶ ὅλοι μαζὶ μὲ μιὰ ψυχή, σὰν νὰ ἀνέμεναν μὲ μιὰ ψυχή; Τὰ δυὸ αὐτὰ μαρτυροῦν σ' αὐτούς. Ὁ μὲν Ἰωσὴφ ἴσως νὰ εἶχε πεθάνει. Διότι, ἐφ' ὅσον οἱ ἀδελφοὶ πίστευσαν, δὲν ἦταν δυνατὸν νὰ ἀπιστήσει ἐκεῖνος, ποὺ πρὶν ἀπὸ ὅλους πίστευσε· πουθενὰ λοιπὸν δὲν φαίνεται νὰ τὸν λογαριάζει, οὔτε σὰν ἁπλὸ ἄνθρωπο, ὅπως ἀκριβῶς ἡ μητέρα τους ἔλεγε· «Ἐγὼ καὶ ὁ πατέρας σου μὲ μεγάλη ἀνησυχία καὶ στενοχώρια σὲ ζητούσαμε»[4]· Ὥστε πρὶν ἀπ' ὅλους αὐτὸς γνώριζε αὐτόν. Πρὸς τοὺς ἀδελφοὺς δὲ ἔλεγε ὁ Χριστός· «Δὲν μπορεῖ ὁ κόσμος νὰ μισεῖ σᾶς, ἀλλ' ἐμένα μισεῖ». Καὶ πρόσεχε τὴν ἀγαθότητα τοῦ Ἰακώβου. Αὐτὸς ἀνέλαβε τὴν ἐπισκοπὴ τῶν Ἱεροσολύμων, καὶ ὅμως τότε τίποτε δὲν διδάσκει. Πρόσεχε δὲ καὶ τῶν ἄλλων μαθητῶν τὴ μεγάλη ταπεινοφροσύνη, πῶς παραχωροῦν σ' αὐτὸν τὸ θρόνο καὶ καθόλου δὲν διαφωνοῦν

ἡ Ἐκκλησία ἐκείνη ἦν, οὐδὲν ἔχουσα βιωτικόν, οὐ τοίχους, οὐδὲ μαρμάροις, ἀλλὰ προθυμίᾳ τῶν συνιόντων ἀπολάμπουσα. «Ὡς ἑκατὸν εἴκοσιν ἦσαν», φησίν· οἱ ἑβδομήκοντα ἴσως, οὓς αὐτὸς ἐξελέξατο, ἢ καὶ ἄλλοι τῶν σπουδαιοτέρων, οἷον ὁ Ἰωσὴφ καὶ ὁ Ματθίας· καὶ γυναῖκες ἦσαν πολλαί, αἳ ἠκολούθουν αὐτῷ, ἐπιτοαυτὸ πανταχοῦ ἦσαν.

3. Αὕτη πρόνοια διδασκάλου. Πρῶτος οὗτος διδάσκαλον κατέστησεν. Οὐκ εἶπεν, ὅτι ἀρκοῦμεν ἡμεῖς· οὕτω πάσης κενοδοξίας ἐκτὸς ἦν, καὶ πρὸς ἓν ἑώρα μόνον, καίτοι οὐδὲ ἰσότυπον ἅπασιν εἶχε τὴν κατάστασιν, ἀλλ' εἰκότως ταῦτα ἐγένετο διὰ τὴν ἀρετὴν τοῦ ἀνδρός· καὶ ὅτι τότε ἡ ἐπιστασία ἦν, οὐ τιμή, ἀλλὰ πρόνοια τῶν ἀρχομένων. Τοῦτο οὔτε τοὺς αἱρουμένους ἐποίει ἐπαίρεσθαι· ἐπὶ γὰρ κινδύνους ἐκαλοῦντο· οὔτε τοὺς μὴ αἱρεθέντας ὡς ἀτιμασθέντας ἀλγεῖν. Ἀλλ' οὐχὶ νῦν οὕτω γίνεται, ἀλλ' ἅπαν τοὐναντίον. Ὅρα γάρ, ἑκατὸν εἴκοσιν ἦσαν, καὶ ἕνα αἰτεῖ ἀπὸ παντὸς τοῦ πλήθους· εἰκότως. Πρῶτος τοῦ πράγματος αὐθεντεῖ, ἅτε αὐτὸς πάντας ἐγχειρισθείς. Πρὸς γὰρ τοῦτον εἶπεν ὁ Χριστός· «Καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου». «Ὅτι κατηριθμημένος ἦν», φησί, «σὺν ἡμῖν». Διὰ τοῦτο προσήκει ἕτερον προβάλλεσθαι, ὥστε μάρτυρα γενέσθαι εἰς τὸν ἐκείνου τόπον. Καὶ ὅρα, πῶς τὸν διδάσκαλον μιμεῖται, πανταχοῦ ἀπὸ τῶν Γραφῶν διαλεγόμενος, καὶ οὐδὲν περὶ τοῦ Χριστοῦ λέγων οὐδέπω, ὅτι προεῖπε πολλάκις αὐτός. Καὶ οὐ λέγει, ἔνθα τῆς προδοσίας αὐτοῦ μέμνηται, οἷον, «Στόμα ἁμαρτωλοῦ, καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη», ἀλλ' ἔνθα τῆς τιμωρίας αὐτοῦ μόνον τὴν μνήμην ἐποιήσατο· τοῦτο γὰρ αὐτοὺς τέως ὠφέλει. Τοῦτο μάλιστα δείκνυσι πάλιν τοῦ Δεσπότου τὴν φιλανθρωπίαν.

«Ὅτι κατηριθμημένος ἦν», φησί, «σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης». Κλῆρον αὐτὸν πανταχοῦ

5. Ἰω. 7, 7.
6. Λουκ. 22, 32.
7. Ψαλμ. 108, 2

μεταξύ τους. Διότι ἡ ἐκκλησία ἐκείνη ἦταν σὰν νὰ βρισκόταν στὸν οὐρανό, χωρὶς νὰ ἔχει τίποτε τὸ βιωτικό, οὔτε τοίχους, οὔτε μάρμαρα νὰ λάμπουν, ἀλλὰ τὴν προθυμία τῶν συνερχομένων. «Περὶ τοὺς ἑκατὸν εἴκοσι ἦταν», λέγει. Οἱ ἑβδομήντα ἴσως, ποὺ ἐξέλεξε αὐτὸς ἢ καὶ ἄλλοι ἐκ τῶν σπουδαιοτέρων, ὅπως ὁ Ἰωσὴφ καὶ ὁ Ματθίας· καὶ γυναῖκες ἦταν πολλές, οἱ ὁποῖες ἀκολουθοῦσαν αὐτόν, παντοῦ μαζὶ στὸ ἴδιο μέρος ἦταν.

3. Αὐτὴ εἶναι ἡ φροντίδα τοῦ διδασκάλου. Αὐτὸς πρῶτος τοποθέτησε διδάσκαλο. Δὲν εἶπε, ὅτι ἀρκοῦμε ἐμεῖς· μὲ τὸν τρόπο αὐτὸ βρισκόταν ἔξω ἀπὸ κάθε κενοδοξία καὶ πρὸς ἕνα μόνο ἀπέβλεπε, παρότι δὲν εἶχε τοποθετήσει ὅλους στὸν ἴδιο τύπο, ἀλλ' αὐτὰ γίνονταν ἀνάλογα μὲ τὴν ἀρετὴ τοῦ ἄνδρα· καὶ ὅτι τότε ἡ ἐπιστασία δὲν ἦταν τιμή, ἀλλὰ πρόνοια τῶν ἀρχομένων. Αὐτὸ οὔτε τοὺς ἐκλεγομένους ἔκανε νὰ ὑπερηφανεύονται, διότι καλοῦνταν νὰ ἀντιμετωπίσουν κινδύνους· οὔτε τοὺς μὴ ἐκλεγέντας νὰ ὑποφέρουν σὰν περιφρονηθέντες. Τώρα ὅμως δὲν γίνεται ἔτσι, ἀλλὰ τελείως ἀντίθετα. Διότι πρόσεχε, ἑκατὸν εἴκοσι ἦταν, καὶ ζητεῖ ἕναν ἀπ' ὅλο τὸ πλῆθος· πολὺ εὔλογα. Πρῶτος ἐξουσιάζει τὸ πράγμα, ἀφοῦ αὐτὸς ἀνέλαβε ὅλους κάτω ἀπὸ τὴν φροντίδα του. Διότι πρὸς αὐτὸν εἶπε ὁ Χριστός· «Καὶ σύ, ὅταν κάποτε ἐπιστρέψεις, στήριξε τοὺς ἀδελφούς σου»[6]. «Διότι εἶχε συγκαταλεγεῖ μὲ μᾶς», λέγει. Γι' αὐτὸ πρέπει κάποιος ἄλλος νὰ προβληθεῖ, γιὰ νὰ γίνει μάρτυρας στὴ θέση ἐκείνου. Καὶ πρόσεχε, πῶς μιμεῖται τὸ διδάσκαλο, παντοῦ διδάσκοντας ἀπὸ τὶς Γραφές, καὶ τίποτε ἀκόμη γιὰ τὸ Χριστὸ δὲν διδάσκει, διότι αὐτὸς πολλὲς φορὲς προεῖπε. Καὶ δὲν λέγει, ὅπου θυμᾶταν τὴν προδοσία του, «στόμα ἁμαρτωλοῦ, καὶ στόμα δολίου ἀνοίχθηκε ἐναντίον μου»[7], ἀλλὰ ὅπου μόνο θυμήθηκε τὴν τιμωρία του. Διότι αὐτὸ κατὰ πρῶτον ὠφελοῦσε αὐτούς. Αὐτὸ περισσότερο ἀποδεικνύει πάλι τὴ φιλανθρωπία τοῦ Κυρίου.

«Διότι εἶχε συγακταλεγεῖ μὲ μᾶς καὶ ἔλαβε τὸ μερίδιό του στὴν ὑπηρεσία αὐτή». Κλῆρο αὐτὸν παντοῦ ὀνο-

καλεῖ, δεικνὺς τῆς τοῦ Θεοῦ χάριτος τὸ πᾶν ὄν, καὶ τῆς ἐκλογῆς, καὶ ἀναμιμνήσκων αὐτοὺς τῶν παλαιῶν, ὅτι ὁ Θεὸς αὐτὸν ἐκληρώσατο, καθάπερ τοὺς Λευίτας, καὶ ἐνδιατρίβει τοῖς περὶ αὐτοῦ, ὅτι ὁ τῆς προδοσίας μισθὸς αὐτὸς καὶ τῆς τιμωρίας γέγονε κῆρυξ. «Ἐκτήσατο» γάρ, φησί, «χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας». Ὅρα πῶς Θεοῦ οἰκονομία τὸ γεγονὸς ἦν. «Τῆς ἀδικίας», φησί. Πολλαὶ αἱ ἀδικίαι, ἀλλὰ ταύτης οὐδὲν ἀδικώτερον γέγονέ ποτε, ὥστε ἀδικίας ἦν τὸ πρᾶγμα. Οὐχὶ δὲ μόνον τοῖς παροῦσι γέγονε δῆλον τὸ γενόμενον, ἀλλὰ καὶ πᾶσι τοῖς μετὰ ταῦτα, ὥστε ἄκοντες ὠνόμασαν οὐκ εἰδότες, καθάπερ καὶ Καϊάφας προεφήτευσεν οὐκ εἰδώς. Ὁ Θεὸς αὐτοὺς ἠνάγκασεν οὕτω καλέσαι Ἑβραϊστὶ Ἀκελδαμά. Ἀπὸ τούτου καὶ τὰ Ἰουδαίοις ἐπιέναι μέλλοντα κακὰ δῆλα ἦν· καὶ δείκνυσι τέως τὴν πρόρρησιν ἐξελθοῦσαν ἐκ μέρους, τὴν λέγουσαν· «Καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος». Καὶ περὶ τῶν Ἰουδαίων τὰ αὐτὰ ἁρμόζει λέγειν. Εἰ γὰρ ὁ γενόμενος ὁδηγός, πολλῷ μᾶλλον καὶ οὗτοι. Ἀλλ' οὐδὲν τούτων λέγει τέως. Εἶτα δεικνύς, ὅτι περὶ αὐτοῦ εἰκότως ἂν λέγοιτο Ἀκελδαμά, ἐνάγει τὸν προφήτην λέγοντα· «Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος». Τί γὰρ ἐρημότερον τοῦ τάφου γενέσθαι; Ὥστε καὶ εἰκότως ἂν αὐτοῦ κληθείη τὸ χωρίον. Ὁ γὰρ τὸ τίμημα καταβαλών, εἰ καὶ ἕτεροι οἱ ἠγορακότες εἶεν, αὐτὸς ἂν εἴη δίκαιος λογίζεσθαι κύριος ἐρημώσεως μεγάλης. Αὕτη ἡ ἐρήμωσις προοίμιον τῆς Ἰουδαϊκῆς, εἴ γέ τις ἀκριβῶς ἐξετάσειε. Καὶ γὰρ ἐκεῖνοι ἑαυτοὺς ἀνεῖλον λιμῷ, καὶ πολλοὺς ἀπέκτειναν, καὶ τάφος γέγονεν ἡ πόλις, τῶν ξένων, τῶν στρατιωτῶν· ἐκείνους γὰρ οὐδ' ἂν εἴασαν ταφῆναι, οὐδὲ γὰρ ταφῆς κατηξιώθησαν.

«Δεῖ οὖν τῶν συνελθόντων ἡμῖν», φησίν, «ἀνδρῶν». Ὅ-

8. Ματθ. 28, 24.
9. Ψαλ. 68, 26.

μάζει, ἀποδεικνύοντας, ὅτι τὸ πᾶν εἶναι τῆς χάριτος καὶ τῆς ἐκλογῆς τοῦ Θεοῦ, καὶ ὑπενθυμίζοντας σ' αὐτοὺς τὰ παλιά, ὅτι ὁ Θεὸς ἐξέλεξε αὐτόν, ὅπως ἀκριβῶς τοὺς Λεβίτες, καὶ ἐπιμένει στὰ δικά του, διότι ὁ μισθὸς τῆς προδοσίας ἔχει γίνει ὁ ἴδιος κήρυκας καὶ τῆς τιμωρίας. Διότι λέγει, «ἀπέκτησε ἕνα χωράφι μὲ τὰ χρήματα τῆς ἀδικίας». Κοίταξε πῶς τὸ γεγονὸς ἦταν οἰκονομία τοῦ Θεοῦ. «Τῆς ἀδικίας», λέγει. Πολλὲς οἱ ἀδικίες, ἀλλὰ τίποτε δὲν ἔχει γίνει ποτὲ περισσότερο ἄδικο ἀπ' αὐτήν· ὥστε ἀδικίας ἦταν τὸ πράγμα. Ὄχι μόνο δὲ στοὺς παρόντες εἶχε γίνει φανερὸ τὸ συμβάν, ἀλλὰ καὶ σ' ὅλους τοὺς μετέπειτα, ὥστε παρὰ τὴ θέλησή τους ὀνόμασαν, χωρὶς νὰ γνωρίζουν, ὅπως καὶ ὁ Καϊάφας προφήτευσε, χωρὶς νὰ γνωρίζει. Ὁ Θεὸς παρότρυνε αὐτοὺς νὰ ὀνομάσουν ἔτσι ἑβραϊκά, Ἀκελδαμά. Ἀπὸ αὐτὸ ἐδῶ ἦταν φανερὰ καὶ τὰ κακὰ ποὺ ἐπρόκειτο νὰ ἔλθουν στοὺς Ἰουδαίους. Καὶ φανερώνει κατὰ πρῶτο τὴν προφητεία ποὺ ἔλεγε, «Θὰ ἦταν καλύτερα γιὰ τὸν ἄνθρωπο ἐκεῖνο, ἂν δὲν εἶχε γεννηθεῖ»[8]. Καὶ γιὰ τοὺς Ἰουδαίους τὰ ἴδια ἁρμόζει νὰ λέγει. Διότι, ἂν ὁ γενόμενος ὁδηγός, δὲν ἔπρεπε νὰ γεννηθεῖ, πολὺ περισσότερο καὶ αὐτοί. Ἀλλὰ τίποτε ἀπ' αὐτὰ δὲν λέγει προηγουμένως. Ἔπειτα, φανερώνοντας ὅτι γι' αὐτὸν δικαιολογημένα θὰ μποροῦσε νὰ λέγεται Ἀκελδαμά, παρουσιάζει τὸν προφήτη νὰ λέγει, «Ἂς γίνει τὸ ἀγρόκτημά του ἔρημο»[9]. Διότι, τί εἶναι περισσότερο ἔρημο ἀπὸ τὸν τάφο; Ὥστε καὶ δικαιολογημένα θὰ μποροῦσε νὰ ὀνομασθεῖ τὸ χωράφι του. Διότι αὐτὸς ποὺ κατέβαλε τὸ τίμημα, ἂν καὶ εἶναι ἄλλοι ἐκεῖνοι, ποὺ τὸ εἶχαν ἀγοράσει, αὐτὸς θὰ ἦταν δίκαιο νὰ θεωρεῖται κύριος μεγάλης ἐρημώσεως. Ἂν κάποιος βέβαια θὰ ἐξέταζε προσεκτικὰ καὶ μὲ ἀκρίβεια, ἡ ἐρήμωση αὐτὴ εἶναι προοίμιο τῆς Ἰουδαϊκῆς ἐρημώσεως. Διότι ἐκεῖνοι κατέστρεψαν καὶ τοὺς ἑαυτούς τους μὲ πείνα, καὶ πολλοὺς φόνευσαν, καὶ ἡ πόλη ἔγινε τάφος τῶν ξένων, τῶν στρατιωτῶν· καθόσον ἐκείνους δὲν τοὺς ἐπέτρεψαν οὔτε νὰ ταφοῦν· οὔτε ταφῆς ἀξιώθηκαν.

«Πρέπει λοιπὸν ἀπὸ τοὺς ἄνδρες ποὺ ἦταν μαζί μας».

ρα, πῶς βούλεται αὐτόπτας αὐτοὺς εἶναι. Καίτοι γε ἔμελλε παρέσεσθαι τὸ Πνεῦμα· ἀλλ' ὅμως πολλὴ σπουδὴ περὶ τούτου ἦν. «Τῶν συνελθόντων ἡμῖν ἀνδρῶν», φησίν, «ἐν παντὶ χρόνῳ, ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς», δείκνυσιν αὐτοὺς συνῳκηκότας αὐτῷ οὐχ ἁπλῶς ὡς μαθητὰς παρόντας. Ἄρα καὶ ἐξ ἀρχῆς τότε πολλοὶ παρηκολούθουν αὐτῷ. Ὅρα γοῦν, πῶς τοῦτο δηλοῖ, ὅταν λέγῃ· «Ἦν εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων τῷ Ἰησοῦ». «Ἐν παντὶ χρόνῳ», φησίν, «ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου». Καλῶς. Τὰ γὰρ πρὸ τούτου οὐδεὶς ᾔδει μαθών, ἀλλὰ Πνεύματι ἐμάνθανον. «Ἕως τῆς ἡμέρας», φησίν, «ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ σὺν ἡμῖν γενέσθαι ἕνα τούτων». Οὐκ εἶπε, τῶν ἄλλων μάρτυρα, ἀλλά, «τῆς ἀναστάσεως» μόνης μάρτυρα. Καὶ γὰρ ἀξιοπιστότερος ἦν ὁ δυνάμενος εἰπεῖν, ὅτι «ἐκεῖνος ὁ φαγὼν καὶ πιὼν καὶ σταυρωθείς, αὐτὸς ἀνέστη». Ὥστε οὔτε τῶν πρὸ τούτου χρόνων, οὔτε τῶν μετὰ ταῦτα ἔδει μάρτυρα εἶναι καὶ τῶν σημείων. Τὸ γὰρ ζητούμενον τοῦτο ἦν, ἡ ἀνάστασις· ἐπεὶ ἐκεῖνα δῆλα ἦν καὶ ὡμολογημένα, αὕτη δὲ λάθρα γέγονε, καὶ τούτοις μόνοις ἦν δήλη. Καὶ οὐ λέγουσιν ὅτι ἄγγελοι εἶπον ἡμῖν, ἀλλ', «ὅτι ἑωράκαμεν ἡμεῖς». Πόθεν δῆλον; Ἐξ ὧν θαυματουργοῦμεν. Διὰ τοῦτο μάλιστα τότε αὐτοὺς ἀξιοπίστους ἔδει εἶναι.

«Καὶ ἔστησαν», φησί, «δύο». Διατί μὴ πολλούς; Ἵνα μὴ μείζων ἡ ἀθυμία γένηται, μηδὲ εἰς πολλοὺς τὸ πρᾶγμα περιστῇ. Οὐχ ἁπλῶς δὲ προστίθησιν ἐκεῖνον, ἀλλὰ δεικνύς, ὅτι πολλάκις ὁ παρὰ ἀνθρώποις τίμιος, παρὰ τῷ Θεῷ ἐλάττων ἐστί. Καὶ κοινῇ δὲ πάντες εὔχονται λέγοντες· «Σύ, Κύριε, καρδιογνῶστα πάντων, ἀνάδειξον». Σύ, φησί, μὴ ἡμεῖς. Εὐκαίρως καρδιογνώστην καλοῦσιν· ἀπὸ γὰρ τούτου αἱρεῖσθαι

---

10. Ἰω. 1, 40.

λέγει. Πρόσεχε πῶς θέλει νὰ εἶναι αὐτοὶ αὐτόπτες. Παρότι βέβαια ἐπρόκειτο νὰ παραβρίσκεται τὸ Πνεῦμα, ἀλλ' ὅμως πολλὴ φροντίδα ἦταν γι' αὐτόν. «Ἀπὸ τοὺς ἄνδρες ποὺ ἦσαν μαζί μας», λέγει, «καθόλο τὸ χρόνο ποὺ μᾶς συναναστράφηκε ὁ Κύριος Ἰησοῦς». Ἀποδεικνύει αὐτοὺς συγκάτοικούς του καὶ ὄχι ἁπλῶς παρόντες σὰν μαθητές. Συνεπῶς καὶ ἀπὸ τὴν ἀρχὴ τότε πολλοὶ παρακολουθοῦσαν αὐτόν. Πρόσεχε λοιπὸν πῶς φανερώνει αὐτό, ὅταν λέγει, «Ἦταν ἕνας ἀπὸ τοὺς δύο, ποὺ ἄκουσαν τί εἶπε ὁ Ἰωάννης καὶ ἀκολούθησαν τὸν Ἰησοῦ»[10] «Καθ' ὅλο τὸ χρόνο», λέγει, «κατὰ τὸν ὁποῖο μᾶς συναναστράφηκε ὁ Κύριος Ἰησοῦς», ἀφότου βαπτίσθηκε ἀπὸ τὸ" Ἰωάννη». Διότι τὰ πρὶν ἀπὸ αὐτὸν κανένας δὲν τὰ γνώριζε διδαχθείς, ἀλλ' ἀπὸ τὸ Πνεῦμα τὰ διδάσκονταν. «Μέχρι τὴν ἡμέρα», λέγει, «ποὺ ἀναλήφθηκε ἀπὸ μᾶς, πρέπει ἕνας ἀπ' αὐτοὺς νὰ γίνει μαζὶ μὲ μᾶς μάρτυρας τῆς ἀναστάσεώς του». Δὲν εἶπε μάρτυρα τῶν ἄλλων, ἀλλὰ μάρτυρα μόνο «τῆς ἀναστάσεως». Διότι ὁ πλέον ἀξιόπιστος ἦταν ἐκεῖνος ποὺ μποροῦσε νὰ πεῖ, ὅτι «ἐκεῖνος ποὺ ἔφαγε καὶ ἤπιε καὶ σταυρώθηκε, αὐτὸς ἀναστήθηκε». Ὥστε οὔτε στοὺς πρὶν ἀπὸ αὐτὸν χρόνους, οὔτε στοὺς κατόπιν χρειαζόταν νὰ ὑπάρχει μάρτυρας τῶν θαυμάτων. Διότι τὸ ζητούμενο ἦταν αὐτό, ἡ ἀνάσταση· ἐπειδὴ ἐκεῖνα ἦταν φανερὰ καὶ ὁμολογημένα, αὐτὴ δὲ ἔγινε κρυφὰ καὶ μόνο σ' αὐτοὺς ἦταν φανερή. Καὶ δὲν λέγουν ὅτι, ἄγγελοι εἶπαν σὲ μᾶς, ἀλλ' «ὅτι τὸν ἔχουμε δεῖ ἐμεῖς». Ἀπὸ ποῦ εἶναι αὐτὸ φανερό; Ἀπὸ τὰ θαύματα ποὺ κάμνουμε. Γι' αὐτὸ ἔπρεπε ἰδιαίτερα τότε νὰ εἶναι αὐτοὶ ἀξιόπιστοι.

«Καὶ ἐπρότειναν», λέγει, «δύο». Γιατί ὄχι πολλούς; Γιὰ νὰ μὴ γίνει ἡ λύπη μεγαλύτερη, καὶ νὰ μὴ διαδοθεῖ τὸ πράγμα σὲ πολλούς. Δὲν προσθέτει δὲ ἁπλῶς ἐκεῖνον, ἀλλὰ γιὰ νὰ ἀποδείξει, ὅτι πολλὲς φορὲς ὁ ἀξιόλογος στοὺς ἀνθρώπους εἶναι ὁ μικρότερος ἐνώπιον τοῦ Θεοῦ. Καὶ Καὶ μαζὶ δὲ ὅλοι προσεύχονται, λέγοντας· «Σύ, Κύριε, καρδιογνώστη ὅλων, ἀνάδειξε». Σύ, λέγει, ὄχι ἡμεῖς. Ἐπίκαιρα τὸν ὀνομάζουν καρδιογνώστη· διότι ἀπὸ αὐτὸν ἔ-

ἐχρῆν, οὐχὶ τῶν ἔξωθεν. Οὕτως ἐθάρρουν, ὅτι πάντως ἕνα δεῖ γενέσθαι. Καὶ οὐκ εἶπον, ἔκλεξαι, ἀλλά, «ἀνάδειξον» τὸν ἐκλεγέντα, φησίν, «Ὃν ἐξελέξω»· εἰδότες πάντα προωρίσθαι τῷ Θεῷ. «Ἐκ τούτων τῶν δύο ἕνα λαχεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς». Ἦν γὰρ καὶ ἄλλη διακονία. «Καὶ ἔδωκαν αὐτοῖς κλήρους». Οὔπω γὰρ ἑαυτοὺς ἀξίους ἡγοῦντο ἀφ' ἑαυτῶν ἐκλέξασθαι· διὸ καὶ αἰτοῦσι διά τινος σημείου μαθεῖν.

4. Ἄλλως δέ, εἰ ἔνθα οὔτε εὐχή, οὔτε ἀξιόλογοι ἄνδρες, κλῆρος τοσοῦτον ἴσχυσε, διὰ τὸ ἐξ ὀρθῆς γενέσθαι γνώμης ἐπὶ τοῦ Ἰωνᾶ, πολλῷ μᾶλλον ἐνταῦθα ἐπλήρωσε τὸν χορόν, ἀπήρτισε τὴν τάξιν. Καὶ ὁ ἕτερος οὐκ ἤλγησεν· οὐ γὰρ ἂν ἀπέκρυψαν τὰ οἰκεῖα ἐλαττώματα οἱ ἀπόστολοι, οἵ γε περὶ αὐτῶν τῶν κορυφαίων εἰπεῖν οὐκ ἀπέσχοντο, ὅτι ἠγανάκτησαν ἀλλαχοῦ· καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ πολλάκις. Τούτους οὖν καὶ ἡμεῖς μιμησώμεθα. Οὐκ ἔτι μοι πρὸς πάντας ὁ λόγος, ἀλλὰ πρὸς τοὺς ἀρχῆς ἐφιεμένους. Εἰ πιστεύεις, ὅτι Θεοῦ ἐστιν ἐκλογή, μὴ ἀγανάκτει· ἐκείνῳ γὰρ ἀγανακτεῖς, καὶ πρὸς ἐκεῖνον παροξύνῃ· ἐκεῖνός ἐστιν ὁ ἐκλεξάμενος. Εἰ δὲ αὐτὸς μὲν ἐξελέξατο, σὺ δὲ τολμᾷς τούτῳ ἀγανακτεῖν, ταὐτὸν ποιεῖς οἷον ὁ Κάιν. Δέον γὰρ ἀποδέξασθαι, ὁ δὲ ὅτι προετιμήθη ἡ θυσία τοῦ ἀδελφοῦ, ἐλυπήθη· ἠγανάκτησε, δέον κατανυγῆναι. Ἐγὼ δὲ οὐ τοῦτο λέγω, ἀλλ' ὅτι συμφερόντως οἶδεν οἰκονομεῖν ὁ Θεός. Πολλάκις γὰρ τὸ μὲν ἦθος ἐπιεικέστερος σύ, οὐκ ἐπιτήδειος δέ. Πάλιν ἔστι σοὶ μὲν βίος ἄληπτος καὶ ἦθος ἐλευθέριον, ἐν δὲ Ἐκκλησίᾳ οὐ τούτων δεῖ μόνον. Ἄλ-

πρεπε νὰ κάνουν τὴν ἐκλογὴ καὶ ὄχι ἀπὸ τοὺς ἔξω. Ἔτσι εἶχαν ἐμπιστοσύνη, ὅτι ὁπωσδήποτε ἕνας πρέπει νὰ γίνει μάρτυρας τῆς ἀναστάσεως. Καὶ δὲν εἶπαν, νὰ ἐκλέξεις, ἀλλὰ «νὰ ἀναδείξεις» τὸν ἐκλεγέντα, λέγει· «ἐκεῖνον ποὺ διάλεξες», γνωρίζοντας, ὅτι ὅλα προκαθορίζονται ἀπὸ τὸν Θεό. «Ἕναν ἀπὸ αὐτοὺς τοὺς δύο νὰ πάρει τὴ θέση στὴν ὑπηρεσία αὐτὴ καὶ τὴν ἀποστολή». Διότι ὑπῆρχε καὶ ἄλλη διακονία. «Καὶ ἔρριξαν σ' αὐτοὺς κλῆρο». Διότι δὲν θεωροῦσαν ἀκόμη τοὺς ἑαυτούς του ἄξιους νὰ ἐκλέξουν ἀπὸ μόνοι τους, γι' αὐτὸ καὶ ζητοῦν νὰ μάθουν μὲ κάποιο σημεῖο.

4. Ἐξάλλου δέ, ἂν ἐκεῖ ποὺ οὔτε εὐχή, οὔτε ἀξιόλογοι ἄνδρες ὑπῆρχαν, ὁ κλῆρος τόσο πολὺ ἴσχυσε, γιὰ νὰ ληφθεῖ ὀρθὴ ἀπόφαση γιὰ τὸν Ἰωνᾶ, πολὺ περισσότερο ἐδῶ συμπλήρωσε τὸ χορὸ καὶ ἀποκατέστησε μὲ τὴν συμπλήρωση τὴν τάξη. Καὶ ὁ ἄλλος δὲν στενοχωρήθηκε. Διότι δὲν ἀπέκρυψαν τὰ δικά τους ἐλαττώματα οἱ Ἀπόστολοι, οἱ ὁποῖοι μάλιστα γι' αὐτοὺς τοὺς κορυφαίους δὲν δίστασαν νὰ ποῦν, ὅτι ἀγανάκτησαν ἀλλοῦ καὶ ὄχι μιά, ἀλλὰ δυὸ φορὲς καὶ περισσότερες. Αὐτοὺς λοιπὸν καὶ μεῖς ἂς μιμηθοῦμε. Ἀλλ' ὁ λόγος μου αὐτὸς δὲν ἀπευθύνεται ἀκόμα πρὸς ὅλους, ἀλλὰ πρὸς ἐκείνους ποὺ ἐπιθυμοῦν τὴν ἐξουσία. Ἂν πιστεύεις, ὅτι ἡ ἐκλογὴ εἶναι τοῦ Θεοῦ, μὴ ἀγανακτεῖς. Διότι ἐναντίον ἐκείνου ἀγανακτεῖς, καὶ μὲ ἐκεῖνον παροργίζεσαι. Ἐκεῖνος εἶναι ποὺ ἐξέλεξε. Ἂν δὲ αὐτὸς μὲν ἐξέλεξε, σὺ δὲ τολμᾶς νὰ ἀγανακτεῖς ἐναντίον αὐτοῦ, κάνεις τὸ ἴδιο μὲ ἐκεῖνο, ποὺ ἔκανε ὁ Κάϊν. Διότι, ἐνῶ ἔπρεπε νὰ ἀποδεχθεῖ τὸ ἀποτέλεσμα, ἐκεῖνος δὲ λυπήθηκε, γιατὶ προτιμήθηκε ἡ θυσία τοῦ ἀδελφοῦ του ἀγανάκτησε, ἐνῶ ἔπρεπε νὰ συντριβεῖ ἀπὸ συγκίνηση. Ἐγὼ δὲ δὲν λέγω αὐτό, ἀλλ' ὅτι ὁ Θεὸς γνωρίζει νὰ οἰκονομεῖ τὰ πράγματα κατὰ τὸν πλέον χρήσιμο τρόπο. Διότι πολλὲς φορὲς ὡς πρὸς μὲν τὸν χαρακτῆρα ἐσὺ εἶσαι πιὸ ἐπιεικής, ὄχι ὅμως καὶ κατάλληλος. Πάλι εἶναι δυνατὸν σὲ σένα ὁ μὲν βίος σου νὰ εἶναι ἄμεμπτος καὶ ὁ χαρακτήρας σου ἐλεύθερος, στὴν ἐκκλησία ὅμως δὲν χρειάζονται μόνο αὐτά. Ἐξ ἄλλου δὲ καὶ ἄλλος πρὸς ἄλλο εἶναι

λως δὲ καὶ ἄλλος πρὸς ἄλλο ἁρμόδιός ἐστιν. Οὐχ ὁρᾷς, ὅσον ὑπὲρ τούτων πεποίηται λόγον ἡ θεία Γραφή;

Ἀλλ' εἴπω, τίνος ἕνεκεν περιμάχητον τὸ πρᾶγμα γέγονεν· ὅτι οὐχ ὡς ἐπὶ ἀρχήν, καὶ προστασίαν ἀδελφῶν ἐρχόμεθα, ἀλλ' ὡς ἐπὶ τιμὴν καὶ ἀνάπαυσιν. Εἰ γὰρ ᾔδεις, ὅτι πάντων ὀφείλει εἶναι ὁ ἐπίσκοπος, τὰ πάντων βάρη βαστάζων, ὅτι τοῖς μὲν ἄλλοις ὀργιζομένοις συγγνώμη, αὐτῷ δὲ οὐδαμοῦ, ὅτι τοῖς ἄλλοις ἁμαρτάνουσι παραίτησις πολλή, αὐτῷ δὲ οὐκ ἔτι, οὐκ ἂν ἔσπευσας ἐπὶ τὴν ἀρχήν, οὐκ ἂν ἔδραμες. Καὶ γὰρ οὗτος τοῖς ἁπάντων ὑπόκειται στόμασι, ταῖς ἁπάντων κρίσεσι, καὶ σοφῶν καὶ ἀσόφων· φροντίσι καθ' ἑκάστην κόπτεται τὴν ἡμέραν, καθ' ἑκάστην νύκτα· πολλοὺς ἔχει τοὺς μισοῦντας, πολλοὺς ἔχει τοὺς διαφθονουμένους. Μὴ γάρ μοι περὶ ἐκείνων εἴπῃς τῶν πάντα χαριζομένων, τῶν καθεύδειν βουλομένων, τῶν ὡς ἐπὶ ἀνάπαυσιν εἰς τὸ πρᾶγμα ἐρχομένων. Οὐ περὶ τούτων ὁ λόγος, ἀλλὰ περὶ ἐκείνων τῶν ἀγρυπνούντων ὑπὲρ τῶν ψυχῶν ὑμῶν, τῶν τῆς οἰκείας σωτηρίας τὴν τῶν ἀρχομένων προτιθέντων. Εἰπέ μοι, εἰ δέκα τις παῖδας ἔχων ὑποχειρίους συνοικοῦντας αὐτῷ διαπαντός, ἀδιαλείπτως αὐτῶν ἀναγκάζεται φροντίζειν, τοσούτους ἔχων οὗτος οὐχ ὑποχειρίους, οὐ συνοικοῦντας, ἀλλ' ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ τὴν ὑπακοὴν ἔχοντας, τίς οὐκ ὀφείλει γενέσθαι;

Ἀλλὰ τιμᾶται, φησίν. Ποίᾳ τιμῇ; Πένητες τριωβολιμαῖοι βλασφημοῦσιν αὐτὸν ἐπὶ τῆς ἀγορᾶς. Τί οὖν αὐτοὺς οὐκ ἐπιστομίζει; Πάνυ γε. Οὐ γὰρ ἐπισκόπου λέγεις ἔργον. Πάλιν, ἂν μὴ πᾶσι παρέχῃ, καὶ τοῖς ἐν ἀργίᾳ καὶ τοῖς ἐργαζομένοις, μυρία πανταχόθεν ἐγκλήματα· οὐδεὶς δέδοικε κατηγορῆσαι καὶ

ἁρμόδιος. Δὲν βλέπεις, πόσο λόγο κάμνει γι' αὐτὰ ἡ ἁγία Γραφή;

Ἀλλὰ θ' ἀναφέρω γιὰ ποιὸ λόγο τὸ πράγμα ἔχει γίνει περιμάχητο. Διότι δὲν ἀνερχόμαστε στὴν ἐξουσία γιὰ τὴν προστασία τῶν ἀδελφῶν, ἀλλὰ γιὰ τὴ δόξα καὶ τὴν ἀνάπαυση. Διότι, ἐὰν γνώριζες, ὅτι ὁ ἐπίσκοπος ὀφείλει νὰ φροντίσει γιὰ ὅλα καὶ νὰ βαστάζει τὰ βάρη ὅλων, ὅτι στοὺς ἄλλους μὲν ὅταν ὀργίζονται ὑπάρχει συγγνώμη, γι' αὐτὸν δὲ καθόλου, ὅτι γιὰ τοὺς ἄλλους ὅταν ἁμαρτάνουν ὑπάρχει πολλὴ αἴτηση συγγνώμης, σ' αὐτὸν δὲ καθόλου, δὲν θὰ ἔσπευδες πρὸς τὴν ἐξουσία, δὲν θὰ ἔτρεχες. Διότι αὐτὸς εἶναι ἐκτεθειμένος στὰ σώματα ὅλων, στὶς κρίσεις ὅλων, καὶ τῶν σοφῶν καὶ τῶν μὴ σοφῶν· κάθε ἡμέρα καὶ κάθε νύχτα κόπτεται μὲ φροντίδες· πολλοὶ εἶναι ἐκεῖνοι ποὺ τὸν μισοῦν καὶ πολλοὺς ἔχει ποὺ τὸν φθονοῦν. Διότι δὲν θέλω νὰ μοῦ πεῖς γι' ἐκείνους, ποὺ σὲ ὅλους χαρίζονται, ἐκείνους ποὺ θέλουν νὰ εἶναι ἀργόσχολοι, ἐκείνους ποὺ ἀνέρχονται στὸ ἀξίωμα γιὰ ἀνάπαυση. Δὲν γίνεται λόγος γι' αὐτούς, ἀλλὰ γιὰ ἐκείνους, ποὺ ἀγρυπνοῦν γιὰ τὶς ψυχές σας, ποὺ προτάσσουν ἀπὸ τὴ δική τους σωτηρία, τὴ σωτηρία τοῦ λαοῦ τους. Πές μου, ἂν κάποιος ἔχει ὑπὸ τὴν ἐξουσία του δέκα νέους, ποὺ συγκατοικοῦν μαζί του συνέχεια, ἀναγκάζεται διαρκῶς νὰ φροντίζει αὐτούς, αὐτός, ὁ ἐπίσκοπος, ποὺ ἔχει τόσους πολλοὺς ὄχι ὑπὸ τὴν ἐξουσία του, οὔτε συγκατοικοῦντες, ἀλλὰ νὰ ὑπακούουν στὴ δική τους διάθεση, ποιὸς δὲν ὀφείλει νὰ γίνει;

Ἀλλ' ἐκτιμᾶται, λέγει. Μὲ ποιὰ ἐκτίμηση ὅμως; Φτωχοὶ τῆς μισῆς δραχμῆς στὴν ἀγορὰ τὸν βλασφημοῦν. Γιατί λοιπὸν δὲν ἀποστομώνει αὐτούς; Ἀπλούστατα, διότι δὲν ἀναφέρεται στὸ ἔργο τοῦ ἐπισκόπου. Πάλι, ἂν δὲν παρέχει βοήθεια σ' ὅλους, καὶ στοὺς μὴ ἐργαζόμενους καὶ στοὺς ἐργαζόμενους, μύριες κατηγορίες ἀπὸ παντοῦ ἀκούονται. Κανένας δὲν φοβᾶται νὰ τὸν κατηγορήσει καὶ νὰ τὸν διαβάλει. Διότι στοὺς μὲν ἄρχοντες ὑπάρχει ὁ φόβος, σ' αὐτοὺς δὲ ὄχι. Καθόσον σ' αὐτοὺς καθόλου δὲν

διαβαλεῖν· ἐπὶ μὲν γὰρ τῶν ἀρχόντων ὁ φόβος ἔπεστιν, ἐπὶ δὲ τούτων οὐχί. Ὁ γὰρ φόβος τοῦ Θεοῦ παρ' αὐτοῖς οὐδὲν ἰσχύει. Τί ἄν τις εἴποι τὴν περὶ τὸν λόγον καὶ τὴν διδασκαλίαν φροντίδα; τὴν δυσκολίαν τὴν ἐν ταῖς χειροτονίαις; Τάχα ἢ σφόδρα ἀσθενὴς ἐγὼ τυγχάνω καὶ ταλαίπωρος καὶ οὐδαμινός, ἢ τὸ πρᾶγμα οὕτως ἔχει. Οὐδὲν πλοίου κλυδωνιζομένου διενήνοχεν ἡ τοῦ ἱερέως ψυχή· πανταχόθεν σπίζεται, παρὰ φίλων, παρ' ἐχθρῶν, παρ' οἰκείων, παρ' ἀλλοτρίων. Οὐχὶ τῆς οἰκουμένης ὁ βασιλεύων κρατεῖ, οὗτος δὲ πόλεως μόνης; Ἀλλὰ τοσοῦτον μείζους εἰσὶν αἱ φροντίδες τούτου, ὅσον ὕδατος ἁπλῶς ὑπὸ πνεύματος κινουμένου ποταμίου, καὶ πελάγους οἰδοῦντος, καὶ μαινομένου τὸ διάφορον. Τί δήποτε; Ὅτι ἐκεῖ μὲν πολλοὶ οἱ συναντιλαμβανόμενοι (πάντα γὰρ νόμῳ καὶ διατάξει γίνεται)· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, οὐδὲ ἀπ' ἐξουσίας ἔστιν ἐπιτάξαι· ἀλλ' ἂν μὲν σφοδρῶς κινηθῇ, ἀκούει ὠμός· ἂν δὲ μὴ σφοδρῶς, ψυχρός. Δεῖ δὲ ταῦτα τὰ ἐναντία συνελθεῖν, ὥστε μήτε καταφρονεῖσθαι, μήτε μισεῖσθαι. Ἄλλως δὲ καὶ τὰ πράγματα προκατείληπται. Πόσους ἀναγκάζεται σκανδαλίζειν, καὶ ἑκὼν καὶ ἄκων; πόσους πλήττειν, καὶ ἑκὼν καὶ ἄκων;

Οὐκ ἄλλως λέγω, ἀλλ' ὡς ἔχω καὶ διάκειμαι. Οὐκ οἶμαι εἶναι πολλοὺς ἐν τοῖς ἱερεῦσι τοὺς σωζομένους, ἀλλὰ πολλῷ πλείους τοὺς ἀπολλυμένους· τὸ δὲ αἴτιον, ὅτι μεγάλης τὸ πρᾶγμα δεῖται ψυχῆς. Πολλὰς γὰρ ἀνάγκας ἔχει τὰς ἐξαγούσας τοῦ οἰκείου ἤθους, καὶ μυρίων αὐτῷ πανταχόθεν ὀφθαλμῶν δεῖ. Οὐχ ὁρᾷς, ὅσα δεῖ τὸν ἐπίσκοπον ἔχειν; Διδακτικὸν εἶναι, ἀνεξίκακον, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου. Πόσης τοῦτο δυσκολίας; Καὶ τῶν τοῖς ἄλλοις ἁ-

11. Πρβλ. Α' Τιμ. 3, 2-3 καὶ Τιτ. 1, 7.

ἰσχύει ὁ φόβος τοῦ Θεοῦ. Τί θὰ μπαροῦσε κανένας νὰ πεῖ γιὰ τὴ φροντίδα γιὰ τὸ κήρυγμα καὶ τὴ διδασκαλία; γιὰ τὴ δυσκολία στὶς χειροτονίες; Ἴσως ἢ ἐγὼ συμβαίνει νὰ εἶμαι πολὺ ἀδύνατος καὶ ταλαίπωρος καὶ μηδαμηνός, ἢ τὸ πράγμα ἔχει ἔτσι. Σὲ τίποτε δὲν διαφέρει ἡ ψυχὴ τοῦ ἱερέως, ὅταν τὸ πλοῖο κλυδωνίζεται· ἀπὸ παντοῦ στιγματίζεται, καὶ ἀπὸ φίλους, καὶ ἀπὸ ἐχθρούς, ἀπὸ δικούς του καὶ ἀπὸ ξένους. Δὲν ἐξουσιάζει ὁ βασιλεὺς ὅλη τὴν αἰκουμένη, αὐτὸς δὲ μόνο τὴν πόλη; Ἀλλὰ τόσο μεγαλύτερες εἶναι οἱ φροντίδες του, ὅση διαφορὰ ὑπάρχει μεταξὺ τοῦ νεροῦ ποταμοῦ, ποὺ ἁπλῶς κινεῖται ἀπὸ τὸν ἄνεμο, καὶ τοῦ φουσκωμένου καὶ τρικυμισμένου πελάγους. Τί τέλος πάντων συμβαίνει; Ὅτι ἐκεῖ μὲν εἶναι πολλοὶ ἐκεῖνοι ποὺ σπεύδουν σὲ βοήθεια (διότι τὰ πάντα γίνονται σύμφωνα μὲ τὸ νόμο καὶ τὶς διατάξεις), ἐδῶ ὅμως τίποτε παρόμοιο, οὔτε εἶναι δυνατὸν νὰ διατάξει σὰν νὰ ἔχει ἐξουσία· ἀλλ' ἂν μὲν κινηθεῖ δυναμικά, χαρακτηρίζεται σὰν σκληρός, ἂν δὲ ὄχι δυναμικά, χαρακτηρίζεται σὰν ψυχρός, σὰν ἀδιάφορος. Πρέπει δὲ αὐτὰ τὰ ἀντίθετα νὰ τὰ συνδυάσει, ὥστε οὔτε νὰ καταφρονεῖται, οὔτε νὰ μισεῖται. Ἀλλιῶς δὲ τὰ πράγματα σὲ προλαβαίνουν. Πόσους ἀναγκάζεται νὰ σκανδαλίζει καὶ μὲ τὴν θέληση καὶ χωρὶς τὴ θέλησή του πόσους ἀναγκάζεται νὰ πλήττει, θέλοντας καὶ μὴ θέλοντας;

Δὲν τὰ λέγω διαφορετικά, ἀλλ' ὅπως εἶμαι καὶ αἰσθάνομαι. Δὲν νομίζω ὅτι εἶναι πολλοί, ἀνάμεσα στοὺς ἱερεῖς, ἐκεῖνοι ποὺ σώζονται, ἀλλὰ πολὺ περισσότεροι εἶναι ἐκεῖνοι, ποὺ χάνονται, τὸ δὲ αἴτιο εἶναι ὅτι τὸ λειτούργημα αὐτὸ χρειάζεται γενναία ψυχή. Διότι ἔχει πολλὲς ἀνάγκες, ποὺ τὸν ἀναγκάζουν νὰ ἐξέλθει ἀπὸ τὸν γνωστὸ χαρακτήρα του, καὶ χρειάζεται ἀπὸ παντοῦ μύριους ὀφθαλμούς. Δὲν βλέπεις πόσα πρέπει νὰ ἔχει ὁ ἐπίσκοπος; Νὰ εἶναι διδακτικός, ἀνεξίκακος, νὰ κρατεῖ σταθερὰ τὸν ἀξιόπιστο λόγο, ὅπως τὸν διδάχθηκε[11]. Πόσο δύσκολο αὐτό; Καὶ γιὰ τὰ παραπτώ-

μαρτανομένων αὐτὸς ἔχει τὰς αἰτίας. Οὐ λέγω τῶν ἄλλων οὐδέν· ἂν εἷς μόνον ἀπέλθῃ ἀμύητος, οὐχὶ πᾶσαν αὐτοῦ κατέστρεψε τὴν σωτηρίαν; Ψυχῆς γὰρ ἀπώλεια μιᾶς τοσαύτην ἔχει ζημίαν, ὅση οὐδεὶς παραστῆσαι δύναται λόγος. Εἰ γὰρ ἡ σωτηρία αὐτῆς τοσούτου ἀξία, ὥστε τὸν Υἱὸν τοῦ Θεοῦ ἄνθρωπον γενέσθαι, καὶ τοσαῦτα παθεῖν· ἡ ἀπώλεια ἐννόησον ὅσην οἴσει τὴν τιμωρίαν. Εἰ δι' ὃν ἀπόλλυταί τις, ἐν τῷ παρόντι βίῳ ἄξιος ἀποθανεῖν, πολλῷ μᾶλλον ἐκεῖ. Μὴ γάρ μοι εἴπῃς, ὅτι ὁ πρεσβύτερος ἥμαρτε, μηδὲ ὅτι ὁ διάκονος· πάντων τούτων ἐπὶ τὴν κεφαλὴν τῶν χειροτονησάντων αἱ αἰτίαι φέρονται. Πάλιν ἕτερον εἴπω. Συμβαίνει τινὰ κλῆρον διαδέξασθαι ἀνδρῶν μοχθηρῶν· τί χρὴ βουλεύσασθαι ἀπορεῖ ἐπὶ ἁμαρτήμασι προλαβοῦσι. Δύο γὰρ οἱ κρημνοί, καὶ δεῖ μήτε ἀφεῖναι ἐκεῖνον, καὶ τοὺς ἄλλους μὴ σκανδαλίσαι. Ἐκκόψαι τοίνυν δεῖ πρῶτον; Ἀλλ' οὐκ ἔστι παροῦσα πρόφασις. Ἀλλ' ἀφεῖναι; Ναί, φησί· τοῦ γὰρ χειροτονήσαντος ἡ αἰτία. Τί οὖν; οὐ δεῖ χειροτονῆσαι, οὐδὲ ἐφ' ἕτερον βαθμὸν ἀγαγεῖν; Ἀλλὰ τοῦτο πᾶσιν ἔσται δῆλον, ὅτι μοχθηρός τίς ἐστι. Πάλιν οὖν ἑτέρως ἐσκανδάλισεν. Ἀλλ' ἀγαγεῖν ἐπὶ μείζονα βαθμόν; Τοῦτο πολλῷ χαλεπώτερον.

5. Ὥστε εἴ τις ὡς ἐπὶ προστασίαν ἔτρεχε τὴν ἀρχιερωσύνην, οὐδεὶς ἂν αὐτὴν ἐδέξατο ταχέως. Νῦν δέ, ὥσπερ τὰς ἔξωθεν ἀρχάς, οὕτω καὶ ταύτην διώκομεν. Ἵνα γὰρ δοξασθῶμεν, ἵνα τιμηθῶμεν παρὰ ἀνθρώποις, ἀπολλύμεθα παρὰ τῷ Θεῷ. Τί τὸ κέρδος τῆς τιμῆς; πῶς ἐλήλεγκται οὐδὲν οὖσα; Ὅταν ἐπιθυμήσῃς ἱερωσύνης, ἀντίστησον τὴν γέενναν,

ματα τῶν ἄλλων, αὐτὸς θεωρεῖται αἴτιος. Δὲν ἀναφέρω τίποτε γιὰ τοὺς ἄλλους. Ἂν ἕνας μόνο ἀπέλθει στὴν ἄλλη ζωὴ χωρὶς νὰ μυηθεῖ στὰ μυστήρια, δὲν κατέστρεψε ὅλη τὴ σωτηρία του; Διότι ἡ ἀπώλεια μιᾶς ψυχῆς ἔχει τόση ζημία, ὅση κανένας λόγος δὲν μπορεῖ νὰ παραστήσει. Διότι, ἂν ἡ σωτηρία αὐτῆς τῆς ψυχῆς ἔχει τόσο μεγάλη ἀξία, ὥστε ὁ Υἱὸς τοῦ Θεοῦ νὰ γίνει ἄνθρωπος, καὶ τόσα πολλὰ νὰ πάθει, σκέψου πόση τιμωρία θὰ φέρει ἡ ἀπώλεια αὐτῆς. Ἂν δέ, ἐξ αἰτίας κάποιου, χάθηκε κάποιος, καὶ πρέπει ὁ αἴτιος νὰ πεθάνει στὴν παροῦσα ζωή, πολὺ περισσότερο ἐκεῖ ἀξίζει νὰ τιμωρηθεῖ. Μὴ μοῦ πεῖς, ὅτι ὁ πρεσβύτερος ἁμάρτησε, οὔτε ὅτι ὁ διάκονος· διότι γιὰ ὅλους αὐτοὺς οἱ κατηγορίες φέρονται ἐπάνω στὴν κεφαλὴ ἐκείνων, ποὺ τοὺς χειροτόνησαν. Πάλι θ' ἀναφέρω κάτι ἄλλο. Συμβαίνει νὰ διαδεχθεῖ κάποιο κλῆρο κακῶν ἀνθρώπων· ἀπορεῖ τί πρέπει νὰ ἀποφασίσει γιὰ ἁμαρτήματα ποὺ διαπράχθηκαν πρίν. Διότι δυὸ εἶναι οἱ κρημνοί, καὶ πρέπει νὰ μὴ ἀφήσει ἐκεῖνον, ἀλλ' οὔτε καὶ τοὺς ἄλλους νὰ σκανδαλίσει. Πρέπει λοιπὸν πρῶτα νὰ ἀποκόψει τὸ κακὸ κληρικό; Ἀλλὰ δὲν ὑπάρχει πρόσφατη πρόφαση. Ἀλλὰ νὰ τὸν ἀφήσει; Ναί, λέγει· διότι αἴτιος τοῦ κακοῦ ἦταν ἐκεῖνος ποὺ τὸν χειροτόνησε. Τί λοιπόν. Δὲν πρέπει νὰ χειροτονήσει οὔτε νὰ τὸν προαγάγει στὸν ἄλλο ἀνώτερο βαθμό; Ἀλλὰ μὲ αὐτὸ θὰ γίνει σ' ὅλους φανερό, ὅτι εἶναι μοχθηρός. Ἔτσι καὶ πάλι θὰ σκανδαλίσει μὲ ἄλλο τρόπο. Ἀλλὰ νὰ τὸν προαγάγει σὲ ἀνώτερο βαθμό; Αὐτὸ εἶναι πολὺ χειρότερο.

5. Ὥστε, ἂν ἔσπευδε κάποιος νὰ πεῖ, ὅτι ἡ ἀρχιερωσύνη εἶναι γιὰ τὴν προστασία τοῦ ποιμνίου, κανένας δὲν θὰ τὴν δεχόταν ἀμέσως. Τώρα δέ, ὅπως ἀκριβῶς τὶς κοσμικὲς ἐξουσίες, ἔτσι ἐπιδιώκομε καὶ αὐτή. Διότι, γιὰ νὰ δοξασθοῦμε, γιὰ νὰ τιμηθοῦμε ἀπὸ τοὺς ἀνθρώπους, χάνομε τὴ σωτηρία μας κοντὰ στὸ Θεό. Ποιὸ εἶναι τὸ κέρδος τῆς τιμῆς; πῶς ἐλέγχεται ὅτι δὲν εἶναι τίποτα αὐτή; Ὅταν ἐπιθυμήσεις τὴν ἱερωσύνη, σύγκρινέ την μὲ

ἀντίστησον τὰς εὐθύνας τὰς ἐκεῖ, ἀντίστησον τὸν ἀπράγμονα βίον, ἀντίστησον τῆς κολάσεως τὸ μέτρον· ὅτι κἂν ἁμάρτῃς κατὰ σαυτόν, οὐδὲν πείσῃ τοιοῦτον· ἂν δὲ ἱερεὺς ὤν, ἀπόλωλας. Ἐννόησον, ὅσα ὑπέμεινεν, ὅσα ἐφιλοσόφησεν ὁ Μωϋσῆς, ὅσα ἐπεδείξατο ἀγαθά· καὶ ἵνα ἓν ἁμάρτῃ ἁμάρτημα μόνον, ἐκολάζετο πικρῶς· εἰκότως. Μετὰ γὰρ τῆς τῶν ἄλλων ζημίας τοῦτο γέγονεν· ὥστε πικρότερον ἐκολάζετο, οὐ τῷ φανερὸν γενέσθαι, ἀλλὰ καὶ τῷ ἱερέως εἶναι τὸ ἁμάρτημα· οὐ τὴν αὐτὴν γὰρ τιμωρίαν διδόαμεν τῶν τε φανερῶν, καὶ τῶν λάθρᾳ ἁμαρτανομένων. Ἡ μὲν γὰρ ἁμαρτία ἡ αὐτή, ἡ δὲ ζημία οὐχ ἡ αὐτή, μᾶλλον δὲ οὐδὲ ἡ ἁμαρτία· οὐ γάρ ἐστι τὸ αὐτό, λανθάνοντα καὶ κρυπτόμενον ἁμαρτάνειν, καὶ φανερῶς. Τὸν δὲ ἐπίσκοπον οὐ λάθρᾳ ἁμαρτάνειν. Ἀγαπητὸν γὰρ μὴ ἁμαρτάνοντα ἀπαλλαγῆναι ἐγκλημάτων, μή τι γε ἁμαρτάνοντα. Κἂν ὀργισθῇ, κἂν γελάσῃ, κἂν ἀνέσεως ὄναρ ἐπιθυμήσῃ, πολλοὶ οἱ σκώπτοντες, πολλοὶ οἱ σκανδαλιζόμενοι, πολλοὶ οἱ νομοθετοῦντες, πολλοὶ οἱ τῶν προτέρων μεμνημένοι, καὶ τὸν παρόντα κακίζοντες· καὶ ταῦτα ποιοῦσιν, οὐκ ἐκείνους ἐγκωμιάσαι βουλόμενοι, ἀλλὰ τοῦτον δοκεῖν, τῶν συνεπισκόπων, τῶν πρεσβυτέρων μεμνημένοι.

Γλυκὺς ὁ πόλεμος ἀπείροις, φησί. Τοῦτο καὶ νῦν ἁρμόζει λέγειν· μᾶλλον δὲ καὶ λέγομεν πρὸ τοῦ καταστῆναι εἰς τὸν ἀγῶνα· μετὰ δὲ τὸ ἐμβῆναι, οὐδὲ δῆλοι γινόμεθα τοῖς πολλοῖς. Οὐ γάρ ἐστιν ἡμῖν νῦν πόλεμος πρὸς τοὺς καταδυναστεύοντας τῶν πενήτων, οὐδὲ τοῦ ποιμνίου προπολεμεῖν ἀνεχόμεθα· ἀλλὰ κατὰ τοὺς ποιμένας ἐκείνους τοὺς ἐν τῷ Ἰεζεκιήλ, σφάττομεν καὶ κατεσθίομεν. Τίς ἡμῶν ἐπιδείκνυται τοσαύτην φροντίδα περὶ τὰ ποίμνια τοῦ Χριστοῦ, ὅσην περὶ τὰ

---

12. Ἰεζ. 34, 2. 3.

τὴ γέεννα, σύγκρινε τὶς ἐκεῖ εὐθύνες, σύγκρινε τὴν ἥσυχη ζωή, σύγκρινε τὸ μέτρο τῆς τιμωρίας· διότι ἄν ἁμαρτήσεις μόνο σὰν ἄτομο, τίποτε δὲν θὰ πάθεις ἀπὸ αὐτά, ἐὰν ὅμως ἁμαρτήσεις, ἐνῶ εἶσαι ἱερεύς, χάθηκες. Σκέψου πόσα ὑπέμενε καὶ πόσα ἀντιμετώπισε μὲ ἐγκαρτέρηση ὁ Μωϋσῆς, καὶ πόσα ἐπέδειξε ἀγαθά· καὶ ὅταν διέπραξε ἕνα μόνο ἁμάρτημα, τιμωρήθηκε σκληρά. Δικαιολογημένα. Διότι αὐτὸ ἔγινε μὲ βλάβη τῶν ἄλλων· ὥστε σκληρότερα τιμωροῦνταν, ὄχι ἐπειδὴ ἔγινε φανερό, ἀλλὰ διότι ἦταν καὶ ἁμάρτημα ἱερέως. Διότι δὲν τιμωρούμαστε μὲ τὴν ἴδια τιμωρία καὶ γιὰ τὰ φανερὰ καὶ τὰ κρυφὰ ἁμαρτήματα. Διότι εἶναι μὲν ἡ ἁμαρτία ἡ ἴδια, δὲν εἶναι ὅμως ἴδια ἡ ζημία· μᾶλλον δὲ οὔτε ἡ ἁμαρτία εἶναι ἡ ἴδια. Διότι δὲν εἶναι τὸ ἴδιο νὰ ἁμαρτάνεις, διαφεύγοντας τὴν προσοχὴ καὶ κρυφά, καὶ τὸ ν' ἁμαρτάνεις φανερά. Ὁ ἐπίσκοπος ὅμως δὲν εἶναι δυνατὸν νὰ ἁμαρτάνει κρυφά. Διότι εἶναι ἐπιθυμητό, χωρὶς ν' ἁμαρτήσει νὰ ἀπαλλάσσεται ἀπὸ τὶς κατηγορίες, χωρὶς βέβαια ν' ἁμαρτήσει σὲ κάτι. Καὶ ἄν ὀργισθεῖ, καὶ ἄν γελάσει, καὶ ὀνειρευθεῖ κάποια ἄνεση, πολλοὶ εἶναι ἐκεῖνοι ποὺ τὸν χλευάζουν, πολλοὶ εἶναι ἐκεῖνοι ποὺ σκανδαλίζονται, πολλοὶ εἶναι ἐκεῖνοι ποὺ νομοθετοῦν, πολλοὶ εἶναι ἐκεῖνοι ποὺ ἐνθυμοῦνται τοὺς προηγούμενους καὶ κακίζουν τὸν παρόντα· καὶ κάνουν αὐτά, χωρὶς νὰ θέλουν νὰ ἐγκωμιάσουν ἐκείνους, ἀλλὰ νὰ βλάψουν αὐτόν, ἐνθυμούμενοι τοὺς συνεπισκόπους καὶ τοὺς πρεσβυτέρους.

Εἶναι προσφιλὴς ὁ πόλεμος στοὺς ἀμαθεῖς, λέγει. Αὐτὸ καὶ τώρα ἁρμόζει νὰ λέμε· μᾶλλον δὲ καὶ τὸ λέμε πρὶν εἰσέλθουμε στὸν ἀγώνα· μετὰ δὲ τὴν εἴσοδό μας, δὲν γινόμαστε φανεροὶ στοὺς πολλούς. Διότι τώρα δὲν κάμναμε πόλεμο ἐναντίον ἐκείνων, ποὺ καταδυναστεύουν τοὺς φτωχούς, οὔτε ἀνεχόμαστε νὰ πολεμοῦμε ὑπὲρ τοῦ ποιμνίου, ἀλλὰ σὰν τοὺς ποιμένες ἐκείνους, ποὺ ἀναφέρει ὁ Ἰεζεκιήλ, σφάζουμε καὶ κατατρώγουμε αὐτούς[12]. Ποιὸς ἀπὸ ἡμᾶς ἐπιδεικνύει τόση φροντίδα γιὰ τὰ ποίμνια τοῦ Χριστοῦ, ὅση ἐπέδειξε ὁ Ἰακὼβ γιὰ τὰ ποί-

ποίμνια τοῦ Λάβαν ὁ Ἰακώβ; τίς δύναται ἀπαριθμήσασθαι παγετὸν νυκτός; Μὴ γάρ μοι τὰς παννυχίδας εἴπῃς, καὶ τὴν τοσαύτην θεραπείαν. Πᾶν μὲν οὖν τοὐναντίον. Ὕπαρχοι καὶ τοπάρχαι οὐκ ἀπολαύουσι τοσαύτης τιμῆς, ὅσης ὁ τῆς Ἐκκλησίας ἄρχων. Ἂν ἐν βασιλείοις εἰσίῃ, τίς πρῶτος; ἂν παρὰ γυναιξίν, ἂν παρὰ ταῖς οἰκίαις τῶν μεγάλων, οὐδεὶς ἕτερος αὐτοῦ προτετίμηται. Ἀπόλωλε πάντα καὶ διέφθαρται. Ταῦτα οὐχ ὑμᾶς καταισχῦναι βουλόμενος λέγω, ἀλλ' ὑμῶν ἐπισχεῖν τὴν ἐπιθυμίαν. Ποίῳ γὰρ συνειδότι ἂν γένῃ σπουδάσας ἢ διὰ σαυτοῦ, ἢ δι' ἑτέρου; ποίοις ὀφθαλμοῖς ἀντιβλέψεις ἐκείνῳ τῷ συνεργήσαντι; τί ἕξεις ἀπολογήσασθαι; Ὁ μὲν γὰρ ἄκων καὶ βιασθείς, καὶ οὐκ ἐθέλων, ἔχοι ἄν τινα ἀπολογίαν, εἰ καὶ τὰ μάλιστα καὶ οὗτος ἀπεστέρηται συγγνώμης· πλὴν ἀλλὰ παρὰ τοῦτο ἔχει τινὰ ἀπολογίαν. Ἐννόησον τί Σίμων ἔπαθε; Τί γάρ, εἰ μὴ ἀργύριον δίδως, ἀλλ' ἀντὶ ἀργυρίου κολακεύεις καὶ κατασκευάζεις πολλὰ καὶ μηχανᾷ; «Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν». Πρὸς ἐκεῖνον εἶπε, καὶ τούτοις ἐρεῖ· ἡ σπουδὴ ὑμῶν μεθ' ὑμῶν ἔστω εἰς ἀπώλειαν, ὅτι ἐνομίσατε περιδρομῇ ἀνθρωπίνῃ τὴν δωρεὰν τοῦ Θεοῦ κτᾶσθαι.

Ἀλλ' οὐδείς ἐστι τοιοῦτος; Μηδὲ γένοιτο. Οὐδὲ γὰρ βούλομαι οὐδὲν πρὸς ὑμᾶς εἶναι τῶν λεγομένων· νυνὶ δὲ ἐκ τῆς ἀκολουθίας εἰς τούτους ἐνεπέσομεν τοὺς λόγους. Οὐδὲ γὰρ ὅταν κατὰ πλεονεξίας λέγωμεν, πρὸς ὑμᾶς λέγομεν, ἀλλ' οὐδὲ πρὸς ἕνα. Γένοιτο εἰκῇ τὰ φάρμακα παρ' ἡμῶν κατασκευάζεσθαι. Αἱ τῶν ἰατρῶν εὐχαὶ τοιαῦταί εἰσιν, οὐκ ἄλλα αἰτοῦσαι, ἢ ὥστε μετὰ τὸν πολὺν πόνον ἁπλῶς ῥιφῆναι τὰ φάρμακα. Ταῦτα καὶ ἡμεῖς εὐχόμεθα, ἁπλῶς εἰς ἀέρα λέγεσθαι τὰ

13. Πράξ. 8, 20.

μνια τοῦ Λάβαν; Ποιὸς μπορεῖ νὰ ὑπολογίσει τὸν παγετὸ τῆς νύχτας; Διότι μὴ μοῦ ἀναφέρεις τὶς ὁλονύκτιες καὶ τὴν τόση περιποίηση. Διότι τὸ κάθε τι ἐξελίσσεται ἀντίθετα. Ὕπαρχοι καὶ Τοπάρχες ἀπολαμβάνουν τόση τιμή, ὅση δὲν ἀπολαμβάνει ὁ ἄρχοντας τῆς Ἐκκλησίας. Ἂν εἰσέλθεις στὰ ἀνάκτορα, ποιὸς θὰ εἶναι ὁ πρῶτος; ἂν βρεθεῖς μεταξὺ γυναικῶν, ἂν στὶς οἰκίες τῶν μεγάλων, δὲν προτιμᾶται κανένας ἄλλος ἐκτὸς ἀπὸ αὐτόν. Τὰ πάντα χάθηκαν καὶ διαφθάρθηκαν. Αὐτὰ δὲν σᾶς τὰ λέγω, ἐπειδὴ θέλω νὰ σᾶς προσβάλω, ἀλλὰ γιὰ νὰ σᾶς συγκρατήσω ἀπὸ τὴν ἐπιθυμία. Ποιὰ δὲ συνείδηση θὰ εἶναι δυνατὸν νὰ ἔχεις, ἀφοῦ ἔσπευσες στὴ θέση αὐτή, ἢ μόνος σου, ἢ μὲ ἄλλον; μὲ ποιοὺς ὀφθαλμοὺς θὰ ἀντικρύσεις ἐκεῖνον ποὺ συνήργησε; τί θὰ ἔχεις νὰ ἀπολογηθεῖς; Διότι ὁ μέν, παρὰ τὴ θέλησή του καὶ μὲ πίεση, καὶ χωρὶς νὰ θέλει, θὰ μποροῦσε νὰ ἔχει κάποια ἀπολογία, ἂν καὶ αὐτὸς ὁπωσδήποτε ἔχει στερηθεῖ τὴ συγγνώμη· πλὴν ὅμως, παρ' ὅλα αὐτά, ἔχει κάποια ἀπολογία. Θυμήσου τί ἔπαθε ὁ Σίμων ὁ Μάγος; Τί δηλαδή, ἐὰν δὲν δίνεις ἀργύριο, ἀλλὰ μὲ ἀργύριο κολακεύεις καὶ κατασκευάζεις καὶ μηχανεύεσαι πολλά; «Τὸ χρῆμα σου θὰ χαθεῖ μαζὶ μὲ ἐσένα»[18], εἶπε πρὸς ἐκεῖνον ὁ Πέτρος, καὶ πρὸς αὐτοὺς θὰ πεῖ· ἡ προθυμία σας γιὰ τὴν ἱερωσύνη καὶ σεῖς μαζί, θὰ χαθεῖτε, γιατὶ νομίσατε, ὅτι ἡ δωρεὰ τοῦ Θεοῦ ἀποκτᾶται μὲ ἀνθρώπινες ἀπάτες.

Ἀλλὰ κανένας δὲν εἶναι τέτοιος; Μακάρι νὰ μὴ εἶναι. Διότι δὲν θέλω τίποτε ἀπὸ τὰ λεγόμενα νὰ ἔχει σχέση μὲ σᾶς· τώρα δέ, ἀπὸ τὴν συνάφεια τῶν λεγομένων καταλήξαμε σ' αὐτοὺς τοὺς λόγους. Διότι οὔτε, ὅταν ὁμιλοῦμε κατὰ τῆς πλεονεξίας, ἀναφερόμαστε σὲ σᾶς, ἀλλ' οὔτε καὶ πρὸς τὸν καθένα. Μακάρι τὰ φάρμακα ποὺ κατασκευάζονταν ἀπὸ μᾶς νὰ μὴ χρειάζεται νὰ χρησιμοποιηθοῦν. Τέτοιες εἶναι οἱ εὐχὲς τῶν ἰατρῶν, καὶ δὲν ἀποβλέπουν σὲ ἄλλο τίποτε, παρὰ μόνο μετὰ τὴν κατάπαυση τοῦ μεγάλου πόνου, ἁπλῶς νὰ ρίχνονται τὰ φάρμακα. Αὐτὰ καὶ μεῖς εὐχόμαστε, ἁπλῶς οἱ λόγοι μας νὰ λέγονται

ρήματα τὰ ἡμέτερα, ὥστε ρήματα μόνον εἶναι. Πάντα ὑποστῆναι ἕτοιμος ἐγώ, ὥστε μὴ εἰς χρείαν καταστῆναι τοῦ ταῦτα λέγειν. Εἰ δὲ βούλεσθε, καὶ σιγήσομεν· μόνον ἔστω ἀκίνδυνος ἡ σιγή. Οὐ γὰρ οἶμαι οὐδένα, κἂν σφόδρα κενόδοξος ᾖ, μὴ καλούσης χρείας θελῆσαι ἂν ἁπλῶς ἐπιδείκνυσθαι. Παραχωρήσομεν τῆς διδασκαλίας ὑμῖν· αὕτη γὰρ μείζων ἡ διδασκαλία ἡ διὰ πραγμάτων· ἐπεὶ καὶ τῶν ἰατρῶν οἱ ἄριστοι, καίτοι γε τῆς νόσου τῶν καμνόντων φερούσης αὐτοῖς μισθούς, βούλοιντο ἂν ὑγιαίνειν τοὺς αὐτῶν φίλους. Καὶ ἡμεῖς βουλόμεθα ἅπαντας ὑγιαίνειν. Οὐ γὰρ ἵνα ἡμεῖς δόκιμοι ὦμεν βουλόμεθα, ὑμεῖς δὲ ἀδόκιμοι ἦτε. Ἐβουλόμην εἰ οἷόν τε ὄψει αὐτῇ τὴν ἀγάπην, ἣν περὶ ὑμᾶς ἔχω, ἐπιδείξασθαι· οὐδεὶς γάρ μοι λοιπὸν οὐδὲν ἂν ἐνεκάλεσεν, εἰ καὶ σφόδρα τραχὺς ἦν ὁ λόγος. Τὰ γὰρ παρὰ φίλων λεγόμενα, κἂν ὕβρις ᾖ, φορητά. «Ἀξιοπιστότερα γὰρ τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ».

Οὐδὲν ἐμοὶ ποθεινότερον ὑμῶν, οὐδὲ τοῦτο τὸ φῶς. Μυριάκις γὰρ ἂν εὐξαίμην αὐτὸς πηρωθῆναι, εἴ γε ἐνῆν διὰ τούτου τὰς ὑμετέρας ἐπιστρέψει ψυχάς· οὕτως αὐτοῦ τοῦ φωτὸς γλυκίων ἐμοὶ ἡ σωτηρία ἡ ὑμετέρα. Τί γὰρ ὄφελός μοι τῶν ἀκτίνων τῶν ἡλιακῶν, ὅταν ἡ δι' ὑμᾶς ἀθυμία πολὺ κατασκευάζῃ τῶν ὀφθαλμῶν τὸ σκότος; Τὸ γὰρ φῶς τότε καλόν, ὅταν ἐν εὐφροσύνῃ φαίνηται· ἐπεὶ τῇ λυπουμένῃ ψυχῇ καὶ παρενοχλεῖν δοκεῖ. Ὅτι δὲ οὐ ψεύδομαι, μὴ γένοιτο μέν ποτε πεῖραν λαβεῖν. Πλὴν εἴποτε συμβαίη τινὰ ὑμῶν ἁμαρτάνειν, καθεύδοντί μοι παράστητε· ἀπολοίμην, εἰ μὴ τοῖς παραλύτοις ἔοικα, εἰ μὴ τοῖς ἐξεστηκόσι, καὶ κατὰ τὸν προφητικὸν λόγον, «Καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ». Τίς γὰρ ὑμῖν ἐλπίς, ὑμῶν μὴ προκοπτόντων; τίς

---

14. Παροιμ. 27, 6.
15. Ψαλμ. 37, 11.

στὸν ἀέρα, ὥστε νὰ εἶναι μόνο λόγοι. Ἐγὼ ὅμως εἶμαι ἕτοιμος τὰ πάντα νὰ ὑποστῶ, ὥστε νὰ μὴ παραστεῖ ἀνάγκη νὰ λέγω αὐτά. Ἐὰν δὲ θέλετε, θὰ σιωπήσω· μόνο ἂς εἶναι ἡ σιωπὴ ἀκίνδυνη. Διότι δὲν νομίζω, ὅτι κανένας, καὶ ἂν ἀκόμη εἶναι κενόδοξος, ἐφ' ὅσον δὲν παρίσταται ἀνάγκη, νὰ θελήσει ἁπλῶς νὰ ἐπιδεικνύεται. Ἄς προχωρήσουμε στὴ διδασκαλία γιὰ σᾶς. Διότι νομίζω, ὅτι αὐτὴ ἡ διδασκαλία, ποὺ παρέχεται ἀπὸ τὰ πράγματα, εἶναι μεγαλύτερη, ἐπειδὴ καὶ οἱ καλύτεροι ἀπὸ τοὺς ἰατρούς, παρ' ὅτι βέβαια ἡ ἀρρώστεια τῶν ἀσθενῶν τοὺς προσφέρει ἀμοιβές, θὰ προτιμοῦσαν οἱ φίλοι τους νὰ εἶναι ὑγιεῖς. Καὶ μεῖς θέλουμε ὅλοι νὰ ὑγιαίνουν. Διότι δὲν θέλομε νὰ εἴμαστε ἐμεῖς μὲν ἀξιόλογοι, σεῖς δὲ ἄσημοι. Θὰ ἤθελα, ἂν ἦταν δυνατόν, νὰ σᾶς φανερώσω αὐτὴ τὴν ἀγάπη, ποὺ ἔχω πρὸς σᾶς. Διότι κανένας δὲν θὰ μποροῦσε νὰ μὲ κατηγορήσει στὸ ἑξῆς γιὰ τίποτε, ἂν ὁ λόγος μου ἦταν πάρα πολὺ σκληρός. Διότι τὰ λεγόμενα ἀπὸ τοὺς φίλους, καὶ ἂν ἀκόμα εἶναι προσβλητικά, εἶναι ὑποφερτά· «Πιὸ ὠφέλιμα εἶναι τὰ τραύματα ποὺ προέρχονται ἀπὸ φίλο, παρὰ τὰ ἀπατηλὰ φιλήματα τοῦ ἐχθροῦ»[14].

Τίποτε δὲν εἶναι πιὸ ἀγαπητὸ σ' ἐμένα ἀπὸ σᾶς, οὔτε ἀκόμη καὶ αὐτὸ τὸ φῶς. Διότι μύριες φορὲς θὰ εὐχόμουν ἐγὼ ὁ ἴδιος νὰ ὑποστῶ ὁποιαδήποτε ἀναπηρία, ἂν βέβαια μὲ αὐτὴν θὰ κατόρθωνα νὰ ἐπιστρέψω τὶς ψυχές σας. Διότι ποιὸ εἶναι γιὰ μένα τὸ ὄφελος τῶν ἡλιακῶν ἀκτίνων, ὅταν ἡ λύπη μου γιὰ σᾶς διασκορπίζει τὸ σκότος τῶν ὀφθαλμῶν; Καθόσον τὸ φῶς εἶναι καλὸ τότε, ὅταν φαίνεται μὲ χαρά· διότι στὴ λυπημένη ψυχὴ θεωρεῖται ὅτι εἶναι ἐνοχλητικό. Ὅτι δὲ δὲν ψεύδομαι, εὔχομαι ποτὲ μὲν νὰ μὴ ἀποκτήσω πεῖρα. Πλήν, ἄν ποτε συμβεῖ κάποιος ἀπὸ σᾶς νὰ ἁμαρτάνει, ἀποδείξατέ μου ὅτι ἀδιαφορῶ· εἴθε νὰ χαθῶ, ἂν δὲν ὁμοιάζω πρὸς τοὺς παράλυτους, ἂν δὲν ὁμοιάζω πρὸς τοὺς παράφρονες, καὶ κατὰ τὸν προφητικὸ λόγο, «καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ δὲν εἶναι μαζί μου»[15]. Διότι ποιὰ ἐλπίδα ὑπάρχει γιὰ σᾶς, ὅταν σεῖς δὲν προοδεύετε; ποιὰ δὲ λύπη, ὅταν σεῖς

δὲ ἀθυμία, ὑμῶν εὐδοκιμούντων; Πτεροῦσθαι δοκῶ, ὅταν τι περὶ ὑμῶν ἀκούσω χρηστόν. «Πληρώσατέ μου τὴν χαράν». Τοσοῦτον μόνον εἰσήνεγκα εἰς τὴν εὐχήν, ὅτι ἐπιθυμῶ ὑμῶν τὴν προκοπήν. Ὃ δὲ διαμιλλῶμαι πρὸς πάντας τοῦτό ἐστιν, ὅτι φιλῶ, ὅτι συμπέπλεγμαι, ὅτι πάντα μοι ὑμεῖς ἔστε, καὶ πατήρ, καὶ μήτηρ, καὶ ἀδελφοί, καὶ παιδία.

Μὴ δὴ νομίσητέ τι τῶν παρ' ἡμῶν λεγομένων πρὸς ἀπέχθειαν λέγεσθαι, ἀλλὰ πρὸς διόρθωσιν. «Ἀδελφὸς» γάρ, φησίν, «ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά». Μὴ δὴ ἀπαξιώξητε· οὐδὲ γὰρ ἐγὼ τὸν παρ' ὑμῶν ἀτιμάζω λόγον, ἀλλὰ βουλοίμην ἂν διορθοῦσθαι παρ' ὑμῶν, βουλοίμην ἂν μανθάνειν. Πάντες γὰρ ἡμεῖς ἀδελφοί ἐσμεν, εἷς δὲ ἡμῶν ἐστιν ὁ καθηγητής. Ἔστι δὲ καὶ ἐν ἀδελφοῖς ἕνα ἐπιτάττειν, καὶ τοὺς ἄλλους πείθεσθαι. Μὴ δὴ ἀπαξιώσητε, ἀλλὰ πάντα ποιῶμεν εἰς δόξαν τοῦ Θεοῦ· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

16. Φιλιπ. 2, 2.
17. Παροιμ. 18, 19.

προκόβετε; Νομίζω ὅτι πετῶ, ὅταν ἀκούσω κάτι καλὸ γιὰ σᾶς. «Κάμετέ μου τὴ χαρὰ πλήρη»[16]. Τόσο μόνο εἰσέφερα στὴν προσευχή, ὅτι ἐπιθυμῶ τὴν προκοπή σας. Ἐκεῖνο δὲ γιὰ τὸ ὁποῖο ἀγωνίζομαι γιὰ ὅλους σας, εἶναι αὐτό, ὅτι σᾶς ἀγαπῶ, ὅτι ἔχω συνδεθεῖ μαζί σας, ὅτι τὰ πάντα γιὰ μένα εἶστε σεῖς, καὶ πατέρας καὶ μητέρα καὶ ἀδελφοὶ καὶ παιδιά.

Μὴ λοιπὸν νομίσετε, ὅτι κάτι ἀπὸ τὰ λεγόμενά μου λέγεται πρὸς ἀποστροφή, ἀλλὰ πρὸς διόρθωση. Διότι λέγει, «Ἀδελφὸς βοηθούμενος ὑπὸ ἀδελφοῦ εἶναι σὰν πόλη ὀχυρωμένη»[17]. Μὴ λοιπὸν ἀπαξιώσετε νὰ ἀκούσετε τὰ λόγια μου, διότι οὔτε ἐγὼ περιφρονῶ τὸν δικό σας λόγο, ἀλλὰ θὰ ἤθελα νὰ διορθώνομαι ἀπὸ σᾶς, θὰ ἤθελα νὰ διδάσκομαι ἀπὸ σᾶς. Διότι ὅλοι ἐμεῖς εἴμαστε ἀδελφοί, ἕνας δὲ ἀπὸ μᾶς εἶναι ὁ καθηγητής. Ὑπάρχει δὲ καὶ μεταξὺ τῶν ἀδελφῶν ἕνας, ποὺ μπορεῖ νὰ δίνει ἐντολὲς καὶ οἱ ἄλλοι νὰ πείθωνται. Μὴ λοιπὸν ἀπαξιώσετε, ἀλλ' ἂς τὰ κάνομε ὅλα γιὰ τὴ δόξα τοῦ Θεοῦ· διότι σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Δ΄

(Πράξ. 2, 1 - 13)

«Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς, ἦσαν ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό· καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος».

1. Τίς ἐστιν αὕτη ἡ πεντηκοστή; Ὅτε τὸ δρέπανον ἐπιβάλλειν ἔδει τῷ ἀμητῷ· ὅτε τοὺς καρποὺς συνάγειν ἐχρῆν. Εἶδες τὸν τύπον; Βλέπε πάλιν τὴν ἀλήθειαν. Ὅτε τὸ δρέπανον ἐπιβάλλειν ἔδει τοῦ λόγου, ὅτε τὸν ἀμητὸν συλλέγειν, τότε καθάπερ δρέπανον τὸ Πνεῦμα ἠκονημένον ἐφίπταται. Ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος· «Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη»· καὶ πάλιν, «Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι». Ὥστε αὐτὸς ἐπέβαλε τὸ δρέπανον πρότερος. Αὐτὸς γὰρ ἀνήγαγεν εἰς οὐρανοὺς ἀπαρχήν, τὸ ἡμῶν προσλαβών. Διὰ τοῦτο καὶ θερισμὸν τὸ τοιοῦτον καλεῖ.

«Ἐν τῷ συμπληροῦσθαι», φησί, «τὴν ἡμέραν τῆς πεντηκοστῆς»· τουτέστιν, οὐ πρὸ τῆς πεντηκοστῆς, ἀλλὰ περὶ αὐτήν, ὡς εἰπεῖν, τὴν πεντηκοστήν. Ἔδει γὰρ ἑορτῆς οὔσης πάλιν ταῦτα γίνεσθαι, ἵν' οἱ παρόντες τῷ σταυρῷ τοῦ Χριστοῦ, οὗτοι καὶ ταῦτα ἴδωσι. «Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος». Διατί μὴ χωρὶς αἰσθητῶν ὑποδειγμάτων τοῦτο γέγονεν; Ὅτι εἰ καὶ τούτου γενομένου ἔλεγον, ὅτι «Γλεύκους μεμεστωμένοι εἰσίν», εἰ μὴ τοῦτο ἐγένετο, τί οὐκ ἂν εἶπον; Οὐχ ἁπλῶς δὲ ὁ ἦχος γέγονεν, ἀλλ', «Ἐκ τοῦ οὐρανοῦ». Καὶ τὸ αἰφνίδιον δὲ διανέστησεν αὐτούς. «Καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον». Πολλὴν τὴν ῥύμην λέγει

1. Πράξ. 2, 1.
2. Ἰω. 4, 35.
3. Λουκ. 10, 2.

ΟΜΙΛΙΑ Δ΄
(Πράξ. 2, 1 - 13)

«Καὶ ὅταν ἔφθασε νὰ συμπληρωθεῖ ἡ ἡμέρα τῆς Πεντηκοστῆς, ἦταν ὅλοι οἱ πιστοὶ συγκεντρωμένοι στὸ ἴδιο μέρος. Καὶ ξαφνικὰ ἦλθε ἀπὸ τὸν οὐρανὸ ἕνας ἦχος»[1].

1. Ποιὰ εἶναι αὐτὴ ἡ Πεντηκοστή; ὅταν τὸ δρεπάνι ἔπρεπε νὰ χρησιμοποιηθεῖ γιὰ τὴν συγκομιδὴ ἀπὸ τὸ θερισμό· ὅταν ἔπρεπε νὰ συναθροίζει τοὺς καρπούς. Εἶδες τὸν τύπο; βλέπε πάλι τὴν ἀλήθεια. Ὅταν ἔπρεπε νὰ ἐπιβάλλει τὸ δρεπάνι τοῦ λόγου, ὅταν τοὺς καρποὺς ἔπρεπε νὰ συλλέγει, τότε τὸ Πνεῦμα, σὰν δρεπάνι κοφτερό, πετᾶ ἐπάνω σ' αὐτούς. Διότι ἄκουε τὸ Χριστό, ποὺ λέγει· «Ὑψῶστε τὰ μάτια σας, καὶ κοιτάξτε τὰ χωράφια, ὅτι εἶναι ἀσπρισμένα, ἕτοιμα πρὸς θερισμό»[2]· καὶ πάλι, «ὁ μὲν θερισμὸς εἶναι πολύς, ἀλλ' οἱ ἐργάτες εἶναι λίγοι»[3]. Ὥστε αὐτὸς πρῶτος χρησιμοποίησε τὸ δρεπάνι. Διότι αὐτὸς ἀνέβασε στοὺς οὐρανοὺς τὶς προσφορὲς τῶν πρώτων καρπῶν, ἀφοῦ προσέλαβε τὸ ἀνθρώπινο ἔνδυμα. Γι' αὐτὸ καὶ τοῦτο καλεῖ θερισμό.

«Καὶ ὅταν ἔφθασε», λέγει, «ἡ ἡμέρα τῆς Πεντηκοστῆς», δηλαδὴ ὄχι πρὸ τῆς Πεντηκοστῆς, ἀλλὰ τὴν ἡμέρα τῆς Πεντηκοστῆς, ὅπως θὰ μποροῦσε κάποιος νὰ πεῖ. Διότι, ἔπρεπε νὰ γίνουν πάλι αὐτὰ κατὰ τὴν διάρκεια ἑορτῆς, γιὰ νὰ δοῦν αὐτὰ καὶ αὐτοί, ποὺ ἦσαν παρόντες κατὰ τὴ σταύρωση τοῦ Χριστοῦ. «Καὶ ξαφνικὰ ἦλθε ἀπὸ τὸν οὐρανὸ βοή». Γιατὶ ἔγινε αὐτὸ χωρὶς αἰσθητὰ σημεῖα; Διότι, μολονότι ἔγινε καὶ αὐτό, ἔλεγαν ὅτι «ἔχουν πιεῖ πολὺ μοῦστο», ἐὰν δὲν γινόταν αὐτό, τί δὲν θὰ μποροῦσαν νὰ ποῦν; Ὄχι δὲ μόνο ἔγινε ἦχος, ἀλλ' «ἐκ τοῦ οὐρανοῦ». Καὶ τὸ ξαφνικὸ αὐτοῦ, διήγειρε αὐτούς. «Καὶ γέμισε ὅλο τὸ σπίτι». Ἀναφέρει μεγάλη ὁρμὴ τοῦ Πνεύματος.

τοῦ Πνεύματος. Ὅρα. Πάντας ἐκεῖ συνήγαγεν, ὥστε καὶ τοὺς παρόντας πιστεῦσαι, καὶ τούτους ἀξίους δειχθῆναι. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ τὸ πολλῷ τούτου φρικωδέστερον ἐπάγων· «Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός», φησί. Καλῶς πανταχοῦ τό, «Ὡς», πρόσκειται, ἵνα μηδὲν αἰσθητὸν περὶ τοῦ Πνεύματος νομίσῃς. «Ὡσεὶ πυρός», φησί, καὶ «ὡσεὶ πνοῆς». Οὐκ ἄρα ἄνεμος ἦν ἁπλῶς εἰς ἀέρα χεόμενος. Ὅτε μὲν γὰρ Ἰωάννῃ ἔδει γνωρισθῆναι τὸ Πνεῦμα, ὡς ἐν εἴδει περιστερᾶς ἐπὶ τὴν κεφαλὴν ἦλθε τοῦ Χριστοῦ, νῦν δὲ ὅτε πλῆθος ὅλον ἐπιστραφῆναι ἐχρῆν, ὡσεὶ πυρός».

Καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν»· τουτέστι, «παρέμεινεν, ἐπανεπαύσατο»· τὸ γὰρ καθίσαι τοῦ ἑδραίου ἐστὶ σημαντικὸν καὶ τοῦ μεῖναι. Τί δαί; ἆρα ἐπὶ τοὺς δώδεκα μόνους ἦλθεν, οὐχὶ δὲ καὶ ἐπὶ τοὺς λοιπούς; Οὐδαμῶς· ἀλλὰ καὶ ἐπὶ τοὺς ἑκατὸν εἴκοσιν. Οὐ γὰρ ἂν ἁπλῶς παρήγαγε τὴν μαρτυρίαν τοῦ προφήτου ὁ Πέτρος, λέγων· «Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος ὁ Θεός, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται». Καὶ σκόπει· ἵνα γὰρ μὴ ἐκπλήξῃ μόνον, ἀλλὰ καὶ χάριτος πληρώσῃ, διὰ τοῦτο καὶ ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· ἐπάγει γάρ, «Καὶ ἐπλήσθησαν ἅπαντες ἁγίου Πνεύματος, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι». Οὐ λαμβάνουσιν ἕτερον σημεῖον, ἀλλὰ τοῦτο πρῶτον· ξένον γὰρ ἦν, καὶ οὐ χρεία ἦν ἑτέρου σημείου. «Ἐκάθισε», φησίν, «ἐφ' ἕνα ἕκαστον αὐτῶν». Οὐκοῦν καὶ ἐπὶ τὸν καταλειφθέντα. Διὰ τοῦτο οὐδὲ ἀλγεῖ λοιπὸν μὴ αἱρεθείς, ὡς ὁ Ματθίας. «Καὶ ἐπλήσθησαν», φησίν, «ἅπαντες». Οὐχ ἁπλῶς ἔλαβον τοῦ Πνεύματος τὴν χάριν, ἀλλ' «ἐπλήσθησαν. Καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐ-

---

4. Μαρκ. 1, 10. Λουκ. 3, 22. Ἰω. 1, 32.
5. Ἰωὴλ 3, 1' καὶ Πράξ. 2, 17.

Πρόσεχε. Όλους τούς συγκέντρωσε ἐκεῖ, ὥστε καὶ οἱ παρόντες νὰ πιστεύσουν, καὶ αὐτοὶ ἄξιοι νὰ ἀναδειχθοῦν. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ προσθέτοντας καὶ τὸ πιὸ τρομερὸ ἀπὸ αὐτό. «Καὶ παρουσιάσθηκαν γλῶσσες σὰν φλόγες φωτιᾶς νὰ διαμοιράζονται σ' αὐτούς», λέγει. Καλῶς ἀναφέρει παντοῦ τὸ «ὡς», γιὰ νὰ μὴ νομίσεις τίποτε αἰσθητὸ γιὰ τὸ ἅγιο Πνεῦμα. «Σὰν φλόγες φωτιᾶς», λέγει, «καὶ σὰν ἄνεμος». Ἄρα δὲν ἦταν ἁπλῶς ἄνεμος, διασκορπιζόμενος στὸν ἀέρα. Διότι ὅταν μὲν ἔπρεπε στὸν Ἰωάννη νὰ γνωρισθεῖ τὸ Πνεῦμα, σὰν περιστέρι ἦλθε ἐπάνω στὴν κεφαλὴ τοῦ Χριστοῦ[4], τώρα δέ, ὅταν ἔπρεπε ὁλόκληρο πλῆθος νὰ ἐπιστραφεῖ, ἔκανε τὴν ἐμφάνισή του σὰν φλόγες φωτιᾶς.

«Καὶ κάθισε στὸν καθένα ἀπ' αὐτοὺς μία»· δηλαδὴ παρέμεινε, ἀναπαύθηκε. Διότι τὸ νὰ καθίσει, φανερώνει τὸ σταθερὸ καὶ τὴν ἐμμονή. Τί λοιπόν; ἦλθε ἄραγε μόνο στοὺς δώδεκα, καὶ ὄχι καὶ στοὺς ἄλλους; Καθόλου, ἀλλὰ καὶ στοὺς ἑκατὸν εἴκοσι. Διότι δὲν θὰ παρουσίαζε ἁπλῶς τὴ μαρτυρία τοῦ προφήτη ὁ Πέτρος λέγοντας· «Καὶ θὰ συμβεῖ κατὰ τὶς ἔσχατες ἡμέρες, λέγει ὁ Θεός, θὰ ἐκχύσω ἀπὸ τὸ Πνεῦμα μου σὲ κάθε ἄνθρωπο καὶ θὰ προφητεύσουν οἱ υἱοί σας καὶ οἱ θυγατέρες σας καὶ οἱ νέοι σας θὰ δοῦν ὁράσεις καὶ οἱ γέροντές σας θὰ ὀνειρευθοῦν ὄνειρα»[5]. Καὶ πρόσεχε· γιὰ νὰ μὴ ἐκπλήξει μόνο, ἀλλὰ καὶ γιὰ νὰ χορηγήσει πλήρως τὴ χάρη, γι' αὐτὸ καὶ ἐμφανίσθηκε «σὲ Πνεῦμα Ἅγιο καὶ φωτιά»· διότι προσθέτει· «Καὶ πληρώθηκαν ὅλοι ἀπὸ Πνεῦμα ἅγιο καὶ ἄρχισαν νὰ ὁμιλοῦν ἄλλες γλῶσσες, καθὼς τὸ Πνεῦμα ἔδινε σ' αὐτοὺς τὴ δύναμη νὰ ὁμιλοῦν». Δὲν λαμβάνουν ἄλλο σημεῖο, ἀλλ' αὐτὸ πρῶτα. Διότι ἦταν παράξενο, καὶ δὲν παρίστατο ἀνάγκη ἄλλου σημείου. «Κάθισε», λέγει, «στὸν καθένα τους ἀπὸ μία». Βέβαια καὶ ἐπάνω στὸν μὴ ἐκλεγέντα Ἰοῦστο. Γι' αὐτὸ καὶ δὲν ὑποφέρει, ἐπειδὴ δὲν ἐξελέγη, ὅπως ὁ Ματθίας· «Καὶ πληρώθηκαν», λέγει, «ὅλοι». Δὲν ἔλαβαν ἁπλῶς τὴ χάρη τοῦ ἁγίου Πνεύματος, ἀλλὰ πληρώθηκαν. Καὶ ἄρχισαν νὰ ὁμιλοῦν ἄλλες γλῶσσες κα-

τοῖς ἀποφθέγγεσθαι». Οὐκ ἂν εἶπε, «Πάντες», καὶ ἀποστόλων ὄντων ἐκεῖ, εἰ μὴ καὶ οἱ ἄλλοι μετέσχον. Ἄλλως δὲ οὐδὲ ἄνω κατ' ἰδίαν αὐτοὺς προειπὼν καὶ ὀνομαστί, νῦν ἂν συνῆψεν ἐν τῷ αὐτῷ πράγματι. Εἰ γὰρ ὅπου εἰπεῖν ἦν, ὅτι παρῆσαν, κατ' ἰδίαν τῶν ἀποστόλων μνημονεύει, πολλῷ μᾶλλον ἐνταῦθα. Σκόπει δέ μοι, πῶς, ὅταν προσκαρτερῶσι τῇ δεήσει, ὅταν ἀγάπην ἔχωσι, τότε τὸ Πνεῦμα παραγίνεται. Ἀνέμνησε δὲ αὐτοὺς καὶ ἑτέρας ὄψεως, εἰπών, «Ὡσεὶ πυρός»· Ὡς πῦρ γὰρ ἐφάνη καὶ ἐν τῇ βάτῳ.

«Καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι». Ἀποφθέγματα γὰρ ἦν τὰ παρ' αὐτῶν λεγόμενα. «Ἦσαν δέ», φησίν, «ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι ἄνδρες εὐλαβεῖς». Τὸ κατοικεῖν, εὐλαβείας ἦν σημεῖον. Πῶς; Ἀπὸ τοσούτων γὰρ ἐθνῶν ὄντες, καὶ πατρίδας ἀφέντες, καὶ οἰκίας, καὶ συγγενεῖς ᾤκουν ἐκεῖ. «Ἦσαν γάρ», φησίν, «ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν. Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος, καὶ συνεχήθη». Ἐπειδὴ ἐν οἰκίᾳ ἐγένετο τὸ γενόμενον, εἰκότως ἔξωθεν συνέδραμον. «Συνεχύθη τὸ πλῆθος». Τί ἐστι, «Συνεχύθη τὸ πλῆθος»; Ἐταράχθη, ἐθαύμασεν. Εἶτα δηλῶν, ὅτι ἐθαύμαζον, ἐπάγει, «Ὅτι ἤκουον εἷς ἕκαστος αὐτῶν τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. Καὶ συνῆλθε τὸ πλῆθος, καὶ πρὸς ἑαυτοὺς ἔλεγον· οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι»; Πρὸς τοὺς ἀποστόλους εὐθέως ἑώρων. «Καὶ πῶς», φησίν «ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν, ἐν ᾗ ἐγεννήθημεν, Πάρθοι, καὶ Μῆδοι, καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ρωμαῖοι, Ἰουδαῖοί τε καὶ προσή-

θώς τὸ Πνεῦμα ἔδινε σ' αὐτοὺς τὴ δύναμη νὰ ὁμιλοῦν». Δὲν θὰ ἔλεγε «ὅλοι» ἐνῶ ἦταν ἐκεῖ καὶ οἱ Ἀπόστολοι, ἐὰν δὲν μετεῖχαν καὶ οἱ ἄλλοι. Ἀλλιῶς δέ, ἀφοῦ παραπάνω εἶπε σ' αὐτοὺς κατ' ἰδία καὶ ὀνομαστικά, τώρα δὲν θὰ τοὺς συνένωνε σ' αὐτὸ τὸ πράγμα. Διότι ἐάν, ὅπου ἦταν δυνατὸ νὰ πεῖ, ὅτι ἦταν παρόντες, μνημονεύει ἰδιαίτερα τοὺς Ἀποστόλους, πολὺ περισσότερο ἐδῶ. Πρόσεχε σὲ παρακαλῶ, ὅταν ἦταν προσηλωμένοι μὲ μιὰ ψυχὴ στὴ δέηση, ὅταν ἔχουν ἀγάπη, τότε τὸ Πνεῦμα ἐμφανίζεται. Ὑπενθύμισε δὲ σ' αὐτοὺς καὶ μιὰν ἄλλη ὄψη, λέγοντας, «Σὰν φλόγες φωτιᾶς». Διότι σὰν φωτιὰ φάνηκε καὶ στὴ βάτο.

«Καθὼς τὸ Πνεῦμα ἔδινε σ' αὐτοὺς τὴ δύναμη νὰ ὁμιλοῦν». Διότι τὰ λεγόμενά τους ἦταν ἀποφθέγματα. «Κατοικοῦσαν δὲ στὴν Ἰερουσαλὴμ Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς. Ἡ διαμονή τους στὴν Ἰερουσαλὴμ ἦταν σημεῖο εὐλαβείας». Πῶς; Διότι ἐνῶ ἦταν ἀπὸ τόσα ἔθνη, καὶ ἀφοῦ ἄφησαν πατρίδες καὶ οἰκίες καὶ συγγενεῖς, κατοικοῦσαν ἐκεῖ. Διότι, λέγει, «Ἦταν στὴν Ἰερουσαλὴμ Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς, ἀπὸ κάθε ἔθνος κάτω ἀπὸ τὸν οὐρανό». Ἐνῶ δὲ ἔγινε ἡ φωνὴ αὐτή, συνῆλθε τὸ πλῆθος καὶ ὅλοι ἦσαν κατάπληκτοι. Ἐπειδὴ τὸ γεγονὸς συνέβηκε σὲ οἰκία, δικαιολογημένα οἱ ἀπ' ἔξω προσέτρεξαν. «Συνεχύθη τὸ πλῆθος». Τί σημαίνει «συνεχύθη τὸ πλῆθος»; Ταράχθηκε, θαύμασε. Ἔπειτα δηλώνοντας, ὅτι θαύμαζαν, προσθέτει· «ὅτι ἄκουε ὁ καθένας τους νὰ ὁμιλοῦν τὴ δική του γλώσσα». «Καὶ συγκεντρώθηκε τὸ πλῆθος καὶ ἔλεγαν μεταξύ τους· δὲν εἶναι ὅλοι αὐτοὶ ἐδῶ, ποὺ ὁμιλοῦν, Γαλιλαῖοι; Καὶ ἔβλεπαν κατ' εὐθεία πρὸς τοὺς Ἀποστόλους. «Καὶ πῶς»; λέγει, «ἐμεῖς νὰ ἀκοῦμε ὁ καθένας στὴ δική μας μητρικὴ γλώσσα; Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖτες καὶ οἱ κατοικοῦντες τὴ Μεσοποταμία καὶ τὴν Ἰουδαία καὶ τὴν Καππαδοκία, καὶ τὸν Πόντο καὶ τὴν Ἀσία, καὶ τὴ Φρυγία καὶ τὴν Παμφυλία, καὶ τὴν Αἴγυπτο καὶ τὰ μέρη τῆς Λιβύης, ἡ ὁποία ἐκτείνεται πρὸς τὴν Κυρήνη, καὶ οἱ ἐδῶ ἐγκατεστημένοι Ρωμαῖοι, καὶ Ἰουδαῖοι

λυτοι, Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ; Ἐξίσταντο δὲ πάντες, καὶ διηπόρουν πρὸς ἀλλήλους, λέγοντες· τί θέλει τοῦτο εἶναι»; Ὁρᾷς ἐξ ἀνατολῶν εἰς δυσμὰς αὐτοὺς τρέχοντας; «Ἕτεροι δέ», φησί, «διαχλευάζοντες ἔλεγον· γλεύκους μεμεστωμένοι εἰσίν».

2. Ὢ τῆς ἀνοίας, ὢ τῆς κακίας τῆς πολλῆς. Καίτοι οὐδὲ καιρὸς ἦν οὗτος τοῦ γλεύκους· πεντηκοστὴ γὰρ ἦν. Καὶ τὸ δεινότερον, ὅτι πάντων ὁμολογούντων, Ρωμαίων ὄντων, προσηλύτων ὄντων, τῶν σταυρωσάντων ἴσως, ἐκεῖνοι μετὰ τοσαῦτα λέγουσιν, «ὅτι Γλεύκους μεμεστωμένοι εἰσίν». Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. «Ἐπλήρωσε», φησί, «τὸν οἶκον». Ἡ πνοὴ καθάπερ κολυμβήθρα γέγονεν ὕδατος. Τῆς δαψιλείας δὲ τοῦτο τεκμήριον καὶ τῆς σφοδρότητος τὸ πῦρ. Οὐδαμοῦ τοιοῦτο γέγονεν ἐπὶ τῶν προφητῶν· ἀλλὰ τότε μὲν οὕτως ἐκείνοις, τοῖς προφήταις δὲ ἑτέρως. Κεφαλὶς γὰρ βιβλίου δίδοται τῷ Ἰεζεκιήλ, καὶ ἐσθίει ἃ ἔμελλε λέγειν· «Ἐγένετο γάρ», φησίν, «ἐν τῷ στόματι αὐτοῦ ὡς μέλι γλυκάζον». Καὶ πάλιν ἡ χεὶρ ἅπτεται τοῦ Θεοῦ τῆς γλώσσης ἑτέρου προφήτου. Ἐνταῦθα δὲ αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον· οὕτως ὁμότιμον τυγχάνει Πατρὶ καὶ Υἱῷ. Καὶ πάλιν ἑτέρωθι ἄλλως· «Κατάλεγμα, καὶ μέλος, καὶ οὐαί». Ἐκείνοις μὲν οὖν εἰκότως ἐν βιβλίῳ· ἔτι γὰρ αὐτοῖς παραδειγμάτων ἔδει· πρὸς ἓν ἔθνος εἶχον ἐκεῖνοι μόνον, καὶ τοὺς οἰκείους· οὗτοι δὲ καὶ πρὸς τὴν οἰκουμένην ἅπασαν, καὶ τοὺς οὐδέποτε γνωρισθέντας. Ἐλισσαῖος δὲ διὰ μηλωτῆς λαμβάνει τὴν χάριν, ἄλλος δι' ἐλαίου, ὡς ὁ Δαυίδ, Μωϋσῆς δέ, διὰ πυρὸς τῆς βάτου καλεῖται. Ἀλλ' ἐνταῦθα οὐχ οὕτως, ἀλλ' αὐτὸ τὸ πῦρ ἐνεκάθισε.

Διατί δὲ μὴ ἐφάνη πῦρ τὸν οἶκον πληροῦν; Ὅτι ἐξέστησαν ἄν. Ἀλλὰ δείκνυσιν ὅτι τοῦτο ἐκεῖνό ἐστι. Μὴ γὰρ τῷ

6. Ἰεζ. 3, 3.
7. Ἰερ. 1, 9.
8. Ἰεζ. 2, 9-10
9. Δ' Βασιλ. 2, 13. 14.
10. Α' Βασιλ. 16, 13.
11. Ἔξοδ. 3, 2.

καὶ προσήλυτοι, Κρῆτες καὶ Ἄραβες, τοὺς ἀκοῦμε νὰ ὁμιλοῦν στὶς δικές μας γλῶσσες γιὰ τὰ μεγαλεῖα τοῦ Θεοῦ. Ἐξεπλήσσονταν δὲ ὅλοι καὶ ἀποροῦσαν καὶ ἔλεγαν ὁ ἕνας στὸν ἄλλο. Τί ἄραγε νὰ σημαίνει αὐτό;». Βλέπεις αὐτοὺς νὰ τρέχουν ἀπὸ τὴν Ἀνατολὴ μέχρι τὴ Δύση;

2. «Ἄλλοι δέ», λέγει, «εἰρωνεύοντας ἔλεγαν ὅτι ἔχουν πιεῖ πολὺ μοῦστο. Πώ, πὼ ἀνοησία, πώ, πὼ μέγεθος κακίας! Παρότι δὲν ἦταν ὁ καιρὸς αὐτὸς τοῦ γλεύκους· διότι ἦταν Πεντηκοστή. Καὶ τὸ χειρότερο ὅτι, ἐνῶ ὅλοι ὁμολογοῦν, ὅτι εἶναι Ρωμαῖοι, ὅτι εἶναι προσήλυτοι, ἐκεῖνοι ποὺ τὸν σταύρωσαν ἴσως, ἐκεῖνοι μετὰ ἀπὸ τόσα λέγουν, ὅτι «ἔχουν πιεῖ πολὺ μοῦστο». Ἀλλ' ἂς δοῦμε ἀπὸ ἀρχῆς τὰ λεχθέντα· «Γέμισε ὅλο τὸ σπίτι», λέγει. Ἡ πνοὴ ἔγινε ὅπως ἡ κολυμβήθρα τοῦ ὕδατος. Αὐτὴ ἦταν ἀπόδειξη τῆς ἀφθονίας καὶ τῆς σφοδρότητος. Πουθενὰ δὲν ἔχει γίνει παρόμοιο στοὺς προφῆτες· ἀλλὰ τότε μὲν κατὰ τὸν τρόπο αὐτὸ ἐγίνετο σ' ἐκείνους, στοὺς προφῆτες ὅμως διαφορετικά. Διότι στὸν Ἰεζεκιὴλ δίνεται κεφάλαιο βιβλίου, καὶ τρώγει ἐκεῖνα, τὰ ὁποῖα ἐπρόκειτο νὰ κηρύττει· «Καθὼς ἔτρωγα», λέγει, «αἰσθάνθηκα στὸ στόμα μου σὰν μέλι τὴν γλυκύτητα»[6]. Ἐδῶ καὶ πάλι τὸ χέρι τοῦ Θεοῦ ἀγγίζει τὴ γλώσσα καὶ ἄλλου προφήτη[7]. Ἐδῶ δὲ αὐτὸ τὸ ἴδιο τὸ Πνεῦμα τὸ ἅγιο. Μὲ τὸν τρόπο αὐτὸ γίνεται φανερὸ ὅτι εἶναι ὁμότιμο πρὸς τὸν Πατέρα καὶ τὸν Υἱό. Καὶ πάλι σὲ ἄλλο σημεῖο ἀλλιῶς· «θρῆνος, κλαυθμὸς καὶ οὐαί»[8]. Σ' ἐκείνους βέβαια δικαιολογημένα σὲ βιβλίο· διότι χρειάζονταν ἀκόμη σ' αὐτοὺς παραδείγματα. Πρὸς ἕνα ἔθνος μόνο ἐκεῖνοι εἶχαν νὰ ἀπευθύνονται καὶ πρὸς τοὺς οἰκείους τους· αὐτοὶ ὅμως πρὸς ὅλη τὴν οἰκουμένη, καὶ πρὸς ἐκείνους, ποὺ ποτὲ δὲν γνώρισαν. Ὁ Ἐλισσαῖος δὲ μὲ τὸν ἐπενδύτη λαμβάνει τὴ χάρη[9], ἄλλος μὲ ἔλαιο, ὅπως ὁ Δαυίδ[10], ὁ δὲ Μωϋσῆς καλεῖται μὲ τὴ φωτιὰ τῆς βάτου[11]. Ἐδῶ ὅμως ὄχι κατὰ τὸν ἴδιο τρόπο, ἀλλὰ αὐτὴ ἡ ἴδια ἡ φωτιὰ κάθισε ἐπάνω τους.

Γιατί δὲ δὲν φάνηκε φωτιὰ νὰ γεμίζει τὴν οἰκία; Διότι θὰ ἐκπλήσσονταν. Ἀλλὰ φανερώνει ὅτι αὐτὸ εἶναι

λέγειν, ὅτι «Ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι», πρόσχης, ἀλλ' ὅτι «πυρός». Τοσοῦτον πῦρ μυρίαν ὕλην ἀνάψαι δύναται. Καὶ καλῶς εἶπε, «Διαμεριζόμεναι». Ἐκ μιᾶς γὰρ ἦν ῥίζης· ἵνα μάθῃς, ὅτι ἐνέργειά ἐστιν ἀπὸ τοῦ Παρακλήτου πεμφθεῖσα. Ὅρα δὲ καὶ ἐκείνους πρῶτον δειχθέντας ἀξίους, καὶ τότε Πνεύματος καταξιωθέντας· οἷον ὥσπερ ὁ Δαυίδ· ἅπερ γὰρ ἐν ταῖς ποίμναις εἰργάζετο, ταῦτα καὶ μετὰ τὴν νίκην καὶ τὸ τρόπαιον, ἵνα δειχθῇ αὐτοῦ γυμνὴ ἡ πίστις. Ὅρα πάλιν τὸν Μωϋσέα καὶ αὐτὸν καταφρονοῦντα βασιλείων, καὶ μετὰ τεσσαράκοντα ἔτη τῆς δημαγωγίας ἁπτόμενον· τὸν Σαμουὴλ ἀνατρεφόμενον ἐν τῷ ναῷ, τὸν Ἐλισσαῖον πάντα ἀφιέντα, τὸν Ἰεζεκιὴλ πάλιν. Ὅτι δὲ οὕτω συνέβαινε, καὶ ἐκ τῶν μετὰ ταῦτα δῆλον· καὶ γὰρ καὶ οὗτοι πάντα εἴασαν τὰ αὐτῶν. Διὰ τοῦτο τότε τὸ Πνεῦμα λαμβάνουσιν, ὅτε τὴν οἰκείαν ἀρετὴν ἐπεδείξαντο. Ἔμαθον καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν, δι' ὧν ἔπαθον, ἔμαθον, ὅτι οὐκ εἰκῇ ταῦτα κατώρθωσαν. Οὕτω καὶ Σαοὺλ πρότερον μαρτυρηθεὶς ἀγαθὸς εἶναι, τότε τὸ Πνεῦμα ἔλαβεν. Ἀλλ' οὕτως οὐδείς, οὐδὲ ὁ μείζων τῶν προφητῶν Μωϋσῆς. Ἐκεῖνος γὰρ ὅτε ἔδει ἑτέρους γενέσθαι πνευματικούς, ἠλαττοῦτο αὐτός.

Ἀλλ' ἐνταῦθα οὐχ οὕτως· ἀλλ' ὥσπερ ἐπὶ τοῦ πυρός, ὅσους ἂν τις θέλοι λύχνους ἀνάπτει, τὸ πῦρ οὐδὲν ἐλαττῶν· οὕτω καὶ ἐπὶ τῶν ἀποστόλων συνέβαινε τότε. Καὶ γὰρ διὰ τοῦ πυρὸς οὐ μόνον τὸ δαψιλὲς τῆς χάριτος ἐδείκνυτο, ἀλλὰ καὶ πηγὴν ἕκαστος ἐλάμβανε Πνεύματος· ὥσπερ οὖν καὶ αὐτὸς πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον ἔφησεν ἕξειν τοὺς πιστεύοντας ἐπ' αὐτόν· καὶ μάλα εἰκότως. Οὐ γὰρ τῷ Φαραὼ διαλεξόμενοι ἀπῄεσαν, ἀλλὰ τῷ διαβόλῳ παλαίσοντες. Καὶ τὸ

---

12. Ἐξοδ. 3, 11.
13. Α' Βασιλ. 3, 3.
14. Γ' Βασιλ. 19, 20.
15. Ἰω. 4, 14.

ἐκεῖνο. Διότι μὴ προσέχεις τὸ λεγόμενο, ὅτι «παρουσιάσθηκαν γλῶσσες νὰ διαμοιράζονται σ' αὐτούς, ἀλλὰ σὰν φλόγες φωτιᾶς. Τέτοια φωτιὰ μπορεῖ ν' ἀνάψει ἄπειρη ξυλεία. Καὶ καλὰ εἶπε «διαμεριζόμενες». Διότι προέρχονταν ἀπὸ μιὰ ρίζα, γιὰ νὰ μάθεις ὅτι εἶναι ἐνέργεια, ἡ ὁποία ἀπεστάλη ἀπὸ τὸν Παράκλητο. Κοίταξε δὲ καὶ ἐκείνους ὅτι ἀποδείχθηκαν πρῶτα ἄξιοι καὶ τότε καταξιώθηκαν τὸ Πνεῦμα˙ ὅπως δηλαδὴ ὁ Δαυίδ˙ διότι, ὅπως φέρονταν στὰ ποίμνια κατὰ τὸν ἴδιο τρόπο φέρθηκε καὶ μετὰ τὴ νίκη καὶ τὸ θρίαμβο, γιὰ νὰ φανερωθεῖ ἡ καθαρὴ πίστη αὐτοῦ. Κοίταξε πάλι τὸν Μωϋσῆ καὶ αὐτὸς νὰ καταφρονεῖ τὰ βασίλεια[12] καὶ ὕστερα ἀπὸ σαρράντα ἔτη νὰ ἀναλαμβάνει τὴν καθοδήγηση τοῦ λαοῦ. Τὸν Σαμουὴλ νὰ ἀναστρέφεται στὸ ναό[13], τὸν Ἐλισσαῖο νὰ τ' ἀφήνει ὅλα[14], τὸν Ἰεζεκιὴλ πάλι. Ὅτι δὲ ἔτσι συνέβαινε, εἶναι φανερὸ καὶ ἀπὸ τὰ μετέπειτα˙ διότι καὶ αὐτοὶ ἐγκατέλειψαν ὅλα τὰ δικά τους. Γι' αὐτὸ λαμβάνουν τὸ Πνεῦμα τότε, ὅταν ἐπέδειξαν τὴ δική τους ἀρετή. Ἔμαθαν καὶ τὴν ἀνθρώπινη ἀδυναμία, μὲ ἐκεῖνα τὰ ὁποῖα ἔπαθαν˙ ἔμαθαν ὅτι δὲν κατόρθωσαν αὐτὰ τυχαῖα. Ἔτσι καὶ ὁ Σαούλ, ἀφοῦ προηγουμένως ἐπεβεβαιώθηκε ὅτι εἶναιὰ γαθός, ἔλαβε κατόπιν τὸ ἅγιο Πνεῦμα. Ἀλλ' ἔτσι κανένας, οὔτε ὁ μεγαλύτερος ἀπὸ τοὺς προφῆτες, ὁ Μωϋσῆς ἔλαβε τὸ Πνεῦμα. Διότι ἐκεῖνος, ὅταν ἔπρεπε ἄλλοι νὰ λάβουν τὴ χάρη τοῦ ἁγίου Πνεύματος, ἐλαττωνόταν αὐτός.

Ἐδῶ ὅμως δὲν συνέβαινε ἔτσι, ἀλλ' ὅπως ἀκριβῶς συμβαίνει στὴ φωτιά, ὅσους λύχνους καὶ ἂν ἀνάψει κάποιος δὲν ἐλαττώνει καθόλου τὴ φωτιά, ἔτσι καὶ μὲ τοὺς Ἀποστόλους συνέβαινε τότε. Διότι καὶ μὲ τὴ φωτιά, ὄχι μόνο τὴν ἀφθονία τῆς χάριτος φανέρωνε, ἀλλὰ ὁ καθένας λάβαινε ὁλόκληρη πηγὴ Πνεύματος˙ ὅπως ἀκριβῶς δηλαδὴ καὶ ὁ Χριστὸς εἶπε, ὅτι οἱ πιστεύοντες σ' αὐτὸν θὰ ἔχουν πηγὴ ὕδατος, ποὺ θὰ ἀναβλύζει σὲ ζωὴ αἰώνια[15]. Καὶ πολὺ λογικά. Διότι δὲν ἀπῆλθαν γιὰ νὰ συζητήσουν μὲ τὸ Φαραώ, ἀλλὰ νὰ παλέψουν μὲ τὸ διάβολο. Καὶ μάλιστα τὸ πλέον θαυμαστό, ὅτι ὅταν ἀποστέλλονταν,

δὴ θαυμαστότερον, ὅτι πεμπόμενοι οὐδὲν ἀντεῖπον, οὐδὲ εἶπον ἰσχνόφωνοι εἶναι, καὶ βραδύγλωσσοι· Μωϋσῆς γὰρ αὐτοὺς εἰς τοῦτο ἐπαίδευσεν. Οὐκ εἶπον εἶναι νεώτεροι· Ἰερεμίας γὰρ αὐτοὺς ἐσωφρόνισε. Καίτοι πολλὰ ἤκουσαν φοβερά, καὶ πολλῷ μείζονα ἐκείνων· ἀλλ' ὅμως ἐφοβοῦντο ἀντειπεῖν. Ἐκ τούτου δῆλον, ὅτι καὶ φωτὸς ἄγγελοι ἦσαν, καὶ τῶν ἄνωθεν πραγμάτων ὑπηρέται. Καὶ ἐκείνοις μὲν οὐδεὶς ἀπ' οὐρανοῦ φαίνεται· τὰ ἐν τῇ γῇ διώκουσιν ἔτι· ἐπειδὴ δὲ ἀνῆλθεν ἄνθρωπος ἄνω, καὶ Πνεῦμα ἄνωθεν φέρεται, «Ὡσεὶ φερομένης», φησί, «πνοῆς βιαίας». Διὰ τούτου δῆλον ποιεῖ, ὅτι οὐδὲν αὐτοῖς ἀντιστῆναι δυνήσεται, ἀλλ' ὥσπερ χοῦν τοὺς ἐπεναντίους λικμήσουσι.

«Καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον». Ἡ οἰκία τοῦ κόσμου σύμβολον ἦν. «Καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν. Καὶ συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη». Ὁρᾷς τὴν τούτων εὐλάβειαν, καὶ πῶς οὐκ εὐθέως ἀποφαίνονται, ἀλλ' ἐν ἀπορίᾳ εἰσίν; Ἐκεῖνοι δὲ οἱ ἀγνώμονες ἀποφαίννονται λέγονες, ὅτι «Γλεύκους εἰσὶ μεμεστωμένοι». Ἐπεὶ ἐξῆν αὐτοῖς κατὰ τὸν νόμον τρὶς τοῦ ἐνιαυτοῦ φαίνεσθαι ἐν τῷ ναῷ, διὰ τοῦτο ᾤκουν ἐκεῖ ἀπὸ πάντων τῶν ἐθνῶν εὐλαβεῖς ἄνδρες. Ὅρα ἐντεῦθεν τὸν γράφοντα, πῶς αὐτοὺς οὐ κολακεύει. Οὐ γὰρ εἶπεν, ὅτι ἀπεφήναντο, ἀλλὰ τί; «Γενομένης δὲ τῆς φωνῆς ταύτης συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη». Εἰκότως· ἐνόμιζον γὰρ αὐτοῖς τέλος ἔχειν τὸ πρᾶγμα διὰ τὴν γενομένην τόλμαν κατὰ τοῦ Χριστοῦ. Ἄλλως δὲ καὶ τὸ συνειδὸς κατέσειεν αὐτῶν τὰς ψυχάς, ἐν χερσὶ οὔσης ἔτι τῆς σφαγῆς, καὶ πάντα αὐτοὺς ἐπτόει. «Οὐκ ἰδού», φησί, «πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι;». Καλῶς οὕτως εἶπε· καὶ γὰρ τοῦτο εἶναι ὡμολογοῦντο. Οὕτως αὐτοὺς ἐπτόησεν ὁ ἦχος, ὅτι καὶ τὸ πλέον τῆς οἰκουμένης ἐνταῦθα κατέλαβε. Τοῦτο δὲ αὐτοὺς ἐνεύρου τοὺς ἀποστόλους, ὅτι τί

17. Ἱερ. 1, 8.

δὲν ἔφεραν ἀντίρρηση, οὔτε εἶπαν ὅτι ἔχουν ἀδύνατη φωνὴ καὶ ὅτι εἶναι βραδύγλωσσοι[16]. Διότι ὁ Μωϋσῆς σὲ αὐτὸ ἐκπαίδευσε αὐτούς. Δὲν εἶπαν ὅτι εἶναι νεώτεροι. Διότι ὁ Ἱερεμίας σωφρόνισε αὐτούς[17]. Ἂν καὶ ἄκουσαν πολλὰ φοβερά, καὶ πολὺ μεγαλύτερα ἀπὸ ἐκείνους, ἀλλ' ὅμως φοβοῦνταν νὰ ἔχουν ἀντιρρήσεις. Ἀπὸ αὐτὸ εἶναι φανερό, ὅτι καὶ ἄγγελοι φωτὸς ἦταν, καὶ τῶν ἄνω πραγμάτων ὑπηρέτες. Καὶ σ' ἐκείνους μὲν κανένας ἀπὸ τὸν οὐρανὸ δὲν φαίνεται, διότι ἐπιδιώκουν ἀκόμη τὰ γήινα, ἐπειδὴ δὲ ἀνῆλθε ἄνθρωπος ἄνω, καὶ τὸ Πνεῦμα ἐκ τῶν ἄνω φέρεται, «Ὡσὰν νὰ φυσᾶ δυνατὸς ἄνεμος». Μὲ αὐτὸ φανερώνεται ὅτι τίποτε δὲν θὰ μπορέσει ν' ἀντισταθεῖ σ' αὐτούς, ἀλλ' ὅπως τὸ χῶμα διασκορπίζεται ἀπὸ τὸν ἄνεμο, ἔτσι καὶ αὐτοὶ θὰ διασκορπίσουν τοὺς ἀντίθετους.

«Καὶ γέμισε ὅλο τὸ σπίτι». Τὸ σπίτι ἦταν σύμβολο τοῦ κόσμου. «Καὶ κάθισε στὸν καθένα ἀπ' αὐτοὺς καὶ συγκεντρώθηκε τὸ πλῆθος καὶ ἦταν ὅλοι κατάπληκτοι». Βλέπεις τὴν εὐλάβεια αὐτῶν καὶ πῶς δὲν ἀποφαίνονται ἀμέσως, ἀλλὰ βρίσκονται σὲ ἀπορία; Ἐκεῖνοι δὲ οἱ ἀγνώμονες ἀποφαίνονται λέγοντες, ὅτι «ἔχουν πιεῖ πολὺ μοῦστο». Ἐπειδὴ ἐπιτρεπόταν σ' αὐτοὺς νὰ ἐμφανίζονται στὸ ναὸ σύμφωνα μὲ τὸ νόμο τρεῖς φορὲς τὸ χρόνο, γι' αὐτὸ κατοικοῦσαν ἐκεῖ ἄνδρες εὐλαβεῖς ἀπ' ὅλα τὰ ἔθνη. Πρόσεχε ἀπ' ἐδῶ τὸν συγγραφέα, πῶς δὲν τοὺς κολακεύει. Διότι δὲν εἶπε, ὅτι ἀπεφάνθησαν, ἀλλὰ τί; «Ὅταν ἔγινε ἡ βοὴ αὐτή, συγκεντρώθηκε τὸ πλῆθος καὶ ἦταν ὅλοι κατάπληκτοι». Δικαιολογημένα. Διότι νόμιζαν ὅτι ἡ ὑπόθεση θὰ τελείωνε γι' αὐτοὺς μὲ τὸ τίμημα ποὺ ἐπιχειρήθηκε ἐναντίον τοῦ Χριστοῦ. Ἐξ ἄλλου δὲ καὶ ἡ τύψη τῆς συνειδήσεως συγκλόνισε τὶς ψυχές τους, ἐνῶ ἡ σφαγὴ βρισκόταν ἀκόμη στὰ χέρια τους καὶ τὰ πάντα φόβιζαν αὐτούς. «Δὲν ἦταν ὅλοι αὐτοί, ποὺ ὁμιλοῦν, Γαλιλαῖοι;». Καλὰ εἶπε ἔτσι· διότι ὁμολογοῦνταν ὅτι εἶναι Γαλιλαῖοι. Ἔτσι τρόμαζε αὐτοὺς ὁ ἦχος, διότι καὶ τὸ μεγαλύτερο μέρος τῆς οἰκουμένης ἀφίχθηκε ἐδῶ. Τοῦτο δὲ ἐνδυνάμωνε τοὺς ἴδιους τοὺς Ἀποστόλους, διότι δὲν γνώριζαν νὰ ὁμιλοῦν

ποτε παρθιστὶ ἣν φθέγγεσθαι οὐκ ᾔδεσαν, ἀλλὰ παρ' ἐκείνων τότε ἐμάνθανον. Ἐθνῶν δὲ μέμνηται πολεμίων αὐτοῖς, Κρητῶν, Ἀράβων, Αἰγυπτίων, Περσῶν, δηλῶν ὅτι πάντων τούτων κρατήσουσιν.

3. Ἅτε δὲ ὄντων ἐν αἰχμαλωσίᾳ τῶν Ἰουδαίων, εἰκὸς αὐτοῖς συμπαρεῖναι τηνικαῦτα πολλοὺς τῶν ἐθνῶν· ἢ ὅτι καὶ πρὸς τὰ ἔθνη τὰ τῶν δογμάτων ἤδη κατέσπαρτο. Καὶ διὰ τοῦτο πολλοὶ καὶ ἐξ αὐτῶν παρῆσαν ἐκεῖ κατὰ μνήμην, ὧν ἤκουσαν. Πάντοθεν τοίνυν ἀναντίρρητος ἡ μαρτυρία, παρὰ τῶν πολιτῶν, παρὰ τῶν ξένων, παρὰ τῶν προσηλύτων. «Ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ»· οὐ γὰρ ἁπλῶς ἐλάλουν, ἀλλά τινα θαυμαστὰ ἔλεγον. Εἰκότως τοίνυν ἠπόρουν· οὐδέποτε γὰρ γέγονέ τι τοιοῦτον. Ὅρα εὐγνωμοσύνην ἀνθρώπων. Ἐξίσταντο καὶ διηπόρουν, λέγοντες· «Τί ἂν θέλοι τοῦτο εἶναι; Ἕτεροι δὲ διαχλευάζοντες ἔλεγον ὅτι γλεύκους μεμαστωμένοι εἰσίν». Ὢ τῆς ἀναισχυντίας! εἰ διὰ τοῦτο ἐχλεύαζον. Καὶ τί θαυμαστόν, ὅπου γε καὶ αὐτὸν τὸν Δεσπότην δαίμονας ἐλαύνοντα, δαίμονα ἔχειν λέγουσιν; Ἔνθα γὰρ ἂν ἡ ἰταμότης, ἓν ζητεῖ μόνον, εἰπεῖν ὅ,τι δήποτε, οὐχ ὅπως τι λόγου πρᾶγμα ἐχόμενον εἴποι, ἀλλ' ὅπως εἴποι ὅ,τι δήποτε. «Γλεύκους μεμεστωμένοι εἰσί». Πάνυ γε· ὅτι ἄνθρωποι, ἐν τοσού οις κινδύνοις περὶ τῶν ἐσχάτων τρέμοντες, ἐν τοσαύτῃ ὄντες ἀθυμίᾳ, τοιαῦτα φθέγγεσθαι τολμῶσι. Καὶ ὅρα· ἐπειδὴ τοῦτο ἀπίθανον ἦν, παραλογιζόμενοι τοὺς ἀκούοντας, καὶ δεικνύντες ὅτι ἐμεθύσθησαν, τῇ ποιότητι τὸ πᾶν ἐπιγράφουσι καί φασι· «Γλεύκους μεμεστωμένοι εἰσί».

«Σταθεὶς δὲ ὁ Πέτρος σὺν τοῖς ἕνδεκα, ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς». Ὁρᾷς ἐκεῖ τὴν κηδεμονίαν, ἐνταῦθα δὲ τὴν ἀνδρείαν· εἰ γὰρ ἐθαύμαζον, εἰ γὰρ ἐξεπλήττοντο, οὐχὶ καὶ οὕτω θαυμαστὸν ἦν, τὸ δυνηθῆναι μεταξὺ το-

ποτὲ πρὶν Παρθικά, ἀλλὰ μάθαιναν τότε ἀπὸ ἐκείνους νὰ ὁμιλοῦν. Μνημονεύει δὲ ἐχθρικὰ σ' αὐτούς ἔθνη, Κρῆτες, Ἄραβες, Αἰγύπτιους, Πέρσες, φανερώνοντας, ὅτι θὰ ὑπερισχύσουν σὲ ὅλους αὐτούς.

3. Ἐνῶ δὲ οἱ Ἰουδαῖοι ἦταν στὴν αἰχμαλωσία, ἦταν ἑπόμενο νὰ παραβρίσκονται μαζὶ μὲ αὐτούς πολλοὶ ἀπὸ διάφορα ἔθνη κατ' ἐκεῖνο τὸν καιρὸ ἢ ὅτι καὶ πρὸς τὰ ἔθνη ἤδη εἶχαν διασπαρεῖ οἱ δογματικὲς διδασκαλίες. Καὶ γι' αὐτὸ πολλοὶ καὶ ἀπὸ αὐτὰ τὰ ἔθνη παραβρίσκονται ἐκεῖ, ὅπως τοὺς μνημόνευσε, μὲ ὅσα ἄκουσαν πρίν. Ἀπὸ παντοῦ λοιπὸν εἶναι ἀναντίρρητη ἡ μαρτυρία, ἀπὸ τοὺς πολίτες, ἀπὸ τοὺς ξένους, ἀπὸ τοὺς προσήλυτους. «Ἀκοῦμε νὰ ὁμιλοῦν στὶς δικές μας γλῶσσες γιὰ τὰ μεγαλεῖα τοῦ Θεοῦ». Διότι δὲν μιλοῦσαν ἁπλῶς, ἀλλὰ ἔλεγαν μερικὰ ἀξιοθαύμαστα. Δικαιολογημένα λοιπὸν ἀποροῦσαν. Διότι ποτὲ δὲ συνέβηκε κάτι παρόμοιο. Πρόσεχε τὴν εὐγνωμοσύνη τῶν ἀνθρώπων. Ἐκπλήσσονταν δὲ ὅλοι καὶ ἀποροῦσαν καὶ ἔλεγαν· «Τί ἄραγε νὰ σημαίνει αὐτό; Ἄλλοι εἰρωνεύονταν καὶ ἔλεγαν' ὅτι ἔχουν πιεῖ πολὺ μοῦστο». Πώ, πὼ ἀναισχυντία! Ἀφοῦ γι' αὐτὸ εἰρωνεύονταν. Καὶ τί τὸ θαυμαστό; ἀφοῦ βέβαια καὶ τὸν ἴδιο τὸν Κύριο, ὅταν ἔδιωχνε τοὺς δαίμονες, ἔλεγαν ὅτι ἔχει δαίμονα[18]. Διότι ὅπου ὑπάρχει ἀναισχυντία, ἕνα μόνο ζητεῖ, νὰ πεῖ ὅ,τιδήποτε, ὄχι γιὰ νὰ πεῖ κάποιο πράγμα λογικό, ἀλλ' ἁπλῶς νὰ πεῖ ὅ,τιδήποτε. «Ἔχουν πιεῖ πολὺ μοῦστο». Βεβαιότατα' διότι ἄνθρωποι, οἱ ὁποῖοι βρίσκονταν σὲ τόσους κινδύνους καὶ γιὰ τὰ ἔσχατα ἔτρεμαν καὶ βρίσκονταν σὲ τόση λύπη, τέτοια τολμοῦν νὰ λέγουν. Καὶ πρόσεχε· ἐπειδὴ αὐτὸ ἦταν ἀπίθανο καὶ ἐπειδὴ οἱ ἀκούοντες παραλογίζονταν, καὶ ἔδειχναν ὅτι τάχα μέθυσαν μὲ τὴν ποιότητα, τὸ κάθε τί πού λέγουν χρωματίζουν καὶ λέγουν' «Ἔχουν πιεῖ πολὺ μοῦστο».

«Ἀφοῦ στάθηκε ὁ Πέτρος μαζὶ μὲ τοὺς ἕνδεκα, ὕψωσε τὴ φωνή του καὶ εἶπε σ' αὐτούς». Βλέπεις ἐκεῖ τὴ μέριμνα, ἐδῶ δὲ τὴν ἀνδρεία. Διότι, ἂν θαύμαζαν, ἂν ἐκπλήσσονταν, καὶ τοῦτο δὲν θὰ ἦταν θαυμαστό, τὸ νὰ

σούτων ῥῆξαι φωνὴν ἄνθρωπον ἀγράμματον καὶ ἰδιώτην; Εἰ γὰρ ἐν οἰκείοις τις λέγων ταράττεται, πολλῷ μᾶλλον ἐπὶ ἐχθρῶν καὶ φονώντων. Ὅτι δὲ οὐ μεθύουσιν, εὐθέως ἀπὸ τῆς φωνῆς ἐδήλωσεν· ὅτι οὐκ ἐξεστήκασι, καθάπερ οἱ μάντεις, ὅτι οὐκ ἀνάγκῃ κατείχοντο. Τί δέ ἐστι, «Σὺν τοῖς ἕνδεκα»; Κοινὴν προεβάλλοντο φωνήν, φησί, καὶ πάντων αὐτὸς ἦν τὸ στόμα. Παρεστήκασι δὲ οἱ ἕνδεκα, μαρτυροῦντες τοῖς λεγομένοις. «Ἐπῆρε τὴν φωνὴν αὐτοῦ», φησί· τουτέστι, 'μετὰ πολλῆς εἶπε τῆς παρρησίας'. Τοῦτο δὲ ποιεῖ, ἵνα μάθωσι τοῦ Πνεύματος τὴν χάριν· ὁ γὰρ μὴ ἐνεγκὼν ἐρώτησιν κορασίου εὐτελοῦς, οὗτος ἐν μέσῳ δήμων, φονώντων ἁπάντων, μετὰ τοσαύτης διαλέγεται παρρησίας, ὡς ἀναμφισβήτητον τῆς ἀναστάσεως γενέσθαι τοῦτο τεκμήριον· μεταξὺ γὰρ γελώντων ἀνθρώπων καὶ τὰ τοιαῦτα διαχλευαζόντων παρρησιάζεται. Πόσης εἶναι νομίζεις ἰταμότητος τοῦτο, πόσης ἀσεβείας, πόσης ἀναισχυντίας, τὸ μέθης λογίζεσθαι ἔργον τῶν γλωσσῶν τὸ παράδοξον; Ἀλλ' οὐδὲν τοῦτο τοὺς Ἀποστόλους ἐλύπησεν, οὐδ' ἀτολμοτέρους εἰργάσατο τότε, τὰ τῆς χλεύης ἀκούοντας· τῇ γὰρ παρουσίᾳ τοῦ Πνεύματος ἤδη μετεσκευάσθησαν, καὶ ἀνώτεροι τῶν σωματικῶν πάντων ὑπῆρχον. Ἔνθα δὲ ἂν παραγένηται τὸ Πνεῦμα τὸ ἅγιον, χρυσοῦς ἀντὶ πηλίνων ἐργάζεται.

Ὅρα μοι λοιπὸν τὸν Πέτρον, καὶ ἐξέταζε τὸν δειλόν, τὸν ἀσύνετον, (καθάπερ ὁ Χριστός φησιν· «Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε;») τὸν μετὰ τὴν ὁμολογίαν ἐκείνην τὴν θαυμαστὴν Σατᾶν κληθέντα. Σκόπει δὲ καὶ τῶν Ἀποστόλων τὴν ὁμόνοιαν. Αὐτοὶ παραχωροῦσιν αὐτῷ τῆς δημηγορίας· οὐ γὰρ ἔδει πάντας φθέγγεσθαι· «Καὶ ἐπῆρε», φησί, «τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς», μετὰ πολλῆς τῆς παρρησίας. Τοιοῦτόν ἐστιν ἄνδρα εἶναι πνευματικόν. Μόνον καὶ ἡμεῖς ἀξίους

18. Ματθ. 15, 16.
19. Ματθ. 16, 23.

μπορέσει ἄνθρωπος ἀγράμματος καὶ ἁπλὸς νὰ φωνάξει δυνατὰ ἀνάμεσα σὲ τόσους πολλούς; Διότι, ἂν μεταξὺ τῶν οἰκείων, ὅταν κάποιος ὁμιλεῖ ταράσσεται, πολὺ περισσότερο μεταξὺ τῶν ἐχθρῶν καὶ ὅταν κραυγάζουν. Τὸ ὅτι δὲ δὲν ἦταν μεθυσμένοι, τὸ ὅτι δὲν βρίσκονταν σὲ ἔκσταση, ὅπως συμβαίνει μὲ τοὺς μάντεις, τὸ ὅτι δὲν κατείχονταν ἀπὸ κάποια ἀνάγκη, τὸ φανέρωσε ἀμέσως μὲ τὴν ὁμιλία του. Τί ὅμως σημαίνει «μαζὶ μὲ τοὺς ἕνδεκα»; Ὅτι πρόβαλλαν κοινὴ ὁμιλία, λέγει, καὶ ὅτι ὁ Πέτρος ἦταν τὸ στόμα ὅλων. Παραβρίσκονταν δὲ καὶ οἱ ἕνδεκα ἐπιβεβαιώνοντας τὰ λεγόμενα. «Ὕψωσε τὴ φωνή του», λέγει. Δηλαδή, μίλησε μὲ πολλὴ παρρησία. Κάμνει δὲ αὐτό, γιὰ νὰ γνωρίσουν τὴ χάρη τοῦ Πνεύματος. Διότι ἐκεῖνος ποὺ δὲν ἀνέχθηκε τὴν ἐρώτηση κάποιου ἁπλοῦ κοριτσιοῦ, αὐτὸς τώρα βρίσκεται ἀνάμεσα σὲ λαοὺς ποὺ ὅλοι κραυγάζουν καὶ μὲ τόση παρρησία ὁμιλεῖ, γιὰ νὰ γίνει αὐτὸ ἀναμφισβήτητη ἀπόδειξη τῆς ἀναστάσεως· διότι ὁμιλεῖ μὲ θάρρος ἀνάμεσα σὲ ἀνθρώπους ποὺ γελοῦν καὶ ποὺ εἰρωνεύονται ὅλα αὐτά. Πόση θρασύτητα νομίζεις φανερώνει αὐτό, πόση ἀσέβεια, πόση ἀναισχυντία, τὸ νὰ θεωρεῖ κανένας τὸ παράδοξο τῆς γλωσσολαλιᾶς, ἀποτέλεσμα μέθης; Ἀλλ' αὐτὸ καθόλου δὲν λύπησε τοὺς Ἀποστόλους, οὔτε τοὺς ἔκαμε λιγώτερο τολμηρούς, ἀκούοντας τότε τοὺς χλευασμούς. Διότι μὲ τὴν παρουσία τοῦ ἁγίου Πνεύματος ἤδη μεταβλήθηκαν καὶ στέκονταν ψηλότερα ἀπὸ ὅλα τὰ σωματικά. Διότι ὅπου συμβεῖ νὰ ἐμφανισθεῖ τὸ ἅγιο Πνεῦμα, τοὺς πήλινους μετατρέπει σὲ χρυσούς.

Πρόσεχε λοιπὸν τὸν Πέτρο καὶ ἐξέταζε τὸν δειλό, τὸν ἀσύνετο, ὅπως λέγει ὁ Χριστός, «ἀκόμα καὶ σεῖς ἀνόητοι εἶστε;»[18], αὐτὸν ποὺ ὀνομάσθηκε, μετὰ τὴ θαυμαστὴ ἐκείνη ὁμολογία, σατανᾶς[19]. Πρόσεχε δὲ καὶ τὴν ὁμόνοια τῶν Ἀποστόλων. Αὐτοὶ παραχωροῦν στὸν Πέτρο τὸ λόγο· διότι δὲν ἔπρεπε ὅλοι νὰ ὁμιλοῦν. «Καὶ ὕψωσε», λέγει, «τὴ φωνή του καὶ τοὺς εἶπε» μὲ πολλὴ παρρησία. Αὐτὸ σημαίνει, νὰ εἶναι κανένας ἄνδρας πνευματικός. Ἀρκεῖ καὶ ἐμεῖς μόνο νὰ καταστήσουμε τοὺς ἑαυτούς μας

ἑαυτοὺς καταστήσωμεν τῆς ἄνωθεν χάριτος, καὶ πάντα εὔκολα ἔσται. Καθάπερ γὰρ πύρινος ἄνθρωπος, εἰς μέσην καλάμην ἐμπεσών, οὐδὲν ἂν πάθοι δεινόν, ἀλλὰ μᾶλλον ἐργάσεται, (οὐ γὰρ αὐτός τι πάσχει, ἀλλ' αὐτοὶ ἑαυτοὺς οἱ πυκτεύοντες διαφθείρουσιν), οὕτω καὶ νῦν ἐγένετο· μᾶλλον δὲ ὥσπερ ἄν, εἴ τις πῦρ ἐπιφερομένῳ χόρτον ἔχων πυκτεύοι, οὕτω δὴ καὶ οὗτοι τούτους προσίεσαν μετὰ πολλῆς τῆς ἀνδρείας· τί γὰρ αὐτοὺς ἔβλαψε τὸ τοσοῦτον πλῆθος· Εἰπὲ γάρ μοι, οὐχὶ πενίᾳ ἐμάχοντο καὶ λιμῷ; οὐχὶ ἀτιμίᾳ καὶ δόξῃ πονηρᾷ; (πλάνοι γὰρ εἶναι ἐνομίζοντο)· οὐχὶ γέλωτι καὶ χλεύῃ τῶν παρόντων ὑπέκειντο; (ἐπ' αὐτῶν γὰρ τὰ ἑκάτερα συνέπιπτεν· οἱ μὲν γὰρ αὐτοὺς ἐγέλων, οἱ δὲ καὶ ἐχλεύαζον)· οὐχὶ θυμοῖς, οὐχὶ μανίαις ὁλοκλήρων πόλεων, οὐχὶ στάσεσι καὶ ἐπιβουλαῖς προέκειντο; οὐχὶ πυρὶ καὶ σιδήρῳ, καὶ θηρίοις; οὐχὶ πάντοθεν αὐτοὺς μυρίος περιειστήκει πόλεμος; οὐχί, ὡς ὄναρ ταῦτα ὁρῶντες τὰ δεινὰ ἢ ἐν γραφῇ, οὕτω διέκειντο;

Τί δαί; οὐκ ἀνάλωσαν αὐτῶν τοὺς θυμούς; οὐκ εἰς ἑαυτοὺς τὴν ἀπορίαν περιέτρεψαν; οὐχὶ καὶ θυμῷ, καὶ δέει πάντων μάλιστα ἐκεῖνοι συνείχοντο; οὐχὶ ἐναγώνιοι ἦσαν, καὶ ἐφοβοῦντο, καὶ ἔτρεμον; Ἄκουε γὰρ αὐτῶν λεγόντων· «Θέλετε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου». Καὶ τὸ θαυμαστόν, ὅτι γυμνῷ τῷ σώματι παρετάττοντο πρὸς ὡπλισμένους, πρὸς ἄρχοντας, κατ' αὐτῶν ἔχοντας ἐξουσίαν, ἄπειροι, ἄγλωττοι, καὶ ἰδιωτικώτερον διακείμενοι, πρὸς γόητας, πρὸς πλάνους, πρὸς σοφιστῶν, πρὸς ῥητόρων, πρὸς φιλοσόφων πλῆθος, τῶν κατασαπέντων ἐν Ἀκαδημίᾳ καὶ Περιπάτοις, ἐνίσταντό τε, καὶ ἀπεμάχοντο. Καὶ ὁ περὶ λίμνας ἠσχο-

---

20. Πράξ. 5, 28.

ἄξιους τῆς ἄνωθεν χάριτος, καὶ ὅλα θὰ εἶναι εὔκολα. Διότι ὅπως ἀκριβῶς ἕνας πύρινος ἄνθρωπος, ὅταν πέσει μέσα σὲ μιὰ καλαμιά, δὲν θὰ πάθει κανένα κακό, ἀλλὰ μᾶλλον θὰ προξενήσει κακὸ (διότι δὲν παθαίνει αὐτὸς κάτι, ἀλλ' αὐτοὶ οἱ ἴδιοι οἱ ἀνταγωνιζόμενοι καταστρέφουν τοὺς ἑαυτούς τους) ἔτσι καὶ τώρα ἔγινε. Μᾶλλον δὲ ὅπως ὅταν κάποιος ἀντιμετωπίζει τὴ φωτιά, ποὺ τὸν προσβάλει κρατώντας χόρτο, ἔτσι λοιπὸν καὶ αὐτοὶ παρουσιάσθηκαν νὰ μιλήσουν σ' αὐτοὺς μὲ πολλὴ ἀνδρεία. Διότι σὲ τί ἔβλαψε αὐτοὺς τὸ τόσο πολὺ πλῆθος; Διότι, πές μου, δὲν μάχονταν ἐναντίον τῆς φτώχειας καὶ τῆς πείνας; ἐναντίον τῆς ἀτιμίας καὶ τῆς κακῆς γνώμης; (διότι νομίζονταν ὅτι εἶναι πλάνοι)· δὲν ἦταν ἐκτεθειμένοι σὲ γέλωτα καὶ εἰρωνεία τῶν παρόντων; Διότι σ' αὐτοὺς συνέπιπταν καὶ τὰ δύο· καθόσον οἱ μὲν περιγελοῦσαν αὐτούς, οἱ δὲ τοὺς εἰρωνεύονταν. Δὲν ἦσαν ἐκτεθειμένοι σὲ θυμούς, καὶ σὲ μανίες ὁλόκληρων πόλεων, σὲ στάσεις καὶ ἐπιβουλές; σὲ φωτιὰ καὶ σίδηρο καὶ θηρία; Ἀπὸ παντοῦ δὲν περιέβαλε αὐτοὺς ἀμέτρητος πόλεμος; Δὲν συμπεριφέρονταν ἀπέναντι σ' αὐτὰ τὰ δεινὰ σὰν νὰ τὰ ἔβλεπαν σὲ ὄνειρο ἢ σὲ ζωγραφιά;

Τί λοιπόν; δὲν ἐξαφάνισαν τοὺς θυμούς τους; δὲν μετέστρεψαν στοὺς ἑαυτούς τους τὴν ἀπορία; δὲν διακατείχονταν ἀπὸ θυμὸ καὶ φόβο περισσότερο ἀπὸ ὅλους ἐκεῖνοι; δὲν ἦταν γεμάτοι ἀπὸ ἀγωνία, δὲν φοβοῦνταν καὶ ἔτρεμαν; Διότι ἄκουε αὐτοὺς νὰ λέγουν· «θέλετε νὰ ρίψετε σὲ μᾶς τὴν εὐθύνη γιὰ τὸ θάνατο τοῦ ἀνθρώπου αὐτοῦ»[20]. Καὶ τὸ ἀξιοθαύμαστο εἶναι ὅτι παρατάσσονταν μὲ γυμνὸ τὸ σῶμα ἀπέναντι σὲ ὁπλισμένους, ἀπέναντι σ' ἄρχοντες, ποὺ εἶχαν ἐξουσία ἐναντίον τους, ἄπειροι, χωρὶς εὐγλωττία καὶ συμπεριφερόμενοι κατὰ τρόπο ἁπλό, καὶ πρόβαλλαν ἀντίσταση καὶ ἀγωνίζονταν μαχητικὰ ἐναντίον ὅλων αὐτῶν, ἀπέναντι σὲ ἀγύρτες, σὲ πλάνους, σὲ σοφιστές, σὲ ρήτορες, σὲ πλῆθος φιλοσόφων, ποὺ κατανάλωσαν τὴ ζωή τους στὴν Ἀκαδημία καὶ τοὺς περιπάτους. Καὶ ὁ μὲν Πέτρος ποὺ ἀσχολοῦνταν μὲ ἐργασίες στὶς

λημένος οὕτως αὐτῶν ἐκράτησεν, ὡς, οὐδὲ εἰ πρὸς ἰχθῦς ἀγλώττους ὁ ἀγὼν ἦν αὐτῷ· καθάπερ γὰρ ὄντως ἁλιεὺς ἰχθύων ἀφωνοτέρων, οὕτω τούτων περιεγένετο. Καὶ ὁ μὲν πολλὰ ληρήσας Πλάτων σεσίγηκεν, οὗτος δὲ φθέγγεται οὐχὶ παρ' οἰκείοις μόνοις, ἀλλὰ καὶ παρὰ Πάρθοις, παρὰ Μήδοις, παρὰ Ἐλαμίταις, καὶ ἐν Ἰνδίᾳ, καὶ πανταχοῦ γῆς, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης. Ποῦ νῦν τῆς Ἑλλάδος ὁ τύφος; ποῦ τῶν Ἀθηνῶν τὸ ὄνομα; ποῦ τῶν φιλοσόφων ὁ λῆρος; Ὁ ἀπὸ Γαλιλαίας, ὁ ἀπὸ Βηθσαϊδᾶ, ὁ ἀγροῖκος πάντων ἐκείνων περιεγένετο. Οὐκ αἰσχύνεσθε, εἰπέ μοι, ἐπὶ τῷ ὀνόματι τῆς πατρίδος τοῦ νενικηκότος ὑμᾶς; Ἂν δὲ καὶ τὸ ὄνομα αὐτοῦ ἀκούσητε, καὶ ὅτι Κηφᾶς ἐλέγετο, πολλῷ μᾶλλον ἐγκαλύψεσθε. Τοῦτο γὰρ ὑμᾶς, τοῦτο ἀπολώλεκεν, ὅτι τοῦτο ὄνειδος εἶναι νομίζετε, καὶ εὐγλωττίαν ἐγκώμιον καὶ ἀπειρίαν εὐγλωττίας, ὄνειδος. Οὐκ ἤλθετε, ἣν ἐλθεῖν ὑμᾶς ἔδει, ἀλλά, τὴν βασιλικὴν ἀφέντες ὁδὸν τὴν εὔκολον καὶ λείαν, τὴν τραχεῖαν καὶ ἀνάντη καὶ χαλεπὴν ἐβαδίσατε· διὰ τοῦτο οὐδὲ ἐφθάσατε πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν.

4. Τί οὖν οὐκ εἰς Πλάτωνα ἐνήργησεν ὁ Χριστός, οὐδὲ εἰς Πυθαγόραν; φησίν. Ὅτι πολλῷ φιλοσοφωτέρα ἦν ἡ Πέτρου ψυχὴ τῶν ψυχῶν ἐκείνων· ἐκεῖνοι μὲν γὰρ παῖδες ὄντως ἦσαν, ὑπὸ τῆς κενῆς δόξης περιτρεπόμενοι πανταχοῦ, οὗτος δὲ ἀνὴρ φιλόσοφος, καὶ δεκτικὸς τῆς χάριτος. Εἰ δὲ γελᾷς, ταῦτα ἀκούων, οὐ θαυμαστόν· ἐπεὶ καὶ οἱ τότε ἐγέλων, καὶ γλεύκους αὐτοὺς ἔλεγον εἶναι μεστούς· ἀλλ' ὕστερον, ὅτε ἐπεπόνθεσαν τὰ πικρὰ ἐκεῖνα, καὶ πάντων χαλεπώτερα, ὅτε τὴν πόλιν κατερειπομένην εἶδον, καὶ τὸ πῦρ ἀναπτόμενον, καὶ τὰ τείχη ῥιπτούμενα χαμαί, καὶ τὰς ποικίλας βακχείας ἐκείνας, ἃς οὐδεὶς παραστῆσαι δύναται λόγῳ, οὐκ ἔτι ἐγέλων. Οὕτω καὶ ὑμεῖς τότε οὐ γελάσεσθε, ὅταν ὁ τῆς κρίσεως ἐπι-

λίμνες, ἔτσι ὑπερίσχυσε αὐτῶν, σὰν νὰ ἦταν ὁ ἀγώνας αὐτοῦ οὔτε καὶ πρὸς ἰχθῦς ἀφώνους· ὅπως δηλαδὴ ἦταν πράγματι ἁλιεὺς ἰχθύων ἀφωνότερων, ἔτσι ὑπερίσχυσε αὐτῶν. Καὶ ὁ μὲν Πλάτων, ποὺ δίδασκε πολλὲς φλυαρίες, ἔχει σιωπήσει, αὐτὸς δὲ ὁμιλεῖ ὄχι μόνο πρὸς τοὺς οἰκείους του, ἀλλὰ καὶ πρὸς τοὺς Πάρθους, καὶ πρὸς τοὺς Μήδους, καὶ πρὸς τοὺς Ἐλαμίτες, καὶ στὴν Ἰνδία καὶ σὲ ὅλη τὴ γῆ, καὶ στὰ πέρατα τῆς οἰκουμένης. Ποῦ λοιπὸν εἶναι τώρα ὁ κομπασμὸς τῆς Ἑλλάδας; ποῦ ἡ φήμη τῶν Ἀθηνῶν; ποῦ ἡ μωρολογίες τῶν φιλοσόφων; Ἐκεῖνος ποὺ καταγόταν ἀπὸ τὴ Γαλιλαία, ἀπὸ τὴ Βηθσαϊδᾶ, ὁ χωρικός, ὑπερίσχυσε ὅλων ἐκείνων. Δὲν ντρέπεσθε, πές μου, ἀκούοντας τὸ ὄνομα τῆς πατρίδας ἐκείνου, ποὺ σᾶς νίκησε; Ἂν δὲ καὶ τὸ ὄνομα αὐτοῦ ἀκούσετε, καὶ ὅτι λεγόταν Κηφᾶς, θὰ νιώσετε πολὺ περισσότερη ντροπή. Διότι αὐτὸ σᾶς κατέστρεψε, ἐπειδὴ τοῦτο νομίζετε ὅτι εἶναι ντροπή, ὅτι ἡ εὐγλωττία εἶναι ὁ ἔπαινος, καὶ ἡ ἀπειρία τῆς εὐγλωττίας ντροπή. Δὲν ἀκολουθήσατε τὸ δρόμο ποὺ ἔπρεπε ἀλλά, ἀφοῦ ἀφήσατε τὴ βασιλικὴ ὁδό, τὴν εὔκολη καὶ λεία, βαδίσατε τὴν τραχεία καὶ ἀνηφορικὴ καὶ δύσκολη. Γι' αὐτὸ καὶ δὲν φθάσατε στὴν βασιλεία τῶν οὐρανῶν.

4. Τί λοιπὸν ὁ Χριστός, λέγει, δὲν ἐνήργησε στὸν Πλάτωνα, οὔτε στὸν Πυθαγόρα; Διότι ἡ ψυχὴ τοῦ Πέτρου ἦταν πολὺ φιλοσοφικώτερη ἀπὸ ἐκείνους. Καθόσον ἐκεῖνα μὲν πράγματι ἦταν παιδιά, ποὺ διακατείχονταν παντοῦ ἀπὸ τὴν κενοδοξία, αὐτὸς δὲ ἦταν ἄνδρας φιλόσοφος καὶ δεκτικὸς τῆς χάριτος. Ἐὰν ὅμως γελᾶς ἀκούοντας αὐτά, δὲν εἶναι ἄξιο θαυμασμοῦ· διότι καὶ οἱ τότε γελοῦσαν καὶ ἔλεγαν ὅτι αὐτοὶ εἶναι μεθυσμένοι ἀπὸ μοῦστο, ἀλλ' ὕστερα, ὅταν ἔπαθαν ἐκεῖνα τὰ πικρά, καὶ τὰ φοβερώτερα ἀπὸ ὅλα, ὅταν εἶδαν τὴν πόλη κατερειπωμένη, καὶ τὴ φωτιὰ νὰ ἀνάβει, καὶ τὰ τείχη νὰ πέφτουν κάτω, καὶ τὰ διάφορα ἐκεῖνα βακχικὰ ἔκτροπα ποὺ κανένας δὲν μπορεῖ νὰ παραστήσει μὲ λόγια, δὲν γελοῦσαν πλέον. ἔτσι καὶ σεῖς τότε δὲν θὰ γελάσετε, ὅταν θὰ ἔλθει ὁ και-

στῇ καιρός, ὅταν τὸ τῆς γεέννης ἀναφθῇ πῦρ. Ἀλλὰ τί περὶ μελλόντων λέγω; Βούλει δείξω τίς ἐστι Πέτρος, τίς δὲ Πλάτων; Τὰ γὰρ ἤδη τέως αὐτῶν, εἰ δοκεῖ, ἐξετάσωμεν, καὶ ἴδωμεν τίσιν ἐπεχείρησαν ἑκάτεροι. Οὗτος μὲν οὖν πάντα τὸν χρόνον ἀνάλωσε, περὶ δόγματα στρεφόμενος ἀνόνητα καὶ περιττά· τί γὰρ ὄφελος ἐκ τοῦ μαθεῖν ὅτι μυῖα ἡ ψυχὴ τοῦ φιλοσόφου γίνεται; Ὄντως μυῖα, οὐκ εἰς μυῖαν μετέπιπτεν, ἀλλ' ἐπέβαινε τῇ ἐν Πλάτωνι οἰκούσῃ ψυχῇ. Ποίας ταῦτα οὐ ματαιολογίας; πόθεν δὴ τοιαῦτα ληρεῖν ἐπεβάλετο; Εἰρωνείας μεστὸς ἦν ὁ ἀνήρ, καὶ ζηλοτύπως πρὸς ἅπαντας διακείμενος. Ὥσπερ οὖν, φιλονεικῶν, μήτε οἴκοθεν, μήτε παρ' ἑτέρου χρήσιμόν τι εἰσαγαγεῖν, οὕτω παρὰ μὲν ἑτέρου τὴν μετεμψύχωσιν ἐδέξατο, παρὰ δὲ ἑαυτοῦ τὴν πολιτείαν εἰσήγαγεν, ἔνθα τὰ πολλῆς αἰσχρότητος γέμοντα ἐνομοθέτησε. Κοιναί, φησίν, αἱ γυναῖκες ἔστωσαν, καὶ γεγυμνωμέναι παρθένοι ἐπ' ὄψεσι τῶν ἐραστῶν παλαιέτωσαν, καὶ κοινοὶ πατέρες ἔστωσαν, καὶ οἱ τικτόμενοι παῖδες. Ποίαν οὐχ ὑπερβάλλει ταῦτα ἄνοιαν;

Ἀλλὰ τὰ μὲν ἐκείνου τοιαῦτα· ἐνταῦθα δὲ οὐχ ἡ φύσις ποιεῖ κοινοὺς πατέρας, ἀλλ' ἡ Πέτρου φιλοσοφία· ἐπεὶ ἐκεῖνό γε καὶ ἀνήρει· οὐδὲν γὰρ ἕτερον ἐποίει, ἀλλ' ἢ τὸν ὄντα ἀγνοεῖσθαι μονονουχί, καὶ τὸν οὐκ ὄντα εἰσάγεσθαι. Εἰς μέθη τινὰ καὶ συρφετὸν ἐνέβαλε τὴν ψυχήν. Πάντες, φησίν, ἀδεῶς κεχρήσθωσαν ταῖς γυναιξί. Διὰ τοῦτο οὐκ ἐξετάζω ποιητῶν δόγματα, ἵνα μή μέ τις εἴποι μύθους ἐξετάζειν, ἀλλ' ἑτέρους λέγω μύθους, ἐκείνων πολλῷ καταγελαστοτέρους. Ποῦ τοιοῦτόν τι ἐτερατεύσαντο ποιηταί; Ἀλλ' ὁ κορυφαῖος τῶν φιλοσόφων, ὡς ἐδόκει, καὶ ὅπλα ταῖς γυναιξὶ περιτίθησι, καὶ κράνη, καὶ κνημῖδας, καὶ κυνῶν οὐδὲν διαφέρειν λέγει τὸ

20α. Βλ. Πλάτωνος Πολιτεία: 5, 457 Α - Ε κυρίως στὸ 5, 460Β—461 C—E. 463 Α—464 Ε. καὶ σ' ἄλλα σημεῖα.

ρὸς τῆς κρίσεως, ὅταν θ' ἀνάψει ἡ φωτιὰ τῆς γέεννας. Ἀλλὰ γιατί ὁμιλῶ γιὰ τὰ μέλλοντα; Θέλεις νὰ δείξω ποῖος εἶναι ὁ Πέτρος, ποῖος δὲ ὁ Πλάτων; Ἄς ἐξετάσουμε, ἂν νομίζεις, πρῶτα τὰ ἤθη αὐτῶν, καὶ ἂς δοῦμε μὲ τί ἀσχολήθηκε ὁ καθένας. Αὐτὸς βέβαια δαπάνησε ὅλο τὸ χρόνο, ἀσχολούμενος μὲ δόγματα ἀνωφελῆ καὶ περιττά. Διότι ποιὸ τὸ ὄφελος ἀπὸ τὸ νὰ μάθει κανεὶς ὅτι ἡ ψυχὴ τοῦ φιλοσόφου γίνεται μύγα; Πράγματι μύγα δὲν θὰ μεταβαλλόταν σὲ μύγα, ἀλλὰ θὰ μετέβαινε στὴν ψυχὴ ποὺ κατοικεῖ στὸν Πλάτωνα. Ποιᾶς ματαιολογίας δείγματα δὲν εἶναι αὐτά; Ἀπὸ ποῦ λοιπὸν ἀναγκαζόταν νὰ λέγει τέτοιες φλυαρίες; Ἦταν γεμάτος ἀπὸ εἰρωνεία ὁ ἄνθρωπος, καὶ πρὸς ὅλους συμπεριφερόταν ζηλότυπα. Ὅπως λοιπὸν φιλονεικῶν, οὔτε μόνος του, οὔτε ἀπὸ ἄλλους δὲν κατέστη δυνατὸν νὰ εἰσαγάγει κάτι χρήσιμον, ἔτσι δέχθηκε ἀπὸ ἄλλον μὲν τὴν μετεμψύχωση, μόνος του δὲ ἔγραψε τὴν πολιτεία, ὅπου νομοθέτησε ὅλα ἐκεῖνα τὰ γεμάτα ἀπὸ αἰσχρότητα. Οἱ γυναῖκες, λέγει, ἂς εἶναι κοινές, καὶ οἱ παρθένες ἂς ἀγωνίζονται γυμνὲς μπροστὰ στὰ μάτια τῶν ἐραστῶν, καὶ ἂς εἶναι κοινοὶ οἱ πατέρες, καθὼς καὶ τὰ παιδιὰ ποὺ γεννιοῦνται[20α]. Ποιὰ ἀνοησία δὲν ὑπερβαίνουν ὅλα αὐτά;

Ἀλλ' ἐκεῖνα μὲν ποὺ εἶπε αὐτὸς εἶναι τέτοια. Ἐδῶ δὲ δὲν κάνει ἡ φύση κοινοὺς πατέρες, ἀλλ' ἡ φιλοσοφία τοῦ Πέτρου, ἐπειδὴ βέβαια ἐκεῖνο τὸ ἀνέτρεπε. Διότι δὲν ἔκανε τίποτε ἄλλο, παρὰ νὰ ἀγνοεῖται σχεδὸν ἐκεῖνος ποὺ ὑπάρχει καὶ νὰ εἰσάγεται ἐκεῖνος ποὺ δὲν ὑπάρχει. Σὲ κάποια μέθη καὶ συρφετὸ ὁδήγησε τὴν ψυχή. Ὅλοι, λέγει, ἐλεύθερα· ἂς μεταχειρίζονται τὶς γυναῖκες. Γι' αὐτὸ δὲν ἐξετάζω τὶς διδασκαλίες τῶν ποιητῶν, γιὰ νὰ μὴ μοῦ πεῖ κανένας, ὅτι ἐξετάζω μύθους, ἀλλ' ἄλλους μύθους ἀναφέρω, πολὺ περισσότερο γελοίους ἀπὸ ἐκείνους. Ποῦ οἱ ποιητὲς τερατολόγησαν κάτι παρόμοιο; Ἀλλ' ὁ κορυφαῖος τῶν φιλοσόφων, ὅπως νόμιζε, καὶ ὅπλα παρέχει στὶς γυναῖκες καὶ κράνη καὶ κνημίδες, καὶ λέγει ὅτι τὸ ἀνθρώπινο γένος καθόλου δὲν διαφέρει ἀπὸ τοὺς σκύ-

ἀνθρώπινον γένος. Ἐπειδὴ γὰρ ἡ κύων ἡ θήλεια, φησί, καὶ ὁ ἄρρην κοινωνοῦσιν ἐν τοῖς ἔργοις, κοινωνείτωσαν καὶ αἱ γυναῖκες, καὶ πάντα ἀνατρεπέσθω. Ἀεὶ γὰρ δι' αὐτῶν ἐσπούδασεν ὁ διάβολος μηδὲν ἐντιμότερον τῶν ἀλόγων τὸ ἡμέτερον δεῖξαι γένος· ὅπου γέ τινες εἰς τοῦτο κενοδοξίας ἦλθον, ὡς εἰπεῖν ὅτι καὶ τὰ ἄλογα λογικὰ τυγχάνει. Καὶ ὅρα πῶς ποικίλως ἐβάκχευσεν ἐν ταῖς ἐκείνων ψυχαῖς. Οἱ μὲν γὰρ κορυφαῖοι αὐτῶν ἔφησαν τὴν ἡμετέραν ψυχὴν εἰς μυίας, καὶ κύνας, καὶ ἄλογα μεθίστασθαι, οἱ δὲ μετ' ἐκείνους, τοῦτο αἰσχυνθέντες, εἰς ἑτέραν αἰσχύνην κατέπεσον, πάσης λογικῆς ἐπιστήμης μεταδιδόντες τοῖς ἀλόγοις, καὶ πανταχοῦ δεῖξαντες ἡμῶν τὰ δι' ἡμᾶς γινόμενα ἐντιμότερα· οὐ τοῦτο δὲ μόνον,, ἀλλὰ καὶ προγνώσεις εἶναι παρ' αὐτοῖς, καὶ εὐσέβειαν λέγουσιν. Ὁ κόραξ, φησίν, οἶδε τὸν Θεόν, καὶ ἡ κορώνη, καὶ προφητείας ἔχουσι χαρίσματα, καὶ τὰ μέλλοντα προλέγουσι, καὶ δικαιοσύνη παρ' αὐτοῖς, καὶ πολιτεία, καὶ νόμοι, καὶ ζηλοῖ παρ' αὐτοῖς ὁ κύων κατὰ Πλάτωνα.

Τάχα ἀπιστεῖτε τοῖς λεγομένοις; Εἰκότως, ἅτε τοῖς ὑγιέσιν ἐντεθραμμένοι δόγμασιν· ἐπεὶ καί, εἴ τις τραφείη ταύτῃ τῇ τροφῇ, ἀπιστήσειεν ἂν ὅτι ἔστιν ἄνθρωπος, κόπρου γευόμενος ἡδέως. Ὅταν οὖν λέγωμεν αὐτοῖς ὅτι μῦθοι ταῦτα καὶ ἀνοίας μεστά, οὐκ ἐνοήσατε, φασί. Μηδὲ νοήσωμέν ποτε τὸν τοσοῦτον ὑμῶν γέλωτα. Σφόδρα γε· οὐ γὰρ φρενὸς βαθείας δεῖ, ἵνα μάθωμεν τί βούλεται ἡ τοσαύτη ἀσέβεια καὶ σύγχυσις. Μὴ κορακιστὶ φθέγγεσθε, ὦ ἀνόητοι, καθάπερ τὰ παιδία; Παῖδες γὰρ ὄντως ἐστέ, καθάπερ ἐκεῖνα· ἀλλὰ Πέτρος οὐδὲν τοιοῦτον ἔφησεν, ἀλλ' ἀφῆκε φωνήν, ἥ, καθάπερ ἐν σκότῳ τινὶ φῶς ἀπολάμψασα μέγα, τὴν ἀχλὺν διεσκέδασε τῆς οἰκουμένης. Ἀλλὰ τὸ ἦθος αὐτοῦ πῶς ἥμερον ἦν, πῶς ἐπιει-

λους. Διότι ἐπειδὴ ἡ θηλυκιὰ σκύλα, λέγει, καὶ ὁ ἀρσενικὸς σκύλος ἔρχονται σὲ ἐπαφὴ ἀπὸ κοινοῦ, ἂς ἔρχονται ἀπὸ κοινοῦ σὲ ἐπαφὴ καὶ οἱ γυναῖκες, καὶ τὰ πάντα ἂς ἀνατραποῦν. Διότι πάντοτε μὲ αὐτοὺς τοὺς φιλοσόφους προσπάθησε ὁ διάβολος νὰ ἀποδείξει, ὅτι τὸ ἀνθρώπινο γένος καθόλου δὲν εἶναι ἐντιμότερο ἀπό τὰ ἄλογα ζῶα· μάλιστα μερικοὶ ἔφθασαν μέχρι τέτοιου σημείου κενοδοξίας, ὥστε νὰ ποῦν, ὅτι καὶ τὰ ἄλογα εἶναι λογικά. Καὶ πρόσεχε πῶς μὲ πολλοὺς τρόπους ἐνέπνευσε βακχικὴ μανία στὶς ψυχὲς ἐκείνων. Διότι οἱ μὲν κορυφαῖοι ἀπὸ αὐτοὺς εἶπαν ὅτι ἡ ψυχή μας μεταβάλλεται σὲ μύγες καὶ σκύλους καὶ ἄλογα, ἄλλοι δὲ μετὰ ἀπὸ ἐκείνους, ἐνῶ ντράπηκαν γι' αὐτό, περιέπεσαν σὲ ἄλλη αἰσχύνη, ἀφοῦ μετέδοσαν στὰ ἄλογα κάθε λογικὴ ἐπιστήμη, καὶ ἀφοῦ ἀπέδειξαν παντοῦ, ὅτι αὐτὰ ποὺ ἔγιναν γιὰ μᾶς εἶναι ἐντιμότερα ἀπὸ μᾶς. Ὄχι μόνο δὲ αὐτό, ἀλλὰ διδάσκουν, ὅτι ὑπάρχουν σ' αὐτὰ καὶ προγνώσεις καὶ εὐσέβεια. Λέγουν ὅτι ὁ κόρακας γνωρίζει τὸ Θεό, καὶ ἡ κουρούνα, καὶ ὅτι ἔχουν χαρίσματα προφητείας, ὅτι προλέγουν τὰ μέλλοντα, ὅτι ὑπάρχει δικαιοσύνη σ' αὐτά, ὀργανωμένη ζωή, καὶ νόμοι, καὶ ὅτι μακαρίζεται ἀπὸ αὐτοὺς ὁ σκύλος κατὰ τὸν Πλάτωνα.

Μήπως ἀπιστεῖτε στὰ λεγόμενα; Δικαιολογημένα, ἀφοῦ ἔχετε ἀνατραφεῖ μὲ ὑγιὴ δόγματα. Διότι, καὶ ἐὰν κάποιος τραφεῖ μὲ αὐτὴ τὴν τροφή, θὰ ἦταν δυνατὸ νὰ ἀπιστήσει, διότι ὑπάρχει ἄνθρωπος, ποὺ γεύεται μὲ εὐχαρίστηση τὴν κοπριά. Ὅταν λοιπὸν λέμε σ' αὐτούς, ὅτι αὐτὰ εἶναι μῦθοι καὶ γεμάτα ἀπὸ ἀνοησίες, δὲν τὰ κατανοήσατε λέγουν. Οὔτε νὰ ἐννοήσουμε ποτὲ τὸν τόσο γέλωτά σας. Καὶ πολὺ σωστά. Διότι δὲν χρειάζεται βαθιὰ σκέψη γιὰ νὰ μάθουμε, τί θέλει ἡ τόση μεγάλη ἀσέβεια καὶ σύγχυση. Μήπως ὁμιλεῖτε κορακίστικα, ἀνόητοι, ὅπως ἀκριβῶς τὰ παιδιά; Γιατί πράγματι εἶστε παιδιά, ὅπως καὶ ἐκεῖνα. Ὅμως ὁ Πέτρος τίποτε παρόμοιο δὲν εἶπε, ἀλλ' ἔβγαλε φωνή, ἡ ὁποία, ἀφοῦ ἀπέστραψε δυνατὸ φῶς σὰν μέσα σὲ σκοτάδι, διέλυσε τὴν ὁμίχλη τῆς οἰκουμένης. Ἀλλὰ πόσο τὸ ἦθος του ἦταν ἥμερο, πόσο ἤπιο, πόσο

κές, πῶς πάσης ἀνωτέρω δόξης ἵστατο κενῆς, πῶς εἰς τὸν οὐρανὸν ἑώρα, ἄτυφος ὤν, καὶ ταῦτα νεκροὺς ἀνιστῶν. Εἰ δὲ ἐξεγένετο ἐκείνων τινὶ τῶν ἀνοήτων φαντασίᾳ γοῦν τοιοῦτόν τι ἐργάζεσθαι, ἆρ' οὐκ ἂ εὐθέως βωμὸν ἐζήτησε καὶ ναόν, καὶ ἰσόθεός τις εἶναι ἠθέλησεν, ὅπου γε, οὐδενὸς τούτων ὄντος, τοιαῦτα φαντάζονται ἀεί; Τί γὰρ βούλεται αὐτοῖς Ἀθηνᾶ, καὶ Ἀπόλλων, καὶ Ἥρα; Γένη παρ' αὐτοῖς ἐστι δαιμόνων. Καὶ βασιλεύς ἐστι παρ' αὐτοῖς, διὰ τοῦτο ἀξιῶν ἀποθανεῖν, ἵνα ἰσόθεος νομίζοιτο.

Ἀλλ' οὗτοι οὐχ οὕτως, ἀλλὰ τοὐναντίον· ἄκουε γὰρ αὐτῶν λεγόντων ἐπὶ τῆς θεραπείας τοῦ χωλοῦ· «Ἄνδρες Ἰσραηλῖται, τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;»· καὶ ἀλλαχοῦ· «Καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι». Ἐκεῖ δὲ πολὺς ὁ τῦφος, πολλὴ ἡ ἀλαζονεία· πάντα διὰ τὰς παρὰ τῶν ἀνθρώπων τιμάς οὐδὲν φιλοσοφίας ἕνεκεν. Ὅταν γάρ τι διὰ δόξαν γίνηται, πάντα μένουσιν εὐτελῆ· κἂν γὰρ πάντα τις ἔχῃ, τούτου δὲ μὴ κρατῇ, πάσης φιλοσοφίας ἐξέπεσε τῷ τυραννικωτέρῳ κατεχόμενος καὶ αἰσχροτέρῳ πάθει. Ταύτης ἡ ὑπεροψία πάντα διδάξαι τὰ ἀγαθὰ ἱκανή, καὶ τῆς ψυχῆς ἐξορίσαι πᾶν πάθος ὀλέθριον. Διὸ παραινῶ καὶ ὑμῖν πολλὴν ποιεῖσθαι τὴν σπουδήν, ὥστε τοῦτο τὸ πάθος πρόρριζον ἐξελεῖν· οὐ γάρ ἔστιν ἄλλως εὐδοκιμῆσαι παρὰ τῷ Θεῷ, καὶ τὴν παρὰ τοῦ ἀκοιμήτου ἐκείνου ὀφθαλμοῦ εὔνοιαν ἐπισπάσασθαι.

Οὐκοῦν πᾶσαν σπουδὴν ποιώμεθα, ὥστε τῆς ἐκεῖθεν ἡμᾶς ῥοπῆς ἀπολαύειν, ἵνα καὶ τῶν παρόντων λυπηρῶν διαφύγωμεν τὴν πεῖραν, καὶ τῶν μελλόντων ἀγαθῶν καταξιωθῶμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

21. Πράξ. 3, 12.
22. Πράξ. 14, 15.

στέκονταν πάνω άπό κάθε κενοδοξία· πόσο έβλεπε στόν ούρανό, ένῶ ἦταν ταπεινόφρων, καί παρ' ὅλα αὐτά, ἀνέσταινε καί νεκρούς. Ἂν δέ συνέβαινε σέ κάποιον ἀπό ἐκείνους τούς ἀνόητους, νά κατορθώσει κάτι τέτοιο μέ τή φαντασία ἀκόμη, ἄραγε δέν θά ζητοῦσε ἀμέσως βωμό καί ναό καί δέν θά ἤθελε νά εἶναι κάποιος ἰσόθεος; τή στιγμή βέβαια πού χωρίς νά ὑπάρχει τίποτε ἀπ' αὐτά, πάντοτε φαντάζονται παρόμοια. Διότι τί σημαίνει γι' αὐτούς ἡ Ἀθηνᾶ καί ὁ Ἀπόλλων καί ἡ Ἥρα; Γένη δαιμώνων εἶναι σ' αὐτούς. Καί βασιλεύς ὑπάρχει σ' αὐτούς, πού γι' αὐτό καταδέχεται νά πεθάνει, γιά νά θεωρεῖται ἰσόθεος.

Ἀλλ' αὐτοί δέν συμπεριφέρονται ἔτσι, ἀλλ' ἀντίθετα. Ἄκουε αὐτούς νά λέγουν γιά τή θεραπεία τοῦ χωλοῦ· «Ἄνδρες Ἰσραηλῖτες, γιατί προσέχετε σέ μᾶς, σάν νά τόν κάνουμε νά περπατεῖ μέ δική μας δύναμη ἤ εὐσέβεια»[21]. Καί ἀλλοῦ· «Καί ἐμεῖς εἴμαστε ἄνθρωποι ὁμοιοπαθεῖς μέ σᾶς»[22]. Ἐκεῖ δέ ὑπάρχει μεγάλη ἔπαρση καί πολλή ἡ ἀλαζονεία. Ὅλα γίνονται γιά τίς τιμές ἀπό τούς ἀνθρώπους, καί τίποτε γιά χάρη τῆς εὐσέβειας. Διότι, ὅταν γίνεται κάτι γιά τή δόξα, ὅλα ἀπομένουν εὐτελῆ. Διότι, καί ἄν ἀκόμη κάποιος τά ἔχει ὅλα, δέν εἶναι δέ κυρίαρχος αὐτοῦ, ἐξέπεσε ἀπό κάθε εὐσέβεια, ἀφοῦ εἶναι κυριευμένος ἀπό τό πιό τυραννικό καί αἰσχρό πάθος. Ἡ περιφρόνηση τῆς φιλοδοξίας εἶναι σέ θέση νά διδάξει ὅλα τά ἀγαθά, καί νά ἐκδιώξει ἀπό τήν ψυχή κάθε καταστρεπτικό πάθος. Γι' αὐτό σᾶς συμβουλεύω νά προσπαθήσετε πολύ, ὥστε νά ἐκριζωθεῖ τελείως τό πάθος αὐτό, διότι δέν εἶναι δυνατόν ἀλλιῶς νά προκόψετε κοντά στό Θεό καί νά ἀποσπάσετε τήν εὔνοια ἀπό τόν ἀκοίμητο ἐκεῖνο ὀφθαλμό.

Λοιπόν ἄς καταβάλλομε κάθε προσπάθεια, ὥστε νά ἀπολαύσουμε καί ἐμεῖς τίς συνέπειες ἀπό ἐκεῖ καί νά ἀποφύγουμε τήν πεῖρα τῶν παρόντων λυπηρῶν, καί νά καταξιωθοῦμε τά μέλλοντα ἀγαθά, μέ τή χάρη καί φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετά τοῦ ὁποίου στόν Πατέρα μαζί καί στό ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καί ἡ τιμή, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ε΄
(Πράξ. 2, 14-21)

«Ἄνδρες Ἰουδαῖοι, καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου».

1. Οὓς ξένους εἶπεν ἀνωτέρω, ἐνταῦθα πρὸς ἐκείνους ἀποτείνει τὸν λόγον, καὶ δοκεῖ μὲν ἐκείνοις διαλέγεσθαι, ὀρθοῖ δὲ τοὺς διαχλευάζοντας· καὶ γὰρ ᾠκονομήθη τινὰς διαχλευάσαι, ἵνα ἀρχὴν τῆς ἀπολογίας λάβῃ, καὶ ἀπολογούμενος διδάξῃ. Μέγα ἄρα ἐγκώμιον ἡγοῦντο καὶ τὸ ἐν Ἱεροσολύμοις οἰκεῖν. «Τοῦτο ὑμῖν», φησί, «γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου». Προσεκτικωτέρους τέως ποιεῖ· εἶτα καὶ ἀπολογεῖται. «Οὐ γάρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν». Ὁρᾷς τὴν ἀπολογίαν, πῶς προσηνής; Καίτοι τὸ πλέον ἔχων τοῦ δήμου μεθ' ἑαυτοῦ, ἐπιεικέστερον ὅμως αὐτοῖς διαλέγεται· καὶ πρότερον ἀναιρεῖ τὴν ὑποψίαν τὴν πονηράν, καὶ τότε ἐκείνην ἵστησι. Διὸ καὶ οὐκ εἶπεν, 'Οὐ γὰρ ὡς ὑμεῖς χλευάζετε', οὔτε 'ὡς ὑμεῖς γελᾶτε', ἀλλ' «ὡς ὑπολαμβάνετε», βουλόμενος οὐκ ἐπίτηδες τοῦτο λέγοντας δεῖξαι, ἀλλὰ τέως αὐτοῖς περιθεῖναι ἀγνοίας μᾶλλον ἢ κακουργίας ἔγκλημα.

«Οὐ γάρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν· ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας». Καὶ τί φησι τοῦτο; οὐκ ἔνι καὶ ἐν τῇ τρίτῃ ὥρᾳ μεθύειν; Ἔνι, ἀλλ' οὐκ ἔστη πρὸς τοῦτο ἐπὶ πολύ· οὐδὲ γὰρ οὕτως εἶχον, ὡς διαχλευάζοντες αὐτοὶ ἔλεγον. Οὐκοῦν ἐντεῦθεν μανθάνομεν ὅτι πρὸς τὰ μὴ ἀναγκαῖα

---

1. Πραξ. 2, 14.

ΟΜΙΛΙΑ Ε΄
(Πράξ. 2, 14-21)

«Ἄνδρες Ἰουδαῖοι καὶ ὅλοι σεῖς ποὺ κατοικεῖτε τὴν Ἰερουσαλήμ, ἂς γίνει γνωστὸ σὲ σᾶς αὐτὸ ποὺ θὰ σᾶς πῶ καὶ ἀκοῦστε μὲ προσοχὴ τὰ λόγια μου»[1].

1. Ἐκείνους ποὺ ἀπεκάλεσε ξένους παραπάνω, πρὸς ἐκείνους ἀπευθύνει τὸ λόγο του ἐδῶ· καὶ φαίνεται μὲν ὅτι ὁμιλεῖ μὲ ἐκείνους, ἐπανορθώνει ὅμως τοὺς εἰρωνευόμενους, διότι παραχωρήθηκε σὲ μερικοὺς νὰ εἰρωνευθοῦν, γιὰ νὰ λάβει ἀφορμὴ τῆς ἀπολογίας καὶ ἀπολογούμενος νὰ διδάξει. Ἄρα θεωροῦνταν μεγάλη τιμὴ καὶ ἡ διαμονὴ στὰ Ἱεροσόλυμα. «Αὐτὸ ἂς γίνει γνωστὸ σὲ σᾶς», λέγει, «καὶ ἀκοῦστε προσεκτικὰ τὰ λόγια μου». Πρῶτα καθιστᾶ αὐτοὺς προσεκτικώτερους καὶ μετὰ ἀπολογεῖται. «Διότι οἱ ἄνθρωποι αὐτοὶ δὲν εἶναι μεθυσμένοι, ὅπως σεῖς νομίζετε». Βλέπεις τὴν ἀπολογία του πόσο καταδεκτικὴ εἶναι; Παρ' ὅτι εἶχε μὲ τὸ μέρος του τὴν πλειονότητα τῆς συγκεντρώσεως τοῦ πλήθους, ἐν τούτοις μὲ ἐπιεικέστερο τρόπο συνομιλεῖ μὲ αὐτούς· καὶ προηγουμένως ἀπομακρύνει τὴν πονηρὴ ὑποψία καὶ ὕστερα θέτει ἐκείνην. Γι' αὐτὸ καὶ δὲν εἶπε, ὄχι ὅπως σεῖς εἰρωνεύεσθε, οὔτε, ὅπως σεῖς γελᾶτε, ἀλλὰ «ὅπως νομίζετε», θέλοντας νὰ δείξει ὅτι αὐτοὶ δὲν εἶπαν αὐτὸ ἐπίτηδες, ἀλλὰ πρῶτα νὰ ἀποδώσει σ' αὐτοὺς κατηγορία μᾶλλον ἀγνοίας παρὰ κακουργίας.

«Διότι αὐτοὶ δὲν εἶναι μεθυσμένοι, καθὼς σεῖς νομίζετε, καθόσον εἶναι τρίτη ὥρα τῆς ἡμέρας». Καὶ γιατί τὸ λέγει αὐτό; Δὲν εἶναι δυνατὸν κατὰ τὴν τρίτη ὥρα νὰ μεθύσει κανείς; Εἶναι δυνατόν, ἀλλὰ δὲν στάθηκε γιὰ πολὺ σ' αὐτό· ἄλλωστε δὲν σκεπτόταν αὐτό, διότι αὐτοὶ τὸ ἔλεγαν αὐτὸ εἰρωνευόμενοι. Ἀπὸ ἐδῶ λοιπὸν μαθαίνομε,

οὐ δεῖ πολὺν ἀναλίσκειν λόγον· ἄλλως δὲ καὶ τὰ ἐπαγόμενα τούτου ἐστὶ συστατικά· καὶ λοιπὸν κοινῇ πρὸς πάντας ὁ λόγος γίνεται. «Ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ Προφήτου Ἰωήλ· Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος ὁ Θεός». Οὐδαμοῦ τέως ὄνομα τοῦ Χριστοῦ, οὐδὲ ἡ ἐπαγγελία αὐτοῦ ἐπαγγελία, ἀλλὰ τοῦ Πατρός». Ὅρα σύνεσιν· οὐ παρῆλθε, καὶ εἶπεν εὐθέως τὰ κατὰ τὸν Χριστόν, ὅτι ἐκεῖνος ἐπηγγείλατο ταῦτα μετὰ τὸ σταυρωθῆναι· ἢ γὰρ ἂν πάντα ἀνέτρεψεν, οὕτως εἰπών. Καὶ μὴν ἱκανὰ ἦν δεῖξαι αὐτοῦ, φησί, τὴν θεότητα· ἀλλὰ πιστευόμενα (τὸ δὲ ζητούμενον τέως πιστευθῆναι ἦν), μὴ πιστευόμενα δέ, καὶ καταλευσθῆναι αὐτοὺς ἂν ἐποίησεν.

«Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα». ἀφίησιν αὐτῶν εἶναι τὸ πλεονέκτημα, ὅπερ καὶ βασκανίαν ἐποίει, καὶ ταύτῃ τὸν φθόνον ὑποτεμνόμενος. «Καὶ προφητεύσουσι», φησίν, «οἱ υἱοὶ ὑμῶν». Οὔτε ὑμῶν, φησί, κατόρθωμα τοῦτο, οὔτε μὴν ἐγκώμιον· εἰς τὰ παιδία τὰ ὑμέτερα διέβη ἡ χάρις, αὐτῶν υἱοὺς ἑαυτοὺς καλῶν, καὶ πατέρας ἐκείνους. «Καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται· καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, καὶ προφητεύσουσι». Τέως δείκνυσιν αὐτοὺς εὐδοκιμηκότας, Πνεύματος ἅτε καταξιωθέντας, ἐκείνους δὲ οὐχί, ἅτε σταυρώσαντας. Οὕτω καὶ ὁ Χριστός, βουλόμενος αὐτῶν μαλάξαι τὸν θυμόν, ἔλεγεν· «Οἱ δὲ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι τὰ δαιμόνια;». Οὐκ εἶπεν, 'Οἱ μαθηταί μου'· καὶ γὰρ ἐδόκει κολακεία εἶναι. Οὕτω καὶ αὐτὸς οὐκ εἶπεν 'ὅτι οὐ μεθύουσιν', ἀλλὰ «Πνεύματι φθέγγονται· καὶ οὐχ ἁπλῶς

2. Ἰωήλ 2, 28.
3. Ματθ. 12, 27.

ὅτι δὲν πρέπει νὰ σπαταλοῦμε πολὺ τὸ λόγο γιὰ μὴ ἀναγκαῖα πράγματα. Ἄλλωστε δὲ καὶ αὐτὰ ποὺ προσθέτει στὴ συνέχεια αὐτὸς μαρτυροῦν αὐτό· καὶ στὴ συνέχεια ἀπὸ κοινοῦ γίνεται ἡ ὁμιλία πρὸς ὅλους. «Ἀλλ' αὐτὸ εἶναι ἐκεῖνο, ποὺ ἔχει λεχθεῖ ἀπὸ τὸν προφήτη Ἰωὴλ· καὶ θὰ συμβεῖ αὐτὸ κατὰ τὶς ἔσχατες ἡμέρες, λέγει ὁ Θεός»[2]. Στὴν ἀρχὴ πουθενὰ δὲν ἀκούεται τὸ ὄνομα τοῦ Χριστοῦ, οὔτε ἡ ἐπαγγελία, εἶναι ἐπαγγελία αὐτοῦ, ἀλλὰ τοῦ Πατρός. Βλέπε σύνεση. Δὲν πρότρεξε καὶ ἀνέφερε ἀμέσως τὰ ὅσα ἔχουν σχέση μὲ τὸ Χριστό, ὅτι ἐκεῖνος διαβεβαίωσε αὐτὰ μετὰ τὴ σταύρωσή του. Διότι πράγματι θὰ ἀνέτρεπε τὰ πάντα, ἂν μιλοῦσε ἔτσι. Καὶ ὅμως ὑπῆρχαν ἀρκετὰ γιὰ νὰ ἀποδείξουν, λέγει, τὴ θεότητά του· ἀλλὰ πιστευόμενα (τὸ δὲ ζητούμενο κατὰ πρῶτον ἦταν νὰ πιστευθοῦν), μὴ πιστευόμενα δὲ θὰ τοὺς ἔκανε καὶ νὰ ἀπομακρυνθοῦν.

«Θὰ ἐκχύσω ἀπὸ τὸ Πνεῦμα μου σὲ κάθε ἄνθρωπο». Δίνει καὶ σ' αὐτοὺς καλὲς ἐλπίδες, ἐὰν βέβαια τὸ θελήσουν. Καὶ δὲν ἀφήνει νὰ ἔχουν αὐτοὶ τὸ πλεονέκτημα, πρᾶγμα ποὺ θὰ προκαλοῦσε τὸ φθόνο, καὶ ἔτσι μετριάζει τὸ φθόνο. «Καὶ θὰ προφητεύσουν, λέγει, οἱ υἱοί σας». Αὐτό, λέγει, οὔτε δικό σας κατόρθωμα εἶναι, οὔτε βέβαια ἔπαινος· στὰ δικά σας τέκνα διαβιβάσθηκε ἡ χάρη· ὀνομάζοντας τοὺς ἑαυτούς τους τέκνα αὐτῶν, καὶ ἐκείνους πατέρες. «Καὶ οἱ νέοι σας θὰ δοῦν ὁράσεις καὶ οἱ γέροντές σας θὰ ὀνειρευθοῦν ὄνειρα· ἀκόμη καὶ στοὺς δούλους μου καὶ στὶς δοῦλες μου κατὰ τὶς ἡμέρες ἐκεῖνες θὰ χύσω ἀπὸ τὸ Πνεῦμα μου καὶ θὰ προφητεύσουν». Πρῶτα μὲν φανερώνει ὅτι αὐτοὶ πρόκοψαν, ἀφοῦ καταξιώθηκαν τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, ἐνῶ ἐκεῖνοι δὲν πρόκοψαν, ἀφοῦ τὸν σταύρωσαν. Κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ Χριστός, θέλοντας νὰ καταπραΰνει τὸ θυμό τους ἔλεγε· «Τὰ παιδιά σας μὲ ποιὸ μέσο θὰ ἐκδιώκουν τὰ δαιμόνια;»[3]. Δὲν εἶπε 'οἱ μαθητές μου', διότι φαινόταν νὰ εἶναι κολακεία. Κατὰ τὸν ἴδιο τρόπο καὶ αὐτὸς δὲν εἶπε 'ὅτι δὲν εἶναι μεθυσμένοι', ἀλλ' «ὅτι ὁμιλοῦν μὲ τὸ ἅγιο Πνεῦμα»· καὶ δὲν ἀρ-

ἀλλ' ἐπὶ τὸν Προφήτην κατέφυγε, καὶ αὐτὸν ὑποδὺς ἰσχυρίζεται. Οὕτω τῆς μὲν κατηγορίας αὐτοὺς ἀπήλλαξε δι' ἑαυτοῦ, τῆς δὲ χάριτος ἐκεῖνον παράγει μάρτυρα.

«Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα». Οὕτως εἶπεν, ὅτι τοῖς μὲν δι' ὀνείρων, τοῖς δὲ καὶ ἐμφανῶς ἡ χάρις ἐξεχεῖτο· καὶ γὰρ καὶ δι' ὀνείρων εἶδον οἱ προφῆται, καὶ ἀποκαλύψεις ἐδέξαντο. Εἶτα ἐπεξέρχεται τῇ προφητείᾳ, ἐχούσῃ τι καὶ φοβερόν. «Καὶ δώσω», φησί, «τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω». Ταῦτα καὶ περὶ τῆς μελλούσης κρίσεως, καὶ περὶ τῶν Ἱεροσολύμων τῆς ἁλώσεως λέγων αἰνίττεται. «Αἷμα, καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ». Ὅρα πῶς τὴν ἅλωσιν ὑπέγραψεν. «Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα». Ἀπὸ τῆς διαθέσεως τῶν πασχόντων τοῦτο εἴρηκε· λέγεται δι' οὖν ὅμως καὶ πολλὰ τοιαῦτα γεγενῆσθαι ἐν οὐρανῷ, καθὼς Ἰώσηπος μαρτυρεῖ.* Ἅμα δὲ αὐτοὺς καὶ ἔπληξε, τοῦ σκότους ἀναμνήσας τοῦ γεγενημένου, καὶ ποιῶν προσδοκᾶν τὰ μέλλοντα. «Πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ». 'Μὴ γάρ, ἐπειδὴ ἀτιμωρητὶ νῦν ἁμαρτάνετε, φησί, θαρσήσητε. Ταῦτα δὴ προοίμιά ἐστι μεγάλης τινὸς ἡμέρας καὶ χαλεπῆς'. Ὁρᾷς πῶς αὐτῶν κατέσεισε τὴν ψυχὴν καὶ διεσάλευσε, καὶ τὸν γέλωτα μετέστρεψεν εἰς ἀπολογίαν; Εἰ γὰρ ταῦτα προοίμια τῆς ἡμέρας ἐκείνης, ἀνάγκη περὶ τῶν ἐσχάτων τὸν κίνδυνον ἐπηρτῆσθαι.

Τί δαί; ἆρα λέγων τὰ φοβερὰ ἐπιμένει; Οὐδαμῶς. Ἀλλὰ τί; Πάλιν δίδωσιν αὐτοῖς ἀναπνεῦσαι, καί φησι· «Καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται». Τοῦτο εἴρηται μὲν περὶ τοῦ Χριστοῦ, καθὼς Παῦλος λέγει, οὗτος δὲ οὐ τολμᾷ σαφῶς αὐτὸ ἀποκαλύψαι. Ἴδωμεν τοίνυν ἄνωθεν τὰ εἰρημένα. Καλῶς ὡς πρὸς γελῶντας καὶ χλευάζοντας καθίσταται, λέγων· «Γνωστὸν ἔστω πᾶσιν ὑμῖν, καὶ ἐνωτίσασθε

---

* Περὶ Ἰουδ. Πολεμ. III, 289-339 (VII, 31-36)· Βίος 75 κ.ἑ.

κέσθηκε μόνο σ' αὐτό, ἀλλὰ κατέφυγε στὸν Προφήτη καὶ ἰσχυρίζεται ὅτι ὑποδύθηκε αὐτόν. Ἔτσι ἀπὸ μὲν τὴν κατηγορία τοὺς ἀπάλλαξε αὐτὸς ὁ ἴδιος, τῆς δὲ χάριτος φέρει μάρτυρα ἐκεῖνον.

«Θὰ ἐκχύσω ἀπὸ τὸ Πνεῦμα μου σὲ κάθε ἄνθρωπο». «Μίλησε ἔτσι, διότι στοὺς μὲν ἐξεχύνετο ἡ χάρη μὲ ὄνειρα, στοὺς δὲ φανερά. Διότι οἱ προφῆτες καὶ μὲ ὄνειρα εἶδαν ὁράσεις καὶ δέχθηκαν ἀποκαλύψεις. Ἔπειτα ὁλοκληρώνει τὴν προφητεία, ποὺ ἔχει καὶ κάτι τὸ φοβερό. «Καὶ θὰ δώσω», λέγει, «τέρατα στὸν οὐρανὸ ἐπάνω καὶ σημεῖα στὴ γῆ κάτω». Μὲ τὰ λόγια αὐτὰ ὑπαινίσσεται καὶ τὴ μέλλουσα κρίση καὶ τὴν ἅλωση τῆς Ἰερουσαλήμ. «Αἷμα καὶ φωτιὰ καὶ καπνώδη ἀτμό». Βλέπε πῶς περιέγραψε τὴν ἅλωση· «ὁ ἥλιος θὰ μεταβληθεῖ σὲ σκοτάδι καὶ ἡ σελήνη σὲ αἷμα». Εἶπε αὐτὸ ἀπὸ τὴν διάθεση τῶν πασχόντων· λέγεται ὅμως ὅτι συνέβησαν καὶ πολλὰ ἄλλα τέτοια στὸν οὐρανό, καθὼς μαρτυρεῖ ὁ Ἰώσηπος*. Συγχρόνως ὅμως καὶ πλήγωσε αὐτούς, ἀφοῦ τοὺς ὑπενθύμισε τὸ σκοτάδι ποὺ συνέβηκε ἤδη, καὶ τοὺς κάμνει νὰ ἀναμένουν τὰ μέλλοντα. «Πρὶν ἔλθει ἡ Ἡμέρα τοῦ Κυρίου ἡ μεγάλη καὶ ἐπιφανής». Ὄχι δηλαδή, λέγει, ἐπειδὴ τώρα ἁμαρτάνετε χωρὶς νὰ τιμωρεῖσθε, νὰ γίνετε θρασεῖς. Αὐτὰ βέβαια εἶναι προοίμια κάποιας μεγάλης καὶ φοβερῆς ἡμέρας. Βλέπεις, πῶς κατατρόμαξε καὶ διατάραξε τὴν ψυχή τους, καὶ μετέβαλε τὸν γέλωτα σὲ ἀπολογία; Διότι, ἂν αὐτὰ εἶναι προμηνύματα τῆς ἡμέρας ἐκείνης, εἶναι ἀνάγκη νὰ ἐπισημάνει τὸν κίνδυνο γιὰ τὰ ἔσχατα.

Τί λοιπόν; μήπως ἐπιμένει νὰ λέγει τὰ φοβερά; Καθόλου. Ἀλλὰ τί; Πάλι δίνει σ' αὐτοὺς τὴ δυνατότητα νὰ ἀναπνεύσουν καὶ λέγει· «Καὶ θὰ συμβεῖ τότε ὁ καθένας ποὺ θὰ ἐπικαλεσθεῖ τὸ ὄνομα τοῦ Κυρίου, θὰ σωθεῖ». Αὐτὸ μὲν ἔχει λεχθεῖ γιὰ τὸ Χριστό, καθὼς λέγει ὁ Παῦλος, αὐτὸς ὅμως δὲν τολμᾶ φανερὰ νὰ τὸ ἀποκαλύψει. Ἂς δοῦμε λοιπὸν ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα λέχθηκαν. Καλῶς ἀπευθύνεται σὰν πρὸς ἀνθρώπους ποὺ γελοῦν καὶ εἰρωνεύονται· «Ἂς γίνει αὐτὸ γνωστὸ σὲ σᾶς καὶ ἀκοῦ-

τὰ ῥήματά μου». Ἀρχόμενος δὲ ἔλεγεν· «Ἄνδρες Ἰουδαῖοι». Ἰουδαίους ἐμοὶ δοκεῖ λέγειν τοὺς τὴν Ἰουδαίαν κατοικοῦντας. Καί, εἰ βούλει, παραθώμεθα τὰ ῥήματα ἐκεῖνα τὰ ἐν τῷ Εὐαγγελίῳ, ἵνα μάθῃς τίς ἐξαίφνης γέγονεν ὁ Πέτρος. «Ἐξῆλθε», φησί, «κόρη, λέγουσα· Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Ναζωραίου; Ὁ δέ, οὐκ οἶδα τὸν ἄνθρωπον, ἀπεκρίνατο. Καὶ πάλιν ἐπερωτηθεὶς ἤρξατο καταναθεματίζειν καὶ ὀμνύναι».

2. Ἀλλὰ ὅρα ἐνταῦθα αὐτοῦ τὴν παρρησίαν καὶ τὴν πολλὴν ἐλευθεροστομίαν. Οὐκ ἐπήνεσε τοὺς εἰπόντας ὅτι «ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ», ἀλλὰ καὶ βαρεῖ, τῇ πρὸς ἐκείνους βαρύτητι καὶ τούτους σπουδαιοτέρους ποιῆσαι βουλόμενος, καὶ κολακείας τὸν λόγον ἀπηλλαγμένον ἀποδεῖξαι· πανταχοῦ γὰρ τοῦτο παρατηρεῖν καλόν, καὶ πῶς ἐν τάξει συγκαταβάσεως πάσης κολακείας ὁ λόγος ἀπήλλακται καὶ πάσης ὕβρεως, ὅπερ δύσκολον. Τὸ δὲ καὶ ἐν τρίτῃ ὥρᾳ ταῦτα γενέσθαι, οὐχ ἁπλῶς ᾠκονόμηται· ὅτε γὰρ τὸ λαμπρὸν τοῦ φωτὸς δείκνυται, τότε οὐ περὶ ἔργα ἔχουσιν οἱ ἄνθρωποι τὰ περὶ ἄριστον, τότε φαιδρὰ ἡ ἡμέρα, τότε πάντες εἰσὶν ἐπ᾽ ἀγορᾶς. Ὁρᾷς καὶ ἐλευθερίας τὸν λόγον γέμοντα; «Καὶ ἐνωτίσασθε τὰ ῥήματά μου». Τοῦτο εἰπών, οὐδὲν προσέθηκεν, ἀλλ᾽ ἐπήγαγε· «Τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ Προφήτου Ἰωήλ· Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις». Δείκνυσι γὰρ λοιπὸν τὴν συντέλειαν οὖσαν ἐγγύς. Οὕτω τὸ «ἐν ταῖς ἐσχάταις ἡμέραις» ἔχει τινὰ ἔμφασιν.

Εἶτα, ἵνα μὴ δόξῃ εἰς τοὺς υἱοὺς περιϊστᾶν μόνον τὸ πρᾶγμα, ἐπάγει· «Καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται». Ὅρα τὴν ἀκολουθίαν. Πρότερον υἱοί· καθὼς καὶ ὁ Δαυὶδ φησιν· «Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου»· Καὶ ὁ Μαλαχίας πάλιν· «Ἐπιστρέψας καρδίας πατέρων ἐπὶ τέκνα». «Καὶ ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας

---

4. Ματθ. 26, 69 - 74.
5. Ψαλμ. 44, 17.
6. Μαλ. 4, 5.

στε προσεκτικὰ τὰ λόγια μου». 'Αρχίζοντας ὅμως ἔλεγε, «ἄνδρες 'Ιουδαῖοι». Μοῦ φαίνεται ὅτι ὀνομάζει 'Ιουδαίους, ἐκείνους ποὺ κατοικοῦν τὴν 'Ιουδαία. Καί, ἂν θέλεις, ἂς ἀναφέρουμε τὰ λόγια ἐκεῖνα τοῦ εὐαγγελίου, γιὰ νὰ μάθεις ποιὸς εἶχε γίνει ξαφνικὰ ὁ Πέτρος, διότι λέγει' «Καὶ ἐπλησίασε μιὰ ὑπηρέτρια καὶ τοῦ εἶπε' Καὶ σὺ ἤσουν μαζὶ μὲ τὸν 'Ιησοῦ τὸν Ναζωραῖο; 'Εκεῖνος δὲ ἀποκρίθηκε, δὲν γνωρίζω τὸν ἄνθρωπο. Καὶ ὅταν ξανὰ ρωτήθηκε, ἄρχισε τὶς κατάρες καὶ τοὺς ὅρκους»[4].

2. 'Αλλὰ πρόσεξε ἐδῶ τὴν παρρησία καὶ τὴ μεγάλη του εἰλικρίνεια. Δὲν ἐπήνεσε ἐκείνους ποὺ εἶπαν, ὅτι' «'Ακοῦμε αὐτοὺς νὰ ὁμιλοῦν στὶς δικές μας γλῶσσες τὰ μεγαλεῖα τοῦ Θεοῦ», ἀλλ' ἐπιβαρύνει αὐτούς, θέλοντας νὰ τοὺς κάνει σπουδαιότερους σὲ σχέσει πρὸς τὴ νωθρότητα ἐκείνων, καὶ νὰ παρουσιάσει τὸ λόγο του ἀπαλλαγμένο ἀπὸ κολακεία. Διότι παντοῦ εἶναι καλὸ νὰ προσέχει κανένας καὶ πῶς, ἐφαρμόζοντας συγκατάβαση, νὰ εἶναι ὁ λόγος ἀπαλλαγμένος ἀπὸ κάθε κολακεία καὶ κάθε προσβολή. Τὸ ὅτι δὲ αὐτὰ συνέβηκαν κατὰ τὴν τρίτη ὥρα, δὲν ἔγιναν τυχαῖα. Διότι, ὅταν φαίνεται ἡ λαμπρότητα τοῦ φωτός, τότε οἱ ἄνθρωποι δὲν ἀσχολοῦνται μὲ τὸ πρόγευμα, τότε ἡ ἡμέρα εἶναι λαμπρή, τότε ὅλοι βρίσκονται στὴν ἀγορά. Βλέπεις τὸ λόγο ποὺ εἶναι καὶ πλήρης ἐλευθερίας; «Καὶ ἀκοῦστε προσεκτικὰ τὰ λόγια μου». Καὶ ὅταν εἶπε αὐτό, δὲν πρόσθεσε τίποτε ἄλλο, ἀλλὰ συμπλήρωσε' «Αὐτὸ εἶναι ἐκεῖνο, ποὺ ἔχει λεχθεῖ ἀπὸ τὸν προφήτη 'Ιωήλ, ὅτι θὰ συμβεῖ αὐτὸ κατὰ τὶς ἔσχατες ἡμέρες». Φανερώνει δηλαδὴ ὅτι ἡ συντέλεια εἶναι κοντά. Ἔτσι τὸ «κατὰ τὶς ἔσχατες ἡμέρες» ἔχει κάποια ἔμφαση.

Ἔπειτα γιὰ νὰ μὴ φανεῖ ὅτι στοὺς υἱοὺς μόνο ἀφορᾶ τὸ πράγμα, προσθέτει' «Καὶ οἱ γέροντές σας θὰ ὀνειρευθοῦν ὄνειρα. Πρόσεχε τὴ συνέπεια· πρῶτα οἱ υἱοί, ὅπως λέγει καὶ ὁ Δαυΐδ' «ἀντὶ τῶν πατέρων σου θὰ εἶναι οἱ υἱοί σου»[5]· καθὼς καὶ ὁ Μαλαχίας πάλι· «Θὰ ἀποκαταστήσει δεσμοὺς ἀγάπης στὴν καρδιὰ τῶν πατέρων πρὸς τὰ τέκνα. Καὶ πρὸς τοὺς δούλους μου καὶ στὶς δοῦλες μου»[6].

μου». Καὶ τοῦτο ἀρετῆς τεκμήριον· δοῦλοι γὰρ αὐτοῦ γεγόναμεν, ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας. Πολλὴ δὲ καὶ ἡ δωρεά, ὅταν καὶ ἐπὶ τὸ ἕτερον γένος μεταβαίνῃ τὸ χάρισμα, καὶ οὐχὶ πρὸς μίαν καὶ δευτέραν περιέστη, ὥσπερ τὸ παλαιόν, οἷον Δεββώραν καὶ Ὀλδάν. Καὶ οὐκ εἶπεν, ὅτι Πνεῦμά ἐστιν ἅγιον, οὐδὲ ἡρμήνευσε τὰ τοῦ Προφήτου, ἀλλὰ τὴν προφητείαν μόνην εἰσήγαγε, καθ' ἑαυτὴν ἀγωνιζομένην. Καὶ οὐδὲν περὶ Ἰούδα τέως φθέγγεται (ἐπειδὴ τοῖς πᾶσιν ἦν δῆλον οἵαν ἔδωκε δίκην), ἀλλὰ σιγᾷ, εἰδὼς οὐδὲν ὂν ἰσχυρότερον τοῦ ἀπὸ προφητείας αὐτοῖς διαλέγεσθαι· τοῦτο καὶ τῶν πραγμάτων αὐτῶν ἰσχυρότερον· σημεῖα γὰρ ποιοῦντος τοῦ Χριστοῦ, πολλάκις ἀντέλεγον, ὅτε δὲ τὸν Προφήτην παρήγαγεν αὐτοῖς ὁ Χριστὸς λέγοντα· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου», ἐσίγησαν οὕτως, ὡς μηδένα λοιπὸν ἰσχῦσαι ἀποκριθῆναι αὐτῷ λόγον. Καὶ πολλαχοῦ τῶν Γραφῶν καὶ αὐτὸς μέμνηται, λέγων· «Εἰ ἐκείνους θεοὺς εἶπε, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο»· μᾶλλον δὲ πανταχοῦ τοῦτο εὕροι τις ἄν. Διὰ τοῦτο καὶ ἐνταῦθά φησιν· «Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα»· τουτέστι, τὰ ἔθνη. Ἀλλ' οὐδέπω ἀποκαλύπτει, οὐδὲ ἑρμηνεύει· οὐδὲ γὰρ συνέφερεν, ἐπεὶ καὶ τοῦτο ἀσαφές. «Δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω». Μᾶλλον γὰρ αὐτοὺς ἐφόβει, ἀσαφὲς ὄν. Εἰ δὲ ἡρμήνευσε, μᾶλλον ἂν αὐτοῖς καὶ προσέστη.

Εἶτα καὶ ὡς δῆλον παρίησι, τοιαύτην βουλόμενος δοῦναι δόξαν. Ἀμέλει γοῦν μετὰ ταῦτα αὐτοῖς ἑρμηνεύει, ὅτε περὶ τῆς ἀναστάσεως αὐτοῖς διαλέγεται, ὅτε προωδοποίησε τῷ λόγῳ. Διὰ τοῦτο ἑκὼν παρίησιν, ἐπειδὴ οὐκ ἤρκει τὰ ἀγαθὰ ἐπισπάσασθαι, καίτοι τοῦτο οὐδέποτε γέγονεν· οὐδεὶς γὰρ τότε διέφυγε, νῦν δὲ οἱ πιστοὶ διέφυγον ἐπὶ Οὐεσπασιανοῦ. Καὶ τοῦτό ἐστιν, ὃ λέγει· «Εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι,

8. Ἰω. 10, 35.

Καὶ αὐτὸ εἶναι ἀπόδειξη ἀρετῆς. Διότι ἔχομε γίνει δοῦλοι αὐτοῦ, ἀφοῦ ἐλευθερωθήκαμε ἀπὸ τὴν ἁμαρτία. Πολλὴ δὲ εἶναι καὶ ἡ δωρεά, ὅταν ἡ χάρη μεταβαίνει καὶ στὸ γυναικεῖο φῦλο, καὶ δὲν δόθηκε σὲ μιὰ καὶ δυὸ μόνο, ὅπως στὴν παλιὰ ἐποχή, ἐπὶ παραδείγματι στὴ Δεββώρα καὶ Ὀλδά. Καὶ δὲν εἶπε ὅτι ὑπάρχει Πνεῦμα ἅγιο, οὔτε ἑρμήνευσε τὰ ὅσα εἶπε ὁ προφήτης, ἀλλὰ μόνο τὴν προφητεία ἀνέφερε καὶ τὴν ἄφησε νὰ ἐπικρατήσει μόνη της. Καὶ μέχρι τότε δὲν ὁμιλεῖ καθόλου γιὰ τὸν Ἰούδα, διότι σ' ὅλους ἦταν γνωστὸ πῶς τιμωρήθηκε, ἀλλὰ σιωπᾶ, γνωρίζοντας ὅτι τίποτε δὲν εἶναι ἰσχυρότερο ἀπὸ τὸ νὰ συνομιλεῖ μὲ αὐτοὺς μὲ προφητεῖες. Τοῦτο εἶναι ἰσχυρότερο καὶ ἀπὸ τὰ ἴδια τὰ γεγονότα. Διότι ὅταν ὁ Χριστὸς ἔκανε θαύματα, πολλὲς φορὲς ἀντέλεγαν, ὅταν ὅμως ὁ Χριστὸς παρουσίασε σ' αὐτοὺς τὸν προφήτη νὰ λέγει, «Εἶπε ὁ Κύριος στὸν Κύριό μου, κάθησε στὰ δεξιά μου»[7], σιώπησαν ἔτσι, σὰν νὰ μὴ μποροῦσαν νὰ ἀποκριθοῦν σ' αὐτὸν πλέον. Καὶ σὲ πολλὰ σημεῖα καὶ αὐτὸς ἐνθυμεῖται τὶς Γραφὲς λέγοντας, «Ἐὰν ἐκείνους εἶπε θεούς, πρὸς τοὺς ὁποίους ἦλθε ὁ λόγος τοῦ Θεοῦ»[8]. Μᾶλλον δὲ παντοῦ εἶναι δυνατὸν νὰ βρεῖ κανεὶς αὐτό. Γι' αὐτὸ καὶ ἐδῶ λέγει˙ «Θὰ ἐκχύσω ἀπὸ τὸ Πνεῦμα μου σὲ κάθε ἄνθρωπο», δηλαδὴ στὰ ἔθνη˙ ἀκόμα δὲν ἀποκαλύπτει, οὔτε ἑρμηνεύει, διότι οὔτε καὶ συνέφερε αὐτό, ἐπειδὴ καὶ αὐτὸ ἦταν ἀσαφές. «Θὰ δώσω τέρατα στὸν οὐρανὸ ἄνω». Αὐτὸ βέβαια τοὺς φόβιζε περισσότερο, ἐπειδὴ ἦταν ἀσαφές. Ἂν δὲ τὸ ἑρμήνευε, περισσότερο θὰ τοὺς βοηθοῦσε.

Ἔπειτα τὸ παραμελεῖ σὰν φανερό, θέλοντας νὰ δώσει τέτοια ἐντύπωση. Βέβαια στὴ συνέχεια τὸ ἑρμηνεύει σ' αὐτούς, ὅταν συνομιλεῖ μὲ αὐτοὺς γιὰ τὴν ἀνάσταση, ὅταν τοὺς προετοίμασε μὲ τὸ λόγο. Γι' αὐτὸ καὶ μὲ τὴν θέλησή του τὸ παραμελεῖ, ἐπειδὴ δὲν βοηθοῦσε στὴν προσέλκυση τῶν ἀγαθῶν, ἂν καὶ αὐτὸ ποτὲ δὲν ἔγινε. Διότι τότε κανένας δὲν διέφυγε, ἐνῶ τώρα οἱ πιστοὶ διέφυγαν κατὰ τὶς ἡμέρες τοῦ διωγμοῦ τοῦ Βεσπασιανοῦ. Καὶ αὐτὸ εἶναι ἐκεῖνο ποὺ λέγει˙ «Ἂν δὲν συντομεύονταν οἱ ἡμέ-

οὐκ ἂν ἐσώθη πᾶσα σάρξ». Τὸ χαλεπώτερον πρότερον γέγονε· πρῶτον γὰρ συνέβη τοὺς κατοικοῦντας ἁλῶναι, καὶ τότε τὴν πόλιν κατασκαφῆναι καὶ ἐμπρησθῆναι. Εἶτα ἐπιμένει τῇ μεταφορᾷ, ἐγγὺς τῆς ὄψεως τῶν ἀκροατῶν ἄγων τὴν κατασκαφὴν καὶ τὴν ἅλωσιν. «Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα». Τί ἐστιν, «Εἰς αἷμα σελήνην μεταστραφῆναι»; Δοκεῖ μοι διὰ τούτου τὴν ὑπερβολὴν λέγειν τῆς σφαγῆς, καὶ πολλῆς ἀπορίας ἐπίτηδες τὸν λόγον ἐμπιπλᾶν. «Καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται». «Πᾶς», φησί, κἂν ἱερεὺς ᾖ (ἀλλ' οὐδέπω ἀποκαλύπτει), κἂν δοῦλος ᾖ, φησί, κἂν ἐλεύθερος· «οὐκ ἄρσεν γάρ, οὐ θῆλυ ἐν Χριστῷ Ἰησοῦ, οὐ δοῦλος, οὐκ ἐλεύθερος». Εἰκότως· ταῦτα γὰρ ἐνταῦθα, ἔνθα πάντα σκιά· εἰ γὰρ ἐν βασιλείοις οὐδεὶς εὐγενὴς οὐδὲ δυσγενής, ἀλλὰ ἀπὸ τῶν ἔργων ἕκαστος φαίνεται, καὶ ἐν τέχνῃ ἀπὸ τοῦ ἔργου ἕκαστος δείκνυται, πολλῷ μᾶλλον ἐν ἐκείνῃ τῇ καταστάσει. «Πᾶς ὃς ἂν ἐπικαλέσηται». «Ἐπικαλέσηται» οὐχ ἁπλῶς, («οὐ γὰρ πᾶς», φησίν, «ὁ λέγων μοι· Κύριε, Κύριε»), ἀλλὰ μετὰ διαθέσεως, μετὰ βίου ἀρίστου, μετὰ παρρησίας τῆς προσηκούσης. Τέως ἀνεπαχθῆ ποιεῖ τὸν λόγον, τὸ τῆς πίστεως εἰσάγων, καὶ οὐ φοβερόν, κρύπτων τὸ τῆς κολάσεως. Πῶς; Δεικνὺς ὅτι ἐν ἐπικλήσει ἡ σωτηρία.

3. Τί λέγεις; εἰπέ μοι· σωτηρίας μέμνησαι μετὰ σταυρόν; Ἀνάσχου τέως· πολλὴ γὰρ ἡ φιλανθρωπία τοῦ Θεοῦ. Καὶ τοῦτο οὐχ ἧττον τῆς ἀναστάσεως αὐτὸν δείκνυσι Θεόν, καὶ τῶν σημείων, τὸ τούτους προσκαλεῖσθαι. Τὸ γὰρ σφόδρα ἀγαθόν, τοῦτο Θεοῦ μάλιστα ἴδιον· διὰ τοῦτο καὶ λέγει· «Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός». Ἀλλὰ μὴ τὴν ἀγαθότητα εἰς ἀφορμὴν ῥαθυμίας λάβωμεν· καὶ γὰρ καὶ κολάζει καθάπερ Θεός. Αὐτὰ γοῦν ταῦτα αὐτὸς εἰργάσατο.

9. Ματθ. 24, 22.
10. Γαλ. 3, 28.
11. Ματθ. 7, 21 - 22.
12. Λουκ. 18, 19.

ρες ἐκεῖνες, δὲν θὰ σώζονταν κανένας ἄνθρωπος»[9]. Τὸ φοβερώτερο ἔγινε προηγουμένως. Διότι πρῶτα συνέβη νὰ συλληφθοῦν οἱ κατοικοῦντες, καὶ μετὰ ἡ πόλη νὰ κατασκαφεῖ καὶ νὰ πυρποληθεῖ. Ἔπειτα ἐπιμένει στὴ μεταφορά, φέροντας ἐνώπιον τῶν ἀκροατῶν τὴν καταστροφὴ καὶ τὴν ἅλωση. «Ὁ ἥλιος θὰ μεταβληθεῖ σὲ σκοτάδι καὶ ἡ σελήνη σὲ αἷμα». Τί σημαίνει, «ἡ σελήνη θὰ μεταβληθεῖ σὲ αἷμα»; Μοῦ φαίνεται ὅτι μὲ αὐτὸ παριστάνει τὴν ὑπερβολὴ τῆς σφαγῆς καὶ γεμίζει τὸ λόγο ἐπίτηδες μὲ μεγάλη ἀπορία. «Καὶ θὰ συμβεῖ τότε ὁ καθένας, ποὺ θὰ ἐπικαλεσθεῖ τὸ ὄνομα τοῦ Κυρίου, θὰ σωθεῖ». «Ὁ καθένας», λέγει, ἀκόμη καὶ ἂν εἶναι ἱερεύς, (ἀλλ' ἀκόμα δὲν ἀποκαλύπτει), καὶ ἂν εἶναι δοῦλος, λέγει, καὶ ἂν εἶναι ἐλεύθερος. «Διότι δὲν ὑπάρχει ἀρσενικὸ καὶ θηλυκὸ στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ, οὔτε δοῦλος, οὔτε ἐλεύθερος»[10]. Δικαιολογημένα. Καθόσον αὐτὰ ὑπάρχουν ἐδῶ, ὅπου τὰ πάντα εἶναι σκιά. Διότι, ἂν στὰ ἀνάκτορα δὲν ὑπάρχει κανένας εὐγενής, οὔτε μὴ εὐγενής, ἀλλ' ὁ καθένας φαίνεται ἀπὸ τὰ ἔργα του, καὶ στὴν τέχνη ὁ καθένας ἀπὸ τὸ ἔργο του ἀποδεικνύεται, πολὺ περισσότερο σ' ἐκείνη τὴν κατάσταση. «Ὁ καθένας ποὺ θὰ ἐπικαλεσθεῖ». «Ποὺ θὰ ἐπικαλεσθεῖ» ὄχι ἁπλῶς' (διότι λέγει «ὄχι ὁ καθένας ποὺ μοῦ λέγει Κύριε, Κύριε)»[11], ἀλλὰ μὲ θέρμη πολλή, μὲ βίο ἀνεπίληπτο, μὲ τὴν πρέπουσα παρρησία. Κατ' ἀρχὴ κάνει τὸ λόγο του εὐχάριστο, εἰσάγοντας τὸ θέμα τῆς πίστεως, καὶ ὄχι φοβερό, ἀποκρύπτοντας τὴν τιμωρία. Πῶς; Ἀποδεικνύοντας ὅτι ἡ σωτηρία βρίσκεται στὴν ἐπίκληση τοῦ Θεοῦ.

3. Τί λέγεις, πές μου; ἐνθυμεῖσαι τὴ σωτηρία μετὰ τὸ σταυρό; Προσευχήσου πρῶτα, διότι ἡ φιλανθρωπία τοῦ Θεοῦ εἶναι μεγάλη. Καὶ αὐτό, τὸ νὰ προσκαλεῖ αὐτούς, δὲν ἀποδεικνύει αὐτὸν Θεὸ λιγώτερο τῆς ἀναστάσεως, καὶ τῶν σημείων του. Διότι τὸ ὑπερβολικὸ ἀγαθό, αὐτὸ εἶναι κυρίως τὸ χαρακτηριστικὸ γνώρισμα τοῦ Θεοῦ. Γι' αὐτὸ καὶ λέγει' «Κανένας δὲν εἶναι ἀγαθὸς παρὰ μόνο ὁ Θεός»[12]. Ἀλλ' ἂς μὴ ἐκλάβομε τὴν ἀγαθότητά του σὰν ἀφορμὴ ἀδιαφορίας, διότι καὶ τιμωρεῖ ἐφ' ὅσον εἶναι Θεός.

ὁ εἰπών· «Ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται». Τὰ κατὰ τὴν Ἱερουσαλὴμ λέγω, τὴν ἀφόρητον ἐκείνην κόλασιν, ἧς βούλομαι ὀλίγα πρὸς ὑμᾶς εἰπεῖν, χρησιμεύοντα ἡμῖν καὶ πρὸς Μαρκιωνιστὰς καὶ πρὸς ἄλλους πολλοὺς τῶν αἱρετικῶν. Ἐπειδὴ γὰρ λέγουσιν ἀγαθὸν Θεὸν τὸν Χριστόν, ἐκεῖνον δὲ πονηρόν, ἴδωμεν τίς ταῦτα ἐποίησε. Τίς τοίνυν ταῦτα εἰργάσατο; ὁ πονηρὸς τούτῳ ἀμύνων; Οὐδαμῶς. Πῶς οὖν αὐτοῦ ἀλλότριος; Ἀλλ' ὁ ἀγαθός; Ἀλλὰ δείκνυται καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς πεποιηκώς· ὁ μὲν Πατὴρ πολλαχοῦ, ὡς, ὅταν λέγῃ ἐν τῷ ἀμπελῶνι πέμπειν τὰ στρατεύματα αὐτοῦ, ὁ δὲ Υἱός, ὅταν λέγῃ· «Τοὺς δὲ ἐχθρούς μου ἀγάγετε καὶ κατασφάξατε ἐνώπιόν μου, τοὺς μὴ θελήσαντάς με αὐτῶν βασιλεῦσαι»· ἄλλως δὲ καὶ αὐτὸς λέγει τὰς θλίψεις τὰς ἐσομένας, ὧν οὐδὲν ὠμότερον γέγονε τῶν πώποτε πεπραγμένων, καὶ αὐτὸς αὐτὰς ἀπεφήνατο.

Θέλεις οὖν ἀκοῦσαι τὰ γεγενημένα; Ὀβελίσκοις αὐτοὺς διέπειραν. Τί τούτων ἰδεῖν βαρύτερον; Ἀλλὰ τὸ τῆς γυναικὸς βούλει πάθος διηγήσομαι καὶ τὴν τραγῳδίαν ἐκείνην, ἥτις πᾶσαν ἀπέκρυψε συμφοράν; ἀλλὰ τοὺς λιμοὺς καὶ τοὺς λοιμούς; Καὶ παρίημι τὰ τούτων χαλεπώτερα. Ἠγνοήθη παρ' ἐκείνοις ἡ φύσις, ἠγνοήθη ὁ νόμος· τὰ θηρία ὑπερηκόντισαν. Πάντα δὲ ταῦτα ὑπὸ τῆς ἀνάγκης τῶν πολέμων γέγονε, τοῦ Θεοῦ βουλομένου καὶ τοῦ Χριστοῦ. Ταῦτα καὶ πρὸς Μαρκιωνιστὰς ἁρμόσει, καὶ πρὸς τοὺς ἀπιστοῦντας τῇ γεέννῃ· ἱκανὰ γὰρ αὐτῶν ἐπιστομίσαι τὴν ἀναισχυντίαν. Τῶν ἐν Βαβυλῶνι κακῶν οὐχὶ ταῦτα χαλεπώτερα; τῶν λιμῶν ἐκείνων οὐχὶ ταῦτα πολλῷ βαρύτερα; Περὶ τούτων καὶ αὐτὸς ἀπεφήνατο ὁ Χριστός, λέγων· «Ἔσται θλῖψις, οἵα γέγονεν, οὐδὲ μὴ γένηται». Πῶς οὖν λέγουσί τινες ὅτι εἴασεν αὐτοῖς ὁ Χριστὸς

---

13. Ματθ. 20, 2.
14. Λουκ. 19, 27.
15. Ματθ. 24, 21.

Αὐτὰ λοιπὸν τὰ ἴδια ἔπραξε αὐτὸς ὁ ἴδιος, ποὺ εἶπε· «ὅποιος θὰ ἐπικαλεσθεῖ τὸ ὄνομα τοῦ Κυρίου θὰ σωθεῖ». Ἐννοῶ τὰ σχετικὰ μὲ τὴν Ἱερουσαλήμ, τὴν ἀφόρητη ἐκείνη κόλαση, γιὰ τὴν ὁποία θέλω νὰ σᾶς πῶ λίγα, ποὺ θὰ σᾶς χρησιμεύσουν ἐναντίον τῶν Μαρκιωνιτῶν καὶ ἐναντίον πολλῶν ἄλλων αἱρετικῶν. Διότι, ἐπειδὴ διδάσκουν, ὅτι ὁ Χριστὸς εἶναι ἀγαθὸς Θεός, ἐκεῖνος δὲ πονηρός, ἂς δοῦμε ποιὸς ἔκανε αὐτά. Ποιὸς λοιπὸν τὰ δημιούργησε αὐτά; ὁ πονηρός, βοηθώντας αὐτόν; Καθόλου. Πῶς λοιπὸν εἶναι ἐχθρὸς αὐτοῦ; Μήπως ὅμως ὁ ἀγαθός; Ἀλλ' ἀποδεικνύεται ὅτι εἶναι δημιουργὸς καὶ ὁ Πατὴρ καὶ ὁ Υἱός· ὁ μὲν Πατὴρ σὲ πολλὰ σημεῖα, ὅπως ὅταν λέγει, ὅτι στὸν ἀμπελώνα θὰ στείλει τὰ στρατεύματά του[13], ὁ δὲ Υἱός, ὅταν λέγει, «Τούς δὲ ἐχθρούς μου φέρετέ τους καὶ κατασφάξατέ τους ἐνώπιόν μου, αὐτούς, ποὺ δὲν θέλησαν νὰ εἶμαι βασιλεύς τους»[14]. Ἐξ ἄλλου καὶ αὐτὸς ἀναφέρει τὶς θλίψεις ποὺ θὰ συμβοῦν μελλοντικά, ἀπὸ τὶς ὁποῖες τίποτε δὲν ἔχει γίνει πιὸ ἀπάνθρωπο, ἀπὸ τὰ ὅσα ἔχουν γίνει μέχρι τώρα, καὶ αὐτὲς ὁ ἴδιος τὶς φανέρωσε.

Θέλεις λοιπὸν νὰ ἀκούσεις αὐτὰ ποὺ συνέβηκαν; Σὲ σοῦβλες τούς διαπέρασαν. Τί εἶναι φοβερώτερο ἀπ' αὐτὸ νὰ δεῖς; Ἀλλὰ θέλεις νὰ διηγηθῶ τὸ πάθος καὶ τὴν τραγωδία τῆς γυναίκας ἐκείνης, ποὺ ξεπέρασε κάθε συμφορά; μήπως τὶς πεῖνες καὶ τὶς ἐπιδημίες; καὶ παραλείπω τὰ φοβερώτερα ἀπ' αὐτά. Σὲ ἐκείνους ἀγνοήθηκε ἡ φύση, ἀγνοήθηκε ὁ νόμος, ὑπερέβαλαν τὰ θηρία. Ὅλα ὅμως αὐτὰ ἔγιναν ἀπὸ τὴν ἀνάγκη τῶν πολέμων, μὲ τὴν συγκατάθεση ὅμως τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ. Αὐτὰ θὰ ἁρμόσουν καὶ ἐναντίον τῶν Μαρκιωνιτῶν καὶ ἐναντίον ἐκείνων, ποὺ ἀπιστοῦν στὴ γέεννα. Διότι αὐτὰ εἶναι ἀρκετὰ νὰ χαλιναγωγήσουν τὴν ἀναισχυντία αὐτῶν. Δὲν εἶναι αὐτὰ χειρότερα ἀπὸ τὰ κακὰ τῆς Βαβυλώνας; Δὲν εἶναι αὐτὰ πολὺ βαρύτερα τῆς πείνας ἐκείνων; Γι αὐτὰ καὶ ὁ ἴδιος ὁ Χριστὸς διακήρυξε, λέγοντας· «θὰ ἔλθει θλίψη τόσο μεγάλη, ποὺ δὲν ἔγινε ποτὲ καὶ οὔτε θὰ γίνει»[15]. Πῶς λοιπὸν λέγουν μερικοὶ ὅτι ἐπέτρεψε ὁ Χριστὸς σ' αὐτοὺς τὴν

τὴν ἁμαρτίαν; Τάχα δοκεῖ κοινὸν εἶναι τὸ ζήτημα· ἀλλ' ὑμεῖς αὐτὸ ἱκανοὶ λῦσαι. Οὐδεὶς οὐδαμοῦ πλάσμα τοιοῦτον ἔχει δεῖξαι, οἷον ἐπὶ τῆς ἀληθείας γέγονε. Καὶ εἰ μὲν Χριστιανὸς ὁ ταῦτα γράφων ἦν, καὶ ὕποπτος ὁ λόγος ἦν, εἰ δὲ Ἰουδαῖος, καὶ Ἰουδαῖος ζηλωτής, μετὰ τὸ Εὐαγγέλιον ἐλθών, πῶς οὐ πᾶσι κατάδηλα τὰ γενόμενα; Ὄψει γὰρ αὐτὸν πανταχοῦ καὶ ἐπαίροντα τὰ Ἰουδαϊκά.

Οὐκοῦν ἔστι καὶ γέεννα, καὶ ἀγαθός ἐστιν ὁ Θεός. Ἆρα ἐφρίξατε, ταῦτα ἀκούσαντες; Ἀλλὰ ταῦτα ἐνταῦθα γινόμενα οὐδέν ἐστι πρὸς τὰ ἐκεῖ. Πάλιν ἀναγκάζομαι ἀηδὴς φαίνεσθαι καὶ φορτικὸς καὶ βαρύς· ἀλλὰ τί πάθω; Εἰς τοῦτο κεῖμαι. Καθάπερ παιδαγωγὸς χαλεπὸς εἰς τοῦτο κεῖται, εἰς τὸ μισεῖσθαι παρὰ τῶν παιδαγωγουμένων, οὕτω δὴ καὶ ἡμεῖς· πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν παρὰ βασιλέων τάξιν τινὰ ταχθέντας, κἂν ἀηδὲς ᾖ τὸ προσταττόμενον ποιεῖν, ἡμᾶς δὲ διὰ τὴν παρ' ὑμῶν μέμψιν ἐλλείπει τὴν τάξιν, ἣν ἐτάχθημεν; Ἄλλος ἔργον ἔχει ἕτερον· ὑμῶν δὲ πολλοὶ ἔργον ἔχουσι τὸ ἐλεεῖν, τὸ φιλανθρωπεύεσθαι, ἡδεῖς εἶναι καὶ προσηνεῖς τοῖς εὐεργετουμένοις. Ἡμεῖς δὲ τοῖς ὠφελουμένοις βαρεῖς φαινόμεθα, καὶ χαλεποί, καὶ φορτικοί, καὶ ἀηδεῖς· οὐ γὰρ δι' ὧν τέρπομεν ὠφελοῦμεν, ἀλλὰ δι' ὧν δάκνομεν. Τοιοῦτός ἐστι καὶ ὁ ἰατρός· ἀλλ' ἐκεῖνος μὲν οὐ σφόδρα ἀηδής, (εὐθέως γὰρ τῆς αὐτοῦ τέχνης τὴν ὠφέλειαν παρέχεται), ἡμεῖς δὲ ἐν τῷ μέλλοντι. Τοιοῦτός ἐστι καὶ ὁ δικαστής, λυπηρὸς τοῖς νοσοῦσι καὶ στασιάζουσι. Τοιοῦτος ὁ νομοθέτης, λυπηρὸς τοῖς νομοθετουμένοις. Ἀλλ' οὐχ ὁ καλῶν ἐπὶ τρυφήν, οὐδὲ ὁ δημοτελεῖς ποιῶν ἑορτὰς καὶ πανηγύρεις, οὐδὲ ὁ στεφανῶν τὸν δῆ-

ἁμαρτία; Ἴσως φαίνεται τὸ ζήτημα ἁπλό, ἀλλὰ σεῖς εἶστε ἱκανοὶ νὰ τὸ λύσετε. Κανένας πουθενὰ δὲν ἔχει νὰ παρουσιάσει τέτοιο πράγμα, ποὺ στὴν πραγματικότητα ἔχει γίνει. Καὶ ἂν μὲν ἦταν χριστιανὸς αὐτὸς ποὺ γράφει αὐτά, θὰ ἦταν ἴσως ὕποπτος ὁ λόγος, ἐφόσον ὅμως εἶναι Ἰουδαῖος, καὶ μάλιστα Ζηλωτὴς Ἰουδαῖος, ὁ ὁποῖος ἦλθε μετὰ τὸ εὐαγγέλιο, πῶς δὲν εἶναι φανερὰ σ' ὅλους τὰ ὅσα ἔγιναν; θὰ δεῖς λοιπὸν αὐτὸν παντοῦ νὰ ἐξυψώνει τὰ ἰουδαϊκά.

Λοιπὸν ὑπάρχει καὶ γέεννα καὶ ὁ Θεὸς εἶναι ἀγαθός. Ἄραγε τρομάξατε, ὅταν ἀκούσατε αὐτά; Ἀλλ' αὐτὰ ποὺ γίνονται ἐδῶ, δὲν εἶναι τίποτε, σὲ σχέση μὲ τὰ ὅσα θὰ γίνουν ἐκεῖ. Πάλι ἀναγκάζομαι νὰ φαίνομαι δυσάρεστος, φορτικὸς καὶ ἐνοχλητικός. Ἀλλὰ τί νὰ κάνω; Γι' αὐτὸ βρίσκομαι ἐδῶ. Ὅπως ἀκριβῶς ἕνας αὐστηρὸς παιδαγωγὸς εἶναι σ' αὐτὸ ταγμένος ἀπὸ τὸ καθῆκον του, νὰ μισεῖται ἀπὸ αὐτοὺς ποὺ παιδαγωγεῖ, ἔτσι λοιπὸν καὶ μεῖς. Διότι πῶς δὲν εἶναι ἄτοπο, ἐκεῖνοι ποὺ τάχθηκαν σὲ κάποια ὑπηρεσία τῶν βασιλέων, νὰ κάμνουν ἐκεῖνο ποὺ διατάσσονται, ἔστω καὶ ἂν εἶναι δυσάρεστο, ἐμεῖς δὲ νὰ ἐγκαταλείπουμε τὴ θέση στὴν ὁποία τοποθετηθήκαμε ἐξ αἰτίας τῆς δικῆς σας μομφῆς; Ἄλλος ἔχει διαφορετικὸ ἔργο· ἀπὸ σᾶς δὲ πολλοὶ ἔχουν σὰ ἔργο νὰ κάνουν ἐλεημοσύνες, φιλανθρωπικὰ ἔργα, καὶ νὰ εἶναι προσφιλεῖς καὶ εὐπροσήγοροι σ' αὐτοὺς ποὺ εὐεργετοῦν, ἐμεῖς ὅμως φαινόμαστε σ' αὐτοὺς ποὺ εὐεργετοῦμε ἐνοχλητικοί, αὐστηροί, φορτικοὶ καὶ δυσάρεστοι. Διότι δὲν ὠφελοῦμε μὲ ἐκεῖνα ποὺ εὐχαριστοῦν, ἀλλὰ μὲ ἐκεῖνα ποὺ στενοχωροῦν. Τέτοιος εἶναι καὶ ὁ ἰατρός. Ἀλλ' ἐκεῖνος μὲν δὲν εἶναι τόσο πολὺ ἐνοχλητικός, διότι παρέχει ἀμέσως τὴν ὠφέλεια τῆς ἐπιστήμης του, ἐνῶ ἡ δική μας εἶναι μελλοντική. Τέτοιος εἶναι καὶ ὁ δικαστής, προκαλεῖ λύπη σ' ἐκείνους ποὺ κοινωνικὰ νοσοῦν καὶ παρανομοῦν· τέτοιος εἶναι καὶ ὁ νομοθέτης, προκαλεῖ λύπη σ' ἐκείνους γιὰ τοὺς ὁποίους κάμνει τοὺς νόμους. Ἀλλὰ δὲν εἶναι χρήσιμος ἐκεῖνος ποὺ προσκαλεῖ σὲ ἀπολαύσεις, οὔτε ἐκεῖνος ποὺ κάνει ἑορτὲς

μον, ἀλλὰ προσηνεῖς οὗτοι, εὐωχοῦντες τὰς πόλεις θεάμασι παντοδαπεῖς, εἰσφέροντες, ἀναλίσκοντες· διὰ τοῦτο καὶ εὐφημίαις αὐτοὺς ἀμείβονται οἱ παθόντες εὖ, καὶ παραπετάσμασι, καὶ λαμπάδων πλήθει, καὶ στέμμασι, καὶ κλάδοις, καὶ ἐσθῆτι λαμπρᾷ. Ἂν δὲ τὸν ἰατρὸν ἴδωσιν οἱ κάμνοντες, στυγνοὶ καὶ κατηφεῖς γίνονται· ἂν τὸν δικαστὴν ὁμοίως στασιάζοντες συνεσταλμένοι γίνονται, οὐχὶ διαχέονται, οὐδὲ ὀρχοῦνται, πλὴν ὅταν κἀκεῖνος εἰς ἐκείνην μεταστῇ τὴν τάξιν.

Ἴδωμεν οὖν τίνες μάλιστα τὰς πόλεις ὠφελοῦσιν, οἱ τὰς ἑορτὰς ταύτας ἄγοντες, καὶ τὰς θαλίας, καὶ τὰς τραπέζας τὰς πολυτελεῖς, καὶ τὰς τέρψεις τὰς ποικίλας, ἢ οἱ πάντα ἐκεῖνα συστείλαντες, καὶ τὸ ξύλον ἐπιφερόμενοι, καὶ μάστιγας, καὶ δημίους, καὶ στρατιώτας φοβερούς, καὶ φωνὴν προϊέμενοι, πολλοῦ τρόμου γέμουσαν, καὶ ἐπισκήπτοντες, καὶ κατηφεῖν ποιοῦντες, καὶ ῥάβδῳ ἀποσοβοῦντες τοὺς ἐπὶ τῆς ἀγορᾶς. Ἴδωμεν τοίνυν ποῦ τὸ κέρδος λήγει· οὗτοι μὲν γάρ εἰσιν ἀηδεῖς, ἐκεῖνοι δὲ ποθεινοί. Τί οὖν ἀπ' ἐκείνων γίνεται τῶν τερπόντων; Ἡδονή τις ψυχρά, μέχρι τῆς ἑσπέρας μένουσα καὶ τῇ ἐπιούσῃ διαρρέουσα, γέλως ἄτακτος, ῥήματα ἀπρεπῆ καὶ διακεχυμένα. Τί δαὶ ἀπὸ τούτων; Φόβος, σωφροσύνη, λογισμὸς συνεσταλμένος, ψυχῆς ἐπιείκεια, ῥᾳθυμίας ἀναίρεσις, χαλινὸς τῶν ἔνδον ὄντων παθῶν, τεῖχος τῶ ἔξωθεν ἐπιόντων. Διὰ τούτους τὰς οὐσίας ἔχομεν ἕκαστος, δι' ἐκείνας δὲ τὰς ἑορτάς, καὶ ἐπιβλαβῶς κενοῦμεν αὐτάς, οὐ λῃστῶν ἐπεισελθόντων, ἀλλὰ τῆς μεθ' ἡδονῆς λῃστευούσης κενοδοξίας. Ὁρᾷ τὸν λῃστὴν ἕκαστος ἐκφοροῦντα πάντα, καὶ ἥδεται. Καινὸς τῆς λῃστείας ὁ τρόπος· ἔπεισε τοὺς ἀποδυομένους εὐφραίνεσθαι.

4. Ἀλλ' οὐκ ἐκεῖ τοιοῦτον οὐδέν, ἀλλὰ πᾶσιν ἀπετείχισεν

καὶ πανηγύρεις μὲ δημόσιες δαπάνες, οὔτε ἐκεῖνος ποὺ ἐπιβραβεύει καὶ κολακεύει τὸ λαό, χρήσιμοι εἶναι ἐκεῖνοι, ποὺ προσφέρουν στὶς πόλεις διάφορα θεάματα, ἐκεῖνοι ποὺ εἰσφέρουν καὶ δαπανοῦν γιὰ τὴν πόλη. Γι' αὐτὸ καὶ οἱ εὐεργετούμενοι ἀμείβουν αὐτοὺς καὶ μὲ ἐπευφημίες καὶ μὲ παραπετάσματα καὶ μὲ πλῆθος ἀπὸ λαμπάδες, στεφάνια, κλάδους καὶ λαμπρὲς ἐνδυμασίες. Ὅταν οἱ ἀσθενεῖς δοῦν τὸν γιατρό, γίνονται σκυθρωποὶ καὶ κατηφεῖς, ὅταν τὸ δικαστὴ οἱ παρανομοῦντες, γίνονται συνεσταλμένοι, δὲν εὐθυμοῦν, οὔτε χορεύουν, ἐκτὸς καὶ ἂν ἐκεῖνος μεταπηδήσει στὴ δική τους τάξη.

Ἂς δοῦμε λοιπὸν ποῖοι ὠφελοῦν τὶς πόλεις περισσότερο, ἐκεῖνοι ποὺ κατευθύνουν αὐτὲς τὶς ἑορτὲς καὶ τὰ ξεφαντώματα καὶ τὶς πολυτελεῖς τράπεζες καὶ τὶς ποικίλες διασκεδάσεις, ἢ ἐκεῖνοι ποὺ περιόρισαν ὅλα ἐκεῖνα, καὶ τὸ ξύλο ἐφαρμόζουν καὶ μὲ μάστιγες καὶ μὲ δημίους καὶ φοβεροὺς στρατιῶτες καὶ ποὺ ἐκβάλλοντας φωνὴ γεμάτη ἀπὸ πολὺ τρόμο καὶ ἐπιτιθέμενοι μὲ σφοδρότητα, κάμνουν τοὺς ἄλλους νὰ σκυθρωπάζουν καὶ μὲ τὴ ράβδο ἀπομακρύνουν ταχέως αὐτοὺς ποὺ βρίσκονται στὴν ἀγορά; Ἂς δοῦμε λοιπὸν ποὺ βρίσκεται τὸ κέρδος. Διότι αὐτοὶ μὲν εἶναι ἐνοχλητικοί, ἐκεῖνοι δὲ ἐπιθυμητοί. Τί λοιπὸν γίνεται ἀπὸ ἐκεῖνες τὶς εὐχαριστήσεις; Κάποια ψυχρὴ ἀπόλαυση, ποὺ μένει μέχρι τὴν ἑσπέρα καὶ τὴν ἑπομένη χάνεται, ἄτακτα γέλια, λόγια ἀπρεπῆ καὶ βλαβερά. Τί δὲ ἀπὸ ἐκείνους; Φόβος, σωφροσύνη, φρόνιμος λογισμός, ἐπιείκεια τῆς ψυχῆς, ἐξαφάνιση τῆς ραθυμίας, χαλιναγώγηση τῶν ἐσωτερικῶν παθῶν, φραγμὸς σ' ὅσα ἔρχονται ἀπ' ἔξω. Ἐξ αἰτίας αὐτῶν ὁ καθένας μας ἔχομε τὴν περιουσία μας, ἐξ αἰτίας ἐκείνων τῶν ἑορτῶν ξοδεύομε αὐτὲς ἐπιβλαβῶς, χωρὶς νὰ εἰσβάλουν ληστές, ἀλλ' ἡ κενοδοξία ποὺ ληστεύει μαζὶ μὲ τὴν ἡδονή. Βλέπει τὸν ληστὴ ὁ καθένας νὰ ἀφαιρεῖ τὰ πάντα, καὶ εὐχαριστεῖται. Νέος ὁ τρόπος τῆς ληστείας· ἔπεισε τοὺς ἀπογυμνωμένους νὰ εὐφραίνονται.

4. Ἀλλ' ἐκεῖ τίποτε παρόμοιο δὲν ὑπάρχει, καθότι ὁ

ὁ Θεός, καθάπερ κοινὸς Πατήρ, καὶ τοῖς ὁρωμένοις καὶ τοῖς μὴ ὁρωμένοις· «βλέπετε» γάρ, φησί, «τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων». Μανθάνει ψυχὴ ἐντεῦθεν ἀδικίαν φεύγειν· ἀδικία γὰρ οὐ τὸ χρήματα πλεονεκτεῖν μόνον, ἀλλὰ καὶ τὸ πλέον τῆς ὡρισμένης τροφῆς διδόναι τῇ γαστρί, καὶ τὴν εὐφροσύνην τῶν οἰκείων ἐξάγειν μέτρων, καὶ ποιεῖν ἐκβακχεύεσθαι. Ἐκεῖθεν σωφροσύνην μανθάνει, ἐντεῦθεν ἀκολασίαν· οὐ γὰρ τὸ μιγῆναι γυναικὶ μόνον ἀκολασία, ἀλλὰ καὶ τὸ ἀκολάστοις ἰδεῖν ὀφθαλμοῖς. Ἐκεῖθεν ἐπιείκειαν μανθάνει, ἐντεῦθεν τύφον· «πάντα γάρ μοι», φησίν, «ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει». Ἐκεῖθεν κοσμιότητα, ἐντεῦθεν ἀσχημοσύνην· τὰ γὰρ ἐν τοῖς θεάτροις παρίημι. Ὅτι δὲ οὐδὲ ἡδονή τίς ἐστιν, ἀλλὰ λύπη, δείξατέ μοι μετὰ μίαν ἡμέραν τῆς ἑορτῆς τούς τε ἀναλώσαντας, τούς τε ἑστιαθέντας τοῖς θεάμασι, καὶ ὄψει αὐτοὺς μὲν ἐν κατηφείᾳ ἅπαντας, ἐν μείζονι δὲ ἐκεῖνον τὸν ἀναλωκότα. Καὶ εἰκότως· ἔτερψε γὰρ τῇ προτεραίᾳ τὸν ἰδιώτην· καὶ ὁ μὲν ἰδιώτης ἐν εὐθυμίᾳ ἦν καὶ ἡδονῇ πολλῇ (τέως γὰρ τῇ ἐσθῆτι ἔχαιρε τῇ λαμπρᾷ), τὴν χρῆσιν δὲ αὐτῆς οὐκ ἔχων, ἀλλ' ὁρῶν ἑαυτὸν ἀποδυόμενον, ἤλγει καὶ ἐδάκνετο. Ἐκεῖνος δὲ ὁ ἀναλίσκων καὶ τὴν οἰκείαν εὐπραγίαν μικρὰν ὁρᾶν πρὸς τὴν ἐκείνου ἐδόκει· διὰ τοῦτο τῇ ὑστεραίᾳ ἀνιδιδόασιν ἀλλήλοις, καὶ τὸ πλέον τῆς ἀθυμίας ἐκεῖνος δέχεται. Εἰ δὲ ἐν τοῖς ἔξωθεν τοσαύτην ἔχει ἀηδίαν τὰ τέρποντα, τὰ δὲ ἐπιστύφοντα ὠφέλειαν, πολλῷ μᾶλλον ἐν τοῖς πνευματικοῖς· διὰ τοῦτο μηδεὶς ἀγανακτεῖ τοῖς νόμοις, ἀλλὰ καὶ κοινὴν ὠφέλειαν ἅπαντες τίθενται τὸ πρᾶγμα. Οὐ γάρ, ἄλλοθέν ποθεν ξένοι καὶ πολέμιοι τῶν νομοθετουμένων

16. Ματθ. 6, 1.
17. Α' Κορ. 6, 12.

Θεὸς σὰν κοινὸς πατέρας ὀχύρωσε ὅλους, καὶ τοὺς ὁρατοὺς καὶ τοὺς ἀόρατους· διότι λέγει, «Προσέχετε τὴν ἐλεημοσύνη σας, νὰ μὴ τὴν κάμνετε μπροστὰ στοὺς ἀνθρώπους»[16]. Ἀπ' ἐδῶ διδάσκεται ἡ ψυχὴ νὰ ἀποφεύγει τὴν ἀδικία. Διότι ἀδικία, δὲν εἶναι νὰ εἶναι κανένας πλεονέκτης μόνο στὰ χρήματα, ἀλλὰ καὶ νὰ τρέφεται μὲ περισσότερη ἀπὸ τὴν καθορισμένη τροφὴ καὶ ἡ διασκέδαση νὰ ξεπερνᾶ τὰ συνήθισμένα μέτρα καὶ νὰ διαπράττει τότε ἔκτροπα. Ἀπὸ ἐκεῖ διδάσκεται τὴ σωφροσύνη, ἀπὸ ἐδῶ τὴν ἀκολασία. Διότι ἀκολασία δὲν εἶναι μόνο νὰ συνέρχεται κανένας μὲ ξένη γυναίκα, ἀλλὰ καὶ νὰ βλέπει αὐτὴν μὲ ἀκόλαστα μάτια. Ἀπὸ ἐκεῖ διδάσκεται τὴν ἐπιείκεια, ἀπ' ἐδῶ τὴν ἀλαζονεία· «ὅλα μοῦ ἐπιτρέπονται, ἀλλὰ δὲν μοῦ συμφέρουν ὅλα»[17]. Ἀπὸ ἐκεῖ διδάσκεται τὴν κοσμιότητα, ἀπ' ἐδῶ τὴν ἀσχημοσύνη. Παρέρχομαι βέβαια τὰ ὅσα συμβαίνουν στὰ θέατρα. Τὸ ὅτι δὲ δὲν εἶναι οὔτε κἂν εὐχαρίστηση, ἀλλὰ λύπη, δεῖξτε μου, μιὰ ἡμέρα μετὰ τὴν ἑορτή, καὶ ἐκείνους ποὺ ἔκαναν τὴ δαπάνη καὶ ἐκείνους ποὺ ψυχαγωγήθηκαν στὰ θεάματα, καὶ θὰ δεῖς αὐτοὺς μὲν ὅλους κατηφεῖς, περισσότερο δὲ ἐκεῖνον ποὺ ἔκαμε τὴ δαπάνη. Καὶ δικαιολογημένα· διότι τὴν προηγουμένη εὐχαρίστησε τὸν κοινὸ ἄνθρωπο, καὶ ἐκεῖνος μὲν ἦταν χαρούμενος καὶ πολὺ εὐχαριστημένος, διότι πρῶτα χαιρόταν τὰ λαμπρά του ἐνδύματα, μὴ μπορώντας δὲ νὰ κάνει χρήση αὐτῶν, ἀλλὰ βλέποντας τὸν ἑαυτό του νὰ ἀπογοητεύεται, πονοῦσε καὶ στενοχωριοῦνταν. Ἐκεῖνος δὲ ποὺ ἔκαμε τὴ δαπάνη νόμιζε ὅτι βλέπει καὶ τὴ δική του εὐημερία μικρὴ σὲ σύγκριση μὲ τὴν εὐημερία τοῦ ἄλλου. Γι' αὐτὸ κατὰ τὴν ἑπομένη ἀνταλλάσσουν μεταξύ τους τὰ ἀποτελέσματα, καὶ ἐκεῖνος δέχεται τὴ μεγαλύτερη στενοχώρια. Ἂν λοιπόν, στοὺς μὴ χριστιανοὺς τὰ εὐχάριστα προκαλοῦν τέτοια δυσαρέσκεια, τὰ δὲ ἐνοχλητικὰ ὠφέλεια, πολὺ περισσότερο στοὺς πνευματικούς. Γι' αὐτὸ κανένας δὲν ἀγανακτεῖ μὲ τοὺς νόμους, ἀλλ' ὅλοι θεωροῦν τὸ πράγμα κοινὴ ὠφέλεια. Διότι δὲν καθώρισαν αὐτὰ ξένοι καὶ ἐχθροὶ τῶν νομοθετουμένων, ποὺ ἦλθαν ἀπὸ κά-

ἐλθόντες, ταῦτα διετάξαντο, ἀλλ' αὐτοὶ οἱ πολῖται, οἱ προστάται, οἱ κηδεμόνες· καὶ τοῦτο σωτηρίας καὶ εὐνοίας τεκμήριον τυγχάνειν ἡγοῦνται, τὸ νόμους θέσθαι· καίτοι γε κολάσεως οἱ νόμοι γέμουσι, καὶ οὐκ ἔστιν εὑρεῖν νόμον κολάσεως χωρίς. Πῶς οὖν οὐκ ἄτοπον τοὺς μὲν ἐκείνους ἐξηγουμένους τοὺς νόμους καὶ σωτῆρας καὶ εὐεργέτας καὶ προστάτας ἀποκαλεῖν, ἡμᾶς δὲ βαρεῖς τινας καὶ χαλεποὺς ἡγεῖσθαι, ἂν τοὺς τοῦ Θεοῦ νόμους λέγωμεν; Ὅταν γὰρ περὶ γεέννης διαλεγώμεθα, ἐκείνους τοὺς νόμους κινοῦμεν· καὶ καθάπερ οἱ ἔξωθεν τοὺς φονικούς, τοὺς περὶ λωποδυτῶν, τοὺς γαμικούς, καὶ πάντας τοὺς τοιούτους, οὕτω καὶ ἡμεῖς τοὺς κολαστικούς, οὓς οὐκ ἄνθρωπος ἔθηκεν, ἀλλ' αὐτὸς ὁ Μονογενὴς τοῦ Θεοῦ Παῖς. Ὁ ἐλεήμων κολαζέσθω, φησί· (τοῦτο γὰρ ἡ παραβολὴ βούλεται)· ὁ μνησικακῶν τιμωρείσθω τιμωρίαν ἐσχάτην· ὁ ὀργιζόμενος εἰκῇ εἰς τὸ πῦρ ἐμβαλλέσθω· ὁ λοιδορῶν τιννύτω δίκην ἐν τῇ γεέννῃ. Εἰ δὲ νομίζετε ξένους ἀκούειν νόμους, μὴ θορυβηθῆτε· εἰ γὰρ μὴ ξένους ἔμελλε θήσειν, τί καὶ παρεγένετο ὁ Χριστός; Ἐκεῖνα γὰρ δῆλα ἡμῖν ἐστιν, ὅτι τὸν φονέα καὶ τὸν μοιχὸν δεῖ κολάζεσθαι. Εἰ τοίνυν τὰ αὐτὰ ἐμέλλομεν ἀκούσεσθαι, τίς χρεία ἦν οὐρανίου διδασκάλου; Διὰ τοῦτο οὐ λέγει Ὁ μοιχὸς κολαζέσθω', ἀλλ' «ὁ βλέπων ἀκολάστοις ὀφθαλμοῖς». Καὶ ποῦ, καὶ πότε δώσει δίκην προστίθησι. Καὶ οὐκ εἰς ἄξονας, οὐδὲ εἰς κύρβεις τοὺς νόμους κατέθετο, οὐδὲ στήλας ἀνέστησε χαλκᾶς καὶ γράμματα ἐνεχάραξεν, ἀλλά, ψυχὰς ἡμῖν ἀναστήσας δώδεκα τὰς τῶν Ἀποστόλων, ἐν ταῖς ἐκείνων διανοίαις διὰ τοῦ Πνεύματος ταῦτα τὰ γράμματα γέγραφε. Ταῦτα ὑμῖν παραγινώσκομεν εἰκότως ἡμεῖς· εἰ γὰρ Ἰουδαίοις τοῦτο θε-

---

17α. Ξύλινοι πίνακες τῶν νόμων, πού περιστρέφονταν γύρω ἀπό ἄξονα.

17β. Τριγωνικοί πίνακες πού σχημάτιζαν τρίπλευρη πυραμίδα πού στρέφονταν γύρω ἀπό ἄξονα. Ἐπάνω σ' αὐτούς δέ ἦταν γραμμένοι οἱ ἀρχαιότατοι νόμοι τοῦ Σόλωνος, στήν Ἀθήνα. Αὐτοί ἦταν ἐκτεθειμένοι στήν Ἀκρόπολη. Ἀργότερα ὅμως μετατέθηκαν σέ βουλευτήριο τῆς ἀγορᾶς καί τή Βασίλειο στοά, ὑπό τοῦ Ἐφιάλτου ἐπί Περικλέους.

που ἀλλοῦ, ἀλλ' οἱ ἴδιοι οἱ πολῖτες, οἱ προστάτες, οἱ κηδεμόνες· καὶ αὐτὸ θεωροῦν ἀπόδειξη σωτηρίας καὶ εὔνοιας, τὸ νὰ θεσπίζουν νόμους. Παρ' ὅτι, βέβαια οἱ νόμοι εἶναι γεμάτοι ἀπὸ τιμωρίες, καὶ δὲν εἶναι δυνατὸν νὰ βρεῖς νόμο χωρὶς νὰ ἐπιβάλλει τιμωρία.

Πῶς λοιπὸν δὲν εἶναι ἄτοπο ἐκείνους μὲν ποὺ ἐξηγοῦν τοὺς νόμους, νὰ τοὺς ἀποκαλοῦν καὶ σωτῆρες καὶ εὐεργέτες καὶ προστάτες, ἐμᾶς δέ, νὰ μᾶς θεωροῦν ἐνοχλητικοὺς καὶ δυσάρεστους, ὅταν διδάσκουμε τοὺς νόμους τοῦ Θεοῦ; Διότι ὅταν ὁμιλοῦμε γιὰ τὴ γέεννα, ἐκείνους τοὺς νόμους ἐπικαλούμαστε. Καὶ ὅπως ἀκριβῶς οἱ μὴ χριστιανοὶ ἐπικαλοῦνται τοὺς νόμους ποὺ ἀναφέρονται στοὺς φόνους, στοὺς λωποδύτες, στοὺς γάμους καὶ σ' ὅλους τοὺς παρόμοιους, ἔτσι καὶ ἐμεῖς ἐπικαλούμαστε τοὺς νόμους, ποὺ ἐπιβάλλουν τιμωρίες, τοὺς ὁποίους νόμους δὲν νομοθέτησε ἄνθρωπος, ἀλλ' ὁ ἴδιος ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ. Ὁ μὴ ἐλεήμων, λέγει, ἃς τιμωρεῖται· διότι αὐτὸ ἀπαιτεῖ ἡ παραβολή. Ἐκεῖνος ποὺ ἐπιδιώκει ἐκδίκηση, ἃς τιμωρεῖται μὲ τὴν ἔσχατη τιμωρία. Ἐκεῖνος ποὺ καταλαμβάνεται ἀλόγιστα ἀπὸ ὀργή, ἃς ρίχνεται στὴ φωτιά. Ἐκεῖνος ποὺ κακολογεῖ, ἃς τιμωρεῖται στὴ γέεννα. Ἂν δὲ νομίζετε ὅτι ἀκοῦτε παράξενους νόμους, μὴ ταράσσεσθε· διότι, ἂν ἐπρόκειτο νὰ μὴ νομοθετήσει παράξενους νόμους, γιατί ἦλθε στὸν κόσμο καὶ ὁ Χριστός; Καθόσον ἐκεῖνα εἶναι γνωστὰ σ' ἐμᾶς, ὅτι πρέπει νὰ τιμωροῦνται ὁ φονιὰς καὶ ὁ μοιχός. Ἂν λοιπὸν τὰ ἴδια ἐπρόκειτο νὰ ἀκοῦμε, ποιὰ ἀνάγκη ὑπῆρχε οὐράνιου διδασκάλου; Γι' αὐτὸ δὲν λέγει, 'νὰ τιμωρεῖται ὁ μοιχός', ἀλλ' ἐκεῖνος ποὺ βλέπει μὲ ἀκόλαστα μάτια. Καὶ προσθέτει ποῦ καὶ πότε θὰ τιμωρηθεῖ. Καὶ δὲν παράδωσε τοὺς νόμους σὲ ἄξονας[17α], οὔτε σὲ κύρβεις[17β], οὔτε ἀνύψωσε χάλκινες στῆλες καὶ χάραξε γράμματα ἐπάνω σ' αὐτές, ἀλλὰ ζωντανὲς ψυχὲς ἀνέστησε γιὰ μᾶς, τοὺς δώδεκα ἀποστόλους, καὶ στὶς διάνοιες ἐκείνων μὲ τὸ ἅγιο Πνεῦμα ἔχει γράψει αὐτὰ τὰ γράμματα. Αὐτὰ ἐμεῖς ὀρθῶς παρουσιάζουμε σὲ σᾶς. Διότι, ἂν αὐτὸ ἦταν ἐπιτρεπτὸ στοὺς Ἰουδαίους,

μιτὸν ἦν, ἵνα μηδεὶς εἰς ἄγνοιαν ἔχῃ καταφεύγειν, πολλῷ μᾶλλον ἡμῖν. Εἰ δὲ λέγοι τις, 'Οὐδὲ ἀκούω, οὐδὲ κρῖμα ἔχω', ταύτῃ μάλιστα κολάζεται· εἰ γὰρ μηδεὶς ἦν ὁ διδάσκων, ἐνῆν εἰς ταῦτα καταφεύγειν· εἰ δέ ἐστιν, οὐκ ἔτι.

Ὅρα γοῦν Ἰουδαίους πῶς ἀποστερεῖ συγγνώμης, λέγων· «Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον»· καὶ πάλιν ὁ Παῦλος· «Ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; Μενοῦνγε· εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν». Τότε γὰρ συγγνώμη ἐστίν, ὅταν μηδεὶς ᾖ ὁ λέγων, ὅταν δὲ ὁ σκοπὸς κάθηται καὶ τοῦτο ἔχῃ ἔργον, οὐκέτι συγγνώμη· μᾶλλον δὲ οὐκ ἐβούλετο ὁ Χριστὸς εἰς ἐκείνας τὰς στήλας ἐνορᾶν ἡμᾶς μόνον, ἀλλὰ καὶ αὐτοὺς εἶναι στήλας. Ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς τῶν γραμμάτων τούτων κατεστήσαμεν, κἂν εἰς ἐκείνας ἴδωμεν· καθάπερ γὰρ αἱ στῆλαι ἑτέροις ἀπειλοῦσιν, αὗται δὲ οὐκ εἰσὶν ὑπεύθυνοι, ὥσπερ οὐδὲ οἱ νόμοι, οὕτω καὶ οἱ μακάριοι Ἀπόστολοι. Καὶ ὅρα· οὐκ ἐν ἑνὶ τόπῳ ἡ στήλη ἕστηκεν αὕτη, ἀλλὰ πανταχοῦ περιφέρεται τὰ γράμματα. Κἂν εἰς Ἰνδοὺς ἀπέλθῃς, ἀκούσῃ τούτων· κἂν εἰς Ἱσπανίαν, κἂν πρὸς αὐτὰ τῆς γῆς τὰ τέρματα, οὐδεὶς ἀνήκοος τυγχάνει, πλὴν εἰ μὴ παρὰ τὴν οἰκείαν ῥᾳθυμίαν.

Μὴ δὴ δυσχεραίνετε, ἀλλὰ προσέχετε τοῖς λεγομένοις, ἵνα δυνηθῆτε τῶν τῆς ἀρετῆς ἔργων ἐπιλαβέσθαι, καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

18. Ἰω. 15, 22.
19. Ρωμ. 10, 18 καὶ Ψαλμ. 18, 5.

γιὰ νὰ μὴ μπορεῖ κανένας νὰ προφασίζεται ἄγνοια, πολὺ περισσότερο σ' ἐμᾶς. Ἂν δὲ κάποιος λέγει, οὔτε ἀκούω, οὔτε κρίμα ἔχω, μὲ τὸν τρόπο αὐτὸ πολὺ περισσότερο τιμωρεῖται. Διότι, ἂν δὲν ὑπῆρχε κανένας νὰ διδάσκει, μποροῦσαν νὰ προφασίζονται αὐτά, ἐφ' ὅσον ὅμως ὑπάρχει, δὲν μποροῦν.

Βλέπε λοιπὸν τοὺς Ἰουδαίους πῶς τοὺς στερεῖ ἀπὸ τὴ συγγνώμη, λέγοντας, «Ἂν δὲν εἶχα ἔλθει καὶ δὲν εἶχα μιλήσει σ' αὐτούς, δὲν θὰ εἶχαν ἁμαρτία»[18]. Καὶ πάλι ὁ Παῦλος· «Ἀλλ' ἐρωτῶ, μήπως δὲν ἄκουσαν τὸ λόγο τοῦ Θεοῦ; Καὶ βέβαια ἄκουσαν· ἡ φωνή τους διαδόθηκε σ' ὅλη τὴ γῆ»[19]. Διότι πράγματι τότε ὑπάρχει συγγνώμη, ὅταν δὲν ὑπάρχει κανένας δάσκαλος, ὅταν ὅμως κάθεται ὁ σκοπὸς καὶ ἔχει αὐτὸ τὸ ἔργο, δὲν ὑπάρχει συγγνώμη. Μᾶλλον δὲ ὁ Χριστὸς δὲν ἤθελε νὰ προσβλέπουμε ἐμεῖς μόνο σὲ ἐκεῖνες τὶς στῆλες, ἀλλ' ἐμεῖς οἱ ἴδιοι νὰ εἴμαστε στῆλες. Ἐπειδὴ ὅμως ἐμεῖς καταστήσαμε τοὺς ἑαυτούς μας ἀνάξιους τῶν γραμμάτων αὐτῶν, τουλάχιστο ἂς προσβλέπουμε σὲ ἐκεῖνες. Διότι, ὅπως ἀκριβῶς οἱ στῆλες ἄλλους ἀπειλοῦν, χωρὶς αὐτὲς νὰ εἶναι ὑπεύθυνες, ὅπως ἀκριβῶς οὔτε οἱ νόμοι εἶναι ὑπεύθυνοι, ἔτσι καὶ οἱ μακάριοι ἀπόστολοι. Καὶ πρόσεχε· δὲν στάθηκε σ' ἕνα μόνο τόπο ἡ στήλη αὐτή, ἀλλὰ διακηρύσσει παντοῦ τοὺς νόμους. Καὶ ἂν μεταβεῖς στοὺς Ἰνδούς, θὰ ἀκούσεις αὐτούς, καὶ ἂν στὴν Ἱσπανία καὶ ἂν σ' αὐτὰ τὰ πέρατα τῆς γῆς, κανένας δὲν ὑπάρχει ποὺ νὰ μὴ ἔχει ἀκούσει αὐτούς, ἐκτὸς καὶ ἂν ἀπὸ δική του ραθυμία μόνο δὲν θέλησε.

Μὴ λοιπὸν δυσανασχετεῖτε, ἀλλὰ προσέχετε στὰ λεγόμενα, γιὰ νὰ μπορέσετε νὰ ἐπωφεληθεῖτε ἀπὸ τὰ ἔργα τῆς ἀρετῆς, καὶ νὰ ἐπιτύχετε τὰ αἰώνια ἀγαθά, στὸ ὄνομα τοῦ Ἰησοῦ τοῦ Κυρίου μας, μαζὶ μὲ τὸν ὁποῖο στόν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΣΤ΄
(Πράξ. 2, 22-36)

«Ἄνδρες Ἰσραηλῖται, ἀκούσατέ μου τοὺς λόγους τούτους».

1. Οὐκ ἔστι κολακεία τὸ ῥῆμα, ἀλλά, ἐπειδὴ καθήψατο αὐτῶν σφοδρῶς, ἀνίησιν αὐτοὺς λοιπόν, καὶ ἀναμιμνήσκει τοῦ Δαυὶδ εὐκαίρως· καὶ πάλιν ἀπὸ προοιμίου ἄρχεται, ἵνα μὴ θορυβηθῶσιν, ἐπειδὴ ἔμελλεν αὐτοὺς τοῦ Ἰησοῦ ἀναμιμνήσκειν· ἀνωτέρω μὲν γὰρ οὐκ ἂν ἐθορυβήθησαν, τοῦ Προφήτου ἀκούοντες, τὸ δὲ ὄνομα τοῦ Ἰησοῦ εὐθέως ἂν αὐτοῖς προσέστη. Καὶ οὐκ εἶπε, 'Πείσθητε', ἀλλὰ «ἀκούσατε», ὅπερ ἦν ἀνεπαχθές. Καὶ ὅρα πῶς οὐδὲν λέγει τῶν ὑψηλῶν, ἀλλ' ἀπὸ τῶν σφόδρα ταπεινῶν ἄρχεται. «Ἰησοῦν», φησί, «τὸν Ναζωραῖον». Εὐθέως τὴν πατρίδα λέγει, ἥπερ ἐδόκει εὐτελὴς εἶναι. Καὶ οὐδὲν μέγα τέως λέγει περὶ αὐτοῦ, οὐδὲ οἷον ἄν τις εἶπε περὶ προφήτου. «Ἰησοῦν», φησί, «τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς». Ὅρα ποῖον ἦν τοῦτο μέγα, τὸ εἰπεῖν ὅτι παρὰ τοῦ Θεοῦ ἀπεστάλη· τοῦτο γὰρ ἄνω καὶ κάτω καὶ αὐτὸς ἐσπούδαζε, καὶ Ἰωάννης, καὶ οἱ Ἀπόστολοι δεῖξαι· ἄκουε γὰρ Ἰωάννου λέγοντος· «Ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν»· αὐτὸς δὲ ὁ Χριστὸς καὶ μεθ' ὑπερβολῆς τοῦτο ποιεῖ, λέγων· «Ἀπ' ἐμαυτοῦ οὐκ ἦλθον, ἐκεῖνός με ἔπεμψε»· καὶ πανταχοῦ τῶν Γραφῶν τοῦτο μάλιστά ἐστι τὸ σπουδαζόμενον. Διὰ τοῦτο καὶ ὁ ἅγιος οὗτος, ὁ κορυφαῖος τοῦ μακαρίου χοροῦ, ὁ ἐραστὴς τοῦ Χριστοῦ, ὁ σφοδρὸς μαθητής, ὁ τὰς κλεῖς πιστευθεὶς τῶν οὐρανῶν, ὁ τὴν ἀποκάλυψιν δεξάμενος τὴν πνευματικήν, κατα-

1. Πράξ. 2, 22.
2. Ἰω. 1, 33.
3. Ἰω. 7, 28 καὶ 8, 42.

Ο Μ Ι Λ Ι Α ΣΤ΄
(Πράξ. 2, 22-36)

«Ἄνδρες Ἰσραηλῖτες, ἀκοῦστε μὲ προσοχὴ τοὺς λόγους αὐτούς»[1].

1. Δὲν εἶναι κολακεία ὁ λόγος, ἀλλ' ἐπειδὴ κατηγόρησε αὐτοὺς σφοδρά, τοὺς ἀφήνει κατόπιν καὶ ἐνθυμεῖται μὲ τὴν εὐκαιρία τὸν Δαυίδ. Καὶ πάλι ἀρχίζει ἀπὸ τὸ προΐμιο, γιὰ νὰ μὴ θορυβηθοῦν, ἐπειδὴ ἐπρόκειτο νὰ τοὺς ὑπενθυμίσει τὸν Ἰησοῦ. Διότι παραπάνω μὲν δὲν θὰ θορυβοῦνταν, ἀκούοντας τὸν προφήτη, τὸ ὄνομα ὅμως τοῦ Ἰησοῦ εὐθέως θὰ τούς προδιέθετε ἐχθρικὰ ἀπέναντί του. Καὶ δὲν εἶπε «πεισθεῖτε», ἀλλὰ «ἀκούσατε», πράγμα τὸ ὁποῖο θὰ τοὺς ἦταν δυσάρεστο. Καὶ πρόσεξε, πῶς τίποτε δὲν λέγει γιὰ τὰ ὑψηλά, ἀλλὰ ἀπὸ τὰ πολὺ ταπεινὰ ἀρχίζει. «Ἰησοῦν», λέγει, «τὸν Ναζωραῖο», καὶ ἀμέσως ἀναφέρει τὴν πατρίδα, ποὺ θεωροῦνταν ὅτι ἦταν ἀσήμαντη. Καὶ προηγουμένως δὲν ἀναφέρει τίποτε γι' αὐτόν, οὔτε ὅπως θὰ μποροῦσε κάποιος νὰ πεῖ γιὰ τὸν προφήτη. «Ἰησοῦν, λέγει, τὸν Ναζωραῖο, ἄνθρωπο ποὺ ἀπεδείχθη ἀπὸ τὸ Θεὸ σὲ σᾶς». Πρόσεξε, ποιό ἦταν αὐτὸ τὸ μεγάλο, τὸ νὰ πεῖ δηλαδὴ ὅτι ἀπεστάλη ἀπὸ τὸ Θεό. Διότι αὐτό, καὶ πρὶν καὶ μετά, ὁ ἴδιος ὁ Ἰησοῦς προσπαθοῦσε νὰ ἀποδείξει, καθὼς καὶ ὁ Ἰωάννης καὶ οἱ Ἀπόστολοι. Ἄκουε, σχετικὰ τὸν Ἰωάννη νὰ λέγει· «Ἐκεῖνος μοῦ εἶπε, σὲ ὅποιον θὰ δεῖς νὰ κατεβαίνει τὸ Πνεῦμα καὶ νὰ μένει ἐπάνω σ' αὐτόν, αὐτὸς εἶναι»[2]. Ὁ ἴδιος δὲ ὁ Χριστὸς πράττει αὐτὸ μὲ ὑπερβολή, λέγοντας· «Δὲν ἦλθα ἀπὸ μόνος μου, ἐκεῖνος μὲ ἔστειλε»[3]. Καὶ πανταχοῦ στὶς Γραφὲς αὐτὸ εἶναι κυρίως τὸ ἐπιδιωκόμενο. Γι' αὐτὸ καὶ ὁ ἅγιος αὐτός, ὁ κορυφαῖος τοῦ μακαρίου χοροῦ, ποὺ ἀγαπᾶ ὑπερβολικὰ τὸ Χριστό, ὁ ὁρμητικὸς μαθητής, ὁ ἄξιος νὰ κρατεῖ τὰ κλειδιὰ τῶν οὐρανῶν, αὐτὸς ποὺ δέχθηκε τὴν πνευματική

στείλας αὐτοὺς τῷ φόβῳ, καὶ δείξας μεγάλων ἠξιωμένους, καὶ ποιήσας ἀξιοπίστους, τότε καὶ περὶ ἐκείνου διαλέγεται. Βαβαί, οἷον ἐτόλμησε μεταξὺ τῶν φονευσάντων εἰπεῖν ὅτι ἀνέστη! Καὶ οὐ λέγει ὅτι ἀνέστη εὐθέως, ἀλλ' ὅτι ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς ἥκει. Τοῦτο δὲ δῆλον οἷς ἐποίησεν. Οὐκέτι λέγει ὅτι αὐτός, ἀλλ' ὅτι δι' αὐτοῦ ὁ Θεός, ἵνα μᾶλλον τῷ μετριάζειν ἐφελκύσηται, ἐφ' ᾧ αὐτοὺς καὶ καλεῖ μάρτυρας, καί φησιν· «Ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε».

Εἶτα, ἐμπεσὼν εἰς τὸ τόλμημα αὐτῶν τὸ ἐναγὲς ἐκεῖνο, ὅρα πῶς πειρᾶται αὐτοὺς ἀπαλλάξαι τοῦ ἐγκλήματος· εἰ γὰρ καὶ ὡρισμένον ἦν, ὅμως ἀνδροφόνοι ἦσαν. «Τοῦτον», φησί, «τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε». Μονονουχὶ τὰ αὐτὰ τῷ Ἰωσὴφ λέγων ῥήματα, ἅπερ δὴ κἀκεῖνος ἔλεγε πρὸς τοὺς ἀδελφούς· «Μὴ φοβεῖσθε ὅτι ἀπέδοσθέ με· οὐχ ὑμεῖς, ἀλλ' ὁ Θεός με ὧδε ἀπέστειλεν». Εἶτα, εἰπὼν ὅτι βουλὴ Θεοῦ, ἵνα μὴ εἴπωσιν, 'Ἄρα καλῶς τοῦτο ἐποιήσαμεν', συλλογίζεται αὐτοὺς δι' οὗ προσέθηκε· «Διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε». Ἐνταῦθα τὸν Ἰούδαν αἰνίττεται· ἅμα δὲ αὐτοῖς δείκνυσιν ὅτι οὐ τῆς αὐτῶν ἰσχύος ἦν, εἰ μὴ καὶ αὐτὸς συνεχώρησε, καὶ ἐξέδωκεν ὁ Θεὸς αὐτόν· τοῦτο γάρ ἐστι τὸ «ἔκδοτον». Οὕτως ὅλον ἐπὶ τὴν κεφαλὴν τοῦ Ἰούδα περιέστησε τὸ ἔγκλημα τοῦ παραδεδωκότος· αὐτὸς γὰρ αὐτὸν παρέδωκε τῷ φιλήματι. Ἢ τοίνυν περὶ τούτου τὸ «διὰ χειρῶν ἀνόμων», ἢ τῶν στρατιωτῶν λέγει, δηλῶν ὅτι 'οὐδὲ ἁπλῶς ἀνείλετε', ἀλλὰ «διὰ τῶν ἀνόμων ἀνδρῶν». Καὶ θέα πῶς πανταχοῦ σπουδάζουσι τὸ πάθος ὁμολογηθῆναι πρότερον. Τὰ δὲ τῆς ἀναστάσεως ἐπεὶ μέγα ἦν,

4. Γεν. 45, 4-5.

ἀποκάλυψη καὶ καθησύχασε αὐτοὺς μὲ τὸ φόβο, καὶ ἔδειξε ὅτι ἦταν ἄξιος γιὰ μεγάλα πράγματα, καὶ τοὺς ἔκανε ἀξιόπιστους, τότε καὶ γιὰ κεῖνον διδάσκει. Πῶ! πῶ! ποιὸ πράγμα τόλμησε νὰ πεῖ μεταξὺ ἐκείνων ποὺ τὸν φόνευσαν, ὅτι ἀναστήθηκε. Καὶ δὲν λέγει ὅτι ἀμέσως ἀναστήθηκε, ἀλλ' ὅτι ἀπὸ τὸ Θεὸ θὰ ἔλθει σὲ σᾶς. Τοῦτο δὲ εἶναι φανερὸ μὲ ὅσα ἔκαμε. Δὲν λέγει, ὅτι αὐτὸς ἔκανε, ἀλλ' ὅτι ὁ Θεὸς δι' αὐτοῦ, γιὰ νὰ προσελκύσει περισσότερο μὲ τὸν μετριασμό, γι' αὐτὸ καὶ καλεῖ αὐτοὺς μάρτυρες καὶ λέγει· «ἄνθρωπο ποὺ ἀποδείχθηκε ἀπὸ τὸ Θεὸ σὲ σᾶς μὲ δυνάμεις θαυματουργικὲς καὶ τέρατα καὶ σημεῖα, ποὺ ἔκανε δι' αὐτοῦ ὁ Θεὸς μεταξύ σας, καθὼς καὶ σεῖς οἱ ἴδιοι γνωρίζετε».

Ἔπειτα ἀναφερόμενος στὸ βδελυρὸ ἐκεῖνο τόλμημά τους, πρόσεχε πῶς προσπαθεῖ νὰ τοὺς ἀπαλλάξει ἀπὸ τὸ ἔγκλημα· διότι ἂν καὶ ἦταν καθορισμένο, ἦταν ὅμως ἀνδροφόνοι. «Αὐτόν, ποὺ σύμφωνα μὲ ὁρισμένη ἀπόφαση καὶ πρόγνωση τοῦ Θεοῦ, σᾶς παραδόθηκε, τὸν φονεύσατε, ἀφοῦ καρφώσατε αὐτὸν ἐπάνω στὸ σταυρὸ μὲ χέρια ἀνόμου». Λέγοντας σχεδὸν τὰ ἴδια μὲ τὸν Ἰωσὴφ λόγια, ποὺ ἔλεγε καὶ ἐκεῖνος πρὸς τοὺς ἀδελφούς του· «μὴ φοβεῖσθε, διότι μὲ ἐπωλήσατε, ὄχι σεῖς, ἀλλ' ὁ Θεὸς μὲ ἀπέστειλε ἐδῶ»[4]. Ἔπειτα λέγοντας, ὅτι ἦταν θέλημα Θεοῦ, γιὰ νὰ μὴ ποῦν, 'ἄρα καλὰ κάναμε αὐτό', καθιστᾶ αὐτοὺς σκεπτικοὺς μὲ ἐκεῖνο ποὺ πρόσθεσε· «Μὲ χέρια ἄνδρα, ἀφοῦ τὸν καρφώσατε στὸ σταυρό, τὸν φονεύσατε». Ἐδῶ ὑπαινίσσεται τὸν Ἰούδα, συγχρόνως δὲ ἀποδεικνύει σ' αὐτοὺς ὅτι δὲν ἦταν τῆς δικῆς τους δυνάμεως, ἂν καὶ αὐτὸς δὲν ἐνέδιδε καὶ δὲν ἐπέτρεπε ὁ Θεὸς αὐτόν. Διότι αὐτὸ σημαίνει τὸ «ἔκδοτον». Ἔτσι ὅλο τὸ ἔγκλημα τὸ μετέθεσε στὴν κεφαλὴ τοῦ Ἰούδα, ποὺ τὸν εἶχε προδώσει· διότι αὐτὸς παρέδωσε αὐτὸν μὲ φίλημα. Ἢ λοιπὸν γι' αὐτὸν λέγει, τὸ «διὰ χειρῶν ἀνόμων», ἢ γιὰ τοὺς στρατιῶτες, γιὰ νὰ δείξει ὅτι δὲν τὸν φονεύσατε μόνο, ἀλλὰ μὲ παράνομους ἄνδρες. Καὶ πρόσεχε, πῶς παντοῦ προσπαθοῦν νὰ ὁμολογηθεῖ προηγουμένως τὸ πάθος. Τὰ τῆς ἀναστάσεως

τέως συσκιάζει, καὶ οὕτω πως μέσον αὐτὸ τίθησιν· ἐκεῖνα μὲν γὰρ ὡμολόγητο, οἷον ὁ σταυρὸς καὶ ὁ θάνατος, ἡ δὲ ἀνάστασις οὔπω· διὸ καὶ ὕστερον περὶ ταύτης φησίν, ἐπάγων· «Ὃν ὁ Θεὸς ἀνέστησε, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ».

Ἐνταῦθά τι μέγα καὶ ὑψηλὸν ἠνίξατο· τὸ γὰρ «οὐκ ἦν δυνατόν», καὶ αὐτὸν διδόντα ἐμφαίνει κατασχεῖν, καὶ ὅτι καὶ αὐτὸς ὤδινε κατέχων αὐτὸν ὁ θάνατος, καὶ τὰ δεινὰ ἔπασχεν, (ὠδῖνα γὰρ θανάτου ἡ Γραφὴ τὸν κίνδυνον πανταχοῦ οἶδε καλεῖν), καὶ ὅτι οὕτως ἀνέστη, ὡς μηκέτι πάλιν ἀποθανεῖν. Ἢ τῷ εἰπεῖν, «Καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ», τοῦτο δηλοῦντός ἐστιν, ὅτι οὐ κοινὴ τοῖς ἄλλοις γέγονεν ἡ ἀνάστασις. Εἶτα, πρὶν ἤ τι τὴν διάνοιαν αὐτῶν ἐννοῆσαι, ἐπέστησε αὐτοῖς τὸν Δαυίδ, πάντα λογισμὸν ἀνθρώπινον ἀναιροῦντα. «Δαυὶδ» γάρ, φησί, «λέγει εἰς αὐτόν». Καὶ ὅρα πῶς πάλιν ἡ μαρτυρία ταπεινή· διὰ δὴ τοῦτο καὶ ἄνωθεν αὐτὴν ἀνέλαβεν ἀπὸ τῶν ταπεινοτέρων, ἵνα δείξῃ ὅτι οὐ τῶν λυπούντων ἦν ὁ θάνατος. «Προωρώμην», φησί, «τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ· ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου». Εἶτα, πληρώσας τὴν μαρτυρίαν τὴν προφητικήν, ἐπάγει, «Ἄνδρες ἀδελφοί», (ὅταν μέλλῃ τις λέγειν μέγα, τούτῳ κέχρηται τῷ προοιμίῳ, διεγείρων αὐτοὺς καὶ οἰκειούμενος ἐντεῦθεν), «ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαυίδ». Πολλὴ ἡ ταπεινοφροσύνη· ἔνθα οὐδὲν ἔβλαπτε, συγκαταβαίνει. Διά τοι τοῦτο καὶ οὐκ εἶπεν ὅτι ταῦτα περὶ τοῦ Χριστοῦ εἴρηται, οὐ περὶ τοῦ Δαυίδ· σφόδρα συνετῶς, τῇ πολλῇ περὶ τὸν μακάριον Δαυὶδ τιμῇ ἐντρέπων αὐτούς, καὶ περὶ τοῦ ὡμολογημένου καὶ ὡς τολμηροῦ δοκοῦντος εἰρῆσθαι, παραιτούμενος αὐτοὺς οἷς ἐγκωμιάζει

5. Ψαλμ. 15, 8.

δέ, ἐπειδὴ ἦταν μεγάλο γεγονός, στὴν ἀρχὴ τὰ συγκαλύπτει καὶ ἔτσι φέρει αὐτὸ στὸ μέσο. Διότι ἐκεῖνα μὲν εἶχαν ὁμολογηθεῖ, ὅπως ὁ σταυρὸς καὶ ὁ θάνατος, ἡ δὲ ἀνάσταση ὄχι ἀκόμα. Γι' αὐτὸ καὶ ὕστερα ὁμιλεῖ γι' αὐτήν, προσθέτοντας· «Αὐτὸν δὲ ὁ Θεὸς τὸν ἀνέστησε ἀφοῦ ἔλυσε τοὺς πόνους τοῦ θανάτου, διότι δὲν ἦταν δυνατὸν αὐτὸς νὰ κρατεῖται στὴν ἐξουσία τοῦ θανάτου».

Ἐδῶ κάτι μεγάλο καὶ ὑψηλὸ ὑπαινίχθηκε. Διότι τὸ «δὲν ἦταν δυνατόν», φανερώνει καὶ αὐτὸν ποὺ ἔδωσε τὴ δύναμη νὰ ἐξουσιάζει· καὶ ὅτι καὶ αὐτὸς ἀγωνιοῦσε μὲ τὸ νὰ κατέχει αὐτὸν ὁ θάνατος καὶ ὑπέφερε τὰ δεινὰ (διότι ἡ Γραφὴ παντοῦ γνωρίζει νὰ ὀνομάζει τὸν κίνδυνο, ὠδῖνα θανάτου) καὶ ὅτι ἔτσι ἀναστήθηκε, ὥστε ποτὲ πάλι νὰ μὴ πεθάνει. Ἢ μὲ τὸ νὰ πεῖ «καθότι δὲν ἦταν δυνατὸν νὰ κρατεῖται αὐτὸς ὑπὸ τὴν ἐξουσία τοῦ θανάτου», μὲ αὐτὸ ἀποκαλύπτει ὅτι ἡ ἀνάσταση δὲν ἔχει γίνει κοινὴ στοὺς ἄλλους. Ἔπειτα προτοῦ τὸ μυαλό τους σκεφθεῖ κάτι, παρουσίασε σ' αὐτοὺς τὸν Δαυίδ, ποὺ ἀναιρεῖ κάθε ἀνθρώπινο λογισμό. Διότι, λέγει, «ὁ Δαυὶδ λέγει σ' αὐτόν». Καὶ πρόσεχε πῶς πάλι ἡ μαρτυρία εἶναι ἀσήμαντη· γι' αὐτὸ λοιπὸν καὶ ἄνωθεν αὐτὴν ἀνέλαβε ἀπὸ τὰ πλέον ἀσήμαντα, γιὰ νὰ δείξει, ὅτι ὁ θάνατος δὲν εἶναι ἀπὸ ἐκεῖνα, ποὺ προκαλοῦν λύπη· «Ἔβλεπα τὸν Κύριο ἐνώπιό μου γιὰ πάντα, διότι μὲ ἐκεῖνον στὰ δεξιά μου δὲν θὰ σαλευθῶ· καὶ ὅτι δὲν θὰ μὲ ἐγκαταλείψει στὸν ἅδη»[5]. Ἔπειτα, μόλις συμπλήρωσε τὴν προφητικὴ μαρτυρία, λέγει, «Ἄνδρες ἀδελφοί» (ὅταν πρόκειται νὰ διδάξει κάτι σημαντικὸ χρησιμοποιεῖ αὐτὸ τὸ προοίμιο, γιὰ νὰ διεγείρει τὸ ἐνδιαφέρον τους καὶ νὰ τοὺς ἐξοικειώσει μὲ αὐτό), «μπορῶ νὰ σᾶς πῶ καθαρὰ γιὰ τὸν πατριάρχη Δαυίδ». Πολλὴ εἶναι ἡ ταπεινοφροσύνη· ὅπου δὲν ἔβλαπτε, ἔδειχνε συγκατάβαση. Γι' αὐτὸ βέβαια καὶ δὲν εἶπε, ὅτι αὐτὰ ἔχουν λεχθεῖ γιὰ τὸ Χριστό, οὔτε γιὰ τὸν Δαυίδ· καὶ τοῦτο εἶναι ὑπερβολικὰ συνετό, ἀφοῦ μὲ τὴν μεγάλη γιὰ τὸν μακάριο Δαυὶδ τιμὴ ἐλέγχει αὐτούς, καὶ γιὰ τὸ ὁμολογούμενο καὶ σὰν τολμηρὸ θεωρούμενο νὰ λεχθεῖ, παρακαλώντας αὐτοὺς μὲ

ἠρέμα. Διὸ καὶ οὐ 'περὶ τοῦ Δαυίδ' φησὶν ἁπλῶς, ἀλλὰ «περὶ τοῦ πατριάρχου Δαυίδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη». Οὐκέτι λέγει, 'Καὶ οὐκ ἀνέστη',, ἀλλ' ἑτέρως, ἐξ εὐθείας τὸ αὐτὸ παριστῶν, καὶ λέγων, «Καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης». Εἶτα, ὃ ἐβούλετο κατασκευάσας, οὐδὲ οὕτως ἦλθεν ἐπὶ τὸν Χριστόν, ἀλλὰ πάλιν μετ' ἐγκωμίων τῶν τοῦ Δαυίδ· «Προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός».

2. Ταῦτα δὲ λέγει, ἵνα κἂν διὰ τὴν εἰς ἐκεῖνον τιμὴν καὶ τὸ γένος δέξωνται τὸν περὶ τῆς ἀναστάσεως λόγον· ὡς καὶ τῆς προφητείας βλαπτομένης, εἰ μὴ τοῦτο εἴη, καὶ τῆς εἰς αὐτοὺς τιμῆς. «Καὶ εἰδώς», φησίν «ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός». Οὐκ εἶπεν, ''Επηγγείλατο' ἁπλῶς, ἀλλά, ὃ πλέον ἦν, «ὅρκῳ ὤμοσεν». «Ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστόν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ». Ὅρα τὸ ὑψηλὸν πῶς πάλιν ᾐνίξατο· ἐπειδὴ γὰρ αὐτοὺς κατεπράϋνε τοῖς λόγοις, θαρρῶν τοῦτο παρενέθηκε τοῦ προφήτου, καὶ περὶ τῆς ἀναστάσεως διαλέγεται. «Ὅτι οὔτε ἡ ψυχὴ αὐτοῦ ἐγκατελείφθη εἰς ᾅδου, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν». Τοῦτο πάλιν θαυμαστόν· δείκνυσι γὰρ ὅτι οὐχ ὁμοία τοῖς ἄλλοις ἡ ἀνάστασις. Κατέσχε μὲν γὰρ αὐτόν, οὐκ εἰργάσατο δὲ τὸ αὐτοῦ τότε ὁ θάνατος. Καὶ τὸ μὲν ἁμάρτημα εἶπε συσκιάσας, τὴν δὲ τιμωρίαν οὐκ ἐπήγαγεν· ἀλλ' ὅτι μὲν ἀνεῖλον ἐδήλωσε, λοιπὸν δὲ ἐπὶ τὸ σημεῖον ἔρχεται τὸ τοῦ Θεοῦ. Ὅταν δὲ ἀποδειχθῇ ὅτι δίκαιος ὁ ἀναιρεθείς, καὶ ὅτι Θεῷ φίλος, κἂν σιωπήσῃς τὴν κόλασιν, μᾶλλόν σου καταγνώσεται ἑαυτοῦ ὁ ἡμαρτηκώς. Πάντα τοίνυν ἀνατίθησι τῷ Πατρί, ἵνα δέξωνται τὰ λεγόμενα. Εἶτα τὸ «οὐ δυνα-

ἐκεῖνα τὰ ὁποῖα ἐγκωμιάζει ἤρεμα. Γι' αὐτὸ καὶ δὲν λέγει ἁπλῶς 'γιὰ τὸν Δαυΐδ', ἀλλὰ «γιὰ τὸν Πατριάρχη Δαυΐδ, ὅτι καὶ πέθανε καὶ τάφηκε». Καὶ δὲν λέγει, 'Καὶ δὲν ἀναστήθηκε', ἀλλὰ διαφορετικὰ καὶ ἀπ' εὐθείας τὸ ἴδιο παριστάνοντας καὶ λέγοντας· «Καὶ τό μνῆμα του εἶναι ἐδῶ, σ' ἐμᾶς μέχρι τὴν ἡμέρα αὐτή». Ἔπειτα, ἀφοῦ προετοίμασε αὐτό, ποὺ ἤθελε, καὶ πάλι δὲν ἦλθε ἀμέσως στὸ Χριστό, ἀλλ' ἐγκωμιάζοντας ἐκεῖνα ποὺ σχετίζονται μὲ τὸ Δαυΐδ· «Ἀλλ' ἐπειδὴ ἦταν προφήτης καὶ γνώριζε ὅτι μὲ ὅρκο τοῦ ὑποσχέθηκε ὁ Θεός».

2. Αὐτὰ δὲ τὰ λέγει ὥστε νὰ δεχθοῦν τὴ διδασκαλία τουλάχιστον περὶ ἀναστάσεως, λόγω τῆς τιμῆς τους πρὸς ἐκεῖνον καὶ τῆς καταγωγῆς τους· διότι, ἂν δὲν συνέβαινε αὐτὸ θὰ συνεπήγετο καὶ προσβολὴ τῆς προφητείας καὶ τῆς τιμῆς γι' αὐτούς. «Καὶ ἐπειδὴ γνώριζε», λέγει, «ὅτι μὲ ὅρκο ὑποσχέθηκε σ' αὐτὸν ὁ Θεός», δὲν εἶπεν ἁπλῶς «ὑποσχέθηκε», ἀλλ' ἐκεῖνο ποὺ ἦταν κάτι ἐπὶ πλέον, «μὲ ὅρκο ὑποσχέθηκε νὰ ἐγείρει ἀπὸ τοὺς ἀπογόνους του τὸ Χριστό, καὶ νὰ τὸν καθίσει στὸ θρόνο του». Πρόσεξε πῶς πάλι τὸ ὑψηλὸ ὑπαινίχθηκε. Διότι, ἐπειδὴ κατεπράϋνε αὐτοὺς μὲ τοὺς λόγους, λαμβάνοντας ἀπ' αὐτὸ θάρρος, παρενέβαλε τὸν προφήτη μὲ τοὺς λόγους αὐτούς, καὶ διδάσκει γιὰ τὴν ἀνάσταση· «ὅτι δηλαδὴ ἡ ψυχή του δὲν ἐγκαταλείφθηκε στὸν ἅδη, οὔτε τὸ σῶμα του εἶδε φθορά». Αὐτὸ πάλι εἶναι θαυμαστό· διότι ἀποδεικνύει, ὅτι ἡ ἀνάσταση δὲν εἶναι ὅμοια μὲ τῶν ἄλλων. Διότι κράτησε μὲν αὐτόν, ἀλλὰ δὲν προκάλεσε τότε ὁ θάνατος τὸ ἔργον του, δηλ. τὴ φθορὰ σ' αὐτόν. Καὶ τὸ μὲν ἁμάρτημα ἀνέφερε συγκαλυμένα, δὲν πρόσθεσε ὅμως τὴν τιμωρία, ἀλλ' ὅτι μὲν τὸν φόνευσαν, τὸ φανέρωσε, στὴ συνέχεια δὲ ἔρχεται στὸ σημεῖο τοῦ Θεοῦ. Ὅταν δὲ ἀποδειχθεῖ, ὅτι αὐτὸς ποὺ φονεύθηκε ἦταν δίκαιος καὶ φίλος τοῦ Θεοῦ, ἀκόμη καὶ ἂν ἀποσιωπήσεις τὴν τιμωρία, περισσότερο θὰ σὲ κατηγορήσει ἐκεῖνος ποὺ διέπραξε τὴν ἁμαρτία. Τὰ πάντα λοιπὸν ἀποδίδει στὸν Πατέρα, γιὰ νὰ ἀποδειχθοῦν τὰ λεγόμενα. Ἔπειτα, προσθέτει ἀπὸ τὴν προφητεία τὸ «δὲν

τόν» ἀπὸ τῆς προφητείας ἐπάγει. Ἴδωμεν τοίνυν ἄνωθεν πάλιν τὰ εἰρημένα.

«Ἰησοῦν», φησί, «τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς»· τουτέστιν, οὐκ ἀμφισβητούμενον, ἀλλ' ἀποδεδειγμένον διὰ τῶν ἔργων. Οὕτω καὶ ὁ Νικόδημος ἔλεγε· «Τὰ σημεῖα ταῦτα οὐδεὶς δύναται ποιεῖν, ἃ σὺ ποιεῖς». «Δυνάμεσι», φησί, «καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν». Ὥστε οὐ λάθρα, εἰ ἐν μέσῳ. Πρῶτον ἀπὸ τῶν ἐκείνοις γνωρίμων ἄρχεται, καὶ τότε ἐπὶ τὰ ἄδηλα ἔρχεται· ἔπειτα, λέγων, «Τῇ τοῦ Θεοῦ βουλῇ», δείκνυσιν ὅτι οὐκ αὐτοὶ ἴσχυσαν, καὶ ὅτι σοφόν τι τὸ γινόμενον ἦν καὶ οἰκονομία, εἴ γε παρὰ τοῦ Θεοῦ ἦν. Καὶ τὸ φορτικὸν ταχέως παρῆλθε· σπουδὴ γὰρ αὐτοῖς πανταχοῦ δεῖξαι ὅτι τέθνηκε. Κἂν ὑμεῖς ἀρνήσησθε, φησίν, ἐκεῖνοι μαρτυρήσουσιν. Ὁ δὲ τῷ θανάτῳ πράγματα παρέχων, πολλῷ μᾶλλον τοῖς σταυρώσασιν· ἀλλ' οὐδὲν τοιοῦτον λέγει, ὅτι 'ἠδύνατο ὑμᾶς ἀνελεῖν', ἀλλ' ἁπλῶς μόνον ἐνέφηνε. Τέως δὲ μανθάνομεν καὶ ἡμεῖς διὰ τῶν εἰρημένων τί ἐστι τὸ κατέχειν· ὁ γὰρ ὠδίνων οὐ κατέχει τὸ κατεχόμενον, οὐδὲ δρᾷ, ἀλλὰ πάσχει, καὶ ῥῖψαι σπεύδει. Καὶ καλῶς εἶπε, «Δαυὶδ γὰρ λέγει εἰς αὐτόν», ἵνα μὴ εἰς τὸν Προφήτην ἑλκύσῃς τὸ εἰρημένον. Ὁρᾷς πῶς ἑρμηνεύει λοιπὸν τὴν προφητείαν, καὶ γυμνὴν τίθησι, δηλῶν πῶς ἐκάθισεν ἐπὶ τοῦ θρόνου αὐτοῦ; ἡ γὰρ κατὰ Πνεῦμα βασιλεία ἐν οὐρανοῖς. Ὅρα πῶς μετὰ τῆς ἀναστάσεως καὶ τὴν βασιλείαν ἐνέφηνεν ἐν τῷ ἀναστῆναι. Δείκνυσιν ὅτι ἀνάγκην εἶχεν ὁ Προφήτης· περὶ γὰρ αὐτοῦ ἦν ἡ προφητεία. Διὰ τί μὴ εἶπε, «Περὶ τῆς βασιλείας αὐτοῦ», ἀλλὰ «περὶ τῆς ἀναστάσεως αὐτοῦ»; Μέγα τοῦτο ἦν. Πῶς δὲ ἐπὶ τοῦ θρόνου ἐκάθισε; Βασιλεύων Ἰουδαίων. Εἰ δὲ

---

6. Ἰω. 3, 2.

ἦταν δυνατόν». Ἂς δοῦμε λοιπὸν ἀπὸ τὴν ἀρχὴ πάλι τὰ λεχθέντα.

«Τὸν Ἰησοῦ», λέγει, «τὸν Ναζωραῖο, ἄνθρωπο ποὺ ἀποδείχθηκε ἀπὸ τὸ Θεὸ σὲ σᾶς»· ὄχι δηλαδὴ ἀμφισβητούμενο, ἀλλ' ἀποδειγμένο μὲ τὸ ἔργο του. Ἔτσι καὶ ὁ Νικόδημος ἔλεγε· «Τὰ σημεῖα αὐτά, ποὺ σὺ κάνεις, κανένας δὲν μπορεῖ νὰ τὰ κάνει». «Μὲ δυνάμεις θαυματουργικές, λέγει, καὶ τέρατα καὶ σημεῖα, τὰ ὁποῖα ἔκανε δι' αὐτοῦ ὁ Θεὸς μεταξύ σας». Ὥστε δὲν ἦταν κρυφό, ἐφόσον ἔγιναν ἀνάμεσά σας. Πρῶτα ἀρχίζει ἀπὸ τὰ γνωστὰ σ' ἐκείνους, καὶ μετὰ ἔρχεται στὰ ἄγνωστα. Ἔπειτα λέγοντας, «Μὲ τὴν ἀπόφαση καὶ θέληση τοῦ Θεοῦ», φανερώνει, ὅτι αὐτοὶ δὲν μπόρεσαν, καὶ ὅτι τὸ γενόμενο ἦταν κάτι σοφὸ καὶ οἰκονομία, ἐφόσον βέβαια ἦταν ἀπὸ τὸ Θεό. Καὶ τὸ φορτικὸ ταχέως παρῆλθε· διότι ἡ προσπάθειά τους ἦταν νὰ δείξουν παντοῦ ὅτι πέθανε· καὶ ἂν σεῖς, λέγει, ἀρνηθεῖτε, ἐκεῖνοι θὰ μαρτυρήσουν γι' αὐτόν. Ἐκεῖνος δὲ ποὺ προξενεῖ ἐνοχλήσεις στὸ θάνατο, πολὺ περισσότερο θὰ προξενήσει σ' ἐκείνους ποὺ τὸν σταύρωσαν· ἀλλὰ τίποτε παρόμοιο δὲν λέγει, ὅτι μποροῦσε νὰ σᾶς φονεύσει, ἀλλ' ἁπλῶς μόνο τὸ φανέρωσε. Κατ' ἀρχὴ δὲ μαθαίνομε καὶ μεῖς μὲ τὰ λεχθέντα τί σημαίνει ἐξουσία τοῦ θανάτου. Διότι, ἐκεῖνος ποὺ ἀγωνιᾷ, δὲν ἐξουσιάζει τὸ ἐξουσιαζόμενο, οὔτε δρᾷ, ἀλλὰ πάσχει καὶ ἀγωνίζεται νὰ τὸ ἀπορρίψει. Καὶ καλὰ εἶπε, «Διότι ὁ Δαυὶδ λέγει γι' αὐτόν», γιὰ νὰ μὴ ἀποδώσεις τὸ λεχθὲν στὸν Προφήτη. Βλέπεις πῶς στὸ ἑξῆς ἑρμηνεύει πλέον τὴν προφητεία καὶ τὴν προσθέτει ὁλοκάθαρη, δηλώνοντας πῶς κάθισε ἐπάνω στὸ θρόνο αὐτοῦ; διότι ἡ πνευματικὴ βασιλεία ὑπάρχει στοὺς οὐρανούς. Πρόσεχε πῶς μαζὶ μὲ τὴν ἀνάσταση φανέρωσε κατὰ τὴν ἀνάσταση καὶ τὴ βασιλεία. Φανερώνει, ὅτι ὁ προφήτης εἶχε ἀνάγκη· διότι γι' αὐτὸν ἦταν ἡ προφητεία. Γιατί δὲν εἶπε, 'περὶ τῆς βασιλείας αὐτοῦ', ἀλλά, «Περὶ τῆς ἀναστάσεως αὐτοῦ»; Τοῦτο ἦταν πολὺ σπουδαῖο. Πῶς ὅμως κάθισε ἐπάνω στὸ θρόνο; γενόμενος βασιλεὺς τῶν Ἰουδαίων. Ἐὰν δὲ τῶν Ἰουδαίων, πολὺ περισ-

'Ιουδαίων, πολλῷ μᾶλλον τῶν σταυρωσάντων αὐτόν. «Οὐ γὰρ ἡ σὰρξ αὐτοῦ εἶδε», φησί, «διαφθοράν». Τοῦτο τῆς ἀναστάσεως δοκεῖ μὲν ἧττον εἶναι, πλὴν τὸ αὐτό ἐστι.

«Τοῦτον τὸν 'Ιησοῦν ἀνέστησεν ὁ Θεός». Ὅρα πῶς οὐ καλεῖ αὐτὸν ἑτέρως. «Οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες. Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθείς». Πάλιν ἐπὶ τὸν Πατέρα καταφεύγει, καίτοι γε ἤρκει εἰπεῖν τὸ πρότερον· ἀλλ' οἶδεν ὅσον τοῦτό ἐστιν. 'Ενταῦθα καὶ περὶ τῆς ἀναλήψεως ᾐνίξατο, καὶ ὅτι ἐν τοῖς οὐρανοῖς ἐστιν, ἀλλ' οὐδὲ αὐτὸ φανερῶς λέγει. «Τήν τε ἐπαγγελίαν» φησί, «τοῦ Πνεύματος τοῦ ἁγίου λαβών». Ὅρα πῶς ἀρχόμενος μὲν οὐχ ἑαυτὸν ἔφη αὐτὸ καταπεπομφέναι, ἀλλὰ τὸν Πατέρα, ἐπειδὴ δὲ ἐμνήσθη τῶν σημείων αὐτοῦ καὶ τῶν εἰς αὐτὸν γεγενημένων παρὰ 'Ιουδαίων καὶ περὶ τῆς ἀναστάσεως διελέχθη, θαρρῶν λοιπὸν καὶ τὸν περὶ τούτων εἰσάγει λόγον, πάλιν αὐτοὺς μάρτυρας δι' ἑκατέρων τῶν αἰσθήσεων παράγων· καὶ τῆς μὲν ἀναστάσεως συνεχῶς μέμνηται, τοῦ δὲ τολμήματος αὐτῶν ἅπαξ, ἵνα μὴ αὐτοὺς βαρήσῃ. «Τήν τε ἐπαγγελίαν», φησί, «τοῦ Πνεύματος τοῦ ἁγίου λαβών». Τοῦτο πάλιν μέγα. Οἶμαι δὲ νῦν ἐπαγγελίαν αὐτὸν λέγειν τὴν πρὸ τοῦ παθεῖν. Ὅρα πῶς αὐτοῦ ποιεῖ αὐτὸ λοιπὸν ὅλον, μέγα λανθανόντως αὐτὸ ἐργαζόμενος· εἰ γὰρ αὐτὸς ἐξέχεε, περὶ αὐτοῦ ὁ Προφήτης εἴρηκεν ἀνωτέρω· «'Εν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου, καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω».

Ὅρα οἷα κεκρυμμένος ἐντίθησιν. 'Αλλά, ἐπειδὴ μέγα ἦν, πάλιν αὐτὸ συσκιάζει τῷ παρὰ τοῦ Πατρὸς λαβεῖν. Εἶπε τὰ γεγενημένα ἀγαθά, τὰ σημεῖα· εἶπεν ὅτι βασιλεύς ἐστιν· ὅτι εἰς αὐτοὺς ἧκεν· εἶπεν ὅτι αὐτὸς τὸ Πνεῦμα δίδωσιν. Ὅσο γὰρ ἂν εἴπῃ τις, εἰ μὴ εἰς τὸ συμφέρον τελευτήσει, εἰκῇ λέγει. Ὥσπερ καὶ 'Ιωάννης ποιεῖ, «οὗτος ὑμᾶς», λέγων, «βα-

σότερο ἐκείνων, ποὺ σταύρωσαν αὐτόν˙ διότι λέγει, «ἡ σάρκα του δὲν εἶδε φθορά». Αὐτὸ μὲν φαίνεται ὅτι εἶναι μικρότερο ἀπὸ τὴν ἀνάσταση, πλὴν ὅμως εἶναι τὸ ἴδιο.

«Αὐτὸν τὸν Ἰησοῦ ἀνέστησε ὁ Θεός». Βλέπει ὅτι δὲν ὀνομάζει αὐτὸν διαφορετικά. «Γιὰ τὸν ὁποῖο ὅλοι ἐμεῖς εἴμαστε μάρτυρες. Ἀφοῦ λοιπὸν ὑψώθηκε μὲ τὴ δύναμη τοῦ Θεοῦ». Πάλι καταφεύγει πρὸς τὸν Πατέρα, ἂν καὶ βέβαια ἦταν ἀρκετὸ νὰ πεῖ τὸ προηγούμενο˙ ἀλλὰ γνωρίζει πόσο σπουδαῖο εἶναι αὐτό. Ἐδῶ ἔκαμε ὑπαινιγμὸ καὶ γιὰ τὴν ἀνάληψη, ὅτι βρίσκεται στοὺς οὐρανούς, ἀλλ' οὔτε αὐτὸ τὸ λέγει φανερά. «Καὶ ἔλαβε, λέγει, «τὴν ὑπόσχεση τοῦ ἁγίου Πνεύματος». Βλέπεις, πῶς ἀρχίζοντας μέν, δὲν εἶπε ὅτι ὁ ἴδιος ἔχει στείλει αὐτό, ἀλλὰ ὁ Πατήρ. Ἐπειδὴ δὲ ἀναφέρθηκε στὰ σημεῖα αὐτοῦ καὶ στὰ ὅσα εἶχαν γίνει σὲ βάρος του ἀπὸ τοὺς Ἰουδαίους, μίλησε καὶ γιὰ τὴν ἀνάσταση, καὶ στὴν συνέχεια, ἀφοῦ ἐνθαρρύνθηκε, ὁμιλεῖ καὶ γι' αὐτό, φέροντας ὡς μάρτυρες πάλι αὐτοὺς μὲ κάθε μιὰ ἀπὸ τὶς αἰσθήσεις˙ καὶ τὴν μὲν ἀνάσταση συνεχῶς μνημονεύει, τὸ δὲ τόλμημά τους, μόνο μιὰ φορά, γιὰ νὰ μὴ τοὺς ἐνοχλήσει. «Καὶ ἀφοῦ ἔλαβε», λέγει, «τὴν ὑπόσχεση τοῦ Πνεύματος». Αὐτὸ πάλι εἶναι πολὺ σπουδαῖο. Νομίζω δὲ ὅτι αὐτὸς τώρα ἐννοεῖ τὴν ὑπόσχεση πρὶν ἀπὸ τὸ πάθος. Πρόσεχε, πῶς στὴ συνέχεια ὅλο αὐτὸ τὸ ἀναφέρει σ' ἐκεῖνον, ἀσχολούμενος μὲ αὐτὸ πολὺ κατὰ τρόπο ἀπαρατήρητο. Διότι, ἂν αὐτὸς ἐξέχεε, ἄρα γι' αὐτὸν ὁ προφήτης μίλησε προηγουμένως˙ «Στὶς τελευταῖες ἡμέρες θὰ ἐκχύσω ἀπὸ τὸ Πνεῦμα μου στοὺς δούλους μου καὶ στὶς δοῦλες μου καὶ θὰ δώσω τέρατα στὸν οὐρανὸ ἐπάνω».

Πρόσεχε ποιὰ πράγματα ἀναφέρει συγκαλυμμένα. Ἀλλ' ἐπειδὴ ἦταν σημαντικό, πάλι τὸ συγκαλύπτει μὲ τὴ λήψη ἀπὸ τὸν Πατέρα. Ἀνέφερε τὰ ὅσα ἀγαθὰ ἔχουν γίνει, τὰ σημεῖα˙ εἶπε ὅτι εἶναι βασιλεύς˙ ὅτι ἦλθε σ' αὐτούς˙ εἶπε ὅτι αὐτὸς δίνει τὸ Πνεῦμα. Ὅσα δηλαδὴ καὶ ἂν πεῖ κανένας, ἂν δὲν καταλήξει στὸ συμφέρον, ἄσκοπα τὰ λέγει. Ὅπως κάμνει καὶ ὁ Ἰωάννης, λέγοντας˙ «Αὐτὸς θὰ

τίσει ἐν Πνεύματι ἁγίῳ». Καὶ δείκνυσιν ὅτι ὁ σταυρὸς οὐ μόνον αὐτὸν οὐκ ἠλάττωσεν, ἀλλὰ καὶ λαμπρότερον εἰργάσατο, εἴ γε πάλαι μὲν ἐπηγγέλλετο ὁ Θεὸς αὐτῷ, τότε δὲ ἔδωκεν. Ἢ ἐπαγγελίαν, φησίν, ἣν ἡμῖν ἐπηγγείλατο. Οὕτω προήδει ἐσομένην, καὶ μείζονα ἡμῖν μετὰ τὸν σταυρὸν ἐχαρίσατο. Καὶ «ἐξέχεε», φησίν. Ἐνταῦθα τὸ ἀξίωμα ἐμφαίνει· καὶ ὅτι οὐχ ἁπλῶς, ἀλλὰ καὶ μετὰ δαψιλείας. Διό, καὶ αὐτὸ τοῦτο δῆλον ποιῶν, ἐπάγει τὰ ἑξῆς. Λοιπὸν γὰρ θαρρούντως μετὰ τὴν τοῦ Πνεύματος δόσιν, καὶ περὶ τῆς εἰς τοὺς οὐρανοὺς ἀναλήψεως διαλέγεται· καὶ οὐχ ἁπλῶς, ἀλλὰ πάλιν τὸν μάρτυρα παράγων, καὶ ἐκείνου ἀναμιμνήσκων, περὶ οὗ ὁ Χριστὸς εἶπεν· «Οὐ γὰρ Δαυὶδ ἀνέβη», φησὶν «εἰς τοὺς οὐρανούς»;

3. Ἐνταῦθα οὐκ ἔτι μεθ' ὑποστολῆς δημηγορεῖ, ἔχων τὸ ἀπὸ τῶν εἰρημένων θάρσος, οὐδὲ λέγει, «Ἐξὸν εἰπεῖν», οὐδὲ ὅσα τοιαῦτα· λέγει δὲ φανερῶς· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου». Εἰ δὲ τοῦ Δαυὶδ Κύριος, πολλῷ μᾶλλον αὐτῶν. «Κάθου ἐκ δεξιῶν μου». Τὸ πᾶν ἐνταῦθα τέθεικεν. «Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου». Ἐνταῦθα καὶ φόβον ἐπέστησε μέγαν, καθάπερ ἐν τῇ ἀρχῇ ἔδειξεν, οἷα τοὺς φίλους ἐργάζεται, οἷα τοὺς ἐχθρούς. Καὶ πάλιν τὴν κράτησιν, ἵνα μὴ ἀπιστῆται, τῷ Πατρὶ ἀνατίθησιν. Ἐπεὶ οὖν μεγάλα ἐφθέγξατο, πάλιν ἐπὶ τὰ ταπεινὰ τὸν λόγον κατάγει. «Ἀσφαλῶς οὖν γινωσκέτω», φησί, «πᾶς οἶκος Ἰσραήλ»· τουτέστι, 'Μὴ ἀμφισβητεῖτε, μηδὲ ἀμφιβάλλετε'. Εἶτα καὶ ἐπιτακτικῶς λοιπόν· «Ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησεν». Τοῦτο ἀπὸ τοῦ Δαυὶδ καὶ ἀπὸ τοῦ Ψαλμοῦ ἐμνημόνευσε· δέον γὰρ εἰπεῖν, 'Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι ἐκ δεξιῶν κάθηται', ὅπερ ἦν μέγα, τοῦτο ἀφείς, ἕτερον ἐπάγει τὸ πολὺ ταπεινότερον εἰπὼν «Ἐποίησε», τουτέστι, 'κατέστησεν'.

---

7. Ματθ. 3, 11 καὶ Μάρκ. 1, 8.
8. Ψαλμ. 109, 1.

σᾶς βαπτίσει μὲ Πνεῦμα ἅγιο»[7]. Καὶ ἀποδεικνύει ὅτι ὁ σταυρὸς ὄχι μόνο αὐτὸν δὲν ἐλάττωσε, ἀλλὰ καὶ λαμπρότερο τὸν κατέστησε, ἂν βέβαια παλιὰ ὁ Θεὸς μὲν ὑποσχόταν σ' αὐτόν, τότε δὲ τὸ ἔδωσε. Ἡ ὑπόσχεση, λέγει, ἐκείνη ποὺ ὑποσχέθηκε σὲ μᾶς. Δηλαδὴ γνώριζε ἐκ τῶν προτέρων ὅτι θὰ πραγματοποιηθεῖ καὶ μεγαλύτερη, τὴν χάρισε δὲ σὲ μᾶς μετὰ τὸ σταυρό. Καὶ «ἐξέλυσε» λέγει. Ἐδῶ φανερώνει τὸ ἀξίωμα· καὶ ὅτι ὄχι ἁπλῶς, ἀλλὰ καὶ μὲ ἀφθονία. Γι' αὐτὸ καὶ αὐτὸ τὸ ἴδιο φανερώνοντας, προσθέτει στὴ συνέχεια τὰ ἑξῆς. Διότι στὴ συνέχεια λαμβάνοντας τὸ θάρρος μετὰ τὴ δόση τοῦ ἁγίου Πνεύματος διδάσκει καὶ γιὰ τὴν ἀνάληψη στοὺς οὐρανούς· καὶ ὄχι ἁπλῶς, ἀλλὰ πάλι παρουσιάζοντας τὸν μάρτυρα, καὶ ἐπαναφέροντας στὴ μνήμη ἐκεῖνο, γιὰ τὸ ὁποῖο ὁ Χριστὸς εἶπε· «Διότι ὁ Δαυὶδ δὲν ἀνέβηκε στοὺς οὐρανούς».

3. Ἐδῶ πλέον δὲν δημηγορεῖ μὲ συστολή, ἀφοῦ ἀπέκτησε ἀπὸ τὰ λεχθέντα τὸ θάρρος, οὔτε λέγει, «ὅσα μπορεῖ νὰ πεῖ», οὔτε ὅσα παρόμοια· λέγει δὲ φανερά· «εἶπε ὁ Κύριος στὸν Κύριο, κάθισε στὰ δεξιά μου, μέχρι ποὺ νὰ θέσω τοὺς ἐχθρούς σου ὑποπόδιο τῶν ποδιῶν σου». Ἂν δὲ εἶναι Κύριος τοῦ Δαυίδ, πολὺ περισσότερο αὐτῶν. «Κάθισε στὰ δεξιά μου». Ἐδῶ ἀνέφερε τὸ πᾶν. «Ἕως ὅτου θέσω τοὺς ἐχθρούς σου ὑποπόδιο τῶν ποδιῶν σου»[8]. Ἐδῶ προξένησε καὶ φόβο μεγάλο, ὅπως ἔδειξε στὴν ἀρχή, ὅπως στοὺς φίλους προκαλεῖ, ὅπως στοὺς ἐχθρούς. Καὶ πάλι, γιὰ νὰ μὴ ἀπιστεῖται, ἀναθέτει τὴν ἐξουσία. Ἐπειδὴ λοιπὸν μίλησε γιὰ σπουδαῖα πράγματα, πάλι στὰ ἀσήμαντα φέρνει τὸ λόγο του. «Ἂς γνωρίζουν λοιπὸν καλά», λέγει, «ὅλοι οἱ Ἰσραηλῖτες»· δηλαδή, μὴ ἀμφισβητεῖτε οὔτε νὰ ἀμφιβάλλετε. Μετὰ λοιπὸν καὶ ἐπιτακτικά· «ὅτι καὶ Κύριο καὶ Χριστὸ αὐτὸν ὁ Θεὸς ἀνέδειξε». Αὐτὸ τὸ ἀνέφερε ἀπὸ τὸν Δαυὶδ καὶ ἀπὸ τὸν Ψαλμό. Διότι ἔπρεπε νὰ πεῖ, 'Ἂς τὸ γνωρίζουν λοιπὸν πολὺ καλά, ὅλοι οἱ Ἰσραηλῖτες, ὅτι κάθεται στὰ δεξιά', πράγμα ποὺ ἦταν πολὺ σημαντικό, ἀφήνοντας ὅμως αὐτό, προσθέτει ἄλλο, ποὺ εἶναι πολὺ ταπεινότερο, λέγοντας, «Ἐποίησε», δηλαδὴ

Ὥστε οὐδὲν περὶ οὐσιώσεως ἐνταῦθα, ἀλλὰ πᾶν φησι περὶ τούτου. «Τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε». Καλῶς ἐνταῦθα ἔληξε, διασείων αὐτῶν τὴν διάνοιαν· ἐπειδὴ γὰρ ἔδειξεν ἡλίκον ἐστί, τότε λοιπὸν καὶ τὸ τόλμημα ἐγύμνωσεν, ὥστε μεῖζον δεῖξαι καὶ τῷ φόβῳ αὐτοῖς ἑλεῖν· οὐ γὰρ οὕτως οἱ ἄνθρωποι ταῖς εὐεργεσίαις ἐπάγονται, ὡς τῷ φόβῳ σωφρονίζονται. Οἱ δὲ θαυμαστοὶ καὶ μεγάλοι καὶ Θεῷ φίλοι, οὐδενὸς τούτων δέονται· οἷος ὁ Παῦλος ἦν· οὐ γὰρ βασιλείας, οὐ γεέννης λόγον ἐποιεῖτο.

Τοῦτό ἐστι φιλεῖν τὸν Χριστόν, τοῦτο μὴ μισθωτὸν εἶναι, μηδὲ πραγματείαν καὶ καπηλείαν ἡγεῖσθαι, ἀλλ' ὄντως ἐνάρετον εἶναι, καὶ διὰ τὸ τῷ Θεῷ φίλον πάντα ποιεῖν! Πόσων οὖν δακρύων ἄξιοι, ὅταν, τοσοῦτον ὀφείλοντες μέτρον, μηδὲ ὡς κάπηλοι μετίωμεν τὴν βασιλείαν τῶν οὐρανῶν; Τοσαῦτα ἡμῖν ὑπισχνεῖται, καὶ οὐδὲ οὕτως ἀκούομεν; Τί ταύτης τῆς ἔχθρας ἴσον γένοιτ' ἄν; Καίτοι γε οἱ περὶ χρήματα μαινόμενοι, κἂν ἐχθρούς, κἂν δούλους, κἂν πολεμιωτάτους εὕρωσι, κἂν πάντα κακούς, μόνον δὲ προσδοκήσωσιν ὅτι χρήματα δι' αὐτῶν δυνήσονται λαβεῖν, πάντα ποιοῦσι, καὶ κολακεύουσι, καὶ θεραπεύουσι, καὶ δοῦλοι γίνονται, καὶ πάντων ἡγοῦνται αὐτοὺς σεμνοτέρους εἶναι, ἵνα τι λάβωσι παρ' αὐτῶν· ἡ γὰρ τῶν χρημάτων ἐλπὶς οὐδὲν τούτων αὐτοὺς ἀφίησιν ἐννοῆσαι. Βασιλεία δὲ οὐκ ἴσχυσεν ὅσα χρήματα, μᾶλλον δὲ οὐδὲ τὸ πολλοστόν· καίτοι οὐδὲ ὁ τυχὼν ἐστιν ὁ ἐπαγγελλόμενος αὐτήν, ἀλλ' ὁ ἀσυγκρίτως καὶ τῆς βασιλείας αὐτῆς μείζων. Ὅταν δὲ καὶ τὸ ἐπαγγελλόμενον βασιλεία, καὶ Θεὸς ὁ ταύτην διδούς, μέγα καὶ αὐτὸ τὸ παρὰ τοιούτου λαμβάνειν. Νῦν δὲ ταὐτὸν γίνεται, ὥσπερ ἄν, εἰ βασιλεὺς μέν, κληρονόμους αὐτοῦ καὶ συγκληρονόμους τῷ υἱῷ βουλόμενος ποι-

κατέστησε. Ὥστε ἐδῶ τίποτε δὲν λέγει γιὰ τὴν φύση τῆς οὐσίας, ἀλλὰ τὸ πᾶν γι' αὐτόν· «Αὐτὸν τὸν Ἰησοῦ, ποὺ σεῖς τὸν σταυρώσατε». Καλῶς ἐδῶ κατέληξε, συνταράσσοντας τὴ διάνοια αὐτῶν, διότι, ἀφοῦ ἔδειξε πόσο μεγάλο εἶναι, τότε πλέον καὶ τὸ τόλμημα ἀπεκάλυψε, ὥστε νὰ τὸ δείξει μεγαλύτερο καὶ μὲ τὸ φόνο νὰ τοὺς προσελκύσει· διότι οἱ ἄνθρωποι δὲν πείθονται τόσο πολὺ μὲ τὶς εὐεργεσίες, ὅσο σωφρονίζονται μὲ τὸ φόβο. Οἱ σπουδαῖοι ὅμως καὶ μεγάλοι καὶ φίλοι τοῦ Θεοῦ, τίποτε ἀπ' αὐτὰ δὲν χρειάζονται, ὅπως ἦταν ὁ Παῦλος· διότι δὲν μιλοῦσε οὔτε γιὰ βασιλεία, οὔτε γιὰ γέεννα.

Αὐτὸ σημαίνει νὰ ἀγαπᾶς τὸ Χριστό, αὐτὸ νὰ μὴ εἶσαι μισθωτός, οὔτε νὰ τὸ θεωρεῖς σὰν κάποια ἀσχολία ποὺ σοῦ παρέχει κέρδος, ἀλλ' πράγματι νὰ εἶσαι ἐνάρετος, καὶ νὰ κάνεις τὰ πάντα, γιὰ νὰ εἶσαι φίλος τοῦ Θεοῦ. Γιὰ πόσα λοιπὸν δάκρυα εἴμαστε ἄξιοι, ὅταν, ἐνῶ ὀφείλομε τόσο μέτρο, οὔτε σὰν μικρέμποροι ἀσχολούμαστε μὲ τὴ βασιλεία τῶν οὐρανῶν; Τόσα πολλὰ ὑπόσχεται σ' μᾶς, καὶ ὅμως οὔτε ἔτσι ἀκοῦμε; Τί θὰ μποροῦσε νὰ ἐξισωθεῖ μὲ αὐτὴ τὴν ἔχθρα; Ἂν καὶ βέβαια ὅσοι μὲ μανία ἀσχολοῦνται μὲ τὰ χρήματα, καὶ ἂν ἀκόμη συναντήσουν ἐχθρούς, καὶ ἂν ἀκόμη δούλους καὶ πολὺ ἐχθρικούς, καὶ τελείως κακούς, μόνο δὲ μὲ τὴν προσδοκία, ὅτι θὰ μπορέσουν μὲ αὐτὰ νὰ ἀποκτήσουν χρήματα, κάνουν τὰ πάντα, καὶ κολακεύουν καὶ ὑπηρετοῦν καὶ γίνονται δοῦλοι, καὶ νομίζουν ὅτι αὐτοὶ εἶναι σεμνότεροι ἀπ' ὅλους, γιὰ νὰ λάβουν κάτι ἀπ' αὐτούς· διότι ἡ ἐλπίδα τῶν χρημάτων δὲν τοὺς ἀφήνει νὰ σκεφθοῦν τίποτε ἀπὸ αὐτά. Ἡ βασιλεία δὲ τῶν οὐρανῶν δὲν ἀξίζει ὅσο τὰ χρήματα, μᾶλλον δὲ οὔτε κατ' ἐλάχιστο, παρ' ὅτι ὁ ὑποσχόμενος αὐτὴν δὲν εἶναι ὁ τυχαῖος, ἀλλ' ὁ ἀσυγκρίτως μεγαλύτερος καὶ τῆς βασιλείας αὐτῆς. Ὅταν δὲ καὶ τὸ ὑποσχόμενο εἶναι ἡ βασιλεία καὶ ὁ χορηγὸς αὐτῆς ὁ Θεός, εἶναι πολὺ σπουδαῖο καὶ αὐτὸ τὸ νὰ λαμβάνεις ἀπὸ ἕνα τέτοιο χορηγό. Τώρα ὅμως γίνεται τὸ ἴδιο, ὅπως ἀκριβῶς ἂν ἤθελε περιφρονηθεῖ μὲν ἂν ἕνας βασιλεὺς ποὺ θὰ ἤθελε νὰ μᾶς κάνει, μετὰ

ἤσαι μετὰ μυρίας καὶ ἑτέρας εὐεργεσίας, καταφρονοῖτο, λήσταρχος δέ, μυρία καὶ ἡμᾶς καὶ τοὺς γονεῖς τοὺς ἡμετέρους διαθείς, καὶ μυρίων γέμων κακῶν, καὶ καταισχύνας ἡμῶν καὶ τὴν δόξαν καὶ τὴν σωτηρίαν, ἕνα μόνον ὀβολὸν δείξας προσκυνοῖτο παρ' ἡμῶν. Βασιλείαν ἐπαγγέλλεται ὁ Θεός, καὶ καταφρονεῖται, γέενναν προξενεῖ ὁ διάβολος, καὶ τιμᾶται. Οὗτος Θεός, ἐκεῖνος διάβολος.

'Αλλ' ἴδωμεν τῶν ἐπιταγμάτων τὸ διάφορον. Εἰ γὰρ μηδὲν τούτων ἦν, μηδὲ οὗτος μὲν Θεός, ἐκεῖνος δὲ διάβολος, μηδὲ οὗτος μὲν βασιλείαν, ἐκεῖνος δὲ γέενναν προὐξένει, αὐτὴ τῶν ἐπιταγμάτων ἡ φύσις οὐχ ἱκανὴ πεῖσαι τούτῳ προσθέσθαι; Τί δὲ καὶ ἑκάτερος ἐπιτάττει; 'Εκεῖνος τὰ καταισχύνοντα, οὗτος τὰ ἐνδόξους ποιοῦντα· ἐκεῖνος τὰ μυρίαις περιβάλλοντα συμφοραῖς καὶ ἀσχημοσύναις, οὗτος τὰ πολλὴν τὴν ἄνεσιν ἔχοντα. Ὅρα γάρ. Οὗτος λέγει, «Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν», ἐκεῖνός φησιν· "Ἄγριος ἔσο, καὶ ἀνήμερος, καὶ ἀκρόχολος, καὶ ὀργίλος, καὶ θηρίον μᾶλλον, ἢ ἄνθρωπος". Ἴδωμεν οὖν τί χρησιμώτερον, τί δὲ ὠφελιμώτερον; 'Αλλὰ μὴ τοῦτο μόνον, ἀλλ' ἐννόησον ὅτι ὁ μὲν διάβολός ἐστι· μάλιστα γάρ, ἂν ἐκεῖνο δειχθῇ, πάλιν τὰ νικητήρια ἔσται μείζονα· οὐ γὰρ ὁ εὔκολα ἐπιτάττων οὗτος κηδεμών, ἀλλ' ὁ συμφέροντα. 'Επεὶ καὶ πατέρες φορτικὰ ἐπιτάττουσι, καὶ δεσπόται πάλιν ὁμοίως δούλοις, ἀλλὰ διὰ τοῦτο οἱ μέν εἰσι πατέρες, οἱ δὲ δεσπόται· ἐκεῖνοι δὲ ἀνδραποδισταὶ καὶ λυμεῶνες καὶ πάντα τὰ ἐναντία. Πλὴν ὅτι καὶ ἡδονὴν ἔχει δῆλον ἐκεῖθεν. 'Εν τίσι γὰρ νομίζει εἶναι τὸν ἀκρόχολον, ἐν τίσι δὲ τὸν ἀνεξίκακον καὶ πρᾶον; οὐχὶ τούτου μὲν ἡ ψυχὴ ἐρημίᾳ τινί, πολλὴν ἐχούσῃ τὴν ἡσυχίαν, ἔοικεν, ἡ ἐκείνου δὲ ἀγορᾷ καὶ θορύβῳ, ἔνθα πολλὴ ἡ κραυ-

9. Ματθ. 11, 29.

ἀπὸ πολλὲς καὶ διάφορες εὐεργεσίες, κληρονόμους καὶ συγκληρονόμους τοῦ υἱοῦ του, ἐνῶ ἕνας λήσταρχος, ἂν καὶ προκάλεσε σὲ μᾶς καὶ στοὺς γονεῖς μας μύρια κακά, καὶ εἶναι γεμάτος ἀπὸ μύρια κακὰ καὶ ἀφοῦ ἀτίμασε καὶ τὴ δόξα καὶ τὴ σωτηρία μας, θὰ προσκυνοῦνταν ἀπὸ μᾶς, δείχνοντάς μας μόνο ὀβολό. Βασιλεία ὑπόσχεται ὁ Θεὸς καὶ περιφρονεῖται, ἐνῶ γέεννα προξενεῖ ὁ διάβολος καὶ τιμᾶται. Αὐτὸς εἶναι Θεός, ἐκεῖνος διάβολος.

'Αλλ' ἂς δοῦμε τὴ διαφορὰ τῶν προσταγμάτων. Διότι, ἂν δὲν ὑπῆρχε τίποτε ἀπὸ αὐτά, οὔτε ἦταν αὐτὸς μὲν Θεός, ἐκεῖνος δὲ διάβολος, οὔτε παρεῖχε αὐτὸς μὲν βασιλεία, ἐκεῖνος δὲ γέεννα, αὐτὴ ἡ φύση τῶν προσταγμάτων δὲν θὰ ἦταν ἱκανὴ νὰ μᾶς πείσει νὰ προσχωρήσουμε σ' αὐτόν; Τί δὲ προστάζει ὁ καθένας ἀπ' αὐτούς; Ὁ διάβολος τὰ ὅσα προκαλοῦν καταισχύνη, ὁ Θεὸς δέ, τὰ ὅσα μᾶς κάνουν ἐνδόξους· ἐκεῖνος, τὰ ὅσα μᾶς περιβάλλουν μὲ συμφορὲς καὶ ἀσχημοσύνες, αὐτὸς ἐκεῖνα ποὺ παρέχουν πολλὴ ἄνεση. Διότι πρόσεχε. Αὐτὸς λέγει, «Μάθετε ἀπὸ ἐμένα, ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς στὴν καρδιὰ καὶ θὰ βρεῖτε ἀνάπαυση στὶς ψυχές σας»[9], ἐκεῖνος λέγει· νὰ εἶσαι ἄγριος καὶ ἀνήμερος καὶ ὀξύθυμος καὶ ὀργίλος καὶ μᾶλλον θηρίο, παρὰ ἄνθρωπος. Ἂς δοῦμε λοιπὸν τί εἶναι χρησιμώτερο, τί δὲ ὠφελιμώτερο; Ὅμως ὄχι μόνο αὐτό, ἀλλὰ σκέψου, ὅτι ὁ μὲν εἶναι διάβολος· διότι ἂν κυρίως ἀποδειχθεῖ ἐκεῖνο, πάλι τὰ νικητήρια θὰ εἶναι μεγαλύτερα· διότι κηδεμόνας δὲν εἶναι ἐκεῖνος, ποὺ προστάζει τὰ εὔκολα, ἀλλὰ ἐκεῖνος ποὺ προστάζει τὰ συμφέροντα. Καθόσον καὶ οἱ πατέρες δυσάρεστα προστάζουν, καὶ οἱ κύριοι πάλι στοὺς δούλους, ἀλλὰ γι' αὐτὸ οἱ μὲν εἶναι πατέρες, οἱ δὲ κύριοι, ἐνῶ ἐκεῖνοι κάμνουν τοὺς ἀνθρώπους δούλους, εἶναι καταστροφεῖς καὶ ὅλα τὰ ἀντίθετα. Πλὴν ὅμως τὸ ὅτι προκύπτει καὶ εὐχαρίστηση ἀπὸ ἐκεῖ, εἶναι φανερό. Διότι σὲ ποιὰ κατάσταση νομίζεις ὅτι βρίσκεται ὁ ὀξύθυμος, σὲ ποιὰ δὲ ὁ ἀνεξίκακος καὶ πρᾶος; δὲν μοιάζει ἡ ψυχὴ αὐτοῦ μὲν μὲ κάποια ἐρημιὰ ποὺ ἔχει πολλὴ ἡσυχία, ἐκείνου δὲ μὲ ἀγορὰ καὶ θόρυβο, ὅπου

γὴ τῶν ἀκολούθων, καὶ καμήλοις, καὶ ἡμιόνοις, καὶ ὄνοις, μεγάλα τοῖς προσιοῦσιν ἐμβοώντων, ὥστε μὴ καταπατηθῆναι; οὐχ ἡ μὲν τοῦ τοιούτου ταῖς μέσαις πάλιν τῶν πόλεων ἐοικυῖά ἐστιν, ἔνθα νῦν μὲν ἐντεῦθεν ἀργυροκόπων, νῦν δὲ ἐκεῖθεν τῶν χαλκοτύπων ὁ ἦχος πολὺς γίνεται, καὶ οἱ μὲν ἐπηρεάζουσιν, οἱ δὲ ἐπηρεάζονται; Ἀλλ' ἡ τούτου κορυφῇ τινι ἔοικεν ὄρους, λεπτὴν μὲν ἔχοντι τὴν αὔραν, καθαρὰν δὲ τὴν ἀκτῖνα δεχομένῳ, διειδῆ τὰ νάματα προχέοντι τῶν πηγῶν, καὶ πολλὰς τῶν ἀνθέων προβαλλομένῳ τὰς χάριτας, τῶν ἐαρινῶν ὁμοίως λειμώνων τε καὶ παραδείσων, καὶ φυτοῖς καὶ ἄνθεσι κομώντων καὶ καταρρύτοις ὕδασιν· εἴ τις δὲ καὶ ἠχὴ γένοιτο, λιγυρὰ καὶ πολλὴν καταχέουσα τῶν ἀκουόντων τὴν ἡδονήν. Ἢ γὰρ ὄρνιθες ᾠδικοὶ ἄκροις τῶν δένδρων ἐφιζάνουσι τοῖς πετάλοις καὶ τέττιγες, καὶ ἀηδόνες, καὶ χελιδόνες, συμφώνως μίαν τινὰ ἀποτελοῦσι μουσικήν· ἢ ζέφυρος, ἠρέμα τῶν πετάλων τοῖς δένδροις προσπίπτων, πίτυς καὶ πεύκας συριζούσας, καὶ κύκνους πολλάκις μιμεῖται· ἢ λειμών, ῥόδα προβάλλων καὶ κρίνα, ἀλλήλοις προσκεκλικότα καὶ κυανίζοντα, καθάπερ πέλαγος κυανὸν ἠρέμα κυματούμενον δείκνυσι. Μᾶλλον δὲ πολλὰς εἰκόνας εὕροι τις ἄν. Ὅταν μὲν γὰρ εἰς τὰ ῥόδα τις ἀποβλέψῃ, τὴν ἶριν οἰήσεται καθορᾶν, ὅταν δὲ εἰς τὰ ἴα, θάλατταν κυματουμένην, ὅταν δὲ εἰς τὰ κρίνα, τὸν οὐρανόν. Οὐ τῇ θέᾳ δὲ μόνον, οὐδὲ τῇ ὄψει τέρποιτο ἂν τότε ὁ τοιοῦτος, ἀλλὰ καὶ τῷ σώματι αὐτῷ. Ἐκεῖνον γὰρ μᾶλλον ἐνίησί τε καὶ ἀναπνεῖν ποιεῖ, ὥστε νομίζειν ἐν οὐρανῷ μᾶλλον εἶναι, ἢ ἐπὶ γῆς.

4. Ἔστι καὶ ἑτέρα τις ἠχή, ὅταν ὕδωρ, ἀπὸ τῆς ἀκρωρείας διὰ χαραδρῶν αὐτομάτως φερόμενον, καὶ ταῖς ὑποκειμέναις ψηφῖσιν ἠρέμα ἐπιψοφοῦν ἡσύχῳ κτύπῳ, οὕτως ἐκ-

εἶναι μεγάλη ἡ κραυγὴ τῶν ὑπηρετῶν, καὶ ποὺ μὲ καμήλες καὶ μὲ ἡμιόνους καὶ ὄνους, ποὺ φωνάζουν δυνατὰ εἰδοποιώντας αὐτοὺς ποὺ πλησιάζουν, ὥστε νὰ μὴ καταπατηθοῦν; δὲν μοιάζει ἡ μὲν ψυχὴ τοῦ παρόμοιου ἀνθρώπου πάλι μὲ τὸ κέντρο τῶν πόλεων, ὅπου τὴν ἴδια στιγμὴ προκαλεῖται πολὺς θόρυβος, ἀπὸ ἐδῶ μὲν τῶν ἀργυροκόπων, ἀπ' ἐκεῖ δὲ τῶν χαλκουργῶν, καὶ οἱ μὲν ἐνοχλοῦν, οἱ δὲ ἐνοχλοῦνται; Ἀντίθετα ἡ ψυχὴ τοῦ πράου μοιάζει μὲ κάποια κορυφὴ ὄρους, ποὺ ἔχει μὲν λεπτὴ αὔρα, δέχεται δὲ καθαρὲς τὶς ἀκτῖνες τοῦ φωτός, ἐκχύνει καθαρὰ τὰ νερὰ τῶν πηγῶν καὶ προβάλλει πολλὲς τὶς χάριτες τῶν ἀνθέων, καὶ ὅμοια τῶν λειβαδιῶν καὶ κήπων τῆς ἀνοίξεως καὶ ὁμοιάζει ἀκόμη μὲ φυτὰ καὶ ἄνθη μὲ φυλλώματα καὶ τρεχούμενα νερά· ἐὰν δὲ συμβεῖ ν' ἀκουσθεῖ καὶ κάποιος ἦχος, εἶναι μελωδικὸς καὶ παρέχει πολλὴ εὐχαρίστηση σ' αὐτοὺς ποὺ τὸν ἀκούουν. Διότι μοιάζει σὰν τὰ ὠδικὰ πτηνὰ ποὺ κάθονται στὰ ἄκρα τῶν φύλλων τῶν δὲνδρων, καὶ τὰ τζιτζίκια καὶ τ' ἀηδόνια καὶ τὰ χελιδόνια ποὺ βγάζουν ὅλα μαζὶ μιὰ μουσική, ἢ σὰν τὸ ζέφυρο ποὺ ἤρεμα πνέει στὰ φύλλα τῶν δένδρων, καὶ κάνει νὰ συρίζουν τὰ κωνωφόρα καὶ τὰ πεῦκα, καὶ μιμεῖται, πολλὲς φορές, τοὺς κύκνους ἢ μοιάζει μὲ δειβάδι ποὺ εἶναι γεμάτο ἀπὸ ρόδα καὶ κρίνα ποὺ κλίνουν τὸ ἕνα πρὸς τὸ ἄλλο καὶ δίνουν γαλάζιο χρῶμα, ὅπως ἀκριβῶς παρουσιάζεται τὸ πέλαγος γαλάζιο μὲ ἤρεμα κύματα. Μᾶλλον δὲ πολλὲς εἰκόνες μπορεῖ κανένας νὰ βρεῖ. Διότι ὅταν μὲν κάποιος ρίξει τὸ βλέμμα του στὰ ἄνθη, νομίζει ὅτι βλέπει τὰ χρώματα τῆς ἴριδος, ὅταν δὲ στοὺς μενεξέδες, νομίζει ὅτι βλὲπει θάλασσα ποὺ κυματίζει, ὅταν δὲ στὰ κρίνα, νομίζει ὅτι βλέπει τὸν οὐρανό. Συμβαίνει δὲ τότε ὁ ἄνθρωπος νὰ εὐχαριστεῖται ὄχι μόνο μὲ τὴ θέα, οὔτε μὲ τὴν ὄψη, ἀλλὰ καὶ μὲ τὸ σῶμα του. Διότι ἐκεῖνο καὶ πιὸ πολὺ τὸν διεγείρει καὶ τὸν ἀνακουφίζει, ὥστε νὰ νομίζει ὅτι εἶναι μᾶλλον στὸν οὐρανὸ παρὰ στὴ γῆ.

4. Ὑπάρχει ὅμως καὶ κάποιος ἄλλος μελωδικὸς ἦχος, ὅπως ὅταν τὸ νερὸ κινεῖται ἀπὸ μόνο του ἀπὸ τὴν κορυφὴ ὄρους, καὶ κατέρχεται ἀνάμεσα ἀπὸ τὶς χαράδρες καὶ

λύῃ τὰ μέλη ἡμῶν τῇ ἡδονῇ, ὥστε καὶ ταχέως τὸν λυσιμελῆ τοῖς ὀφθαλμοῖς ὕπνον ἐπάγειν. Ἡδέως ἠκούσατε τοῦ διηγήματος· τάχα καὶ ἐρασταὶ γεγόνατε ἐρημίας. Ἀλλὰ ταύτης τῆς ἐρημίας ἡδίων πολλῷ τοῦ μακροθύμου ἡ ψυχή· οὐ γὰρ ἵνα λειμῶνα ὑπογράψωμεν, οὐδ' ἵνα πρὸς ἐπίδειξιν τὸν λόγον ἀγάγωμεν, ταύτης ἡψάμεθα τῆς εἰκόνος, ἀλλ' ἵνα, διὰ τῆς ὑπογραφῆς ἰδόντες ὅση τῶν μακροθύμων ἡ ἡδονή, καὶ ὅτι πολλῷ ἀνδρὶ μακροθύμῳ συγγινόμενος ἄν τις καὶ ἥδοιτο καὶ ὠφελοῖτο, ἢ τοιούτοις ὁμιλήσας χωρίοις, τούτους μεταδιώκητε. Ὅταν γὰρ μηδὲ πνεῦμα σφοδρὸν καὶ ταύτης ἐξέρχηται τῆς ψυχῆς, ἀλλ' ἥμεροί τινες λόγοι καὶ προσηνεῖς, καὶ ὄντως ἐκεῖνο τὸ τοῦ ζεφύρου ἤρεμον εἰκονίζοντες, καὶ παραινέσεις, οὐδὲν μὲν ἔχουσαι στῦφον, τοὺς δὲ ὄρνιθας τοὺς ᾠδικοὺς μιμούμεναι, πῶς οὐ τοῦτο βέλτιον; Οὐ γὰρ σώματι προσπίπτει τοῦ λόγου ἡ αὔρα, ἀλλὰ ψυχὰς ἀνίησιν. Οὐκ ἂν ἰατρὸς πυρέττοντα ἄνθρωπον οὕτω ταχέως ἀπαλλάξειε τοῦ πυρετοῦ δι' οἱασδήποτε σπουδῆς, ὡς μακρόθυμος ἀνὴρ καὶ ὀργίλον καὶ καιόμενον ὑπὸ τῆς ὀργῆς λαβὼν καταψύξειε διὰ τοῦ πνεύματος τῶν οἰκείων λόγων. Καὶ τί λέγω ἰατρόν; Οὐδὲ σίδηρος πεπυρωμένος καὶ ὕδατι βαπτόμενος οὕτω ταχέως τῆς θέρμης ἀφίσταται, ὡς εἰς μακρόθυμον ψυχὴν ἄνθρωπος ὀργίλος ἐμπεσών. Καθάπερ δὲ ἐπὶ τῆς ἀγορᾶς, εἰ εἰσέλθοιεν ᾠδικοὶ ὄρνιθες, καὶ λῆρος εἶναι δοκοῦσιν, οὕτω δὴ καὶ τὰ παραγγέλματα τὰ ἡμέτερα, εἰς ψυχὰς ἀκροχόλους ἐμπίπτοντα. Ἄρα ἡδίων ἐπιείκεια χολῆς καὶ θρασύτητος. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ τὸ μὲν ὁ διάβολος, τὸ δὲ ὁ Θεὸς ἐπέταξεν.

Ὁρᾶτε ὅτι οὐχ ἁπλῶς εἶπον ὅτι, εἰ καὶ μὴ διάβολος ἦν καὶ Θεός, αὐτὰ τὰ ἐπιτάγματα ἱκανὰ ἦν ἡμᾶς ἀποστῆσαι· ὁ μὲν γὰρ καὶ ἑαυτῷ ἡδύς, καὶ τοῖς ἄλλοις ὠφέλιμος, ὁ δὲ

προκαλεῖ μὲ τὰ κάτω ἀπ' αὐτὸ λιθάρια θόρυβο ἥσυχο καὶ ἤρεμο, καὶ προξενεῖ μὲ τὴν εὐχαρίστηση τέτοια χαλάρωση τῶν μελῶν, ὥστε νὰ ἐπιφέρει ἀμέσως τὸν ὕπνο στούς ὀφθαλμούς. Μὲ εὐχαρίστηση ἀκούσατε τὴ διήγηση, ἴσως δὲ καὶ νὰ γίνατε ἐραστὲς τῆς ἐρημίας. Ἀλλ' αὐτῆς τῆς ἐρημίας ἡ ψυχὴ τοῦ μακρόθυμου εἶναι πολὺ πιὸ καλύτερη· ὄχι γιὰ νὰ περιγράψουμε ἕνα λειβάδι, οὔτε γιὰ νὰ κάνουμε ἐπίδειξη μὲ τὸ λόγο ἀναφέραμε αὐτὴν τὴν εἰκόνα, ἀλλ' ἀφοῦ γνωρίσουμε μὲ τὴν περιγραφὴ πόση εἶναι ἡ εὐχαρίστηση τῶν μακρόθυμων καὶ ὅτι θὰ εὐχαριστεῖτο καὶ θὰ ὠφελεῖτο πολὺ περισσότερο συναναστρεφόμενος κανένας μὲ κάποιο ἄνθρωπο μακρόθυμο, παρὰ ἐπισκεπτόμενος τέτοιους χώρους, αὐτοὺς νὰ ἐπιζητεῖτε. Διότι, ὅταν ἀπὸ αὐτὴ τὴ ψυχὴ δὲν ἐξέρχεται πνεῦμα βίαιο, ἀλλὰ κάποιοι λόγοι ἥμεροι καὶ καταδεκτικοὶ καὶ ποὺ πράγματι εἰκονίζουν ἐκεῖνο τὸ ἤρεμο τοῦ Ζέφυρου, καὶ συμβουλές, ποὺ δὲν προκαλοῦν μὲν καμιὰ ἐνόχληση, ἀλλὰ ποὺ μιμοῦνται τὰ ᾠδικὰ πτηνά, πῶς δὲν εἶναι αὐτὸ καλύτερο; Διότι ἡ αὔρα τοῦ λόγου δὲν προσπίπτει σὲ σῶμα, ἀλλὰ ἀνακουφίζει ψυχές. Δὲν θὰ μποροῦσε ἰατρὸς νὰ ἀπαλλάξει τόσο γρήγορα ἀπὸ τὸν πυρετὸ ἕναν ἄνθρωπο ποὺ ἔχει πυρετό, μὲ ὁποιεσδήποτε προσπάθειες, ὅσο ὁ μακρόθυμος ἄνθρωπος θὰ μποροῦσε νὰ δροσίσει μὲ τὸ πνεῦμα τῶν λόγων του, παραλαμβάνοντας ἕνα ὀργίλο καὶ ποὺ καίεται ἀπὸ τὴν ὀργή του. Καὶ γιατί ἀναφέρω ἰατρό; Οὔτε σίδηρος πυρακτωμένος καὶ βυθιζόμενος στὸ νερό, τόσο γρήγορα ἀπαλλάσσεται τῆς θρασύτητάς του, ὅσο ἄνθρωπος ὀργίλος ὅταν ἔλθει σὲ ἐπαφὴ μὲ μακρόθυμη ψυχή. Ὅπως δὲ ἀκριβῶς στὴν ἀγορά, ἂν εἰσέλθουν ᾠδικὰ πτηνά, νομίζουν ὅτι εἶναι φλυαρία, ἔτσι καὶ τὰ δικά μας διδάγματα, ὅταν ἐμπίπτουν σὲ ὀξύθυμες ψυχές. Ἄρα ἡ ἐπιείκεια εἶναι γλυκύτερη ἀπὸ τὴν ὀργὴ καὶ θρασύτητα. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ διότι τὸ μὲν ἕνα διέταξε ὁ διάβολος, τὸ δὲ ἄλλο ὁ Θεός.

Βλέπετε, ὅτι δὲν εἶπα τυχαῖα, ὅτι ἂν δὲν ὑπῆρχε διάβολος καὶ ὁ Θεός, αὐτὰ καὶ μόνον τὰ διδάγματα ἦσαν ἱκανὰ νὰ μᾶς ἀπομακρύνουν ἀπὸ τὴν ὀργή. Διότι ὁ μὲν

καὶ ἑαυτῷ ἀηδής, καὶ τοῖς ἄλλοις βλαβερός. Οὐδὲν γὰρ ἀτερπέστερον ἀνθρώπου χολῶντος, οὐδὲν φορτικώτερον, οὐδὲν ἐπαχθέστερον, οὐδὲν αἰσχρότερον, ὥσπερ οὖν τοῦ οὐκ εἰδότος χολᾶν οὐδὲν ἥδιον. Θηρίῳ συνοικεῖν κάλλιον, ἢ ἀνθρώπῳ τοιούτῳ· ἐκεῖνο μὲν γάρ, ἐπειδὰν ἅπαξ ἡμερωθῇ, φυλάττει τὸν αὐτοῦ νόμον, τοῦτον δὲ ὁσάκις ἂν ἡμερώσῃς, πάλιν ἐκθηριοῦται, ἅπαξ εἰς ἕξιν ἑαυτόν τινα τοιαύτην καταστήσας. Καθάπερ γὰρ ἡμέρα λευκὴ καὶ φαιδρά, καὶ χειμὼν γέμων πολλῆς τῆς κατηφείας, ἕτερα ἀλλήλων εἰσίν, οὕτως ἡ τοῦ ὀργιζομένου ψυχὴ καὶ τοῦ ἐπιεικοῦς.

Ἀλλὰ μήπω τὰ τοῖς ἄλλοις ἴδωμεν βλαβερὰ συμβαίνοντα, ἀλλὰ τὰ ἑαυτοῖς· καίτοι καὶ τοῦτο οὐ μικρὰ βλάβη, ἑτέρῳ τι δοῦναι κακόν· πλὴν ἀλλὰ τέως τοῦτο σκοπῶμεν. Ποῖος δήμιος πλευρὰς οὕτω καταξᾶναι δυνήσεται; τίνες ὀβελίσκοι πεπυρωμένοι διέπειραν σῶμα; ποία μανία οὕτως ἐκστήσειεν ἂν τῶν κατὰ φύσιν φρενῶν, ὡς ὀργὴ καὶ παραπληξία; Οἶδα πολλοὺς ἀπὸ ὀργῆς νόσους τεκόντας. Καὶ οἱ χαλεποὶ τῶν πυρετῶν μάλιστα οὗτοί εἰσιν. Εἰ δὲ σῶμα οὕτω λυμαίνονται, ἐννόησον τὴν ψυχήν. Μὴ γὰρ λογίσῃ ὅτι οὐχ ὁρᾷς, ἀλλ' ἐννόησον ὅτι, εἰ τὸ δεχόμενον τὴν κακίαν οὕτω βλάπτεται, τὸ τίκτον πόσην ἂν ὑποδέξηται βλάβην; Πολλοὶ τοὺς ὀφθαλμοὺς ἀπώλεσαν· πολλοὶ εἰς νόσον βαρυτάτην κατέπεσον. Ὁ μέντοι φέρων γενναίως πάντα ὑποστήσεται εὐκόλως. Ἀλλ' ὅμως καὶ τοιαῦτα ἐπιτάττει φορτικά, καὶ τούτων μισθὸν ἡμῖν τίθησι τὴν γέενναν. Καὶ διάβολός ἐστι καὶ

μακρόθυμος καὶ στὸν ἑαυτό του εἶναι εὐχάριστος καὶ στοὺς ἄλλους ὠφέλιμος, ὁ δὲ ὀξύθυμος καὶ στὸν ἑαυτό του εἶναι δυσάρεστος καὶ στοὺς ἄλλους βλαβερός. Διότι δὲν ὑπάρχει τίποτε περισσότερο ἄσχημο ἀπὸ ἕνα ὀργισμένο ἄνθρωπο, τίποτε πιὸ ἐνοχλητικό, τίποτε περισσότερο πιὸ φορτικό, τίποτε πιὸ αἰσχρό, ὅπως βέβαια τίποτε πιὸ εὐχάριστο ἀπὸ ἐκεῖνον ποὺ δὲν γνωρίζει νὰ ὀργίζεται. Εἶναι καλύτερα νὰ συγκατοικεῖς μὲ ἄγριο θηρίο, παρὰ μὲ τέτοιο ἄνθρωπο. Διότι ἐκεῖνο μέν, ὅταν συμβεῖ μιὰ φορὰ νὰ ἐξημερωθεῖ, διατηρεῖται ἐξημερωμένο, αὐτὸν δὲ ὅσες φορὲς καὶ ἂν τὸν ἐξημερώσεις, πάλι γίνεται θηρίο, ἐφόσον συνήθισε τὸν ἑαυτό του σὲ κάποια παρόμοια συνήθεια. Διότι, ὅπως ἀκριβῶς ἡ ἡλιόλουστη καὶ εὐχάριστη ἡμέρα, καὶ ὁ χειμερινὸς καιρὸς ποὺ εἶναι γεμάτος ἀπὸ πολλὴ σκυθρωπότητα, εἶναι μεταξύ τους διάφορα, ἔτσι εἶναι διάφορη ἡ ψυχὴ τοῦ ὀργιζόμενου καὶ τοῦ ἐπιεικῆ.

Ἀλλ' ἂς μὴ ἐξετάσουμε ἀκόμη τὰ ὅσα βλαβερὰ συμβαίνουν στοὺς ἄλλους, ἀλλ' στούς ἑαυτούς μας· παρ' ὅτι καὶ αὐτὸ δὲν εἶναι μικρὴ βλάβη, νὰ ἀποδίδεις κάποιο κακὸ σὲ ἄλλον. Πλὴν ὅμως ἂς ἐξετάσομε κατ' ἀρχὴ αὐτό. Ποιὸς δήμιος θὰ μπορέσει νὰ κατακόψει ἔτσι ἀνθρώπου πλευρές; ποιὲς σοῦβλες πυρακτωμένες διεπέρασαν σῶμα; ποιὰ τρέλλα θὰ μποροῦσε ἔτσι νὰ κάνει κάποιον νὰ παραφρονήσει, ὅπως ἡ ὀργὴ καὶ ἡ παραφροσύνη; Γνωρίζω πολλοὺς ποὺ προκάλεσαν νόσους ἐξαιτίας τῆς ὀργῆς, καὶ μάλιστα οἱ πιὸ ἐπικίνδυνοι ἀπὸ τοὺς πυρετοὺς εἶναι αὐτοὶ ποὺ προκαλοῦνται ἀπὸ αὐτὲς τὶς αἰτίες. Καὶ ἂν δὲ τὸ σῶμα βλάπτουν τόσο πολύ, σκέψου πόσο τὴν ψυχή. Διότι μὴ σκεφθεῖς, ὅτι δὲν βλέπεις, ἀλλὰ σκέψου, ὅτι ἂν αὐτὸ ποὺ δέχεται τὴν κακία βλάπτεται τόσο πολύ, πόση βλάβη εἶναι δυνατὸ νὰ δεχθεῖ ἐκεῖνο ποὺ τὴν προκαλεῖ; Πολλοὶ ἔχασαν τοὺς ὀφθαλμούς τους, πολλοὶ περιέπεσαν σὲ βαρύτατη νόσο. Ἐκεῖνος ὅμως, ποὺ ὑπομένει μὲ καρτερικότητα, ὅλα θὰ τὰ ἀντιμετωπίσει γενναῖα. Ἀλλ' ὅμως καὶ διατάσσει τέτοια δυσάρεστα, καὶ ἐξ αἰτίας αὐτῶν μᾶς παρέχει μισθὸ τὴ γέεννα. Εἶναι καὶ διάβολος καὶ ἐχθρὸς τῆς

ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ μᾶλλον τούτῳ πειθόμεθα ἢ τῷ Χριστῷ, Σωτῆρι ὄντι καὶ εὐεργέτῃ, καὶ τοιαῦτα λέγοντι, ἃ καὶ ἡδίω καὶ ὠφελιμώτερα καὶ χρησιμώτερά ἐστι, καὶ ἡμᾶς καὶ τοὺς συνόντας ἡμῖν ὠφελεῖ τὰ μέγιστα. Οὐδὲν ὀργῆς χεῖρον, ἀγαπητέ, οὐδὲν ἀκαίρου θυμοῦ· οὐ δεῖται πολλῆς τῆς ἀναβολῆς· ὀξὺ τὸ πάθος ἐστί. Πολλάκις καὶ ῥῆμα ἐξέβαλέ τις ὑπὸ θυμοῦ, οὗ εἰς τὴν θεραπείαν ὁλοκλήρου δεῖται βίου· καὶ εἰργάσατό τι, ὃ πᾶσαν αὐτοῦ τὴν ζωὴν ἀνέτρεψε. Τὸ γὰρ χαλεπὸν τοῦτό ἐστιν, ὅτι καὶ ἐν βραχεῖ καιρῷ, καὶ διὰ μιᾶς πράξεως, καὶ δι' ἑνὸς ῥήματος μόνον τῶν αἰωνίων ἡμᾶς πολλάκις ἐξέβαλεν ἀγαθῶν, καὶ μυρίους ἐκένωσε πόνους. Διὸ παρακαλῶ πάντα ποιεῖν, ὥστε τὸ θηρίον τοῦτο χαλινοῦν. Ἀλλὰ ταῦτα μὲν περὶ ἐπιεικείας καὶ θυμοῦ, εἰ δὲ καὶ τὰ ἄλλα τις προχειρίσαιτο τῷ λόγῳ, οἷον πλεονεξίαν, ὑπεροψίαν χρημάτων, ἀσέλγειαν, σωφροσύνην, φθόνον, χρηστότητα, καὶ ἀντεξετάσοι, καὶ ἄλλο εἴσεται ἔτι διάφορον.

Εἴδετε πῶς ἀπὸ τῶν προσταγμάτων μόνον ὁ μὲν Θεός, ὁ δὲ διάβολος ὢν δείκνυται; Πειθώμεθα τοίνυν τῷ Θεῷ, καὶ μὴ εἰς βάραθρα ἑαυτοὺς ἐμβάλωμεν, ἀλλά, ἕως ἐστὶ καιρός, πάντα ἀπονιψώμεθα τὰ τὴν ψυχὴν λυμαινόμενα, ἵνα τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δικῆς μας σωτηρίας καὶ ὑπακοῦμε περισσότερο σ' αὐτόν, παρὰ στὸ Χριστό, ποὺ εἶναι Σωτήρας καὶ εὐεργέτης, καὶ ποὺ διδάσκει τέτοια, τὰ ὁποῖα εἶναι καὶ πιὸ εὐχάριστα καὶ πιὸ ὠφέλιμα καὶ πιὸ χρήσιμα καὶ ὠφελοῦν πάρα πολὺ καὶ μᾶς καὶ αὐτοὺς ποὺ μᾶς συναναστρέφονται. Τίποτε δὲν ὑπάρχει χειρότερο ἀπὸ τὴν ὀργή, ἀγαπητέ, τίποτε χειρότερο ἀπὸ τὸν ἄκαιρο θυμό. Δὲν χρειάζεται πολλὴ ἀναβολή· τὸ πάθος εἶναι ὀξύ. Πολλὲς φορὲς καὶ μιὰ λέξη ἐξέβαλε κάποιος ἀπὸ τὸ θυμό, γιὰ τὴν θεραπεία τῆς ὁποίας χρειάζεται ὁλόκληρη τὴ ζωή του· καὶ διέπραξε κάτι, ποὺ ἀνεστάτωσε ὅλη τὴ ζωή του. Διότι τὸ δυσάρεστο εἶναι αὐτό, ὅτι καὶ μέσα σὲ λίγο χρόνο, καὶ μὲ μιὰ πράξη, καὶ μ' ἕνα λόγο μόνο, πολλὲς φορὲς μᾶς ἀποστέρησε ἀπὸ τὰ αἰώνια ἀγαθὰ καὶ μᾶς προκάλεσε ἄπειρους πόνους. Γι' αὐτὸ παρακαλῶ νὰ κάμνουμε τὰ πάντα, ὥστε νὰ χαλιναγωγήσουμε αὐτὸ τὸ θηρίο. Ἀλλὰ αὐτὰ μὲν γιὰ τὴν ἐπιείκεια καὶ τὸ θυμό· ἐὰν δὲ κάποιος ἐξετάσει μὲ τὸ λόγο καὶ τὰ ἄλλα, ὅπως τὴν πλεονεξία καὶ τὴν περιφρόνηση τῶν χρημάτων, τὴν ἀσέλγεια καὶ τὴ σωφροσύνη, τὸ φθόνο καὶ τὴν καλωσύνη, καὶ τὰ ἀντιπαραβάλει, θὰ διαπιστώσει ἀκόμα καὶ ἄλλη διαφορά.

Εἴδατε πῶς ἀπὸ τὰ προστάγματα καὶ μόνο ὁ μὲν ἀποδεικνύεται ὅτι εἶναι Θεός, ὁ δὲ διάβολος; Ἂς ὑπακοῦμε λοιπὸν στὸ Θεὸ καὶ ἂς μὴ ρίχνουμε τοὺς ἑαυτούς μας στὰ βάραθρα, ἀλλ' ἕως ὅτου εἶναι καιρός, ἂς καθαρισθοῦμε ἀπὸ ὅλα ἐκεῖνα ποὺ βλάπτουν τὴν ψυχή, γιὰ νὰ ἐπιτύχουμε τὰ αἰώνια ἀγαθά, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ζ
(Πράξ. 2, 37 - 47)

«Ἀκούσαντες δὲ τοὺς λόγους τούτους, κατενύγησαν τὴν καρδίαν, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς Ἀποστόλους· Τί ποιήσωμεν, ἄνδρες ἀδελφοί;».

1. Ὁρᾷς ὅσον ἐστὶν ἐπιείκεια ἀγαθόν; Αὕτη μᾶλλον τῆς σφοδρότητος τὰς καρδίας κατακεντεῖ τὰς ἡμετέρας, καὶ ὀξυτέραν δίδωσι τὴν πληγήν. Καθάπερ γὰρ ἐπὶ τῶν ἐσκιρρωμένων σωμάτων ὁ πλήττων οὐχ οὕτω ποιεῖ τὴν αἴσθησιν σφοδράν, ἂν δέ τις αὐτὰ μαλάξῃ πρότερον καὶ ἁπαλὰ ἐργάσηται, τότε νύττει σφοδρότερον, οὕτω δὴ καὶ ἐνταῦθα πρότερον δεῖ μαλάξαι καὶ τότε νύξαι. Μαλάττει δὲ οὐ θυμός, οὐδὲ κατηγορία σφοδρά, οὐδὲ ὀνείδη, ἀλλ' ἐπιείκεια· ἐκεῖνος μὲν γὰρ καὶ ἐπιτείνει τὴν πώρωσιν, αὕτη δὲ ἀναιρεῖ. Ὥστε, ἂν ἐθέλῃς καθάψασθαί τινος ἠδικηκότος, μετὰ πολλῆς τῆς πραότητος αὐτῷ προσφέρου. Ὅρα γοῦν καὶ ἐνταῦθα τί ποιεῖ. Ἀνέμνησεν αὐτοὺς τῶν οἰκείων τολμημάτων πράως, καὶ οὐδὲν προσέθηκεν· εἶπε τοῦ Θεοῦ τὴν δωρεάν, ἐπήγαγε τὴν χάριν μαρτυροῦσαν τοῖς γεγενημένοις, καὶ ἔτι περαιτέρω τὸν λόγον ἐξήγαγεν. Ἠδέσθησαν τοῦ Πέτρου τὴν ἐπιείκειαν, ὅτι τοῖς τὸν Δεσπότην αὐτοῦ σταυρώσασι καὶ κατ' αὐτῶν φονῶσιν, ἐν τάξει πατρὸς καὶ διδασκάλου κηδεμονικοῦ διελέγετο. Οὐχ ἁπλῶς ἐπείσθησαν, ἀλλὰ κατέγνωσαν ἑαυτῶν, ἦλθον εἰς αἴσθησιν τῶν γεγενημένων· οὐ γὰρ ἀφῆκεν αὐτοῖς ἀρθῆναι τὸν θυμόν, καὶ ἐπισκοτῆσαι τῇ διανοίᾳ, ἀλλὰ διὰ τῆς ταπεινοφροσύνης ὥσπερ τινὰ σκεδάσας ἀχλὺν

1. Πράξ. 2, 37.

ΟΜΙΛΙΑ Ζ'
(Πράξ. 2, 37 - 47)

«Ὅταν δὲ ἄκουσαν τὰ θεόπνευστα αὐτὰ λόγια, συγκινήθηκαν βαθιὰ καὶ εἶπαν στὸν Πέτρο καὶ στοὺς ἄλλους Ἀποστόλους· Τί πρέπει νὰ κάνομε, ἄνδρες ἀδελφοί;»[1].

1. Βλέπεις πόσο μεγάλο ἀγαθὸ εἶναι ἡ ἐπιείκεια; Αὐτὴ πιὸ πολὺ ἀπὸ τὴ σφοδρότητα καταπληγώνει τὶς δικές μας καρδιὲς καὶ βαθύτερα προξενεῖ τὴν πληγή. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ κτυπᾶ τὰ σκληρὰ σώματα δὲν προκαλεῖ τόσο δυνατὴ αἴσθηση, ἂν ὅμως κάποιος τά μαλακώσει προηγουμένως καὶ τὰ κάνει ἀπαλά, τότε τὰ κεντᾶ βαθύτερα, ἔτσι λοιπὸν καὶ ἐδῶ, πρέπει προηγουμένως νά μαλακώσει τὰ πράγματα καὶ μετὰ νὰ τὰ κεντήσει. Μαλακώνει δὲ ὄχι ὁ θυμός, οὔτε ἡ σφοδρὴ κατηγορία, οὔτε οἱ προσβολές, ἀλλὰ ἡ ἐπιείκεια· διότι ὁ μὲν θυμὸς ἐπιτείνει περισσότερο τὴν σκλήρυνση, ἡ δὲ ἐπιείκεια τὴν ἐξαφανίζει. Ὥστε, ἂν θέλεις νὰ πλησιάσεις κάποιον ποὺ ἔχει ἀδικήσει, θὰ πρέπει νὰ προσφερθεῖς μὲ πολλὴ πραότητα σ' αὐτόν. Πρόσεχε λοιπὸν καὶ ἐδῶ τί κάμνει. Ὑπενθύμισε σ' αὐτοὺς μὲ πρᾶο τρόπο τὶς δικές του τολμηρὲς πράξεις καὶ δὲν πρόσθεσε τίποτε ἄλλο· ἀνέφερε τὴ δωρεὰ τοῦ Θεοῦ, πρόσθεσε τὴ χάρη ποὺ βεβαιώνεται μὲ τά γεγονότα καὶ προχώρησε τὸ λόγο ἀκόμα παραπέρα. Σεβάσθηκαν τὴν ἐπιείκεια τοῦ Πέτρου, διότι δίδασκε σὰν πατέρας καὶ στοργικὸς διδάσκαλος σ' ἐκείνους ποὺ σταύρωσαν τὸν Κύριό του καὶ ἐπιθυμοῦσαν καὶ τοὺς ἴδιους νὰ φονεύσουν. Ὄχι μόνο πείσθηκαν, ἀλλὰ καὶ ἀποδοκίμασαν τοὺς ἑαυτούς τους καὶ κατενόησαν τὰ ὅσα εἶχαν διαπραχθεῖ. Διότι δὲν τοὺς ἄφησε νὰ κυριευθοῦν ἀπὸ τὸ θυμὸ καὶ νά σκοτισθεῖ ὁ νοῦς τους, ἀλλὰ μέ τὴν ταπεινοφροσύνη, ἀφοῦ διεσκόρπισε, σὰν κάποια ὁμίχλη, τὴν ἀγανάκτηση,

τὴν ἀγανάκτησιν, οὕτως ἔδειξε τὸ τετολμημένον. Καὶ γὰρ οὕτως ἔχει, ὅταν εἴπωμεν ἡμεῖς ὅτι ἠδικήμεθα, ἐκεῖνοι πειρῶνται δεῖξαι ὅτι οὐκ ἠδικήκασιν· ὅταν εἴπωμεν ἡμεῖς ὅτι οὐκ ἠδικήμεθα, ἀλλ' ἠδικήκαμεν μᾶλλον, ἐκεῖνοι τὸ ἐναντίον ποιοῦσιν. Ὥστε, εἰ βούλει τὸν ἠδικηκότα εἰς ἀγῶνα ἐμβαλεῖν, μὴ κατηγορήσῃς αὐτοῦ, ἀλλ' ἀγώνισαι, κἀκεῖνος κατηγορήσει· φιλόνεικον γάρ ἐστι τὸ γένος τῶν ἀνθρώπων.

Τοῦτο ὁ Πέτρος ἐποίησεν. Οὐ κατηγόρησεν αὐτῶν σφοδρῶς, ἀλλὰ καὶ ἐπειράθη σχεδὸν ἀγωνίσασθαι ἡμέρως κατὰ τὸ δυνατόν· διὰ τοῦτο αὐτῶν καθικνεῖται τῆς ψυχῆς. Καὶ πόθεν δῆλον ὅτι κατενύγησαν; Ἀπὸ τῶν ῥημάτων αὐτῶν. Τί γάρ φασι; «Τί ποιήσωμεν, ἄνδρες ἀδελφοί»; Οὓς πλάνους ἐκάλουν, ἀδελφοὺς νῦν καλοῦσιν, οὐχὶ τοσοῦτον ἑαυτοὺς παρεξισάζοντες, ὅσον εἰς φιλοστοργίαν ἐπισπώμενοι καὶ κηδεμονίαν. Ἄλλως δέ, ἐπειδὴ αὐτοὶ κατηξίωσαν τοῦτο καλέσαι αὐτούς, καί φασι, «Τί ποιήσωμεν;», οὐκ εἶπον εὐθέως, 'Οὐκοῦν μετανοῶμεν', ἀλλ' ἐπέτρεψαν ἑαυτοὺς αὐτοῖς. Καθάπερ ἐν ναυαγίῳ τις γενόμενος ἢ ἐν νόσῳ, τὸν κυβερνήτην ἰδὼν ἢ τὸν ἰατρόν, πάντα αὐτῷ παραχωρεῖ τε καὶ πείθεται, οὕτω καὶ οὗτοι ὡμολογήκασιν ἐν ἐσχάτοις ὄντας ἑαυτούς, καὶ οὐδὲ ἐλπίδα σωτηρίας ἔχοντας. Καὶ ὅρα. Οὐκ εἶπον, 'Πῶς σωθῶμεν;' ἀλλὰ «Τί ποιήσωμεν;». Τί οὖν ὁ Πέτρος; Πάλιν ἐνταῦθα πάντων ἐρωτηθέντων, ἐκεῖνος ἀποκρίνεται, «μετανοήσατε», λέγων, «καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ». Καὶ οὔπω λέγει ὅτι 'πιστεύσατε', ἀλλὰ «βαπτισθήτω ἕκαστος ὑμῶν»· τοῦτο γὰρ ἐν τῷ βαπτίσματι παρέλαβον. Εἶτα δείκνυσι καὶ τὸ κέρδος· «Εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος». Εἰ δωρεὰν λήψεσθε, εἰ ἄφεσιν ἔχει τὸ βάπτισμα, τί μέλλετε;

Εἶτα, πιθανὸν τὸν λόγον ποιῶν, ἐπήγαγεν· «Ὑμῖν γὰρ

ἔτσι παρουσίασε ἐκεῖνο ποὺ εἶχαν τολμήσει. Καὶ πράγματι ἔτσι συμβαίνει, ὅταν ποῦμε ἐμεῖς, ὅτι ἀδικηθήκαμε, ἐκεῖνοι προσπαθοῦν νὰ ἀποδείξουν ὅτι δὲν ἔχουν ἀδικήσει· ὅταν ποῦμε ἐμεῖς, ὅτι δὲν ἀδικηθήκαμε, ἀλλὰ ὅτι μᾶλλον ἔχομε ἀδικήσει, ἐκεῖνοι κάνουν τὸ ἀντίθετο. Ὥστε, ἂν θέλεις νὰ βάλεις σ' ἀγώνα ἐκεῖνον ποὺ ἔχει ἀδικήσει, μὴ τὸν κατηγορήσεις, ἀλλ' ἀγωνίσου, καὶ ἐκεῖνος θὰ κατηγορήσει· διότι τὸ γένος τῶν ἀνθρώπων εἶναι φιλόνεικο.

Αὐτὸ ἔκαμνε καὶ ὁ Πέτρος. Δὲν τοὺς κατηγόρησε αὐστηρά, ἀλλὰ προσπάθησε νὰ ἀγωνισθεῖ κατὰ τὸ δυνατὸ σχεδὸν ἥμερα· γι' αὐτὸ καὶ ἐγγίζει τὴν ψυχή τους. Καὶ ἀπὸ ποῦ εἶναι φανερό, ὅτι συγκινήθηκαν; Ἀπὸ τὰ ἴδια τους τὰ λόγια. Διότι, τί λέγουν; «Τί πρέπει νὰ κάνομε, ἄνδρες ἀδελφοί;». Αὐτοὺς ποὺ ὀνόμαζαν πλάνους, τώρα τοὺς ὀνομάζουν ἀδελφούς. Ὄχι τόσο γιὰ νὰ ἐξισωθοῦν μὲ τοὺς Ἀποστόλους, ὅσο γιὰ νὰ παρακινήσουν αὐτοὺς σὲ φιλοστοργία καὶ κηδεμονία. Ἐξάλλου δέ, ἐπειδὴ οἱ ἴδιοι θεώρησαν ἄξιο ἔτσι νὰ ὀνομάσουν αὐτούς, καὶ λέγουν, «Τί πρέπει νὰ κάνομε;», δὲν εἶπαν ἀμέσως, 'Λοιπὸν μετανοοῦμε', ἀλλ' ἐμπιστεύθηκαν τοὺς ἑαυτούς τους σ' αὐτούς. Ὅπως ἀκριβῶς ὅταν βρεθεῖ κάποιος σὲ ναυάγιο ἢ σὲ ἀρρώστια, μόλις δεῖ τὸν κυβερνήτη ἢ τὸν ἰατρό, ὅλα τὰ ἀφήνει σ' αὐτὸν καὶ ὑπακούει, ἔτσι καὶ αὐτοί, ὁμολόγησαν ὅτι βρίσκονται στὴν πιὸ χειρότερη κατάσταση καὶ δὲν ἔχουν καμιὰ ἐλπίδα σωτηρίας. Καὶ πρόσεχε. Δὲν εἶπαν «πῶς θὰ σωθοῦμε;', ἀλλὰ «τί πρέπει νὰ κάνομε;». Τί κάμνει λοιπὸν ὁ Πέτρος; Πάλι ἐδῶ, ἐνῶ ὅλοι ἐρωτήθηκαν, ἐκεῖνος ἀποκρίνεται, λέγοντας· «μετανοήσατε καὶ ὁ καθένας σας ἂς βαπτισθεῖ στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ». Καὶ δὲν λέγει ἀκόμα, 'πιστεύσατε', ἀλλὰ «ἂς βαπτισθεῖ ὁ καθένας σας». Διότι αὐτὸ παρέλαβαν στὸ βάπτισμα. Ἔπειτα παρουσιάζει καὶ τὸ κέρδος· «Γιὰ νὰ συγχωρηθοῦν οἱ ἁμαρτίες καὶ θὰ λάβετε τὴ δωρεὰ τοῦ ἁγίου Πνεύματος». Ἐὰν θὰ λάβετε δωρεά, ἐὰν παρέχει ἄφεση τὸ βάπτισμα, τί χρονοτριβεῖτε;

Ἔπειτα κάμνοντας τὸ λόγο πειστικό, πρόσθεσε· «Διό-

ἐστιν ἡ ἐπαγγελία». Ταύτην καὶ ἐνταῦθα λέγει, ἣν εἶπε καὶ ἄνω διαλεγόμενος. «Καὶ τοῖς τέκνοις ὑμῶν», φησί. Οὐκοῦν μείζων ἡ δωρεά, ὅταν τῶν ἀγαθῶν καὶ κληρονόμους ἔχωσι. «Καὶ πᾶσι», φησί, «τοῖς εἰς μακράν». Εἰ «τοῖς εἰς μακράν», πολλῷ μᾶλλον ὑμῖν τοῖς ἐγγύς. «Ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν». Ὅρα πότε λέγει· «Τοῖς εἰς μακράν». Ὅτε αὐτοὺς εὗρεν ᾠκειωμένους καὶ κατεγνωκότας ἑαυτῶν· ψυχὴ γάρ, ὅταν ἑαυτὴν καταδικάσῃ, οὐκέτι φθονεῖν δύναται. «Ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρατο καὶ παρεκάλει, λέγων». Ὅρα αὐτὸν πανταχοῦ ἐπιτέμνοντα, καὶ οὐ φιλοτιμούμενον, οὐδὲ ἐπιδεικτιῶντα. «Διεμαρτύρατο», φησί, «καὶ παρεκάλει, λέγων». Ἀπηρτισμένη αὕτη διδασκαλία, τὸ μὲν φόβον, τὸ δὲ ἀγάπης ἔχουσα. «Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης». Οὐδὲν περὶ μελλόντων φησίν, ἀλλὰ περὶ τῶν παρόντων, οἷς καὶ μάλιστα ἐνάγονται ἄνθρωποι, καὶ δείκνυσιν ὅτι τὸ κήρυγμα καὶ τῶν παρόντων καὶ τῶ μελλόντων ἀπαλλάττει κακῶν. «Οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθησαν· καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι». Πῶς οἴει τοῦτο τοὺς Ἀποστόλους ἀνακτήσασθαι μᾶλλον τοῦ σημείου; «Ἦσαν δὲ προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ διδαχῇ τῶν Ἀποστόλων καὶ τῇ κοινωνίᾳ». Δύο ἀρεταί, καὶ τὸ προσκαρτερεῖν, καὶ τὸ ὁμοθυμαδόν. Τοῦτο δέ φησιν, ἵνα δείξῃ ὅτι πολὺν χρόνον αὐτοὺς ἐδίδασκον. «Καὶ τῇ κοινωνίᾳ, καὶ τῇ κλάσει τοῦ ἄρτου, καὶ τῇ προσευχῇ». Πάντα κοινῇ, πάντα μετὰ καρτερίας ἐποίουν, φησί.

Ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος, πολλά τε τέρατα καὶ ση-

τι σέ σᾶς δόθηκε ἡ ὑπόσχεση». Αὐτὴν καὶ ἐδῶ ἀναφέρει, τὴν ὁποία εἶπε μιλώντας καὶ παραπάνω. «Καὶ στὰ τέκνα σας» λέγει. Λοιπὸν ἡ δωρεὰ εἶναι μεγαλύτερη, ὅταν ἔχουν καὶ κληρονόμους τῶν ἀγαθῶν. «Καὶ σέ ὅλους ἐκείνους», λέγει, «ποὺ βρίσκονται μακριὰ ἀπὸ τὸ Θεό». Ἂν δίνεται σ' ἐκείνους ποὺ βρίσκονται μακριὰ ἀπὸ τὸ Θεό, πολὺ περισσότερο σὲ σᾶς ποὺ βρίσκεσθε κοντά του. «Ὅσους θὰ προσκαλέσει ὁ Κύριος ὁ Θεός μας». Πρόσεχε πότε λέγει, «καὶ σ' ἐκείνους ποὺ βρίσκονται μακριὰ ἀπὸ τὸ Θεό». Ὅταν διαπίστωσε, ὅτι αὐτοὶ εἶχαν γίνει φίλοι καὶ ὅτι εἶχαν μετανοήσει· διότι ἡ ψυχή, ὅταν καταδικάσει τὸν ἑαυτό της, δὲν μπορεῖ πλέον νὰ φθονεῖ. «Καὶ μὲ πολλὰ ἄλλα λόγια διαβεβαίωνε αὐτὰ ποὺ ἔλεγε, καὶ τοὺς προέτρεπε, λέγοντας». Πρόσεχε αὐτόν, ὅτι παντοῦ συντομεύει τὸ λόγο καὶ δὲν ἐπιζητεῖ τιμές, οὔτε θέλει ἐπιδείξεις. «Διαβεβαίωνε», λέγει, «αὐτὰ ποὺ ἔλεγε καὶ τοὺς προέτρεπε, λέγοντας». Ὁλοκληρωμένη διδασκαλία αὐτή, διότι περιέχει ἀφ' ἑνὸς μὲν φόβο, ἀφ' ἑτέρου δὲ ἀγάπη. «Σῶστε τοὺς ἑαυτούς σας ἀπὸ τὴν τιμωρία ποὺ θὰ ὑποστεῖ ἡ διεστραμμένη αὐτὴ γενεά». Δὲν λέγει τίποτε γιὰ τὰ μέλλοντα, ἀλλὰ γιὰ τὰ παρόντα, γιὰ τὰ ὁποῖα πρὸ πάντων κατηγοροῦνται οἱ ἄνθρωποι, καὶ ἀποδεικνύει, ὅτι τὸ κήρυγμα ἀπαλλάσσει καὶ ἀπὸ τὰ παρόντα καὶ ἀπὸ τὰ μέλλοντα κακά. «Καὶ αὐτοὶ μὲν μὲ εὐχαρίστηση δέχθηκαν τὰ λόγια τοῦ Πέτρου καὶ βαπτίσθηκαν, καὶ προστέθηκαν κατὰ τὴν ἡμέρα ἐκείνη περίπου τρεῖς χιλιάδες ἄτομα». Πῶς σοῦ φαίνεται αὐτό, τὸ νὰ ἀποκτήσουν οἱ Ἀπόστολοι μεγαλύτερη δύναμη, νὰ θαυματουργοῦν; «Παρέμειναν δὲ προσηλωμένοι μὲ πιστότητα στὴ διδασκαλία τῶν Ἀποστόλων καὶ στὴν ἐπικοινωνία». Δυὸ ἀρετὲς εἶχαν, καὶ τὴν ἐπιμονὴ καὶ τὴν ὁμοψυχία. Αὐτὸ δὲ τὸ λέγει γιὰ νὰ δείξει, ὅτι τοὺς δίδασκαν πολὺ χρόνο. «Καὶ σὲ ἀδελφικὴ ἐπικοινωνία καὶ σὲ ἑνότητα καὶ στὸν τεμαχισμὸ τοῦ ἄρτου καὶ στὶς προσευχές». Ὅλα, λέγει, τὰ ἔκαμναν ἀπὸ κοινοῦ, ὅλα τὰ ἔκαμναν μὲ ἐπιμονή.

«Φόβος δὲ κατέλαβε τὸν καθένα ἀπὸ ἐκείνους ποὺ

μεῖα διὰ τῶν Ἀποστόλων ἐγίνετο». Εἰκότως· οὐ γὰρ ὡς τῶν τυχόντων κατεφρόνουν, οὐδὲ τοῖς δρωμένοις προσεῖχον, ἀλλὰ πεπύρωτο αὐτῶν ἡ διάνοια. Ἐπειδὴ δὲ ἄνωθεν ἦν πολὺς ῥέων ὁ Πέτρος, καὶ ἐδείκνυ τὰς ἐπαγγελίας καὶ τὰ μέλλοντα, εἰκότως ἐξέστησαν τῷ φόβῳ, καὶ ἐμαρτύρει τοῖς λεγομένοις τὰ θαύματα. Καθάπερ οὖν ἐπὶ τοῦ Χριστοῦ πρότερον σημεῖα, εἶτα διδασκαλία, εἶτα θαύματα, οὕτω καὶ νῦν. «Πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό, καὶ εἶχον ἅπαντα κοινά». Ὅρα εὐθέως ὅση ἡ ἐπίδοσις· οὐ γὰρ ἐν ταῖς εὐχαῖς μόνον ἡ κοινωνία, οὐδὲ ἐν τῇ διδασκαλίᾳ, ἀλλὰ καὶ ἐν τῇ πολιτείᾳ. «Καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι, καθότι ἄν τις χρείαν εἶχεν»· Ὅρα πόσος φόβος αὐτοῖς ἐνεγένετο! «Καὶ διεμέριζον αὐτά». Τοῦτο εἶπε, τὸ οἰκονομικὸν δηλῶν. «Καθότι ἄν τις χρείαν εἶχεν». Οὐχ ἁπλῶς, καθάπερ οἱ παρ' Ἕλλησι φιλόσοφοι, οἱ μὲν ἀφῆκαν τὴν γῆν, οἱ δὲ εἰς θάλασσαν ἔρριψαν πολὺν χρυσίον, ὅπερ οὐχ ὑπεροψία χρημάτων ἦν, ἀλλὰ μωρία καὶ ἄνοια· πανταχοῦ γὰρ ἐσπούδασεν ὁ διάβολος ἀεὶ τοῦ Θεοῦ τὰ κτίσματα διαβάλλειν, ὡς οὐκ ἐνὸν καλῶς χρήσασθαι χρήμασι. «Καθ' ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ». Ἐνταῦθα τὸν τρόπον διδάσκει καθ' ὃν τῆς διδασκαλίας ἀπέλαυον.

2. *Καὶ σκόπει πῶς οὐδὲν ἐποίουν ἕτερον Ἰουδαῖοι, οὐ μικρόν, οὐ μέγα, ἀλλὰ τῷ ἱερῷ προσήδρευον· ἅτε γὰρ σπουδαιότεροι γεγενημένοι, καὶ περὶ τὸν τόπον εὐλάβειαν πλείονα εἶχον· οὐ γὰρ ἀπέσπων αὐτοὺς οἱ Ἀπόστολοι τέως, ὥστε μὴ βλάψαι. «Κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τρο-*

πίστευσαν, διότι πολλὰ καταπληκτικὰ θαύματα καὶ σημεῖα γίνονταν μὲ τοὺς 'Αποστόλους». Δικαιολογημένα. Διότι δὲν τοὺς περιφρονοῦσαν σὰν τυχαίους, οὔτε πρόσεχαν σὲ ὅσα ἔβλεπαν μόνο, ἀλλὰ καὶ ἡ διάνοιά τους εἶχε διακαεῖ. 'Επειδὴ δὲ προηγουμένως ὁ Πέτρος μιλοῦσε πρὸς αὐτοὺς μὲ ὁρμητικότητα καὶ ἀποδείκνυε τὶς ἐπαγγελίες καὶ τὰ μέλλοντα, δικαιολογημένα συνταράχθηκαν ἀπὸ τὸ φόβο, τὰ δὲ θαύματα ἐπιβεβαίωναν τὰ ὅσα λέγονταν. Ὅπως ἀκριβῶς λοιπὸν στὴν περίπτωση τοῦ Χριστοῦ προηγήθηκαν τὰ σημεῖα, ἀκολούθησε ἡ διδασκαλία, καὶ κατόπιν τὰ θαύματα, ἔτσι καὶ τώρα. Ὅλοι δὲ ὅσοι πίστευαν ἦταν ἑνωμένοι μεταξύ τους καὶ τὰ εἶχαν ὅλα κοινά». Πρόσεχε ἀμέσως πόση εἶναι ἡ πρόοδος. Διότι ἡ ἐπικοινωνία μεταξύ τους δὲν ἦταν μόνο στὶς προσευχές, οὔτε στὴ διδασκαλία, ἀλλὰ στὸν τρόπο τῆς ζωῆς. «Καὶ τὰ κτήματα καὶ τὶς περιουσίες τους πωλοῦσαν καὶ τὰ μοίραζαν σ' ὅλους, ἀνάλογα μὲ τὴν ἀνάγκη τοῦ καθένα ἀπ' αὐτούς». Πρόσεχε πόσος φόβος γεννήθηκε ἀνάμεσά τους! «Καὶ διεμοίραζαν αὐτά». Αὐτὸ τὸ εἶπε γιὰ νὰ δηλώσει τὸ οἰκονομικό. «'Ανάλογα μὲ τὴν ἀνάγκη τοῦ καθένα». Ὄχι ἁπλῶς, ὅπως ἀκριβῶς οἱ Ἕλληνες φιλόσοφοι, ποὺ ἄλλοι μὲν ἄφησαν τὴ γῆ ἀκαλλιέργητη, ἀφοῦ τὴν ἀφιέρωσαν στοὺς θεούς, ἄλλοι δὲ ἔρριψαν πολὺ χρυσάφι στὴ θάλασσα, πράγμα ποὺ ἔγινε ὄχι ἀπὸ περιφρόνηση τῶν χρημάτων, ἀλλὰ ἀπὸ μωρία καὶ ἀνοησία. Διότι ὁ διάβολος παντοῦ προσπαθοῦσε πάντοτε νὰ διαβάλει τὰ δημιουργήματα τοῦ Θεοῦ, ὅτι δῆθεν δὲν ἦταν δυνατὸ νὰ κάνουν καλὴ χρήση τῶν χρημάτων. «Καὶ κάθε ἡμέρα συγκεντρώνονταν μὲ ζῆλο καὶ μὲ ὁμοψυχία ὅλοι στὸ ναό». 'Εδῶ διδάσκει τὸν τρόπο μὲ τὸν ὁποῖο ἀπολάμβαναν τὴν διδασκαλία.

2. Καὶ πρόσεχε, πῶς τίποτε ἄλλο δὲν ἔκαμναν οἱ 'Ιουδαῖοι, οὔτε μικρό, οὔτε μεγάλο, ἀλλὰ προσέρχονταν καὶ πρόσφερναν τὶς ὑπηρεσίες τους στὸ ναό. Διότι, ἐπειδὴ εἶχαν γίνει καλύτεροι, γι' αὐτὸ καὶ ἔδειχναν μεγαλύτερη εὐλάβεια πρὸς τὸν τόπο. Καθόσον οὔτε οἱ 'Απόστολοι στὴν ἀρχὴ τοὺς ἔπαιρναν γιὰ νὰ μὴ βλάψουν. «Καὶ ἀφοῦ ἔκο-

φῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας, αἰνοῦντες τὸν Θεόν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν». Τὸν ἄρτον ἐμοὶ δοκεῖ λέγων, καὶ τὴν νηστείαν ἐνταῦθα σημαίνειν καὶ τὸν σκληρὸν βίον· τροφῆς γάρ, οὐ τρυφῆς μετελάμβανον. Ἐντεῦθεν, ἀγαπητέ, μάνθανε ὡς οὐχ ἡ τρυφή, ἀλλ' ἡ τροφὴ τὴν ἀπόλαυσιν ποιεῖ· καὶ ὡς οἱ τρυφῶντες, ἐν λύπῃ, οἱ δὲ μὴ τρυφῶντες, ἐν χαρᾷ. Ὁρᾷς ὅτι οἱ Πέτρου λόγοι καὶ τοῦτο εἶχον, τὸν τοῦ βίου σωφρονισμόν; Οὕτως οὐκ ἔνι γενέσθαι ἀγαλλίασιν, μὴ ἀφελείας οὔσης. Καὶ πῶς, φησίν, «εἶχον χάριν πρὸς ὅλον τὸν λαόν»; Δι' ὧν ἐποίουν διὰ τῆς ἐλεημοσύνης. Μὴ γάρ μοι, εἰ οἱ ἀρχιερεῖς ἐπέστησαν αὐτοῖς ὑπὸ φθόνου καὶ βασκανίας, τοῦτο ἴδῃς, ἀλλ' ὅτι πρὸς τὸν λαὸν χάριν εἶχον.

«Ὁ δὲ Κύριος προσετίθει τοὺς σωζομένους καθ' ἡμέραν τῇ Ἐκκλησίᾳ». «Πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό». Οὕτω πανταχοῦ καλὸν ἡ ὁμόνοια. «Ἑτέροις τε λόγοις διεμαρτύρατο». Τοῦτο εἶπε, δεικνὺς ὅτι οὐκ ἤρκει τὰ λεχθέντα· ἢ καὶ ἐκεῖνα μέν, ὥστε πρὸς πίστιν ἐπαχθῆναι, ταῦτα δέ, τίνα χρὴ τὸν πιστὸν ποιεῖν, εἴρηται. Καὶ οὐκ εἶπεν, Ἐπὶ τῷ σταυρῷ' ἀλλ' «ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτισθήτω ἕκαστος ὑμῶν». Οὐδὲ ἀναμιμνήσκει αὐτοὺς συνεχῶς τοῦ σταυροῦ, ἵνα μὴ ὀνειδίζειν δόξῃ, ἀλλ' ἁπλῶς, «μετανοήσατε», φησί, «καὶ βαπτισθήτω ἕκαστος ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν». Καὶ μὴν ἑτέρως ἔχει τῶν ἐνταῦθα δικαστηρίων ὁ νόμος, ἀλλ' ἐπὶ τοῦ κηρύγματος ὅταν ὁ ἡμαρτηκὼς ὁμολογήσῃ, τότε σώζεται. Ὅρα πῶς οὐ τὸ μεῖζον παρέδραμεν ὁ Πέτρος, ἀλλά, πρότερον τὴν χάριν

βαν τὸν ἄρτο στὶς οἰκίες, ὅπου συγκεντρώνονταν, ἔτρωγαν μὲ καρδιὰ γεμάτη ἀγαλλίαση καὶ ἁπλότητα, δοξολογώντας τὸ Θεό καὶ ἔχοντας τὴν ἐκτίμηση ὅλου τοῦ λαοῦ». Νομίζω ὅτι ἀναφέροντας τόν ἄρτο, ἐννοεῖ ἐδῶ καὶ τὴ νηστεία καὶ τὴ σκληραγωγημένη ζωή· διότι μετα-λάμβαναν τροφὴ καὶ ὄχι μαλθακὴ ζωή. Ἀπ' ἐδῶ, ἀγαπητέ, μάθαινε, ὅτι ὄχι ἡ μαλθακὴ ζωή, ἀλλὰ ἡ τροφὴ προκαλεῖ τὴν ἀπόλαυση, καὶ ὅτι ἐκεῖνοι ποὺ κάνουν μαλθακὴ ζωὴ αἰσθάνονται λύπη, ἐνῶ ὅσοι δὲν κάνουν μαλθακὴ ζωὴ αἰσθάνονται χαρά. Βλέπεις ὅτι οἱ λόγοι τοῦ Πέτρου ἀπέβλεπαν καὶ σὲ αὐτό, τὸ σωφρονισμὸ δηλαδὴ τῆς ζωῆς; Ἑπομένως δὲν εἶναι δυνατὸ νὰ ὑπάρξει ἀγαλλίαση, ἂν δὲν ὑπάρχει ἁπλότητα. Καὶ πῶς, λέγει, «εἶχαν τὴν ἐκτίμηση ὅλου τοῦ λαοῦ»; Μὲ ἐκεῖνα ποὺ ἔκαμναν μὲ τὴν ἐλεημοσύνη. Μὴ λοιπόν, σὲ παρακαλῶ, βλέπεις μόνο αὐτό, τὸ ὅτι οἱ ἀρχιερεῖς ἐμπόδιζαν αὐτοὺς ἀπὸ φθόνο καὶ ζήλεια, ἀλλ' ὅτι εἶχαν τὴν ἐκτίμηση τοῦ λαοῦ.

«Ὁ δὲ Κύριος πρόσθετε κάθε ἡμέρα στὴν Ἐκκλησία ἐκείνους ποὺ ἐπρόκειτο νὰ σωθοῦν». «Ὅλοι δὲ ὅσοι πίστευαν, ἦταν ἑνωμένοι μεταξύ τους σὰν μιὰ ψυχή». Ἄρα παντοῦ ἡ ὁμόνοια εἶναι καλό. Καὶ μὲ πολλὰ ἄλλα λόγια τοὺς διαβεβαίωνε τὶς ἀλήθειες τῆς πίστεως». Αὐτὸ τὸ εἶπε γιὰ νὰ ἀποδείξει, ὅτι τὰ λεχθέντα δὲν ἦταν ἀρκετά· ἢ ὅτι καὶ ἐκεῖνα μὲν ὅτι ἔχουν λεχθεῖ γιὰ νὰ ὁδηγήσουν αὐτοὺς στὴν πίστη, αὐτὰ δέ, γιὰ νὰ δείξουν τί πρέπει νὰ κάνει ὁ πιστός. Καὶ δὲν εἶπε 'στὸ ὄνομα τοῦ σταυροῦ', ἀλλὰ «Ἂς βαπτισθεῖ ὁ καθένας σας στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ». Οὔτε ὑπενθυμίζει σ' αὐτοὺς συνέχεια τὸ σταυρό, γιὰ νὰ μὴ φανεῖ ὅτι τοὺς κατηγορεῖ, ἀλλ' ἁπλῶς λέγει, «Μετανοήσατε καὶ ἂς βαπτισθεῖ ὁ καθένας ἀπὸ σᾶς στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ γιὰ νὰ ἀφεθοῦν οἱ ἁμαρτίες του». Καὶ βέβαια ὁ νόμος τῶν δικαστηρίων ἔχει ἐδῶ διαφορετικὴ ἐφαρμογή, ἀλλὰ στὸ κήρυγμα, ὅταν ἐκεῖνος ποὺ ἁμάρτησε ὁμολογήσει τὸ ἁμάρτημά του, τότε σώζεται. Πρόσεχε πῶς ὁ Πέτρος δὲν παρέλειψε τὸ σπουδαιότερο, ἀλλ' ἀφοῦ προηγουμένως ἀνέφερε τὴ χάρη τοῦ

εἰπών, τότε καὶ ἐκεῖνο ἐπήγαγε, λέγων· «Λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος». Ἀξιόπιστος ὁ λόγος αὐτόθεν, ἐξ ὧν αὐτοὶ ἔλαβον· τέως γὰρ τὸ εὔκολον λέγει καὶ πολλὴν ἔχον δωρεάν, καὶ τότε ἐπὶ τὸν βίον ἄγει, εἰδὼς ὅτι ὑπόθεσις αὐτοῖς ἔσται σπουδῆς, τὸ ἤδη γεύσασθαι τῶν τοσούτων ἀγαθῶν. Ἐπεὶ δὲ ἐπόθει ἀκοῦσαι ὁ ἀκροατὴς τί ἦν τῶν πλειόνων λόγων τὸ κεφάλαιον, καὶ τοῦτο προστίθησι, δεικνὺς ὅτι ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος. Οἱ μὲν οὖν ἀποδεξάμενοι τὸν λόγον ἐπήνεσαν τὰ λεχθέντα, καίτοι φόβου γέμοντα, καὶ μετὰ τὴν συγκατάθεσιν τότε ἐπὶ τὸ βάπτισμα ἔρχονται· ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Ἦσαν», φησί, «προσκαρτεροῦντες τῇ διδαχῇ». Ἐκ τούτου δῆλον ὅτι οὐ μίαν ἡμέραν, οὐδὲ δύο καὶ τρεῖς, ἀλλ' ἐπὶ πολλὰς ἐδιδάσκοντο, ἅτε ἐφ' ἕτερον μεταστάντες βίον. «Καὶ ἐγένετο πάσῃ ψυχῇ φόβος». Εἰ «πάσῃ», καὶ τῶν μὴ πιστευσάντων. Εἰκὸς δὲ αὐτοὺς παθεῖν, τοσαύτην ἀθρόον μεταβολὴν ἰδόντας· τάχα δὲ καὶ ἀπὸ τῶν σημείων. Οὐχί, 'ὁμοῦ' δέ, ἀλλ' «ὁμοθυμαδὸν» εἶπεν, ἐπειδὴ ἔνι ὁμοῦ μὲν εἶναί τινας, οὐ μὴν δὲ ὁμοθυμαδόν, διηρημένους ταῖς γνώμαις. «Λόγοις τε παρεκάλει». Καὶ οὐδὲ ἐνταῦθα λέγει τὴν διδασκαλίαν, ἐπιτέμνων τὸν λόγον· ἐξὸν δὲ μαθάνειν ὅτι ὡς νέους παῖδας ἔτρεφον τῇ τροφῇ τῇ πνευματικῇ. Καὶ ἄγγελοι γεγόνασι λοιπὸν ἐξαίφνης. «Καὶ διεμέριζον καθὸ χρείαν τις εἶχεν». Εἶδον ὅτι τὰ πνευματικὰ κοινά, καὶ οὐδεὶς ἕτερος ἑτέρου πλέον ἔχει, καὶ ταχέως ἦλθον ἐπὶ τὸ τὰ αὐτῶν πᾶσι διαδιδόναι. «Πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό». Ὅτι δὲ οὐ τόπῳ ἦσαν ἐπὶ τὸ αὐτό, δῆλον ἐξ ὧν ἐπήγαγε, λέγων· «Καὶ πάντα εἶχον κοινά». «Πάντες» δέ, φησίν, οὐχ ὁ μέν, ὁ δὲ οὔ.

Θεοῦ τότε πρόσθεσε καὶ ἐκεῖνο, λέγοντας· «Καὶ θὰ λάβετε τὴ δωρεὰ τοῦ ἁγίου Πνεύματος». Καὶ ὁ λόγος γίνεται ἀξιόπιστος ἀπὸ αὐτὰ ποὺ αὐτοὶ ἔλαβαν. Διότι προηγουμένως λέγει τὸ εὔκολο καὶ ἐκεῖνο ποὺ ἔχει μεγάλη τὴ χάρη τοῦ Θεοῦ, καὶ μετὰ ὁδηγεῖ στὸ βίο γνωρίζοντας, ὅτι θὰ γίνει γι' αὐτοὺς ἀφορμὴ μεγάλου ζήλου τὸ νὰ γευθοῦν πλέον τὰ τόσα πολλὰ ἀγαθά. Ἐπειδὴ δὲ ὁ ἀκροατής, ποθοῦσε νὰ ἀκούσει ποιὸ ἦταν τὸ σπουδαιότερο τῶν περισσότερων λόγων, προσθέτει καὶ αὐτό, γιὰ νὰ δείξει ὅτι ἦταν ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος. Αὐτοὶ λοιπὸν ἀφοῦ ἀποδέχθηκαν τὸ κήρυγμα ἐπήνεσαν τὰ ὅσα λέχθηκαν, ἂν καὶ ἦταν γεμάτα ἀπὸ φόβο, καὶ μετὰ τὴ συγκατάθεση, τότε ἔρχονται πρὸς τὸ βάπτισμα. Ἀλλ' ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ ὅσα ἔχουν λεχθεῖ.

«Ἦταν», λέγει, «ἀφοσιωμένοι μὲ ζῆλο καὶ ἐπιμονὴ στὴ διδασκαλία». Ἀπὸ αὐτὸ εἶναι φανερό, ὅτι ὄχι μία ἡμέρα, οὔτε δυὸ καὶ τρεῖς, ἀλλὰ γιὰ πολλὲς ἡμέρες διδάσκονταν, ἐφόσον μετέβαλαν τελείως τὴ ζωή τους. «Κατέλαβε δὲ κάθε ἄτομο φόβος». Ἐὰν «κάθε ἄτομο», ἄρα καὶ ἐκείνους ποὺ δὲν πίστευσαν. Ἦταν φυσικὸ δὲ νὰ τὸ πάθουν αὐτὸ αὐτοί, ἀφοῦ εἶδαν διὰ μιᾶς τόσο μεγάλη μεταβολή· ἴσως δὲ καὶ ἀπὸ τὰ θαύματα νὰ φοβήθηκαν. Δὲν εἶπε δὲ 'ὁμοῦ', ἀλλὰ« μὲ μία ψυχή»· ἐπειδὴ εἶναι δυνατὸ μερικοὶ νὰ εἶναι μὲν μαζί, ὄχι ὅμως μὲ μιὰ ψυχή, ἀλλὰ μὲ διαιρημένες τὶς γνῶμες. «Καὶ μὲ πολλὰ ἄλλα λόγια τοὺς προέτρεπε». Καὶ οὔτε ἐδῶ ἀναφέρει τὴ διδασκαλία, συντομεύοντας τὸ λόγο· πρέπει δὲ νὰ μάθουμε, ὅτι τοὺς ἔτρεφαν σὰν νέα παιδιὰ μὲ τὴν πνευματικὴ τροφή. Καὶ ἀμέσως ἔγιναν στὴ συνέχεια ἄγγελοι. «Καὶ τὰ μοίραζαν σὲ ὅλους κατὰ τὴν ἀνάγκη ποὺ εἶχε ὁ καθένας». Εἶδαν ὅτι τὰ πνευματικὰ εἶναι κοινά, καὶ ὅτι κανένας δὲν ἔχει κάτι περισσότερο ἀπὸ τὸν ἄλλο, καὶ γρήγορα κατέληξαν νὰ διαδίδουν τὰ δικά τους σὲ ὅλους. «Ὅλοι δὲ οἱ πιστοὶ ἔμεναν μαζί». Τὸ ὅτι δὲ ὄχι ἀπὸ ἀπόψεως τόπου ἦταν μαζί, εἶναι φανερὸ ἀπὸ τὰ ὅσα πρόσθεσε, λέγοντας· «Καὶ τὰ εἶχαν ὅλα κοινά». «Ὅλοι» δὲ λέγει, ὄχι ὁ μὲν ναί, ὁ δὲ ὄχι.

Τοῦτο πολιτεία ἀγγελική, μηδὲν αὐτῶν λέγειν ἴδιον εἶναι. Ἐντεῦθεν ἡ ρίζα τῶν κακῶν ἐξεκόπη, καὶ δι᾽ ὧν ἔπραττον ἔδειξαν ὅτι ἤκουσαν. Ἄρα τοῦτο ἦν, ὃ ἔλεγε· «Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης».

«Καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι». Ἐπειδὴ τρισχίλιοι γεγόνασιν ἐξήγαγον αὐτοὺς λοιπὸν ἔξω, οἳ καὶ μετὰ παρρησίας, ἅτε πολλῆς οὔσης ἤδη, καθ᾽ ἡμέραν ἀνῄεσαν καὶ προσήδρευον ἐν τῷ ἱερῷ· ἐπεὶ καὶ Πέτρος καὶ Ἰωάννης μικρὸν ὕστερον τὸ αὐτὸ ποιοῦσιν· οὐδὲν γὰρ τέως παρεκίνουν τῶν Ἰουδαϊκῶν. Καὶ αὐτὴ δὲ ἡ εἰς τὸν τόπον τιμὴ διέβαινε πρὸς τὸν τοῦ ἱεροῦ Δεσπότην. Εἶδες εὐλαβείας ἐπίδοσιν; Χρήματα ἔρριψαν, καὶ ἔχαιρον, καὶ πολλὴ ἦν ἡ εὐφροσύνη· μείζονα γὰρ ἦν ἃ ἐλάμβανον ἀγαθά. Οὐδεὶς ὠνείδιζεν, οὐδεὶς ἐφθόνει, οὐδεὶς ἐβάσκαινεν, οὐκ ἦν τύφος, οὐκ ἦν ἐξουδένωσις· καθάπερ παιδία ἐνόμιζον οὕτω παιδεύεσθαι, ὡς ἀρτίτοκοι οὕτω διέκειντο. Καὶ τί ὡς ἐν ἀμυδρᾷ λέγω εἰκόνι; Εἰ μέμνησθε ὡς, ὅτε τὴν πόλιν ἡμῖν ἔσεισεν ὁ Θεός, καὶ πάντες ἦσαν συνεσταλμένοι, οὕτω τότε ἐκεῖνοι διέκειντο· οὐδεὶς ὕπουλος ἦν, οὐδεὶς πονηρός. Καὶ γὰρ τοιοῦτον φόβος, τοιοῦτον ἡ θλῖψις. Οὐκ ἦν τὸ ψυχρὸν ρῆμα τὸ 'ἐμόν', καὶ τὸ 'σόν'. Διὰ τοῦτο ἀγαλλίασις ἦν ἐπὶ τῆς τραπέζης· οὐδεὶς ὡς ἐξ ἰδίων ἐσθίων διέκειτο, οὐδεὶς ὡς ἐξ ἀλλοτρίων· καίτοι δοκεῖ αἴνιγμα εἶναι. Οὔτε ἀλλότρια ἐνόμιζον εἶναι τὰ τῶν ἀδελφῶν (δεσποτικὰ γὰρ ἦν), οὔτε ἴδια, ἀλλὰ τῶν ἀδελφῶν. Οὔτε ὁ πένης ᾐσχύνετο, οὔτε ὁ πλούσιος ἐτυφοῦτο. Τοῦτό ἐστιν ἀγαλλίασις. Κἀκεῖνος ὡς εὐεργετούμενος διέκειτο, καὶ εὖ πάσχον μᾶλλον, καὶ οὗτοι ὡς δοξαζόμενοι ταύτῃ, καὶ πάνυ πρὸς αὐτοὺς ἦσαν συνδεδε-

Αὐτὸ εἶναι πολιτεία ἀγγελική, τὸ νὰ λέγουν, ὅτι τίποτε δὲν εἶναι δικό τους. Ἀπ' ἐδῶ ἀποκόπηκε ἡ ρίζα τῶν κακῶν καὶ μὲ ἐκεῖνα ποὺ ἔκαμναν, ἔδειξαν ὅτι ἄκουσαν τὴ διδασκαλία. Ἄρα αὐτὸ ἦταν ἐκεῖνο ποὺ ἔλεγε· «Σωθεῖτε ἀπὸ τὴ γενεὰ αὐτὴ τὴ διεστραμμένη».

«Καὶ προστέθηκαν τὴν ἡμέρα ἐκείνη στὰ μέλη τῆς Ἐκκλησίας περίπου τρεῖς χιλιάδες ψυχές». Ἐπειδὴ ἔγιναν τρεῖς χιλιάδες, ἔβγαλαν αὐτοὺς στὴ συνέχεια ἔξω, οἱ ὁποῖοι καὶ μὲ παρρησία, ἀφοῦ πλέον ὑπῆρχε πολλὴ παρρησία, κάθε ἡμέρα ἀνέβαιναν καὶ πρόσφερναν τὶς ὑπηρεσίες τους στὸ ναό· ἐπειδὴ καὶ ὁ Πέτρος καὶ ὁ Ἰωάννης κάμνουν λίγο ἀργότερα τὸ ἴδιο· διότι τίποτε δὲν συνέχεαν ἀπὸ τὰ ἰουδαϊκὰ προηγουμένως. Καὶ αὐτὴ δὲ ἡ τιμὴ στὸν τόπο ἀναφερόταν στὸν Κύριο τοῦ ναοῦ. Εἶδες πρόοδο εὐλάβειας; Πρόσφεραν χρήματα καὶ χαίρονταν, καὶ ἦταν μεγάλη ἡ εὐχαρίστηση· διότι ἦταν μεγαλύτερα τὰ ἀγαθὰ ποὺ λάμβαναν. Κανένας δὲν κατηγοροῦσε, κανένας δὲν φθονοῦσε, κανένας δὲν κακολογοῦσε, δὲν ὑπῆρχε ἐγωϊσμός, δὲν ὑπῆρχε περιφρόνηση· σὰν παιδιὰ νόμιζαν, ὅτι ἐκπαιδεύονται, σὰν νεογέννητοι συμπεριφέρονταν. Καὶ γιατί ὁμιλῶ χρησιμοποιώντας ἀμυδρὴ εἰκόνα; Ἂν ἐνθυμεῖσθε, ὅταν ὁ Θεὸς ἔσεισε τὴν πόλη μας καὶ ὅλοι ἦταν συνεσταλμένοι, κατὰ τὸν ἴδιο τρόπο καὶ ἐκεῖνος συμπεριφερόταν· κανένας δὲν ἦταν ὕπουλος, κανένας δὲν ἦταν πονηρός. Διότι τέτοιος ἦταν ὁ φόβος, τέτοια ἦταν ἡ θλίψη. Δὲν ὑπῆρχε ἡ ψυχρὴ λέξη 'δικό μου' καὶ 'δικό σου'. Γι' αὐτὸ ὑπῆρχε ἀγαλλίαση στὴν τράπεζα· κανένας δὲν συμπεριφερόταν σὰν νὰ ἔτρωγε ἀπὸ τὰ δικά του, κανένας σὰν νὰ ἔτρωγε ἀπὸ τὰ ξένα· ἂν καὶ φαίνεται αὐτό, ὅτι εἶναι αἴνιγμα. Οὔτε νόμιζαν, ὅτι εἶναι ξένα τὰ ὅσα ἀνῆκαν στοὺς ἀδελφούς, διότι ἦταν δεσποτικά, οὔτε δικά τους, ἀλλὰ τῶν ἀδελφῶν τους. Οὔτε ὁ φτωχὸς ντρεπόταν, οὔτε ὁ πλούσιος ἔδειχνε ἀλαζονεία. Αὐτὸ εἶναι ἀγαλλίαση. Καὶ ἐκεῖνος σὰν εὐεργετούμενος συμπεριφερόταν καὶ ἦταν περισσότερο εὐτυχής, καὶ αὐτοὶ μ' αὐτὸ τὸν τρόπο σὰν δοξαζόμενοι, καὶ ἦταν πολὺ συνδεδεμένοι μὲ αὐτούς.

μένοι. Ἐπειδὴ γὰρ ἐν ταῖς τῶν χρημάτων διανομαῖς καὶ ὕβρεις καὶ ἀπονοίας καὶ λύπας γίνεσθαι συμβαίνει, διὰ τοῦτο ἔλεγεν ὁ Ἀπόστολος· «Μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης». Ὅρα πόσα αὐτοῖς μαρτυρεῖ. Πίστιν γνησίαν, βίον ὀρθόν, τὴν ἐν ἀκροάσει καρτερίαν, τὴν ἐν εὐχαῖς, τὴν ἐν ἀφελείᾳ, τὴν ἐν εὐφροσύνῃ.

3. Δύο ἦν ἱκανὰ ἐμβαλεῖν αὐτοὺς εἰς ἀθυμίαν, ἥ τε νηστεία, καὶ τὸ τὰ χρήματα διαδίδοσθαι· οἱ δὲ καὶ δι' ἀμφότερα ἔχαιρον. Τίς γὰρ τοὺς οὕτω διακειμένους οὐκ ἂν ἠγάπησεν ὡς πατέρας κοινούς; Οὐδὲν ἔτικτον πονηρὸν κατ' ἀλλήλων· τὸ πᾶν ἐπέτρεπον τῇ χάριτι τοῦ Θεοῦ. Οὐκ ἦν φόβος, καὶ ταῦτα ἐν μέσοις κινδύνοις ἐμβεβληκότων αὐτῶν. Διὰ γοῦν τῆς ἀφελείας τὴν πᾶσαν αὐτῶν ἐδήλωσεν ἀρετήν, πολὺ καὶ τῆς τῶν χρημάτων ὑπεροψίας, καὶ τῆς νηστείας, καὶ τῆς ἐν ταῖς εὐχαῖς καρτερίας μείζονα οὖσαν. Οὕτω δὲ καὶ καθαρῶς ᾔνουν τὸν Θεόν, μᾶλλον δὲ τοῦτό ἐστιν αἰνεῖν τὸν Θεόν. Ὅρα δὲ καὶ ἐνταῦθα αὐτοὺς ἀπολαμβάνοντας εὐθέως τὰς ἀμοιβάς· τὸ γὰρ ἔχειν χάριν πρὸς τὸν λαόν, τοῦτό ἐστιν, ὅτι ποθεινοί τινες ἦσαν καὶ ἐπέραστοι· τίς γὰρ οὐκ ἂν ἀγάσαιτο, τίς δὲ οὐκ ἂν θαυμάσειεν ἄνθρωπον τὸ ἦθος ἁπλοῦν, ἢ τίς οὐκ ἂν συνδεθείη τῷ μηδὲν ὕπουλον ἔχοντι; Τίνων δὲ ἄλλων ἐστὶν ἡ σωτηρία ἢ τούτων; τίνων δὲ τὰ μεγάλα ἀγαθά; Οὐχὶ ποιμένες εὐηγγελίσθησαν πρότεροι; οὐχὶ Ἰωσὴφ ἁπλοῦς τις ὢν ἄνθρωπος, ὥστε μὴ διὰ μοιχείας ὑποψίαν φοβηθέντα αὐτὸν ἐργάσασθαί τι πονηρόν; οὐχὶ ἀγροίκους ἐξελέγετο τοὺς ἀπλάστους; «Ψυχὴ» γάρ, φησίν, «εὐλογημένη πᾶσα ἁπλῆ», καὶ πάλιν, «ὁ δὲ πορευόμενος ἁπλῶς, πορεύεται πεποιθώς».

Ναί, φησίν, ἀλλὰ καὶ φρονήσεως δεῖ· τί γὰρ ἄλλο ἐστὶν ἁπλότης, ἀλλ' ἡ φρόνησις; Ὅταν γὰρ μηδὲν ὑποπτεύῃς πο-

2. Β' Κορινθ. 9, 7.
3. Παροιμ. 11, 25.
4. Παροιμ. 10, 9.

Διότι ἐπειδὴ συμβαίνει κατὰ τὶς διανομὲς τῶν χρημάτων νὰ γίνονται καὶ ὕβρεις καὶ παράλογες ἐνέργειες καὶ λῦπες, γι' αὐτὸ ἔλεγε ὁ Ἀπόστολος· «Ἂς δίνει ὁ καθένας ὄχι ἀπὸ λύπη ἢ ἀπὸ ἀνάγκη, ἀλλὰ μὲ ἐλεύθερη διάθεση»[2]. Βλέπε πόσα ἀποκαλύπτει σ' αὐτούς. Πίστη γνήσια, βίο ὀρθό, τὴν ὑπομονὴ στὴν ἀκρόαση, στὶς προσευχές, στὴν ἁπλότητα, στὴν εὐφροσύνη.

3. Δυὸ πράγματα ἦταν ἱκανὰ νὰ τοὺς ὁδηγήσουν σὲ ἀθυμία· ἡ νηστεία καὶ ἡ διάδοση τῶν χρημάτων. Αὐτοὶ ὅμως καὶ γιὰ τὰ δύο χαίρονταν. Ποιὸς λοιπὸν δὲν θὰ ἀγαποῦσε αὐτοὺς ποὺ συμπεριφέρονταν σὰν κοινοὶ πατέρες; Κανένα κακὸ δὲν σκέπτονταν ὁ ἕνας ἐναντίον τοῦ ἄλλου· τὸ κάθε τι ἀπέδιδαν στὴ χάρη τοῦ Θεοῦ. Δὲν ὑπῆρχε φόβος καὶ ὅταν ἀκόμη αὐτοὶ εἶχαν ριφθεῖ μέσα στοὺς κινδύνους. Μὲ τὴν ἁπλότητα λοιπὸν φανέρωσε ὅλη τους τὴν ἀρετή, ποὺ ἦταν πολὺ μεγαλύτερη καὶ στὴν περιφρόνηση τῶν χρημάτων καὶ στὴ νηστεία καὶ στὴν ὑπομονὴ στὶς προσευχές. Μὲ τὸν τρόπο αὐτὸ δὲ δοξολογοῦσαν τὸ Θεό, μᾶλλον δὲ αὐτὸ σημαίνει νὰ δοξολογεῖς τὸ Θεό. Βλέπε δὲ καὶ ἐδῶ αὐτοὺς νὰ ἀπολαμβάνουν ἀμέσως τὶς ἀμοιβές. Διότι τὸ νὰ ἔχουν τὴν ἐκτίμηση τοῦ λαοῦ, αὐτὸ σημαίνει, ὅτι ἦταν περιπόθητοι καὶ ἀξιαγάπητοι. Διότι ποιὸς δὲν θὰ χαιρόταν, ποιὸς δὲν θὰ θαύμαζε ἄνθρωπο ἁπλὸ κατὰ τὸν χαρακτήρα του, ἢ ποιὸς δὲν θὰ συνδεόταν μὲ ἐκεῖνον ποὺ δὲν ἔχει τίποτε τὸ ὕπουλο; Σὲ ποιοὺς ἄλλους δὲ ἀνήκει ἡ σωτηρία παρὰ σ' αὐτούς; Σὲ ποιοὺς δὲ τὰ μεγάλα ἀγαθά; Μήπως ποιμένες δὲν δέχθηκαν πρῶτοι τὴ χαρμόσυνη ἀγγελία; Μήπως ὁ Ἰωσήφ, ποὺ ἦταν ἁπλὸς ἄνθρωπος, γιὰ νὰ μὴ διαπράξει κανένα κακὸ δὲν δέχθηκε τὴν ἐπίσκεψη τοῦ ἀγγέλου, ὅταν φοβήθηκε γιὰ ὑποψία μοιχείας; Μήπως χωρικοὺς καὶ ἀνυπόκριτους δὲν ἐξέλεγε; Διότι λέγει «Εὐλογημένη εἶναι κάθε ἁπλὴ ψυχή»[3]· καὶ πάλι, «Αὐτὸς ποὺ περιπατεῖ ἔντιμα, περιπατεῖ μὲ ἀσφάλεια»[4].

Ναὶ λέγει· ἀλλὰ χρειάζεται καὶ φρόνηση. Διότι τί ἄλλο εἶναι ἡ ἁπλότητα, παρὰ φρόνηση; Διότι, ὅταν δὲν

νηρόν, οὔτε τεκτῆναι δύνασαι πονηρόν· ὅταν μηδὲν ἔχῃς τῶν δεινῶν οὐδὲ μνησικακῆσαι δυνήσῃ. ὕβρισέ τις; οὐκ ἤλγησας· ἐκακηγόρησεν; οὐδὲν ἔπαθες· ἐβάσκηνεν; οὐδὲ οὕτως ἔπαθές τι. Ὁδὸς τίς ἐστιν ἐπὶ φιλοσοφίαν ἡ ἁπλότης. Οὐδεὶς οὕτως ἐστὶ τὴν ψυχὴν καλός, ὡς ὁ ἁπλοῦς· καθάπερ γὰρ ἐν τῷ σώματι ὁ μὲν στυγνὸς καὶ κατηφὴς καὶ σύννους κἂν καλὸς ᾖ, τὸ πολὺ τῆς ὡραιότητος ὑποτέμνεται, ὁ δὲ ἀνειμένος καὶ ἠρέμα μειδιῶν τὴν ὄψιν, ἐπιτείνει τὴν ὡραιότητα, οὕτω δὴ καὶ ἐπὶ τῆς ψυχῆς, ὁ μὲν σύννους, κἂν μυρία ἔχῃ κατορθώματα, ἠφάνισεν αὐτά, ὁ δὲ ἀνειμένος καὶ ἁπλοῦς, τοὐναντίον. Καὶ φίλον τὸν τοιοῦτον μετὰ ἀσφαλείας ἄν τις εἰργάσαιτο, καὶ ἐχθρὸν γενόμενον καταλλάξειεν· οὐ γὰρ δεῖ φυλακῆς καὶ προφυλακῆς, οὐδὲ δεσμῶν καὶ συνδέσμων ἐπὶ τοῦ τοιούτου, ἀλλὰ πολλὴ μὲν αὐτῷ ἔσται ἡ ἄνεσις, πολλὴ δὲ καὶ τοῖς συνοῦσιν αὐτῷ.

Τί οὖν, ἂν εἰς πονηρούς, φησίν, ἄνδρας ὁ τοιοῦτος ἐμπέσῃ; Ὁ Θεὸς προστάξας εἶναι ἀπλάστους, ὀρέξει χεῖρα. Τί τοῦ Δαυὶδ ἀπλαστότερον ἦν; τί δὲ τοῦ Σαοὺλ πονηρότερον; Τίς οὖν περιεγένετο; Τί δὲ ἐπὶ τοῦ Ἰωσήφ; οὐχ ὁ μὲν ἀπλάστως προσῄει τῇ δεσποίνῃ, ἡ δὲ κακούργως; Τί οὖν, εἰπέ μοι, ἐκεῖνος ἠδίκηται; Τί δὲ τοῦ Ἄβελ ἀπλαστότερον ἦν; τί δὲ τοῦ Κάιν κακουργότερον; Ὁ Ἰωσὴφ δὲ πάλιν οὐκ ἀπλάστως ἐκέχρητο τοῖς ἀδελφοῖς; οὐ διὰ τοῦτο εὐδοκίμησεν, ὅτι ὁ μὲν ἀνυπόπτως πάντα ἐφθέγγετο, οὗτοι δὲ κακούργως ἐδέχοντο; Καὶ ἅπαξ εἶπε τὰ ὀνείρατα, καὶ πάλιν εἶπε, καὶ οὐκ ἐφυλάξατο· καὶ πάλιν πρὸς αὐτοὺς ἀπῄει τροφὰς ἀποίσων, καὶ οὐδὲν ἐφυλάττετο, τὸ πᾶν ἐπιτρέπων τῷ Θεῷ· ἀλλ' ὅσῳ ἐκεῖνοι πρὸς αὐτὸν οὕτω διέκειντο ὡς πρὸς πολέμιον, οὕτως ἐκεῖνος ὡς πρὸς ἀδελφούς. Καὶ ἠδύνατο ὁ Θεὸς μὴ ἀφεῖναι αὐτὸν ἐμπεσεῖν, ἀλλ' ἀφῆκεν, ἵνα δειχθῇ τὸ θαῦμα,

ὑποψιάζεσαι κανένα κακό, δὲν μπορεῖς οὔτε νὰ μηχανευθεῖς κακό˙ ὅταν δὲν ἔχεις τίποτε ἀπὸ τὰ κακά, οὔτε νὰ κρατήσεις κακία μπορεῖς. Σὲ ἐξύβρισε κάποιος; δὲν πόνεσες˙ σὲ κατηγόρησε; τίποτε δὲν ἔπαθες˙ σὲ φθόνησε; οὔτε ἔτσι ἔπαθες κάτι. Ἡ ἁπλότητα εἶναι ἕνας δρόμος πρὸς τὴν εὐσέβεια. Κανένας δὲν εἶναι τόσο καλὸς στὴν ψυχή, ὅσον ὁ ἁπλός. Διότι ὅπως ἀκριβῶς στὸ σῶμα, ὁ μὲν στυγνὸς καὶ κατηφὴς καὶ σκυθρωπός, ἀκόμη καὶ ἂν εἶναι καλός, περιορίζεται τὸ πολὺ τῆς ὡραιότητας, ὁ δὲ πράος, ποὺ ἔχει χαμογελαστὴ ὄψη, μεγαλώνει τὴν ὡραιότητα˙ ἔτσι λοιπὸν συμβαίνει καὶ μὲ τὴν ψυχή˙ ὁ μὲν σκυθρωπὸς ἀκόμη καὶ ἂν ἔχει μύρια κατορθώματα, τὴν ἐξαφανίζει, ὁ δὲ ἤρεμος καὶ ἁπλὸς ἀντίθετα τὰ προβάλλει. Καὶ μπορεῖ κάποιος νὰ κάμνει αὐτὸν φίλο μὲ σιγουριά, καὶ ἂν κάποιος γίνει ἐχθρός, νὰ συμφιλιωθεῖ. Διότι δὲν χρειάζεται φυλακὴ καὶ προφυλακή, οὔτε δεσμὰ καὶ σύνδεσμοι γι' αὐτόν, ἀλλὰ πολλὴ θὰ εἶναι σ' αὐτὸν ἡ ἄνεση, πολλὴ δὲ καὶ σ' ἐκείνους ποὺ τὸν συναναστρέφονται.

Τί θὰ συμβεῖ λοιπόν, λέγει, ἂν αὐτὸς πέσει σὲ πονηροὺς ἄνδρες; Ὁ Θεὸς ποὺ πρόσταξε νὰ εἴμαστε ἀνυπόκριτοι, θὰ ἁπλώσει τὸ χέρι του. Τί ὑπῆρχε πιὸ ἀνυπόκριτο ἀπὸ τὸν Δαυίδ; τί δὲ πονηρότερο ἀπὸ τὸν Σαούλ; Ποιὸς δὲ ἐπεκράτησε; Τί δὲ συνέβηκε καὶ μὲ τὸν Ἰωσήφ; δὲν προσερχόταν αὐτὸς μὲν ἀπονήρευτα πρὸς τὴ σύζυγο τοῦ Φαραώ, ἐκείνη δὲ πονηρά; Πές μου λοιπόν, σὲ τί ἐκεῖνος ἔχει ἀδικηθεῖ; Τί δὲ ὑπῆρχε πιὸ ἀνυπόκριτο ἀπὸ τὸν Ἄβελ; Τί δὲ κακουργότερο ἀπὸ τὸν Κάϊν; Ὁ Ἰωσὴφ δὲ πάλι δὲν συμπεριφέρθηκε ἀνυπόκριτα στὰ ἀδέλφια του; δὲν πρόκοψε γι' αὐτό, διότι αὐτὸς μὲν ὅλα τὰ ἔλεγε ἀνυπόκριτα, ἐνῶ αὐτοὶ τὸν ἄκουαν μὲ ἔνοχη διάθεση; Καὶ ἀφοῦ ἐξήγησε τὰ ὄνειρα καὶ πάλι τὰ ἐξήγησε καὶ δὲν προφυλασσόταν, ἀφήνοντας τὸ πᾶν στὸ Θεό˙ ἀλλ' ὅσο ἐκεῖνοι συμπεριφέρονταν ἔτσι πρὸς αὐτόν, σὰν νὰ ἦταν ἐχθρός, τόσο ἐκεῖνος συμπεριφερόταν σὰν πρὸς ἀδελφούς. Καὶ μποροῦσε ὁ Θεὸς νὰ μὴ ἀφήσει αὐτὸν νὰ πέσει στὰ χέρια αὐτῶν, ἀλλ' ἄφησε, γιὰ νὰ φανερωθεῖ τὸ θαῦμα, καὶ ὅτι

καὶ ὅτι κἂν τὰ αὐτῶν ἐπιδείξωνται, ἐκεῖνος ἀνώτερος ἔσται. Ὥστε, κἂν λάβῃ πληγήν, οὐ παρ' ἑαυτοῦ, ἀλλὰ παρ' ἑτέρου λαμβάνει. Ὁ δὲ πονηρὸς ἑαυτὸν μὲν πλήττει πρότερον, ἕτερον δὲ οὐδένα· οὕτως ἐστὶ καὶ ἑαυτῷ πολέμιος. Τοῦ τοιούτου ἀεὶ ἀθυμίας ἡ ψυχὴ μεστή, τῶν λογισμῶν ἀεὶ συνδεδεμένων· κἂν ἀκοῦσαι, κἂν εἰπεῖν τι δέῃ, πάντα μετὰ ἐγκλημάτων ποιεῖ, πάντα μετὰ αἰτίας. Φιλία τῶν τοιούτων καὶ ὁμόνοια πόρρω καὶ μακρὰν ἐσκήνωνται· μάχαι δὲ παρ' αὐτοῖς, καὶ ἔχθραι, καὶ ἀηδίαι, καὶ ἑαυτοὺς ὑποπτεύουσιν οἱ τοιοῦτοι. Τούτοις οὐδὲ ὕπνος ἡδύς, οὔτε ἄλλο οὐδέν. Ἂν δὲ καὶ γυναῖκα ἔχωσι, βαβαί! πρὸς πάντας ἐχθροὶ γίνονται καὶ πολέμιοι· ζηλοτυπίαι μυρίαι, φόβος διηνεκής· πονηρὸς δὲ παρὰ τὸ πονεῖν εἴρηται. Οὕτω γοῦν καὶ ἡ Γραφὴ μόνον ἀεὶ τὴν πονηρίαν καλεῖ, ὡς, ὅταν λέγῃ· «Ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος», καὶ ἀλλαχοῦ πάλιν· «Καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος». Εἰ δὲ θαυμάζοι τις πόθεν μὲν παρὰ τὴν ἀρχὴν τοιοῦτοι γεγόνασι, νῦν δὲ οὐ τοιοῦτοι, μαθέτω τὴν θλῖψιν αἰτίαν, τὴν διδάσκαλον τῆς φιλοσοφίας, τὴν μητέρα τῆς εὐλαβείας. Ὅτε χρημάτων ἀναίρεσις ἦν, τότε οὐδὲ πονηρία ἦν.

Ναί, φησίν, αὐτὸ γὰρ τοῦτο ἐρωτῶ· νῦν δὲ πόθεν ἡ τοσαύτη πονηρία; πόθεν ἐκείνοις μὲν ἐπῆλθε τοῖς τρισχιλίοις καὶ πεντακισχιλίοις εὐθέως ἑλέσθαι τὴν ἀρετήν, καὶ ὁμοῦ οὕτως ἐγένοντο φιλόσοφοι, νῦν δὲ μόλις εἷς εὑρίσκεται; τότε δὲ οὕτω συνεφώνουν; τί τὸ ποιῆσαν αὐτοὺς σφοδροὺς καὶ διεγηγερμένους; τί αὐτοὺς ἄφνω ἐπύρωσεν; Ἐπειδὴ μετὰ πολλῆς προσῆλθον τῆς εὐλαβείας, ἐπειδὴ τὰ τῶν τιμῶν οὐκ ἦν καθάπερ νῦν, ἐπειδὴ πρὸς τὰ μέλλοντα μετέστησαν αὐτῶν τὴν διάνοιαν, καὶ οὐδὲν τῶν παρόντων προσεδόκων. Τοῦτό ἐστι πεπυρωμένης ψυχῆς, τὸ τοῖς δεινοῖς ἐντρέφεσθαι· τοῦτο ἐ-

---

5. Ψαλμ. 9, 28.
6. Ψαλμ. 89. 10.

καὶ ἂν ἀκόμα ἀποκαλύψουν τὰ δικά τους αἰσθήματα, ἐκεῖνος θὰ εἶναι ἀνώτερος. Ὥστε, καὶ ἂν ἀκόμη πληγωθεῖ, δὲν πληγώνεται ἀπὸ τὸν ἑαυτό του, ἀλλὰ ἀπὸ κάποιον ἄλλο. Ὁ δὲ πονηρὸς πρῶτα μὲν πλήττει τὸν ἑαυτό του, καὶ κανένα ἄλλο· μὲ τὸν τρόπο αὐτὸ εἶναι καὶ στὸν ἑαυτό του ἐχθρός. Ἡ ψυχή του εἶναι πάντοτε γεμάτη ἀπὸ λύπη καὶ οἱ λογισμοί του πάντοτε συμπλεκόμενοι· καὶ ἂν χρειάζεται νὰ ἀκούσει καὶ ἂν χρειάζεται νὰ πεῖ κάτι, ὅλα τὰ κάμνει μὲ κατηγορίες, ὅλα μὲ ἐπικρίσεις. Φιλία καὶ ὁμόνοια γι' αὐτοὺς βρίσκονται πολὺ μακριά· σ' αὐτοὺς ὑπάρχουν διαμάχες καὶ ἔχθρες καὶ δυσαρέσκειες καὶ τοὺς ἑαυτούς τους ὑποπτεύονται αὐτοί. Σ' αὐτοὺς οὔτε ὕπνος γλυκὸς ὑπάρχει, οὔτε τίποτε ἄλλο. Ἂν δὲ ἔχουν καὶ γυναίκα, ἀλλοίμονο, γίνονται πρὸς ὅλους ἐχθροὶ καὶ πολέμιοι· μύριες ζηλοτυπίες, συνεχὴς φόβος· ἀπὸ τὸ ρῆμα πονῶ παράγεται ὁ πονηρός. Ἔτσι λοιπὸν καὶ ἡ Γραφὴ πόνο ὀνομάζει πάντοτε τὴν πονηρία, ὅπως ὅταν λέγει· «Κάτω ἀπὸ τὴ γλώσσα του ὑπάρχει κακία καὶ ἀνομία»[5]· καὶ ἀλλοῦ πάλι· «Καὶ ὅτι ἡ μεγαλύτερη διάρκεια τῆς ζωῆς εἶναι κόπος καὶ πόνος»[6]. Ἐὰν δὲ κάποιος ἀπορεῖ ἀπὸ ποῦ μὲν ἀπὸ τὴν ἀρχὴ ἔχουν γίνει τέτοιοι, τώρα δὲ δὲν εἶναι τέτοιοι, ἂς μάθει ὅτι αἰτία ἦταν ἡ θλίψη, ἡ διδάσκαλος τῆς εὐσέβειας, ἡ μητέρα τῆς εὐλάβειας. Ὅταν ὑπῆρχε ἔλλειψη χρημάτων, τότε δὲν ὑπῆρχε οὔτε πονηρία.

Ναὶ λέγει· διότι αὐτὸ ἀκριβῶς ἐρωτῶ· τώρα δὲ ἀπὸ ποῦ ἡ τόση πονηρία; ἀπὸ ποῦ προῆλθε σὲ ἐκείνους μὲν τοὺς τρισχίλιους καὶ πεντακισχίλιους ἀμέσως ἡ ἐπιθυμία νὰ προτιμήσουν τὴν ἀρετή, καὶ ἔτσι ὅλοι μαζὶ ἔγιναν εὐσεβεῖς, τώρα δὲ μὲ δυσκολία βρίσκεται ἕνας; Τότε δὲ τόσο πολὺ συμφωνοῦσαν; Τί εἶναι ἐκεῖνο ποὺ ἔκαμε αὐτοὺς δυνατοὺς καὶ ἄγρυπνους; Τί ξαφνικὰ διαθέρμανε αὐτούς; Ἐπειδὴ προσῆλθαν μὲ πολλὴ εὐλάβεια· ἐπειδὴ τὰ τῶν τιμῶν δὲν ἦταν, ὅπως ἀκριβῶς τώρα· ἐπειδὴ πρὸς τὰ μέλλοντα μετέστρεψαν τὴ διάνοιά τους καὶ δὲν ἀνέμεναν τίποτε ἀπὸ τὰ παρόντα. Αὐτὸ εἶναι δεῖγμα θερμῆς ψυχῆς, τὸ νὰ περιστρέφεται μέσα στὰ δεινά· αὐτὸ νόμιζαν ἐκεῖ-

νόμιζον ἐκεῖνοι χριστιανισμὸν εἶναι. Ἀλλ' οὐχ ἡμεῖς· νῦν γὰρ τὰς ἀνέσεις ἐνταῦθα ζητοῦμεν. Διὰ τοῦτο οὐδέ, ὅταν δέῃ, τούτων ἐπιτευξόμεθα. «Τί ποιήσωμεν;» ἠρώτων ἐκεῖνοι, ἀπογινώσκοντες ἑαυτῶν. Ὑμεῖς δὲ τὸ ἐναντίον, 'τί ποιήσωμεν;' λέγομεν, ἐπιδεικνύμενοι πρὸς τοὺς παρόντας, καὶ μέγα φρονοῦντες ἐφ' ἑαυτοῖς. Ἅπερ ἔδει γενέσθαι, ἐποίουν ἐκεῖνοι, ἡμεῖς δὲ τοὐναντίον. Κατέγνωσαν ἑαυτῶν ἐκεῖνοι, ἀπέγνωσαν αὐτῶν τῆς σωτηρίας, διὰ τοῦτο τοιοῦτοι γεγόνασιν. Ἔγνωσαν ὅσον ἔλαβον δῶρον.

4. Πῶς δὲ ὑμεῖς ἔσεσθε τοιοῦτοι, ἀπ' ἐναντίας ἐκείνοις ἅπαντα πράττοντες; Ἐκεῖνοι ἅμα ἤκουσαν, καὶ ἐβαπτίσαντο· οὐκ εἶπον ταῦτα τὰ ῥήματα τὰ ψυχρά, ἅπερ ἡμεῖς νῦν, οὐδὲ τὴν ἀναβολὴν ἐπραγματεύσαντο, (καίτοι γε οὐ πάντα ἤκουσαν τὰ δικαιώματα), ἀλλὰ μόνον τὸ «σώθητε ἀπὸ τῆς γενεᾶς ταύτης». Οὐκ ὀκνηροὺς αὐτοὺς ἐποίησεν, ἀλλὰ ἀπεδέξαντο τοὺς λόγους· καὶ ὅτι ἀποδέξαντο, διὰ τῶν ἔργων ἐδήλωσαν, καὶ ἔδειξαν ἑαυτοὺς τίνες ἦσαν· ἅμα γὰρ ἐνέβησαν εἰς τὸν ἀγῶνα, ἀπεδύσαντο τὰ ἱμάτια, ἡμεῖς δὲ ἐμβαίνοντες, μετὰ ἱματίων παλαίειν βουλόμεθα. Διὰ τοῦτο οὐ δεῖται πόνων ὁ ἀνταγωνιστής, ἀλλ' ἐν αὐτοῖς περιπλακέντες πολλάκις κατηνέχθημεν· ταὐτὸν γὰρ ποιοῦμεν, ὥσπερ ἄν, εἴ τις ἄνδρα ἀθλητὴν κεκονιμένον, μέλανα, γυμνούμενον ἰδών, πολὺν καὶ ἀπὸ τῆς ἄμμου καὶ τοῦ ἡλίου πηλὸν ἔχοντα, καὶ ἀνακεχρωσμένον τῷ ἐλαίῳ, καὶ τῷ ἱδρῶτι, καὶ τῷ πηλῷ, αὐτὸς μύρων ὄζων, σηρικὰ λαβὼν ἱμάτια καὶ χρυσᾶ ὑποδήματα, καὶ στολὴν μέχρι σφυρῶν καθιεμένην, καὶ χρυσία περὶ τὴν κεφαλήν, συμπλέκοιτο εἰσιών· ὁ γὰρ τοιοῦτος οὐκ ἐμποδισθήσεται μόνον, ἀλλὰ καὶ πᾶσαν τὴν φροντίδα περὶ τὸ μὴ μολῦναι μηδὲ διαρρῆξαι τοὺς χιτῶνας ἔχων, ἐκ πρώτης εὐθέως προσβολῆς πεσεῖται, καὶ ὅπερ δέδοικεν, εὐθέως τοῦτο πείσεται, περὶ ἐκεῖνα τὰ καίρια τὴν ζημίαν λαβών.

νοι, ὅτι εἶναι χριστιανισμός. Ἀλλ' ἐμεῖς ὄχι ἔτσι· διότι τώρα ἐπιζητοῦμε ἐδῶ τὶς ἀνέσεις. Γι' αὐτὸ οὔτε ὅταν θὰ ὑπάρχει ἀνάγκη θὰ ἐπιτύχουμε αὐτά. «Τί νὰ κάνουμε;» ἐρωτοῦσαν ἐκεῖνοι, ἀδιαφορώντας γιὰ τοὺς ἑαυτούς τους. Ἐμεῖς ὅμως τὸ ἀντίθετο, 'τί νὰ κάνομε;', λέμε, κάνοντας ἐπίδειξη πρὸς τοὺς παρόντες καὶ ἔχοντας μεγάλη ἰδέα γιὰ τὸν ἑαυτό μας. Αὐτὰ ποὺ ἔπρεπε νὰ γίνουν, τὰ ἔκαμναν ἐκεῖνοι, ἐμεῖς δὲ τὰ ἀντίθετα. Κατέκριναν τοὺς ἑαυτούς τους ἐκεῖνοι, ἀδιαφόρησαν γιὰ τὴ σωτηρία τους· γι' αὐτὸ ἔγιναν τέτοιοι· κατάλαβαν πόσο μεγάλο δῶρο ἔλαβαν.

4. Πῶς δὲ ἐσεῖς θὰ γίνετε τέτοιοι, ἀφοῦ κάνετε τὰ πάντα ἀντίθετα πρὸς ἐκείνους; Ἐκεῖνοι μόλις ἄκουσαν τὴ διδασκαλία βαπτίσθηκαν· δὲν εἶπαν αὐτὰ τὰ ψυχρὰ λόγια, ποὺ λέμε ἐμεῖς τώρα· οὔτε συζήτησαν τὴν ἀναβολή· παρ' ὅτι δὲν ἄκουσαν ὅλα τὰ δικαιώματα, ἀλλὰ μόνο τό, «σωθεῖτε ἀπὸ τὴν γενεὰ αὐτή». Δὲν τοὺς ἔκαμνε ὀκνηρούς, ἀλλ' ἀποδέχθηκαν τοὺς λόγους, καὶ ὅτι ἀποδέχθηκαν, τὸ ἀπέδειξαν μὲ τὰ ἔργα καὶ ἔδειξαν τοὺς ἑαυτούς τους ποῖοι ἦταν. Διότι, μόλις εἰσῆλθαν στὸν ἀγώνα, ἔβγαλαν τὰ ροῦχα· ἐμεῖς δὲ ὅταν εἰσερχόμαστε στὸν ἀγώνα, θέλουμε νὰ παλεύουμε μὲ τὰ ροῦχα. Γι' αὐτὸ δὲν ἔχει ἀνάγκη ἀπὸ κόπους ὁ ἀνταγωνιστής, ἐμεῖς δὲ ὅταν συνέβηκε νὰ ἐμπλακοῦμε σ' αὐτοὺς τοὺς ἀγῶνες πολλὲς φορὲς νικηθήκαμε. Διότι κάμνομε τὸ ἴδιο, ὅπως ἀκριβῶς, ὅταν κάποιος, ἀφοῦ δεῖ ἕνα ἄνδρα ἀθλητή, σκονισμένο, μαῦρο, γυμνὸ καὶ πολὺ λασπωμένο καὶ ἀπὸ τὴν ἄμμο καὶ ἀπὸ τὸν ἥλιο, καὶ ἀλειμμένο μὲ λάδι καὶ ἱδρώτα καὶ λάσπη, ἐνῶ αὐτὸς μυρίζει ἀρώματα, φορώντας μεταξωτὰ ροῦχα καὶ χρυσὰ ὑποδήματα, καὶ στολὴ ποὺ φθάνει μέχρι τοὺς ἀστράγαλους, καὶ χρυσὰ γύρω στὸ κεφάλι, εἰσέρχεται γιὰ νὰ ἀγωνιστεῖ. Διότι αὐτὸς ὄχι μόνο θὰ ἐμποδισθεῖ, ἀλλὰ ἔχοντας ὅλη τὴ φροντίδα του πῶς νὰ μὴ λερώσει, οὔτε νὰ σχίσει τὰ ροῦχα, μὲ τὴν πρώτη ἐπίθεση ποὺ θὰ δεχθεῖ θὰ πέσει, καὶ ἐκεῖνο ποὺ φοβόταν, ἀμέσως θὰ τὸ πάθει καὶ θὰ ὑποστεῖ ζημία ἀκριβῶς στὰ καίρια ἐκεῖνα σημεῖα.

Καιρὸς ἀγῶνος ἐνέστηκε· σὺ δὲ περιβάλλῃ σηρικά; καιρὸς σταδίου· σὺ δὲ καθάπερ ἐν πομπῇ κοσμεῖς σαυτόν; Καὶ πῶς περιέσῃ; Μή μοι πρὸς τὰ ἔξω ἴδῃς, ἀλλὰ πρὸς τὰ ἔσω· ταῖς γὰρ τούτων φροντίσι, καθάπερ σχοινίοις χαλεποῖς, πάντοθεν ἡ ψυχὴ συνδέεται, χεῖρα οὐκ ἐῶσα ἀντᾶραι, οὐδὲ ἐπανατείνασθαι τῷ πολεμίῳ, μαλακοὺς ἐργαζομένη καὶ ἁπαλούς. Ἀγαπητόν, πάντων ἀπαλλαγέντα δυνηθῆναι περιγενέσθαι τῆς ἀκαθάρτου δυνάμεως ἐκείνης. Διὰ τοῦτο καὶ ὁ Χριστός, ὡς οὐκ ἀρκούσης τῆς τῶν χρημάτων μόνον ἀποβολῆς, ὅρα τί φησι· «Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι». Εἰ δέ, οὐδὲ ὅταν ἀποδυσώμεθα τὰ χρήματα, οὐδέπω ἐν ἀσφαλείᾳ ἑστήκαμεν, ἀλλὰ καὶ ἑτέρας τινὸς τέχνης καὶ ἀκριβείας ἡμῖν δεῖ, πολλῷ μᾶλλον ἔχοντες οὐδὲν ἐργασόμεθα μέγα, ἀλλὰ καταγέλαστοι καὶ τοῖς θεαταῖς καὶ αὐτῷ γενησόμεθα τῷ πονηρῷ· κἂν γὰρ διάβολος μὴ ᾖ, κἂν ὁ παλαίων μηδεὶς ᾖ, μυρίαι πάντοθεν ὁδοὶ πρὸς τὴν γέενναν τὸν φιλοχρήματον ἄγουσι. Ποῦ νῦν εἰσιν οἱ λέγοντες, 'Διὰ τί ὁ διάβολος γέγονεν;'. Ἰδοὺ ἐνταῦθα ὁ διάβολος οὐδὲν ἐργάζεται, ἀλλὰ τὸ πᾶν ἡμεῖς. Καὶ μὴν οἱ ἐν τοῖς ὄρεσι ταῦτα λέγειν ὤφειλον, οἱ μετὰ σωφροσύνην καὶ χρημάτων ὑπεροψίαν καὶ τὴν τῶν ἄλλων καταφρόνησιν, πατέρα, καὶ οἰκίας, καὶ ἀγρούς, καὶ γυναῖκα, καὶ παιδία ἀφεῖναι μυριάκις ἑλόμενοι. Ἀλλ' ἐκεῖνοι μάλιστα ταῦτα οὐ λέγουσιν· ἃ δὲ οὐδέποτε λέγειν ἐχρῆν, οὗτοι λέγουσιν. Ἐκεῖνα τοῦ διαβόλου τὰ παλαίσματα· εἰς ταῦτα δὲ οὐδὲ καθεῖναι ἄξιον.

Ἀλλὰ αὐτήν φησί, τὴν φιλοχρηματίαν ὁ διάβολος ἐνίησι. Καὶ ἀπόφυγε, καὶ μὴ καταδέξῃ, ἄνθρωπε. Νῦν δέ, ἂν μέν τινα ἴδῃς τινὸς ἀπὸ δρυφάκτου κατασκευάζοντα βόρβο-

7. Ματθ. 19, 21.

Ὁ καιρὸς γι' ἀγώνα ἔφθασε, σὺ δὲ φορεῖς μεταξωτά; εἶναι καιρὸς ἀσκήσεως, καιρὸς σταδίου, σὺ δὲ στολίζεις τὸν ἑαυτό σου σὰν νὰ πηγαίνεις σὲ πομπή; Καὶ πῶς θὰ ὑπερισχύσεις; Μὴ κοιτάζεις, σὲ παρακαλῶ, πρὸς τὰ ἔξω, ἀλλὰ πρὸς τὰ μέσα. Διότι μὲ αὐτὲς τὶς φροντίδες ἡ ψυχὴ εἶναι ἀπὸ παντοῦ δεμένη σὰν νὰ εἶναι μὲ δυνατὰ σχοινιά, χωρὶς νὰ ἀφήνει τὸ χέρι νὰ ὑψωθεῖ, οὔτε νὰ σηκωθεῖ ἐναντίον τοῦ ἐχθροῦ, δημιουργώντας μαλθακοὺς καὶ ἁπαλοὺς ἀνθρώπους. Εὐχάριστον εἶναι, ἀφοῦ κανένας ἀπαλλαγεῖ ἀπ' ὅλα, νὰ κατορθώσει νὰ ὑπερισχύσει ἀπὸ τὴν ἀκάθαρτη ἐκείνη δύναμη. Γι' αὐτὸ καὶ ὁ Χριστός, σὰν νὰ μὴ ἀρκεῖ ἡ ἀπαλλαγὴ μόνο ἀπὸ τὰ χρήματα, κοίταξε τί λέγει· «Πώλησε τὰ ὑπάρχοντά σου καὶ πρόσφερέ τα στοὺς φτωχοὺς καὶ ἔλα νὰ μὲ ἀκολουθήσεις»[7]. Ἂν ὅμως οὔτε ὅταν ἀπαλλαχθοῦμε ἀπὸ τὰ χρήματα, δὲν βρισκόμαστε ἀκόμη σὲ ἀσφάλεια, ἀλλὰ χρειαζόμαστε καὶ κάποια ἄλλη τέχνη καὶ προσοχή, πολὺ περισσότερο ὅταν ἔχουμε τὰ χρήματα, δὲν ἐπιτυγχάνομε τίποτε μεγάλο, ἀλλὰ κινδυνεύομε νὰ γίνουμε καταγέλαστοι καὶ στοὺς θεατὲς καὶ σ' αὐτὸν τὸν ἴδιο τὸν πονηρό. Διότι καὶ ἂν δὲν ὑπάρχει διάβολος, καὶ ἂν δὲν ὑπάρχει κανένας ἀντίπαλος, ἐν τούτοις ἄπειροι δρόμοι ἀπὸ παντοῦ ὁδηγοῦν τὸ φιλοχρήματο στὴ γέεννα. Ποῦ εἶναι τώρα αὐτοὶ ποὺ λέγουν, 'γιατί ἔγινε ὁ διάβολος'; Νὰ ἐδῶ ὁ διάβολος δὲν κάμνει τίποτε, ἀλλὰ τὸ πᾶν κάμνομε ἐμεῖς. Καὶ ὅμως αὐτὰ ἔπρεπε νὰ τὰ λέγουν οἱ ὀρεισίβιοι, ποὺ, μὲ σωφροσύνη καὶ περιφρόνηση τῶν χρημάτων καὶ ἀδιαφορία τῶν ἄλλων, προτιμοῦν ἄπειρες φορὲς νὰ ἀφήσουν πατέρα, καὶ οἰκίες καὶ ἀγροὺς καὶ γυναίκα καὶ παιδιά. Ἀλλὰ πολὺ περισσότερο ἐκεῖνοι δὲν τὰ λέγουν αὐτά· αὐτοὶ ὅμως λέγουν ἐκεῖνα, ποὺ οὐδέποτε ἔπρεπε νὰ λέγουν. Ἐκεῖνα πράγματι εἶναι ἀγωνιστικὰ τεχνάσματα τοῦ διαβόλου· σ' αὐτὰ δὲ δὲν ἀξίζει οὔτε νὰ κατεβεῖς.

Ἀλλά, λέγει, αὐτὴ τὴ φιλοχρηματία ὁ διάβολος τὴν ἔβαλε μέσα μας. Ἀπόφυγέ την καὶ μὴ τὴν ἀποδεχθεῖς, ἄνθρωπε. Τώρα δέ, ἂν μὲν δεῖς κάποιον ἀπὸ κάποιο κιγκλί-

ρον, εἶτα τὸν ὁρῶντα καταχεόμενον αὐτοῦ ἑστῶτα καὶ τὸ πᾶν δεχόμενον τῇ κεφαλῇ, οὐ μόνον οὐκ ἐλεεῖς, ἀλλὰ καὶ ἀγανακτεῖς, καὶ φὴς αὐτὸν δικαίως πεπονθέναι, καί, «μὴ μωρὸς ἴσθι» ἕκαστος πρὸς αὐτὸν φθέγγεται, καὶ οὐ τὸν βάλλοντα τοσοῦτον αἰτιᾷ, ἀλλὰ τὸν δεχόμενον· νυνὶ δὲ οἶδας ὅτι τοῦ διαβόλου ἡ φιλοχρηματία, οἶδας ὅτι μυρίων κακῶν τοῦτο αἴτιον, ὁρᾷς αὐτὸν καθάπερ βόρβορον κατασκευάζοντα τοὺς συρφετοὺς λογισμοὺς καὶ αἰσχρούς, καὶ γυμνῇ τῇ κεφαλῇ δεχόμενος τὴν ἀκαθαρσίαν τὴν ἐκείνου οὐ νοεῖς, δέον μικρὸν ἐκκλίναντα τοῦ παντὸς ἀπηλλάχθαι; Καθάπερ ἂν ἐκεῖνος τὸν τόπον ἐκκλίνας ἀπηλλάγη, οὕτω καὶ σὺ μὴ δέχου τοὺς τοιούτους λογισμούς, καὶ φεύξῃ τὴν ἁμαρτίαν, ἀπόκρουσαι τὴν ἐπιθυμίαν. Καὶ πῶς ἀποκρούσομαι; φησίν. Εἰ μὲν Ἕλλην ἦς, καὶ τὰ παρόντα ἐθαύμαζες μόνα, τάχα πολλῆς ἦν δυσκολίας τὸ πρᾶγμα, (καίτοι γε ἐκεῖνοι κατώρθωσαν τοῦτο), ἄνθρωπος δέ, τὸν οὐρανὸν προσδοκῶν καὶ τὰ ἐν τοῖς οὐρανοῖς, λέγεις, 'Πῶς ἀποκρούσομαι;'. Εἰ τοὐναντίον ἔλεγον, τότε ἐχρῆν ἀπορεῖν· εἰ ἔλεγον, 'Ἐπιθύμησον χρημάτων'. Καὶ πῶς ἐπιθυμήσω χρημάτων; ἔφης ἄν, τοιαῦτα ὁρῶν.

Εἰπέ μοι, εἰ, χρυσοῦ προκειμένου καὶ λίθων τιμίων, ἔλεγον, 'Ἐπιθύμησον μολύβδου', ἆρα οὐκ ἦν ἀπορίας; Εἶπες γὰρ ἄν· 'Πῶς δύναμαι;'. Εἰ δὲ ἔλεγον, 'Μὴ ἐπιθυμήσῃς', τοῦτο εὐκολώτερον ἦν. Οὐ θαυμάζω τοὺς καταφρονοῦντας, ἀλλὰ τοὺς μὴ καταφρονοῦντας· σφόδρα ψυχῆς τοῦτο νωθείας πεπληρωμένης, μυιῶν καὶ κωνώπων οὐδὲν διαφερούσης, χαμαὶ συρομένης, ἰλυσπωμένης ἐν τῷ βορβόρῳ, οὐδὲν μέγα φανταζομένης. Τί λέγεις; ζωὴν μέλλεις κληρονομεῖν αἰώνιον καὶ λέγεις, 'Πῶς καταφρονήσω τῆς παρούσης ὑπὲρ ἐ-

δωμα ξύλινο νὰ κατασκευάζει βοῦρκο, ἔπειτα τὸν βλέποντα νὰ στέκεται ἐκεῖ καὶ νὰ καταβρέχεται, καὶ τὸ κάθε τί νὰ δέχεται στὸ κεφάλι του, ὄχι μόνο δὲν τὸν ἐλεεῖς, ἀλλὰ καὶ ἀγανακτεῖς, καὶ λέγεις ὅτι αὐτὸς δίκαια τὰ παθαίνει, καὶ ὁ καθένας λέγει πρὸς αὐτόν, 'μὴ γίνεσαι μωρός'· καὶ δὲν κατηγορεῖ τόσο αὐτὸν ποὺ ρίχνει τὸ βοῦρκο, ἀλλὰ αὐτὸν ποὺ τὸν δέχεται. Τώρα λοιπὸν γνωρίζεις ὅτι ἡ φιλοχρηματία εἶναι τοῦ διάβολου· γνωρίζεις ὅτι αὐτὴ εἶναι αἰτία ἄπειρων κακῶν· βλέπεις αὐτὸν νὰ κατασκευάζει τοὺς χυδαίους καὶ αἰσχροὺς λογισμούς, ὅπως ἀκριβῶς τὸ βοῦρκο, καί, δεχόμενος τὴν ἀκαθαρσία ἐκείνου στὴν γυμνὴ κεφαλή σου, δὲν σκέπτεσαι ὅτι εἶναι ἀνάγκη, ἀφοῦ παρακλίνεις λίγο, νὰ ἀπαλλαγεῖς ἀπ' ὅλα; Ὅπως ἀκριβῶς ἐκεῖνος, ἂν παρέκλινε κατὰ τὸν τόπο, θὰ ἀπαλλασσόταν, ἔτσι καὶ σὺ μὴ δέχεσαι αὐτοὺς τοὺς λογισμοὺς καὶ θὰ ἀποφύγεις τὴν ἁμαρτία, θὰ ἀποκρούσεις τὴν ἐπιθυμία. Καὶ πῶς θὰ τὴν ἀποκρούσω, λέγει; Ἂν μὲν ἤσουν ἐθνικός, καὶ θαύμαζες μόνο τὰ παρόντα, πιθανὸν θὰ ἦταν πολὺ δύσκολο τὸ πράγμα, ἂν καὶ βέβαια ἐκεῖνοι κατόρθωσαν αὐτό, σὺ δὲ ἄνθρωπος, ποὺ προσβλέπεις στὸν οὐρανὸ καὶ τὰ ὅσα εἶναι στοὺς οὐρανούς, λέγεις, «πῶς θὰ τὴν ἀποκρούσω;». Ἂν ἔλεγα τὸ ἀντίθετο, τότε ἔπρεπε νὰ ἀπορεῖς· ἂν ἔλεγα, «ἐπιθύμησε τὰ χρήματα', θὰ μποροῦσες νὰ πεῖς, καὶ πῶς νὰ ἐπιθυμήσω τὰ χρήματα, βλέποντας αὐτά;

Πές μου, ἂν βρισκόταν μπροστά σου χρυσὸς καὶ πολύτιμοι λίθοι, καὶ ἔλεγα, 'ἐπιθύμησε μόλυβδο', δὲν θὰ βρισκόσουν σὲ ἀπορία; Διότι θὰ ἔλεγες, 'πῶς μπορῶ;'. Ἐὰν ὅμως ἔλεγα, 'μὴ ἐπιθυμήσεις', αὐτὸ θὰ ἦταν εὐκολώτερο. Δὲν ἀπορῶ γιὰ ἐκείνους ποὺ περιφρονοῦν, ἀλλὰ γιὰ ἐκείνους ποὺ δὲν περιφρονοῦν τὰ χρήματα· αὐτὸ εἶναι χαρακτηριστικὸ ψυχῆς γεμάτης ἀπὸ ὑπερβολικὴ ἀκαθαρσία ποὺ δὲν διαφέρει ἀπὸ τὶς μύγες καὶ τὰ κουνούπια, ποὺ σύρεται κατάχαμα, ποὺ κυλιέται στὸ βοῦρκο, χωρὶς νὰ ἀποβλέπει σὲ τίποτε μεγάλο. Τί λέγεις; πρόκειται νὰ κληρονομήσεις ζωὴ αἰώνια καὶ λέγεις, πῶς θὰ περιφρονήσω τὴν παρούσα ζωὴ γιὰ χάρη ἐκείνης'; Διότι μήπως

κείνην'; μὴ γὰρ ἀμφήριστά ἐστι τὰ πράγματα; ἱμάτιον μέλλεις λαμβάνειν βασιλικόν, καὶ λέγεις, 'Πῶς καταφρονήσω τῶν ῥακίων;' εἰς τὴν τοῦ βασιλέως μέλλεις ἄγεσθαι οἰκίαν, καὶ λέγεις· 'Πῶς καταφρονήσω τῆς πενιχρᾶς τῆς παρούσης;'. Ὄντως ἡμεῖς ἐσμεν αἴτιοι πανταχοῦ, οἱ μὴ θέλοντες διεγερθῆναι μικρόν· οἱ γὰρ θελήσαντες, πάντες κατώρθωσαν· καὶ κατώρθωσαν μετὰ πολλῆς τῆς σφοδρότητος καὶ τῆς εὐκολίας.

Γένοιτο δὲ καὶ ὑμᾶς, πεισθέντας τῇ ἡμετέρᾳ παραινέσει, κατορθῶσαι καὶ ζηλωτὰς γενέσθαι τῶν κατωρθωκότων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς αὐτοῦ Υἱοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ Ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

εἶναι τὰ πράγματα ἀμφίβολα; Πρόκειται νὰ λάβεις βασιλικὴ ἐνδυμασία, καὶ λέγεις, 'πῶς θὰ περιφρονήσω τὰ κουρέλια;', πρόκειται νὰ ὁδηγηθεῖς στὴν οἰκία τοῦ βασιλέως καὶ λέγεις, 'πῶς θὰ περιφρονήσω τὴν παρούσα φτωχὴ οἰκία;'. Πράγματι ἐμεῖς εἴμαστε αἴτιοι παντοῦ, ὅταν δὲν θέλουμε νὰ δείξουμε λίγο ἐνδιαφέρον. Διότι ὅσοι θέλησαν, ὅλοι κατόρθωσαν, καὶ τὸ κατόρθωσαν μὲ πολλὴ δύναμη καὶ εὐκολία.

Εἴθε δὲ καὶ ἐσεῖς, ἀφοῦ πεισθεῖτε στὴ δική μου συμβουλή, νὰ κατορθώσετε νὰ γίνετε ζηλωτὲς ἐκείνων, ποὺ ἤδη ἔχουν κατορθώσει μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Μονογενῆ Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει δόξα, δύναμη καὶ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

προκόβετε; Νομίζω ὅτι πετῶ, ὅταν ἀκούσω κάτι καλὸ γιὰ σᾶς. «Κάμετέ μου τὴ χαρὰ πλήρη»[16]. Τόσο μόνο εἰσέφερα στὴν προσευχή, ὅτι ἐπιθυμῶ τὴν προκοπή σας. Ἐκεῖνο δὲ γιὰ τὸ ὁποῖο ἀγωνίζομαι γιὰ ὅλους σας, εἶναι αὐτό, ὅτι σᾶς ἀγαπῶ, ὅτι ἔχω συνδεθεῖ μαζί σας, ὅτι τὰ πάντα γιὰ μένα εἶστε σεῖς, καὶ πατέρας καὶ μητέρα καὶ ἀδελφοὶ καὶ παιδιά.

Μὴ λοιπὸν νομίσετε, ὅτι κάτι ἀπὸ τὰ λεγόμενά μου λέγεται πρὸς ἀποστροφή, ἀλλὰ πρὸς διόρθωση. Διότι λέγει, «Ἀδελφὸς βοηθούμενος ὑπὸ ἀδελφοῦ εἶναι σὰν πόλη ὀχυρωμένη»[17]. Μὴ λοιπὸν ἀπαξιώσετε νὰ ἀκούσετε τὰ λόγια μου, διότι οὔτε ἐγὼ περιφρονῶ τὸν δικό σας λόγο, ἀλλὰ θὰ ἤθελα νὰ διορθώνομαι ἀπὸ σᾶς, θὰ ἤθελα νὰ διδάσκομαι ἀπὸ σᾶς. Διότι ὅλοι ἐμεῖς εἴμαστε ἀδελφοί, ἕνας δὲ ἀπὸ μᾶς εἶναι ὁ καθηγητής. Ὑπάρχει δὲ καὶ μεταξὺ τῶν ἀδελφῶν ἕνας, ποὺ μπορεῖ νὰ δίνει ἐντολὲς καὶ οἱ ἄλλοι νὰ πείθωνται. Μὴ λοιπὸν ἀπαξιώσετε, ἀλλ' ἃς τὰ κάνομε ὅλα γιὰ τὴ δόξα τοῦ Θεοῦ· διότι σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Η΄
(Πράξ. 3, 1 - 11)

«Ἐπὶ τὸ αὐτὸ δὲ Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην».

1. Πανταχοῦ φαίνονται οὗτοι πολλὴν ἔχοντες πρὸς ἀλλήλους ὁμόνοιαν. «Τοῦτο νεύει ὁ Πέτρος»· ὁμοῦ εἰς τὸν τάφον ἔρχονται οὗτοι· περὶ αὐτοῦ φησι τῷ Χριστῷ· «Οὗτος δὲ τί;»· Τὰ μὲν οὖν ἄλλα σημεῖα παρεῖδεν ὁ τὸ βιβλίον συγγράφων, ὃ δὲ πολλὴν εἶχε τὴν ἔκπληξιν καὶ πάντας ἐξένιζε, λέγει. Καὶ ὅρα πάλιν αὐτοὺς οὐ προηγουμένως ἐπ' αὐτὸ ἐρχομένους· οὕτω φιλοτιμίας ἦσαν καθαροί, καὶ τὸν διδάσκαλον ἐμιμοῦντο τὸν αὐτῶν. Τί δὲ ἀνῄεσαν εἰς τὸ ἱερόν; ἄρα ἔτι Ἰουδαϊκῶς ἔζων; Οὐχί· ἀλλὰ χρησίμως τοῦτο ποιοῦσι. Γίνεται γὰρ σημεῖον πάλιν ἐκείνους τε βεβαιοῦν καὶ τοὺς ἄλλους ἐφελκόμενον· καὶ σημεῖον, οἷον οὔπω ἦσαν ποιήσαντες. Φυσικὸν τὸ πάθος ἦν, καὶ κρεῖττον τέχνης ἰατρικῆς. Μᾶλλον δὲ τεσσαράκοντα ἔτη ἦν πεποιηκὼς ἐν τῇ χωλείᾳ, καθὼς προϊὼν φησι, καὶ οὐδεὶς αὐτὸν ἐν παντὶ τῷ χρόνῳ ἐθεράπευσεν. Ἴστε δὲ ὅτι ταῦτα μάλιστα δυσκολώτερα, ἅπερ ἂν ἐκ γενετῆς εἴη. Τοσοῦτον ἦν τὸ δεινόν, ὅτι οὐδὲ τὴν ἀναγκαίαν τροφὴν πορίζεσθαι δυνατὸς ἦν ἑαυτῷ. Καὶ ἐπίσημος δὲ ὑπῆρχεν ἀπό τε τοῦ τόπου, ἀπό τε τοῦ πάθους· καὶ πῶς, ἄκουε. «Καί τις ἀνὴρ χωλός», φησίν, «ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο· ὃν ἐτίθουν καθ' ἡμέραν εἰς τὴν θύραν τοῦ ἱεροῦ, τὴν λεγομένην Ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν». Ἐλεημοσύνην λαβεῖν ἄρα ἐζήτει, καὶ οὐκ ᾔδει τίνες ἦσαν οἱ ἄνδρες.

1. Δηλαδὴ τὴν τρίτη ἀπογευματινή.
2. Ἰωάν. 13, 24.
3. Ἰωάν. 20, 3.
4. Ἰωάν. 21, 21.

ΟΜΙΛΙΑ Η΄
(Πράξ. 3, 1-11)

«Ὁ Πέτρος καὶ ὁ Ἰωάννης ἀνέβαιναν μαζὶ στὸ ναὸ τὴν ὥρα τῆς προσευχῆς, τὴν ἔνατη»[1].

1. Παντοῦ φαίνονται αὐτοὶ νὰ ἔχουν πολλὴ μεταξύ τους ὁμόνοια. «Στὸν Ἰωάννη κάμνει νεῦμα ὁ Πέτρος»[2] μαζὶ αὐτοὶ ἔρχονται στὸν τάφο[3]. Γιὰ τὸν Ἰωάννη λέγει ὁ Πέτρος στὸ Χριστό· «Αὐτὸς δὲ τί θὰ γίνει;»[4]. Τὰ ἄλλα μὲν σημεῖα παρέβλεψε ὁ συγγραφέας τοῦ βιβλίου, λέγει δὲ ἐκεῖνο, ποὺ προκάλεσε πολλὴ ἔκπληξη καὶ ὅλους παραξένευσε. Καὶ πρόσεχε πάλι αὐτούς, ποὺ δὲν ἔρχονται προηγουμένως στὸ ἱερό. Ἔτσι ἦταν καθαροὶ ἀπὸ φιλοδοξία, καὶ μιμοῦνταν τὸ διδάσκαλό τους. Γιατί δὲ ἀνέβηκαν στὸ ἱερό; ἄρα ἀκόμα ζοῦσαν κατὰ ἰουδαϊκὸ τρόπο; Ὄχι· ἀλλὰ τὸ κάμνουν αὐτὸ γιὰ ὠφέλεια. Διότι γίνεται θαῦμα ποὺ πάλι καὶ αὐτοὺς ἀποδεικνύει καὶ τοὺς ἄλλους προσελκύει· καὶ τέτοιο θαῦμα ποὺ παρόμοιο δὲν εἶχαν κάμει ἀκόμα. Ἡ πάθηση ἦταν φυσικὴ καὶ ἀνώτερη τῆς ἰατρικῆς τέχνης. Μᾶλλον δὲ ἦταν χωλὸς σαράντα χρόνια, καθὼς λέγει παρακάτω, καὶ κανένας δὲν τὸν θεράπευσε σ' ὅλο αὐτὸ τὸ χρονικὸ διάστημα. Γνωρίζετε δέ, ὅτι αὐτὲς οἱ παθήσεις θεραπεύονται πολὺ πιὸ δυσκολώτερα, ὅταν συμβαίνει δηλαδὴ νὰ εἶναι χωλὸς ἐκ γενετῆς. Τόσο μεγάλη ἦταν ἡ ἀναπηρία του, ὥστε οὔτε τὴν ἀναγκαία τροφὴ μποροῦσε νὰ προμηθεύεται γιὰ τὸν ἑαυτό του. Καὶ φανερωνόταν αὐτὸ καὶ ἀπὸ τὴν κατάσταση στὴν ὁποία βρισκόταν, καὶ ἀπὸ τὴν πάθησή του· καὶ πῶς; ἄκουε· «Καὶ κάποιος», λέγει, «ἄνθρωπος, ποὺ ἦταν χωλὸς ἀπὸ τὴν κοιλιὰ τῆς μητέρας του, φερόταν στὰ χέρια καὶ τοποθετοῦνταν κάθε ἡμέρα στὴν εἴσοδο τοῦ ἱεροῦ, ποὺ ὀνομαζόταν Ὡραία, γιὰ νὰ ζητεῖ ἐλεημοσύνη ἀπὸ ἐκείνους ποὺ εἰσέρχονταν στὸ ναό». Ἄρα ζητοῦσε νὰ λάβει ἐλεημοσύνη καὶ δὲν γνώριζε ποιοὶ

«Ὅς, ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερόν, ἠρώτα ἐλεημοσύνην λαβεῖν. Ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ, εἶπε· Βλέψον εἰς ἡμᾶς». Τοῦτο ἀκούει, ὁ δὲ οὐδὲ οὕτως ἀνίσταται, ἀλλ' ἔτι μένει διενοχλῶν. Τοιοῦτον γὰρ ἡ πενία, καὶ δοῦναι ἀπαγορεύοντας ἐπιμένει καὶ ἀναγκάζει. Αἰσχυνθῶμεν οἱ ἐν ταῖς εὐχαῖς ἀποπηδῶντες.

Ὅρα δέ μοι τὴν ἐπιείκειαν πῶς ἔδειξε Πέτρος εὐθύς, εἰπών· «Βλέψον εἰς ἡμᾶς». Οὕτως αὐτῶν τὸ σχῆμα αὐτόθεν ἐδείκνυ τὸν τρόπον. «Ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν. Εἶπε δὲ Πέτρος· Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι, δίδωμι». Οὐκ εἶπεν ὅτι 'τοῦ ἀργυρίου πολλῷ βέλτιόν σοι δίδωμι', ἀλλὰ τί; «Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ἔγειραι καὶ περιπάτει. Καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρεν». Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε· πολλάκις λόγῳ ἐθεράπευσε, πολλάκις ἔργῳ, πολλάκις καὶ τὴν χεῖρα προσήγαγεν, ὅπου ἦσαν ἀσθενέστεροι κατὰ τὴν πίστιν, ἵνα μὴ δόξῃ ἀπὸ ταυτομάτου γίνεσθαι. «Καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρός, ἤγειρε». Τοῦτο ἐποίησε δήλην τὴν ἀνάστασιν· ἀναστάσεως γὰρ ἦν εἰκών. «Καὶ παραχρῆμα ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά. Καὶ ἐξαλλόμενος ἔστη καὶ περιεπάτει». Πειράζων ἴσως ἑαυτόν, καὶ πλείονα τὴν βάσανον ἐποιεῖτο μὴ ἄρα ἁπλῶς ἐστι τὸ γεγονός. Ἀσθενεῖς ἦσαν αὐτῷ οἱ πόδες, οὐ κεκομμένοι. Τινὲς δέ φασιν ὅτι καὶ ἠγνόει περιπατεῖν. «Καὶ εἰσῆλθε σὺν αὐτοῖς περιπατῶν εἰς τὸ ἱερόν». Ὄντως θαύματος ἄξιον! Οὐκ αὐτοὶ αὐτὸν ἐπάγονται, ἀλλ' αὐτὸς ἀκολουθεῖ, διὰ τῆς ἀκολουθήσεως τοὺς εὐεργέτας δεικνύς, καὶ διὰ τοῦ μετὰ τὸ ἅλλεσθαι αἰνεῖν τὸν Θεόν, οὐκ ἐκείνους θαυ-

ἦταν οἱ ἄνδρες. «Αὐτὸς δὲ ὅταν εἶδε ὅτι ὁ Πέτρος καὶ ὁ Ἰωάννης ἐπρόκειτο νὰ εἰσέλθουν στὸ ἱερό, ζητοῦσε νὰ λάβει ἐλεημοσύνη. Παρατηρώντας δὲ ὁ Πέτρος αὐτὸν μὲ σταθερὸ βλέμμα, μαζὶ μὲ τὸν Ἰωάννη, εἶπε· κοίταξέ μας». Αὐτὸ τὸ ἀκούει, αὐτὸς ὅμως οὔτε τότε σηκώνεται, ἀλλ' ἀκόμη ἐπιμένει νὰ ἐνοχλεῖ ἐπαιτώντας. Διότι τέτοια εἶναι ἡ φτώχεια, καὶ ὅταν ἀρνούμαστε νὰ δώσουμε, ἐπιμένει καὶ ἀναγκάζει. Ἂς ἐντραποῦμε ὅσοι ἀποχωροῦμε ἀπὸ τὶς προσευχές.

Πρόσεχε σὲ παρακαλῶ, πῶς ὁ Πέτρος ἔδειξε ἀμέσως τὴν ἐπιείκεια, λέγοντας, «Κοίταξέ μας». Ἔτσι ἡ ὅλη στάση τους φανέρωνε τὸν χαρακτήρα τους. «Αὐτὸς δὲ ἔδωσε ὅλη τὴν προσοχή του πρὸς αὐτούς, διότι περίμενε νὰ λάβει κάτι ἀπὸ αὐτούς. Εἶπε δὲ ὁ Πέτρος· ἀσήμι καὶ χρυσάφι δὲν ἔχω· αὐτὸ δὲ ποὺ ἔχω, σοῦ τὸ δίνω». Δὲν εἶπε, ὅτι 'ἀπὸ τὸ ἀργύριο πολὺ καλύτερο σοῦ δίνω', ἀλλὰ τί; «Στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, σήκω ὄρθιος καὶ περπάτησε. Καὶ ἀφοῦ τὸν ἔπιασε ἀπὸ τὸ δεξί του χέρι, τὸν σήκωσε ὄρθιο». Ἔτσι ἔκανε καὶ ὁ Χριστός. Πολλὲς φορὲς θεράπευσε μὲ τὸ λόγο, πολλὲς φορὲς μὲ τὸ ἔργο, πολλὲς φορὲς ἅπλωσε καὶ τὸ χέρι του, ὅπου ἦταν ἀσθενέστερος κατὰ τὴν πίστη, γιὰ νὰ μὴ φανεῖ ὅτι γίνεται αὐτόματα. «Καὶ ἀφοῦ ἔπιασε αὐτὸν ἀπὸ τὸ δεξί του χέρι, τὸν σήκωσε ὄρθιο». Αὐτὸ ἔκανε φανερὴ τὴν ἀνάσταση· διότι ἦταν ἡ εἰκόνα τῆς ἀναστάσεως. «Καὶ ἀμέσως στερεώθηκαν τὰ πέλματά του καὶ οἱ κλειδώσεις του. Καὶ πηδώντας γεμάτος ἀπὸ χαρὰ στάθηκε ὄρθιος καὶ περπατοῦσε». Δοκιμάζοντας ἴσως τὸν ἑαυτό του μεγαλύτερη ἔκαμνε ἄσκηση, μὴ τυχὸν ἡ θεραπεία του ἦταν κάτι προσωρινό. Ἀσθενικὰ ἦσαν τὰ πόδια του, δὲν ἦταν κομμένα. Μερικοὶ δὲ λέγουν ὅτι ἀγνοοῦσε καὶ νὰ περπατεῖ. «Καὶ εἰσῆλθε μαζὶ μὲ αὐτοὺς στὸ ναὸ περπατώντας». Πράγματι ἦταν ἀξιοθαύμαστο. Δὲν τὸν ὁδηγοῦν αὐτοί, ἀλλ' αὐτὸς τοὺς ἀκολουθεῖ, ἀποδεικνύοντας μὲ τὴν ἀκολούθηση τοὺς εὐεργέτες του καὶ δοξολογώντας τὸ Θεὸ μὲ τὰ πηδήματα, δὲν θαύμαζε ἐκείνους, ἀλλὰ τὸ Θεό,

μάζων, ἀλλὰ τὸν Θεόν, τὸν δι' ἐκείνων ἐνεργήσαντα. Οὕτως εὐχάριστος ἦν ὁ ἀνήρ.

Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. «Ἀνέβαινον», φησίν, «ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην». Τάχα κατὰ τὸν καιρὸν τοῦτον βαστάζοντες τὸν χωλὸν ἐτίθουν, ὅτε μάλιστα εἰσήεσαν οἱ ἄνθρωποι εἰς τὸ ἱερόν. Ἵνα δὲ μὴ νομίσῃ τις ὅτι δι' ἕτερόν τι αὐτὸν ἐβάσταζον, καὶ οὐχὶ διὰ τὸ λαβεῖν, ὅρα πῶς τοῦτο σαφῶς παρέστησε δι' ὧν λέγει· «Ἐτίθουν αὐτόν, ὥστε ἐλεημοσύνην λαβεῖν παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν. Διὰ τοῦτο καὶ τόκων μέμνηται, ἔλεγχον διδοὺς ὧν γράφει. Καὶ πῶς, φησίν, αὐτὸν οὐ προσήγαγον τῷ Χριστῷ; Ἴσως ἦσαν ἄπιστοι οἱ τῷ ἱερῷ προσεδρεύοντες, ὅπου γε οὐδὲ τοῖς Ἀποστόλοις αὐτὸν προσήγαγον, ἰδόντες αὐτοὺς εἰσιόντας, καὶ θαύματα πεποιηκότας τοιαῦτα. «Ἠρώτα», φησίν, «ἐλεημοσύνην λαβεῖν»· ὥσπερ τινὰς εὐλαβεῖς ἄνδρας ἀπὸ τοῦ σχήματος αὐτοὺς τάχα κατενόησε, διὰ τοῦτο καὶ ἐπεῖχεν αὐτοῖς. Ὅρα δὲ πῶς ὁ Ἰωάννης πανταχοῦ σιγᾷ, ὁ δὲ Πέτρος καὶ ὑπὲρ αὐτοῦ ἀπολογεῖται· «Ἀργύριον», φησί, «καὶ χρυσίον οὐχ ὑπάρχει μοι». Οὐκ εἶπεν, 'Οὐκ ἔχω ἐνταῦθα', οἷα ἡμεῖς λέγομεν, ἀλλ' ὅλως, «Οὐκ ἔχω». Τί οὖν ὁ χωλός; Καὶ παρορᾷς με τὸν ἱκέτην; Οὔ, φησίν, ἀλλ' ἐξ ὧν ἔχω λάβε.

Ὁρᾷς πῶς ἄτυφος ὁ Πέτρος, καὶ οὐκ ἐπιδεικτιῶν οὐδὲ πρὸς αὐτὸν τὸν εὐεργετούμενον; Τὸ στόμα τοίνυν καὶ ἡ χεὶρ τὸ πᾶν εἰργάσατο. Τοιοῦτοί τινες ἦσαν καὶ Ἰουδαῖοι χωλεύοντες· καὶ δέον αἰτῆσαι ὑγείαν, οἱ δὲ μᾶλλον χρήματα αἰτοῦσι, χαμαὶ κείμενοι· οἳ καὶ διὰ τοῦτο τῷ ἱερῷ προσήδρευον, ἵνα χρηματίζωνται. Τί οὖν ὁ Πέτρος; Οὐχ ὑπερεῖδεν αὐτόν, οὐ πλουτοῦντά τινα ἐζήτησεν, οὐδὲ εἶπεν, 'Ἂν μὴ εἰς ἐκεῖνον γένηται τὸ θαῦμα, οὐδὲν μέγα ἐστίν', οὐ τιμήν τινα προσεδόκησε παρ' αὐτοῦ, οὐδὲ παρόντων τινῶν ἐθεράπευσεν αὐ-

πού ἐνήργησε θαυματουργικὰ μέσω ἐκείνων. Τόσο πολὺ χαρούμενος ἦταν ὁ ἄνθρωπος.

Ἀλλὰ ἃς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ προαναφερθέντα. «Ἀνέβαιναν μαζί», λέγει, «κατὰ τὴν ἔνατη ὥρα τῆς προσευχῆς». Ἴσως κατὰ τὸν χρόνο αὐτὸ ἔφερναν τὸ χωλὸ καὶ τὸν τοποθετοῦσαν, ὅταν δηλαδὴ περισσότεροι ἄνθρωποι εἰσέρχονταν στὸ ναό. Γιὰ νὰ μὴ νομίσει δὲ κανένας, ὅτι γι' ἄλλο λόγο τὸν κρατοῦσαν, καὶ ὄχι γιὰ νὰ λάβει ἐλεημοσύνη, βλέπε πῶς φανέρωσε αὐτὸ μὲ σαφήνεια μὲ τὰ ὅσα λέγει· «Τοποθετοῦσαν αὐτόν, ὥστε νὰ ζητεῖ ἐλεημοσύνη ἀπὸ ἐκείνους ποὺ εἰσέρχονταν στὸ ναό». Γι' αὐτὸ ἀναφέρει καὶ τόπους, δίνοντας ἀποδείξεις μὲ τὰ ὅσα γράφει. Καὶ πῶς, λέγει, δὲν τὸν ὁδήγησαν στὸ Χριστό; Ἴσως ἦταν ἄπιστοι αὐτοί, ποὺ τὸν ὑπηρετοῦσαν, ἀφοῦ βέβαια οὔτε στοὺς Ἀποστόλους ἔφεραν αὐτόν, ὅταν εἶδαν αὐτοὺς νὰ εἰσέρχονται στὸ ναὸ καὶ νὰ ἔχουν κάμει τέτοια θαύματα. «Καὶ ζητοῦσε νὰ λάβει ἐλεημοσύνη», λέγει, σὰν νὰ ἀντιλήφθηκε ἀπὸ τὴν ἐξωτερική τους ἐμφάνιση, ὅτι αὐτοὶ ἦταν ἄνδρες εὐλαβεῖς· καὶ γι' αὐτὸ προσέβλεπε μὲ προσοχὴ πρὸς αὐτούς. Βλέπε δέ, πῶς ὁ Ἰωάννης παντοῦ σιωπᾶ, ὁ δὲ Πέτρος ἀπολογεῖται καὶ γιὰ αὐτό. «Ἀσήμι καὶ χρυσάφι», λέγει, «δὲν ἔχω». Δὲν εἶπε, 'δὲν ἔχω ἐδῶ', ὅπως λέμε ἐμεῖς, ἀλλὰ δὲν ἔχω καθόλου. Τί λοιπὸν εἶπε ὁ χωλός; Καὶ παραβλέπεις ἐμένα τὸν ἱκέτη; Ὄχι, λέγει, ἀλλ', ἀπὸ ἐκεῖνα ποὺ ἔχω, λάβε.

Βλέπεις, πῶς ὁ Πέτρος εἶναι ταπεινόφρων καὶ δὲν ἐπιδεικνύεται οὔτε πρὸς αὐτὸν τὸν εὐεργετούμενο; Τὸ στόμα λοιπὸν καὶ τὸ χέρι ἔκαμναν τὸ πᾶν. Παρόμοιοι χωλοὶ ἦταν καὶ οἱ Ἰουδαῖοι· καὶ ἐνῶ ἔπρεπε νὰ ζητοῦν ὑγεία, αὐτοὶ ἀντίθετα ζητοῦσαν μᾶλλον χρήματα, παραμένοντας πνευματικὰ χαμηλά· αὐτοὶ δὲ καὶ γι' αὐτὸ κάθονταν κοντὰ στὴ θύρα, γιὰ νὰ λαμβάνουν χρήματα. Τί λοιπὸν ἔκαμε ὁ Πέτρος; Δὲν τὸν παρέβλεψε, δὲν ἀνεζήτησε κάποιον πλούσιο, οὔτε εἶπε, 'ἂν δὲν γίνει σὲ ἐκεῖνον τὸ θαῦμα, δὲν θὰ εἶναι μεγάλο'· οὔτε ἀνέμενε κάποια τιμὴ ἀπ' αὐτόν, οὔτε θεράπευσε αὐτόν, ἐνῶ ἦταν παρόντες μερικοί· διότι

τόν· ἐν γὰρ τῇ εἰσόδῳ ἦν ὁ ἀνήρ, οὐκ ἔνθα τὸ πλῆθος ἦν ἔνδον. Ἀλλ' οὐδὲν τούτων ἐζήτησεν ὁ Πέτρος, οὐδὲ εἰσελθὼν ἐκήρυξεν, ἀλλ' ἀπὸ μόνου τοῦ σχήματος τὸν χωλὸν ἐπεσπάσατο πρὸς τὴν αἴτησιν. Καὶ τὸ θαυμαστόν, ὅτι ταχέως ἐπίστευσεν· οἱ γὰρ χρονίων ἀπαλλαγέντες παθῶν μόλις πιστεύουσι καὶ αὐτῇ τῇ ὄψει. Καὶ θεραπευθεὶς λοιπὸν σὺν τοῖς Ἀποστόλοις ἦν, εὐχαριστῶν τῷ Θεῷ. «Καὶ εἰσῆλθε», φησί, σὺν αὐτοῖς περιπατῶν εἰς τὸ ἱερόν, ἁλλόμενος καὶ αἰνῶν τὸν Θεόν».

2. Ὅρα πῶς οὐκ ἠρεμεῖ, τοῦτο μὲν ὑπὸ τῆς ἡδονῆς, τοῦτο δὲ ἐμφράττων αὐτῶν τὰ στόματα. Ἐμοὶ δὲ δοκεῖ καὶ ἵνα μὴ νομισθῇ τις ὑπόκρισις, διὰ τοῦτο ἅλλεσθαι αὐτόν· τοῦτο γὰρ λοιπὸν οὐκ ἦν ὑποκρίσεως· εἰ γὰρ μηδὲ ἁπλῶς ἐπιβῆναι δυνατὸν ἦν αὐτῷ τὸ πρότερον, καὶ ταῦτα τοῦ λιμοῦ καταναγκάζοντος, (οὐ γὰρ ἂν εἵλετο πρὸς τοὺς βαστάζοντας διανέμεσθαι τὰ τῆς ἐλεημοσύνης, ἑαυτῷ δυνάμενος ἀρκεῖν), πολλῷ μᾶλλον τότε. Πῶς δὲ καὶ ὑπεκρίνατο ἂν ὑπὲρ τῶν μὴ δεδωκότων ἐλεημοσύνην; Ἀλλ' εὐχάριστος ἦν ὁ ἀνὴρ καὶ μετὰ τὴν ὑγείαν. Ἑκατέρωθεν οὖν πιστὸς δείκνυται, ἀπό τε τῆς εὐχαριστίας, ἀπό τε τοῦ συμβεβηκότος. Οὐ μὴν πᾶσι γνώριμος ἦν, ὅθεν καὶ ἐπεγίνωσκον αὐτόν. «Καὶ εἶδεν αὐτόν», φησί, «πᾶς ὁ λαὸς περιπατοῦντα καὶ αἰνοῦντα τὸν Θεόν, ἐπεγίνωσκόν τε αὐτὸν ὅτι οὗτός ἐστιν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ Ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ». Καὶ καλῶς εἶπεν, «Ἐπεγίνωσκον»· ὡς καὶ ἀγνοουμένου λοιπὸν ἀπὸ τοῦ πράγματος. Ταύτῃ γὰρ τῇ λέξει κεχρήμεθα ἐπὶ τῶν μόλις γνωριζομένων. Ἔδει γοῦν πιστευθῆναι ὅτι ἀφίησι τὰ ἁμαρτήματα τὸ ὄνομα τοῦ Χριστοῦ, ὅπου γε καὶ τοιαῦτα ἐργάζεται.

ὁ ἄνθρωπος βρισκόταν στὴν εἴσοδο, καὶ ὄχι στὸ ἐσωτερικό, ὅπου βρισκόταν τὸ πλῆθος. 'Αλλ' ὁ Πέτρος δὲν ζήτησε τίποτε ἀπ' αὐτά, οὔτε μόλις εἰσῆλθε κήρυξε, ἀλλὰ μόνο μὲ τὴν ἐμφάνισή του προσήλκυσε τὸ χωλὸ γιὰ νὰ τοῦ ζητήσει. Καὶ τὸ ἀξιοθαύμαστο εἶναι, ὅτι ἀμέσως πίστευσε. Διότι ἐκεῖνοι ποὺ θεραπεύονται ἀπὸ χρόνιες παθήσεις, μόλις καὶ μὲ δυσκολία πιστεύουν καὶ σ' αὐτὸ ἀκόμα ποὺ βλέπουν. Καὶ μετὰ τὴ θεραπεία του ἦταν μαζὶ μὲ τοὺς 'Αποστόλους, εὐχαριστώντας τὸ Θεό. «Καὶ εἰσῆλθε», λέγει, «μαζὶ μὲ αὐτοὺς στὸ ἱερὸ περπατώντας καὶ ἀναπηδώντας καὶ δοξολογώντας τὸ Θεὸ γιὰ τὴ θεραπεία του».

2. Πρόσεχε πῶς δὲν ἠρεμεῖ, ἀφ' ἑνὸς μὲν ἀπὸ τὴν εὐχαρίστηση, ἀφ' ἑτέρου δὲ γιὰ νὰ ἀποστομώσει αὐτούς. 'Εγὼ δὲ νομίζω, ὅτι ἀναπηδοῦσε αὐτὸς καὶ γιὰ νὰ μὴ νομισθεῖ ὅτι εἶναι κάποια ὑποκρισία· καθόσον αὐτὸ πράγματι δὲν ἦταν θέμα ὑποκρισίας. Διότι, ἂν αὐτὸς δὲν ἦταν δυνατὸν προηγουμένως ἁπλῶς νὰ περιπατήσει, καὶ μάλιστα ἐξαναγκαζόμενος ἀπὸ τὴν πείνα, (διότι δὲν θὰ προτιμοῦσε νὰ διαμοιράζεται τὰ τῆς ἐλεημοσύνης μὲ ἐκείνους ποὺ τὸν βάσταζαν, ἂν θὰ μποροῦσε μόνος του νὰ κρατηθεῖ), πολὺ περισσότερο τότε. Πῶς δὲ θὰ μποροῦσε νὰ ὑποκρίνεται γιὰ ἐκείνους, ποὺ δὲν τοῦ εἶχαν δώσει ἐλεημοσύνη; 'Αλλὰ ὁ ἄνθρωπος ἦταν χαρούμενος καὶ μετὰ τὴν ἀποκατάσταση τῆς ὑγείας του. Καὶ ἀπὸ τὰ δύο λοιπὸν ἀποδεικνύεται ὅτι ἦταν ἀξιόπιστος, καὶ ἀπὸ τὴν εὐχαριστία καὶ ἀπὸ τὸ περιστατικὸ ποὺ συνέβηκε. 'Επὶ πλέον ἦταν σὲ ὅλους γνωστός, καὶ συνεπῶς τὸν ἀναγνώριζαν. «Καὶ ὅλο τὸ πλῆθος τὸν εἶδε νὰ περιπατεῖ καὶ νὰ ὑμνεῖ τὸ Θεό. Καὶ τὸν ἀναγνώρισαν ὅτι ἦταν πράγματι αὐτός, ποὺ συνήθιζε νὰ κάθεται κοντὰ στὴν 'Ωραία πύλη τοῦ ναοῦ». Καὶ καλὰ εἶπε, «τὸν ἀναγνώρισαν», σὰν νὰ ἦταν ἀγνοούμενος μετὰ τὴ θεραπεία του. Διότι αὐτὴ τὴ λέξη χρησιμοποιοῦμε γιὰ ὅλους ἐκείνους ποὺ μόλις γνωρίζουμε. Ἔπρεπε λοιπὸν νὰ πιστευθεῖ, ὅτι τὸ ὄνομα τοῦ Χριστοῦ συγχωρεῖ τὰ ἁμαρτήματα, τὴ στιγμὴ βέβαια ποὺ ἐπιτελεῖ τέτοια πράγματα.

«Κρατοῦντος δὲ τοῦ ἰαθέντος χωλοῦ τὸν Πέτρον καὶ τὸν Ἰωάννην συνέδραμε πρὸς αὐτοὺς πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ, τῇ καλουμένῃ Σολομῶντος, ἔκθαμβοι». Ἀπὸ τῆς εὐνοίας τῆς εἰς αὐτοὺς καὶ τῆς φιλίας οὐκ ἐχωρίζετο αὐτῶν· ἴσως δὲ καὶ εὐχαριστῶν αὐτοῖς καὶ ἐπαινῶν. «Καὶ συνέδραμε», φησί, «πᾶς ὁ λαός. Ἰδὼν δὲ αὐτοὺς ὁ Πέτρος, ἀπεκρίνατο». Πάλιν αὐτὸς καὶ ἐργάζεται, καὶ δημηγορεῖ. Τότε μὲν οὖν αὐτοὺς εἰς τὴν ἀκρόασιν διήγειρε τὸ πρᾶγμα τὸ περὶ τὰς γλώσσας, νυνὶ δὲ τοῦτο· καὶ τότε μὲν ἀρχὴν ἔλαβεν ἀπὸ τῶν ἐγκλημάτων, νῦν δὲ ἀπὸ τῆς ὑπονοίας. Ἴδωμεν οὖν τί διενήνοχεν αὕτη ἡ δημηγορία ἐκείνης, καὶ κατὰ τί κοινωνεῖ. Ἐκείνη μὲν οὖν ἐν τῇ οἰκίᾳ γίνεται, οὐδέπω προσελθόντος οὐδενός, οὐδὲ αὐτῶν τι ἐργασαμένων, αὕτη δέ, πάντων θαυμαζόντων, τοῦ θεραπευθέντος πλησίον ἑστῶτος οὐδενὸς ἀμφιβάλλοντος, καθάπερ τότε, ὅτε ἔλεγον ὅτι «γλεύκους μεμεστωμένοι εἰσί». Καὶ τότε μετὰ τῶν Ἀποστόλων πάντων ὤν, διελέγετο, νῦν δὲ μετὰ τοῦ Ἰωάννου μόνου· λοιπὸν γὰρ θαρρεῖ καὶ σφοδρότερος γίνεται. Τοιοῦτον γὰρ ἡ ἀρετή, ἀρχὴν λαβοῦσα πρόεισι, καὶ οὐδαμοῦ ἵσταται. Ὅρα δὲ καὶ πῶς ᾠκονομήθη ἐν τῷ ἱερῷ γενέσθαι τὸ σημεῖον, ἵνα καὶ ἄλλοι θαρρήσωσιν· οὐκ ἐν παραβύστῳ γὰρ αὐτό που ἐργάζονται, ἢ καὶ λανθανόντως, ἀλλ' οὔτε ἔνδον ἐν τῷ ἱερῷ, ἔνθα τὸ πολὺ πλῆθος ἦν. Πῶς οὖν ἐπιστεύθη; φησίν. Ὅτι αὐτὸς ὁ θεραπευθεὶς ἐκήρυττε τὴν εὐεργεσίαν· οὐδὲ γὰρ ἂν ἐψεύσατο, οὐδ' ἂν ἐπ' ἄλλους τινὰς ἦλθεν. Ἤτοι οὖν, ὡς εὐρυχωρίας οὔσης, ἐκεῖ τὸ σημεῖον εἰργάσαντο, ἢ ὡς κεχωρισμένου τοῦ τόπου.

Καὶ ὅρα τὸ γενόμενον. Ἐφ' ἑτέραν ἀνῆλθον πρόφασιν, καὶ ἕτερα ἐργάζονται. Οὕτω καὶ ὁ Κορνήλιος ἄλλα νηστεύων ηὔχετο, καὶ ἄλλα ὁρᾷ. Μέχρι δὲ τότε πανταχοῦ τὸν Χριστὸν Ναζωραῖον ὀνομάζουσιν. «Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου», φησίν, «ἔγειραι καὶ περιπάτει»· τέως γὰρ

5. Πράξ. 2, 13.

«Ἐνῶ δὲ κρατοῦσε ὁ θεραπευθεὶς χωλὸς τὸν Πέτρο καὶ τὸν Ἰωάννη, συγκεντρώθηκε ὅλο τὸ πλῆθος, ποὺ βρισκόταν ἐκεῖ στὴ στοά, ποὺ ὀνομαζόταν στοὰ τοῦ Σολομῶντος, γεμάτο θαυμασμὸ καὶ κατάπληξη». Ἀπὸ τὴν εὔνοια καὶ τὴν ἀγάπη πρὸς αὐτοὺς δὲν τοὺς ἀποχωριζόταν· ἴσως δὲ καὶ νὰ εὐχαριστοῦσε αὐτοὺς καὶ νὰ τοὺς ἐπαινοῦσε. «Καὶ συγκεντρώθηκε», λέγει, «ὅλο τὸ πλῆθος». «Ὅταν δὲ τοὺς εἶδε ὁ Πέτρος εἶπε». Πάλι αὐτὸς καὶ ἐργάζεται καὶ ὁμιλεῖ. Τότε βέβαια διήγειρε αὐτοὺς στὴν ἀκρόαση τὸ συμβὰν μὲ τὶς γλῶσσες, τώρα δὲ αὐτό· καὶ τότε μὲν ἔλαβε ἀρχὴ ἀπὸ τὰ ἐγκλήματα, τώρα δὲ ἀπὸ τὴν ὑπόνοια. Ἂς δοῦμε λοιπὸν κατὰ τί διέφερε αὐτὴ ἡ ὁμιλία ἀπὸ ἐκείνη καὶ σὲ τί συμφωνεῖ. Ἐκείνη λοιπὸν γίνεται στὴν οἰκία, χωρὶς ἀκόμη νὰ προσέλθει κανένας, οὔτε αὐτοὶ οἱ ἴδιοι νὰ ἔχουν κάμει κάτι, αὐτὴ δὲ ἐνῶ ὅλοι θαυμάζουν, καὶ ὁ θεραπευμένος βρίσκεται πλησίον· καὶ κανένας δὲν ἀμφιβάλλει, ὅπως τότε, ὅταν ἔλεγαν, ὅτι «εἶναι μεθυσμένοι ἀπὸ γλυκὸ κρασί»[5]. Καὶ τότε μιλοῦσε βρισκόμενος ἀνάμεσα σὲ ὅλους τοὺς Ἀποστόλους, τώρα δὲ μόνο μαζὶ μὲ τὸν Ἰωάννη. Ἀπὸ αὐτὰ λοιπὸν λαμβάνει θάρρος καὶ γίνεται πιὸ ὁρμητικός. Διότι τέτοια εἶναι ἡ ἀρετή, ἀφοῦ λάβει ἀρχὴ προχωρεῖ καὶ δὲν σταματᾶ πουθενά. Βλέπε δέ, καὶ πῶς ἐξοικονομήθηκε νὰ γίνει τὸ θαῦμα στὸ ἱερό, γιὰ νὰ πάρουν θάρρος καὶ ἄλλοι· διότι δὲν ἐπιτελοῦν αὐτὸ σὲ κάποιο ἀπόκρυφο μέρος ἢ καὶ σιωπηλά, ἀλλ' οὔτε στὸ ἐσωτερικὸ τοῦ ναοῦ, ὅπου ἦταν τὸ πολὺ πλῆθος. Πῶς λοιπὸν πιστεύθηκε; λέγει. Διότι ὁ ἴδιος ὁ θεραπευμένος κήρυττε τὴν εὐεργεσία. Καθόσον δὲν θὰ ψευδόταν, οὔτε ἂν θὰ κατέφευγε σὲ κάποιους ἄλλους. Ἐκεῖ λοιπὸν ὅπου ὑπῆρχεν εὐρυχωρία, ἐκεῖ ἐπετέλεσε τὸ θαῦμα, καὶ ὄχι σὲ κάποιο ἀπομονωμένο μέρος.

Καὶ πρόσεχε αὐτὸ ποὺ συνέβηκε. Γι' ἄλλη αἰτία ἀνέβηκαν στὸ ἱερὸ καὶ ἄλλα ἐπιτυγχάνουν. Ἔτσι καὶ ὁ Κορνήλιος ἄλλα εὐχόταν νηστεύοντας καὶ ἄλλα βλέπει. Μέχρι δὲ τότε, παντοῦ ὀνομάζουν τὸ Χριστὸ Ναζωραῖο. «Στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου», λέγει, «σήκω ὀρ-

τοῦτο ἦν τὸ ζητούμενον, τὸ πιστευθῆναι αὐτόν. Μὴ δὴ πρὸς τὴν ἀρχὴν ἀποκάμωμεν τοῦ διηγήματος, ἀλλά, εἰ καὶ κατόρθωμά τις εἰπὼν διαλίπῃ, πάλιν ἀναλάβωμεν τὴν ἀρχήν. Ἂν ἐν ἕξει γενώμεθα, ταχέως πρὸς τὸ τέλος ἥξομεν, ταχέως πρὸς τὴν κορυφὴν στησόμεθα. Σπουδὴ γάρ, φησί, σπουδὴν γεννᾷ, καὶ ῥαθυμίαν. Ὁ μικρόν τι κατωρθωκὼς ἔλαβε παράκλησιν ἐπὶ τὸ μεῖζον ἐλθεῖν, καὶ μᾶλλον ἐξ ἐκείνου περαιτέρω χωρῆσαι. Καὶ καθάπερ τὸ πῦρ, ὅσα ἂν περιλάβῃ ξύλα, τοσούτῳ σφοδρότερον γίνεται, οὕτω καὶ προθυμία, ὅσους ἂν διεγείρῃ λογισμοὺς εὐσεβεῖς, τοσούτῳ μᾶλλον κατὰ τῶν ἄλλων ὁπλίζεται. Οἷόν τι λέγω· Ἑστήκασιν ἐν ἡμῖν καθάπερ ἄκανθαι ἐπιορκία, ψεῦδος, ὑπόκρισις, δόλος, κακουργία, λοιδορία, σκώμματα, γελωτοποιίαι, αἰσχρολογίαι, εὐτραπελίαι· πάλιν ἐν ἄλλῳ μέρει πλεονεξία, ἁρπαγή, ἀδικία, συκοφαντία, ἐπιβουλαί· πάλιν ἐπιθυμία πονηρά, ἀκαθαρσία, ἀσέλγεια, πορνεία, μοιχεία· πάλιν φθόνος, ζηλοτυπία, ὀργή, θυμός, μνησικακία, ἀνταπόδοσις, βλασφημία, μυρία τοιαῦτα· ἂν τὰ πρότερα κατορθώσωμεν, οὐκ ἐκεῖνα μόνον κατώρθωται, ἀλλὰ δι᾽ ἐκείνων καὶ τὰ μετὰ ταῦτα. Ἰσχυρότερος γὰρ γίνεται λοιπὸν ὁ λογισμὸς πρὸς τὴν ἐκείνων ἀνατροπήν. Οἷον, ὁ πολλὰ ὀμνὺς ἂν περιέλῃ τὸ σατανικὸν ἔθος τοῦτο, οὐ τοῦτο μόνον αὐτῷ κατώρθωται, ἀλλὰ καὶ ἑτέρα εὐλάβεια ἐπεισῆκται· οὐδεὶς γάρ, οἶμαι, τῶν οὐκ ὀμνυόντων εὐκόλως θελήσει ἄλλο τι πρᾶξαι πονηρόν, ἀλλὰ τὴν ἤδη κατορθωθεῖσαν ἀρετὴν αἰσχυνθήσεται· καθάπερ γὰρ ὁ φορῶν ἱμάτιον καλὸν αἰσχύνεται βορβόρῳ ἐγκυλίσαι ἑαυτόν, οὕτω δὴ καὶ οὗτος. Ἀπὸ δὲ τούτου ἥξει εἰς τὸ μὴ ὀργίζεσθαι, μηδὲ τύπτειν, μηδὲ ὑβρίζειν·

θιος καὶ περπάτα»˙ διότι στὴν ἀρχὴ αὐτὸ ἦταν ἐκεῖνο ποὺ ἐπιδιωκόταν, νὰ πιστεύσουν σ' αὐτόν. Ἂς μὴ ἀποκάμουμε λοιπὸν ἀπὸ τὴν ἀρχὴ τῆς διηγήσεως, ἀλλὰ καὶ ἂν ἀκόμη παραλείψει κάποιος ν' ἀναφέρει κάποιο κατόρθωμα, πάλιν ἂς συνεχίσουμε ἀπὸ τὴν ἀρχή. Ἂν τὸ κάνομε συνήθεια αὐτό, γρήγορα θὰ φθάσουμε στὸ τέλος, γρήγορα θὰ σταθοῦμε στὴν κορυφή. Διότι, λέγει, ἡ προθυμία φέρνει τὴν προθυμία καὶ ἡ ὀκνηρία φέρνει τὴν ὀκνηρία. Αὐτὸς ποὺ ἔχει κατορθώσει κάτι μικρό, ἔλαβε τὴν παρηγοριὰ νὰ φθάσει στὸ μεγαλύτερο καὶ ἀπὸ ἐκεῖνο νὰ προχωρήσει πολὺ πιὸ παραπέρα. Καὶ ὅπως ἡ φωτιά, ὅσα περισσότερα δεχθεῖ ξύλα, τόσο δυνατότερη γίνεται, ἔτσι καὶ ἡ προθυμία, ὅσο περισσότερους εὐσεβεῖς λογισμοὺς συμβεῖ νὰ διεγείρει, τόσο περισσότερο ὁπλίζεται ἐναντίον τῶν ἄλλων. Μὲ αὐτὸ ποὺ λέγω ἐννοῶ τὸ ἑξῆς˙ Στάθηκαν σὲ μᾶς ὅπως τὰ ἀγκάθια, ἡ ἐπιορκία, τὸ ψεῦδος, ἡ ὑποκρισία, ὁ δόλος, ἡ κακουργία, ἡ ὕβρη, οἱ χλευασμοί, οἱ γελωτοποιΐες, οἱ αἰσχρλογίες, οἱ βωμολοχίες˙ ἐπίσης ἡ πλεονεξία, ἡ ἀρπαγή, ἡ ἀδικία, ἡ συκοφαντία, οἱ ἐπιβολές˙ ἀκόμα δὲ ἡ πονηρὴ ἐπιθυμία, ἡ ἀκαθαρσία, ἡ ἀσέλγεια, ἡ πορνεία, ἡ μοιχεία˙ καθὼς ἐπίσης ὁ φθόνος, ἡ ζηλοτυπία, ἡ ὀργή, ὁ θυμός, ἡ μνησικακία, ἀνταπόδοση, ἡ βλασφημία, ἄπειρα παρόμοια σὰν αὐτά. Ἂν τὰ πρῶτα κατορθώσουμε ν' ἀνατρέψουμε, ὄχι μόνο ἐκεῖνα ἀνατρέψαμε, ἀλλὰ μὲ ἐκεῖνα καὶ τὰ μετέπειτα. Διότι ὁ λογισμὸς γίνεται στὴ συνέχεια ἰσχυρότερος γιὰ τὴν ἀνατροπὴ ἐκείνων. Ὅπως ἐκεῖνος ποὺ ὁρκίζεται συχνά, ἂν περικόψει τὴ σατανικὴ αὐτὴ συνήθεια, δὲν κατόρθωσε μόνο αὐτό, ἀλλ' ἔχει προσθέσει καὶ ἄλλη ἀκόμα εὐλάβεια. Διότι, νομίζω, ὅτι κανένας ἀπὸ ἐκείνους, ποὺ δὲν ὁρκίζονται εὔκολα, θὰ θελήσει νὰ πράξει κάτι κακό, ἀλλὰ θὰ αἰσθάνεται ἐντροπὴ ἀπὸ τὴν ἀρετὴ ποὺ εἶχε κατορθώσει μέχρι τώρα. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος, ποὺ φορεῖ ὡραῖο ἔνδυμα, ἐντρέπεται νὰ κυλισθεῖ στὸ βοῦρκο, ἔτσι λοιπὸν καὶ αὐτός. Ἀπ' αὐτὸ θὰ φθάσει στὸ νὰ μὴ ὀργίζεται, οὔτε νὰ χτυπᾶ, οὔτε νὰ κακοποιεῖ. Διότι ἂν κατορθώσει μιὰ φορὰ τὰ μικρά, ἔχει ἐπι-

ἂν γὰρ ἅπαξ τὰ μικρὰ κατορθώσῃ, τὸ πᾶν ἤνυσται. Συμβαίνει δὲ πολλάκις καὶ τὸ ἐναντίον, ἅπαξ κατορθώσαντάς τι πάλιν ἀπὸ ῥᾳθυμίας τοῖς αὐτοῖς περιπεσεῖν, ὡς ἐκ τούτου καὶ εἰς ἀδύνατον περιστῆναι λοιπὸν τὸ πρᾶγμα. Οἷον, ἐθήκαμεν ἑαυτοῖς νόμον μὴ ὀμνύναι, κατωρθώσαμεν ἡμέρας τρεῖς ἢ καὶ τέσσαρας· μετ' ἐκείνας εἰς ἀνάγκην περιπεσόντες, τὸ συλλεχθὲν κέρδος ἅπαν ἐσκορπίσαμεν· εἰς ῥᾳθυμίαν λοιπὸν ἐμπίπτομεν καὶ ἀπόγνωσιν, ὡς μηδὲ τῶν αὐτῶν ἅψασθαι βουληθῆναι πάλιν. Καὶ εἰκότως· ὁ γάρ τι οἰκονομήσας ἑαυτῷ, εἶτα ἰδὼν καθῃρημένον τὸ οἰκοδόμημα, ῥᾳθυμότερος ἔσται περὶ τὸ πάλιν οἰκοδομεῖν. Ἀλλ' οὐ δεῖ ῥᾳθυμεῖν οὐδὲ οὕτως, ἀλλὰ πάλιν ἔχεσθαι τῆς σπουδῆς.

3. Θῶμεν τοίνυν ἑαυτοῖς νόμους καθημερινούς· (τέως ἀπὸ τῶν εὐκόλων ἀρξώμεθα)· περικόψωμεν ἡμῶν τὴν πολυορκίαν τοῦ στόματος, χαλινὸν ἐπιθῶμεν τῇ γλώττῃ, μηδεὶς ὀμνύτω τὸν Θεόν. Οὐκ ἔστιν ἐνταῦθα δαπάνη, οὐκ ἔστιν ἐνταῦθα κάματος, οὐκ ἔστιν ἐνταῦθα χρόνου μελέτη· ἀρκεῖ θελῆσαι, καὶ τὸ πᾶν γέγονε· συνηθείας γὰρ τὸ πρᾶγμά ἐστι. Ναί, παρακαλῶ καὶ δέομαι, σπουδὴν τοιαύτην εἰσενέγκωμεν. Εἰπὲ δή μοι, εἰ χρήματα ἐκέλευσα εἰσενεγκεῖν, οὐκ ἂν προθύμως ἕκαστος τὰ κατὰ δύναμιν συνεβάλεσθε; εἴ με ἐν κινδύνοις ἑωρᾶτε τοῖς ἐσχάτοις, οὐκ ἂν καὶ ἀπὸ τῆς σαρκός, εἴ γε οἷόν τε ἦν, ἀποτεμόντες ἔδοτε ἄν; Ἐν κινδύνῳ καὶ νῦν εἰμι καὶ πολλῷ, καὶ ὡς ἂν εἰ καὶ μετὰ τούτου καὶ δεσμωτήριον ᾤκουν, ἢ μυρίας ἔλαβον πληγάς, ἢ εἰς μέταλλα ἐτύγχανον, οὐκ ἂν τούτου πλέον ἤλγησα. Χεῖρα τοίνυν ὀρέξατε. Ἐννοήσατε γὰρ ὅσος κίνδυνος, μηδὲ τὸ μικρότατον τοῦτο (μικρότατον δὲ λέγω, ὅσον εἰς πόνον ἥκει), δυνηθῆναι κα-

τύχει τὸ πᾶν. Πολλὲς φορὲς ὅμως συμβαίνει καὶ τὸ ἀντίθετο, ἐνῶ κατορθώσαμε κάτι μιὰ φορά, ἀπὸ ἀδιαφορία πάλι περιπίπτουμε στὰ ἴδια, καὶ ὡς ἐκ τούτου καθίσταται πλέον ἡ ὑπόθεση τῆς βελτιώσεώς μας ἀδύνατη. Ὅπως θέσαμε στοὺς ἑαυτούς μας νόμο νὰ μὴ ὁρκιζόμαστε, καὶ τὸ κατορθώσαμε αὐτὸ τρεῖς ἢ καὶ τέσσερες ἡμέρες, μετὰ ἀπὸ αὐτές, ἀφοῦ περιήλθαμε στὴν ἀνάγκη νὰ ὁρκισθοῦμε, ὅλο τὸ κέρδος ποὺ συγκεντρώθηκε τὸ σκορπίσαμε· κατόπιν κυριευόμαστε ἀπὸ ἀδιαφορία καὶ ἀπόγνωση, ὥστε νὰ μὴ θέλουμε πάλι νὰ καταπιασθοῦμε μὲ τὰ ἴδια· καὶ δικαιολογημένα. Διότι ἐκεῖνος ποὺ οἰκοδόμησε κάτι γιὰ τὸν ἑαυτό του, βλέποντας κατόπιν τὸ οἰκοδόμημα αὐτὸ καταγκρεμισμένο, θὰ γίνει πιὸ ἀπρόθυμος νὰ τὸ ἀνοικοδομήσει πάλι. Δὲν πρέπει ὅμως νὰ ἀδιαφοροῦμε οὔτε καὶ ἔτσι, ἀλλὰ νὰ προσπαθοῦμε καὶ πάλι.

3. Ἂς θέσουμε λοιπὸν γιὰ τοὺς ἑαυτούς μας νόμους καθημερινούς· προηγουμένως ἂς ἀρχίσουμε ἀπὸ τὰ εὔκολα· ἂς περικόψουμε τοὺς συχνοὺς ὅρκους ἀπὸ τὸ στόμα μας, ἂς ἐπιβάλουμε χαλινὸ στὴ γλώσσα, κανένας ἂς μὴ ὁρκίζεται στὸ Θεό. Δὲν ὑπάρχει ἐδῶ δαπάνη, δὲν ὑπάρχει ἐδῶ κόπωση, δὲν ὑπάρχει ἐδῶ μελέτη χρόνου· ἀρκεῖ νὰ θελήσουμε καὶ τὸ πᾶν θὰ ἔχει κατορθωθεῖ· διότι τὸ πράγμα εἶναι ζήτημα συνήθειας. Ναί, παρακαλῶ καὶ ἱκετεύω, ἂς ἐπιδείξουμε μιὰ τέτοια προσπάθεια. Πές μου σὲ παρακαλῶ, ἐὰν σᾶς συμβούλευα νὰ συνεισφέρετε χρήματα, δὲν θὰ συνεισφέρατε ὁ καθένας πρόθυμα τὸ κατὰ δύναμη; ἐὰν μὲ βλέπατε νὰ βρίσκομαι στοὺς ἔσχατους κινδύνους, δὲν θὰ μοῦ δίνατε, ἀποκόπτοντας ἀκόμη καὶ ἀπὸ τὴν σάρκα σας, ἂν βέβαια σᾶς ἦταν αὐτὸ δυνατόν; Καὶ τώρα βρίσκομαι σὲ κίνδυνο, καὶ πολὺ μεγάλο, ὥστε καὶ ἂν ἀκόμη ἤμουν μαζὶ μὲ αὐτὸν τὸν κίνδυνο σὲ φυλακή, νὰ εἶχα δεχθεῖ ἄπειρα πληγήματα, ἢ νὰ βρισκόμουν σὲ μεταλλεῖα, δὲν θὰ ὑπέφερα πιὸ πολὺ ἀπ' αὐτό. Λοιπὸν ἁπλώσατε τὸ χέρι σας καὶ βοηθεῖστέ με. Διότι ἀντιληφθήκατε πόσος εἶναι ὁ κίνδυνος, ὥστε νὰ μὴ μπορέσω νὰ κατορθώσω οὔτε τὸ παραμικρὸ (παραμικρὸ δὲ λέγω ὅσο

τορθῶσαι. Τί ἐρῶ τότε, ἐγκαλούμενος· 'Διὰ τί μὴ διηλέχθης; διὰ τί μὴ ἐπέταξας; διὰ τί μὴ νόμον ἔθηκας; διὰ τί τοὺς μὴ πειθομένους οὐκ ἐκώλυσας;'. Οὐ ἀρκεῖ μοι εἰπεῖν ὅτι ἐνομοθέτησα. 'Αλλὰ καὶ σφοδροτέρας, φησίν, ἐπιτιμήσεως ἔδει· ἐπεὶ καὶ ὁ 'Ηλεὶ ἐνουθέτει. 'Αλλὰ μὴ γένοιτο ὑμᾶς ἐκείνοις παραβαλεῖν τοῖς παισί! Κἀκεῖνος ἐνουθέτει, καὶ ἔλεγε· «Μὴ τέκνα, μὴ ποιεῖτε οὕτω· πονηρὰ ἡ ἀκοή, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν». 'Αλλὰ προϊοῦσα ἡ Γραφή φησιν ὅτι οὐκ ἐνουθέτει τοὺς υἱοὺς αὐτοῦ. Τοῦτο λὲ λέγει, ἐπειδὴ οὐ σφοδρῶς, οὐδὲ μετ' ἐπιπλήξεως τοῦτο ἐποίει.

Πῶς γὰρ οὐκ ἄτοπον, ἐν μὲν ταῖς συναγωγαῖς τῶν 'Ιουδαίων οὕτως ἰσχυροὺς εἶναι τοὺς νόμους, κἂν ὁ διδάσκων ἐπιτάξῃ πάντα γίνεσθαι, ἐνταῦθα δὲ οὕτως ἡμᾶς καταπεφρονῆσθαι καὶ ἀπερρῖφθαι; Οὐ τῆς ἐμαυτοῦ δόξης μοι μέλει,(δόξα γὰρ ἐμή, ἡ ὑμετέρα εὐδοκίμησις), ἀλλὰ τῆς ὑμετέρας σωτηρίας.Καθ' ἑκάστην ἡμέραν βοῶμεν, ἐνηχοῦμεν ὑμῶν ταῖς ἀκοαῖς, ὁ δὲ ἀκούων οὐδείς· καὶ οὐδὲν σφοδρὸν ἐπιδεικνύμεθα. Φοβοῦμαι μὴ τῆς ἀκαίρου ταύτης καὶ πολλῆς φιλανθρωπίας λόγον κατὰ τὴν μέλλουσαν ἡμέραν ὑπόσχωμεν. Διὸ μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ κηρύττω πᾶσι, καὶ διαμαρτύρομαι, ὥστε τοὺς τὴν παράβασιν ταύτην ἐπιδεικνυμένους, τοὺς τὰ ἐκ τοῦ πονηροῦ φθεγγομένους (τοῦτο γάρ ἐστιν ὁ ὅρκος), τῶν οὐδῶν μὴ ἐπιβαίνειν τῶν ἐκκλησιαστικῶν. Προθεσμία δὲ ὑμῖν ἔστω ὁ μὴν ὁ παρών, ὥστε κατορθῶσαι. Μὴ γάρ μοι εἴπῃς ὅτι 'με ἡ τῶν πραγμάτων ἀνάγκη κατεπείγει, ὅτι ἀπιστοῦμαι'. Τέως τοὺς ἀπὸ τῆς συνηθείας περίκοπτε. Οἶδα ὅτι πολλοὶ γελάσονται ἡμᾶς, ἀλλὰ βέλτιον ἡμᾶς γελᾶσθαι νῦν, ἢ κλαίεσθαι τότε· γελάσονται δὲ ὅσοι μαίνονται. Τίς γάρ, εἰπέ μοι, νοῦν ἔχων, φυλαττομένης ἐντολῆς, γελάσεται; Εἰ δὲ

6. Α' Βασιλ. 2, 24.

φθάνει σὲ πόνο). Τί θὰ ἀπαντήσω τότε, κατηγορούμενος; 'Γιατί δὲν ἤλεγξες, γιατί δὲν ἔδωσες ἐντολές; γιατί δὲν ἔθεσες νόμο; γιατί δὲν ἐμπόδισες αὐτοὺς ποὺ δὲν πείθονται;'. Δὲν μοῦ ἀρκεῖ νὰ πῶ, ὅτι συμβούλευσα. 'Αλλά, λέγει, χρειάζονταν καὶ σφοδρότερη ἐπιτίμηση· ἄλλωστε καὶ ὁ 'Ηλεὶ νουθετοῦσε. 'Αλλ' ἂς μὴ συμβεῖ νὰ συγκριθεῖτε μὲ ἐκεῖνα τὰ παιδιά. Καὶ ἐκεῖνος νουθετοῦσε καὶ ἔλεγε· «Μή, παιδιά μου, μὴ κάμνετε τέτοια, εἶναι κακὴ ἡ φήμη ποὺ ἀκούω γιὰ σᾶς»[6]. 'Αλλὰ προχωρώντας ἡ Γραφὴ λέγει, ὅτι δὲν νουθετοῦσε τοὺς υἱούς του. Λέγει δὲ αὐτό, διότι δὲν τὸ ἔκαμνε ἔντονα καὶ μὲ ἐπίπληξη.

Διότι πῶς δὲν εἶναι ἄτοπο, στὶς μὲν συναγωγὲς τῶν 'Ιουδαίων νὰ εἶναι οἱ νόμοι τόσο ἰσχυροί, ἀκόμη καὶ ἂν ἐκεῖνος ποὺ διδάσκει διατάξει νὰ γίνουν ὅλα, ἐδῶ δὲ ἐμεῖς νὰ ἔχουμε τόσο πολὺ καταφρονηθεῖ καὶ ἀπορριφθεῖ; Δὲν ἐνδιαφέρομαι γιὰ τὴ δική μου δόξα (διότι δική μου δόξα εἶναι ἡ δική σας ἐπιτυχία), ἀλλὰ γιὰ τὴ δική σας σωτηρία. Καθημερινὰ φωνάζω καὶ ἀντηχεῖ ἡ διδασκαλία μου στὶς ἀκοές σας, ἀλλὰ δὲν ὑπάρχει κανένας νὰ ἀκούει, καὶ τίποτε τὸ φοβερὸ δὲν ἀποδεικνύω. Φοβᾶμαι μήπως δώσω λόγο κατὰ τὴ μέλλουσα ἡμέρα τῆς κρίσεως γιὰ τὴν ἄκαιρη αὐτὴ καὶ πολλὴ φιλανθρωπία. Γι' αὐτὸ μὲ μεγάλη καὶ λαμπρὴ φωνὴ διακηρύσσω σὲ ὅλους καὶ διαμαρτύρομαι, ὥστε αὐτοὶ ποὺ ἐπιδεικνύουν τὴν παράβαση αὐτὴ καὶ ποὺ λέγουν τὰ ἐκ τοῦ πονηροῦ (διότι αὐτὸ εἶναι ὁ ὅρκος), νὰ μὴ εἰσέρχονται στὶς ἐκκλησίες. Προθεσμία δὲ ἂς εἶναι σὲ σᾶς ὁ παρόντας μήνας, γιὰ νὰ κατορθώσετε νὰ ἀποκόψετε τὸν ὅρκο. Διότι μὴ μοῦ πεῖς, ὅτι 'ἡ ἀνάγκη τῶν πραγμάτων μὲ καταπιέζει, διότι δὲν γίνομαι πιστευτός'. Πρῶτα νὰ διακόψεις τὴ συναναστροφή σου μὲ ἐκείνους ποὺ ἔχουν τὴ συνήθεια αὐτὴ τοῦ ὅρκου. Γνωρίζω ὅτι πολλοὶ θὰ μᾶς περιγελάσουν, ἀλλ' εἶναι καλύτερα νὰ μᾶς περιγελάσουν τώρα, παρὰ νὰ κλαῖμε τότε· θὰ μᾶς περιγελάσουν ὅμως, μόνον ὅσοι συμπεριφέρονται ἀνόητα. Διότι, πές μου, ποιός, ποὺ ἔχει νοῦ, θὰ γελάσει, ὅταν τηρεῖται

ἄρα γελάσονται, ἀλλ' οὐχ ἡμᾶς, ἀλλὰ τὸν Χριστὸν οἱ τοιοῦτοι γελάσονται.

Ἐφρίξατε τὸ εἰρημένον; Οἶδα κἀγώ. Εἰ μὲν οὖν ἐγὼ τὸν νόμον τοῦτον εἰσήγαγον, ἐμὸς ἂν εἴη καὶ ὁ γέλως, εἰ δὲ ὁ νομοθέτης ἕτερός ἐστιν, ἐκεῖ διαβαίνει ἡ χλευασία. Καὶ ἐνεπτύσθη ποτὲ ὁ Χριστός, καὶ ἐπὶ κόρρης ἐπλήγη, καὶ ἐρραπίσθη. Ἀνέχεται καὶ νῦν ταῦτα, καὶ οὐδὲν ἀπεικός. Διὰ τοῦτο γέεννα ἡτοίμασται· διὰ τοῦτο σκώληξ ἀτελεύτητος. Ἰδοὺ πάλιν λέγω καὶ διαμαρτύρομαι. Ὁ βουλόμενος γελάτω, ὁ βουλόμενος χλευαζέτω· εἰς τοῦτο κείμεθα, εἰς τὸ γελᾶσθαι καὶ χλευάζεσθαι, εἰς τὸ πάντα παθεῖν. «Περικαθάρματα τοῦ κόσμου ἐσμέν», κατὰ τὸν μακάριον Παῦλον. Εἴ τις μὴ βούλεται κατορθῶσαι τοῦτο τὸ ἐπίταγμα, ὥσπερ σάλπιγγί τινι διὰ τοῦ λόγου ἀπαγορεύων τῶν οὐδῶν μὴ ἐπιβαίνειν τῶν ἐκκλησιαστικῶν τῷ τοιούτῳ, κἂν ἄρχων ᾖ, κἂν αὐτὸς ὁ τὸ διάδημα περικείμενος. Ἢ καθέλετέ με ταυτησὶ τῆς ἀρχῆς, ἢ μένοντα μὴ περιβάλλετε κινδύνοις. Οὐκ ἀνέχομαι ἐπὶ τὸν θρόνον τοῦτον ἀναβαίνειν, μὴ μεγάλα κατορθῶν· εἰ γὰρ μὴ τοῦτο δυνατόν, βέλτιον ἑστάναι κάτω· ἄρχοντος γὰρ μηδὲν τοὺς ἀρχομένους ὠφελοῦντος οὐδὲν ἀθλιώτερον. Ἔτι συντείνατε ἑαυτούς, καὶ προσέχετε, παρακαλῶ· ἢ μᾶλλον εἰπεῖν, συντείνωμεν ἑαυτούς, καὶ πάντως ἔσται τι πλέον. Νηστεύσατε, παρακαλέσατε τὸν Θεόν, καὶ ἡμεῖς μεθ' ὑμῶν, ὥστε τὴν ὀλέθριον ταύτην ἐξελεῖν συνήθειαν. Οὐδὲν μέγα ἐστὶ γενέσται διδασκάλους τῆς οἰκουμένης· οὐ μικρὸν ἀκουσθῆναι πανταχοῦ ὅτι δὴ ἐν τῇδε τῇ πόλει οὐδείς ἐστιν ὁ ὀμνύς. Ἐὰν τοῦτο γένηται, οὐ τῶν οἰκείων κατορθωμάτων λήψεσθε μόνον τὸν μισθόν, ἀλλὰ καὶ τῆς ὑπὲρ τῶν ἀδελφῶν σπουδῆς· ὅπερ γὰρ ὑμῖν εἰμι ἐγώ, τοῦτο ὑμεῖς τῇ οἰκουμένῃ γενήσεσθε.

---

7. Ματθ. 27, 30.
8. Α' Κορινθ. 4, 13.

ἡ ἐντολή; Ἂν δὲ συμβεῖ νὰ γελάσουν, δὲν θὰ γελάσουν ἐμᾶς, ἀλλ' αὐτοὶ θὰ περιγελάσουν τὸ Χριστό.

Φρίξατε γι' αὐτὸ ποὺ λέχθηκε; Τὸ γνωρίζω καὶ ἐγώ. Ἂν βέβαια ἐγὼ εἶχα ἐπιβάλει τὸ νόμο αὐτό, γιὰ μένα θὰ ἦταν καὶ ὁ περίγελως, ἐφόσον δὲ ἄλλος εἶναι ὁ νομοθέτης, σὲ ἐκεῖνον διαβαίνει ὁ χλευασμός. Καὶ τότε ἐμπτύσθηκε ὁ Χριστὸς καὶ κτυπήθηκε στὸ κεφάλι[7] καὶ ραπίσθηκε. Καὶ τώρα ἀνέχεται αὐτὰ καὶ δὲν ὑπάρχει κάτι παράλογο. Γι' αὐτὸ ἔχει ἑτοιμασθεῖ ἡ γέεννα, γι' αὐτὸ ὁ αἰώνιος σκώληκας. Νὰ πάλι λέγω καὶ διαμαρτύρομαι· ὅποιος θέλει ἂς γελᾶ, ὅποιος θέλει ἂς χλευάζει· γι' αὐτὸ βρισκόμαστε ἐδῶ, νὰ μᾶς περιγελοῦν καὶ νὰ μᾶς χλευάζουν καὶ νὰ ὑποφέρουμε τὰ πάντα. «Περικαθάρματα τοῦ κόσμου εἴμαστε», κατὰ τὸν μακάριο Παῦλο[8]. Ἂν κάποιος δὲν θέλει νὰ κατορθώσει αὐτὸ τὸ πρόσταγμα, σὰν μὲ κάποια σάλπιγγα, μὲ τὸ λόγο ἀπαγορεύω σ' αὐτὸν τὴ διάβαση τῆς εἰσόδου στοὺς ἐκκλησιαστικοὺς χώρους, ἔστω καὶ ἂν εἶναι ἄρχοντας, ἔστω καὶ ἂν αὐτὸς φέρει βασιλικὸ στέμμα. Ἢ καθαιρέσατέ με ἀπ' αὐτὸ ἐδῶ τὸ ἀξίωμα, ἤ, ἐφόσον παραμένω, μὴ μὲ περιβάλλετε μὲ κινδύνους. Δὲν ἀνέχομαι νὰ ἀνεβαίνω ἐπάνω στὸ θρόνο αὐτό, ἂν δὲν κατορθώνω σπουδαῖα πράγματα. Διότι, ἂν αὐτὸ δὲν εἶναι δυνατόν, εἶναι καλύτερα νὰ κατεβῶ κάτω. Διότι δὲν ὑπάρχει τίποτε ἀθλιώτερο ἀπὸ ἄρχοντα, ποὺ δὲν ὠφελεῖ καθόλου τοὺς ὑπηκόους του. Ἐντείνατε τὶς δυνάμεις σας περισσότερο, παρακαλῶ, καὶ προσέχετε, ἢ καλύτερα νὰ ποῦμε, νὰ ἐντείνουμε τὶς δυνάμεις μας καὶ ὁπωσδήποτε θὰ προκύψει κάτι περισσότερο. Νηστέψατε, παρακαλέσατε τὸ Θεό, καὶ ἐμεῖς μαζί σας, ὥστε νὰ ἐκβάλετε τὴν καταστρεπτικὴ αὐτὴ συνήθεια. Δὲν εἶναι δύσκολο νὰ γίνετε διδάσκαλοι τῆς οἰκουμένης· δὲν εἶναι μικρὸ νὰ ἀκουσθεῖ παντοῦ, ὅτι δὲν ὑπάρχει πιὰ κανένας σ' αὐτὴ τὴν πόλη ποὺ νὰ ὁρκίζεται. Ἐὰν γίνει αὐτό, δὲν θὰ λάβετε μόνο τὴν ἀνταμοιβὴ τῶν δικῶν σας κατορθωμάτων, ἀλλὰ καὶ τὴν ἀνταμοιβὴ τῆς προσπάθειας γιὰ τοὺς ἀδελφούς· διότι αὐτὸ ἀκριβῶς, ποὺ εἶμαι ἐγὼ γιὰ σᾶς, αὐτὸ θὰ γίνετε σεῖς γιὰ τὴν οἰκουμένη.

Πάντως καὶ ἕτεροι ζηλώσουσιν ὑμᾶς· πάντως ἔσεσθε λύχνος, ἐπὶ λυχνίας κείμενος. Καὶ τοῦτό ἐστι, φησί, τὸ πᾶν; Οὐ τοῦτό ἐστι τὸ πᾶν, ἀλλὰ τοῦτο ἀρχὴ τῶν ἄλλων. Ὁ μὴ ὀμνύς, πάντως ἐπὶ εὐλάβειαν ἥξει καὶ ἑτέραν, καὶ ἑκὼν καὶ ἄκων, καὶ αἰσχυνόμενος καὶ φοβούμενος.

Ἀλλ οὐκ ἀνέχονται πολλοί, φησίν, ἀλλ' ἀποπηδῶσιν. «Ἀλλὰ βέλτιον εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι». Ἀπὸ γοῦν τούτου πάντα ἀνατέτραπται, πάντα ἄνω καὶ κάτω γέγονεν· ὅτι καθάπερ ἐν τοῖς θεάτροις πλήθους ἐφιέμεθα, οὐ πλήθους δοκίμου. Τί γὰρ ὄχλος, εἰπέ μοι, δυνήσεται ὀνῆσαι; Βούλει μαθεῖν ὅτι ὄχλος οἱ ἅγιοί εἰσιν, οὐχ οἱ πολλοί; Ἐξαγάγετε εἰς πόλεμον ἑκατὸν μυριάδας καὶ ἕνα ἅγιον· ἴδωμεν τίς πλείονα κατορθοῖ. Ἐξῆλθεν ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ εἰς τὸν πόλεμον, καὶ μόνος ἅπαντα κατώρθωσεν, ὥστε οἱ ἄλλοι οὐδὲν ὤνησαν. Ὁ πολὺς ὄχλος, ἀγαπητέ, ὅταν θέλημα τοῦ Θεοῦ μὴ ποιῇ, οὐδὲν διενήνοχε τῶν οὐκ ὄντων. Εὔχομαι μὲν οὖν καὶ βούλομαι, καὶ ἡδέως ἂν καὶ κατεκόπην, ὥστε κοσμῆσαι πλήθει τὴν Ἐκκλησίαν, ἀλλὰ πλήθει δοκίμῳ· εἰ δὲ τοῦτο οὐχ οἷόν τε, τοὺς ὀλίγους αὐτοὺς δοκίμους εἶναι βούλομαι. Οὐχ ὁρᾶτε ὅτι βέλτιον ἕνα λίθον τίμιον ἔχειν, ἢ μυρίους ὀβολούς; οὐχ ὁρᾶτε ὅτι βέλτιον τὸν ὀφθαλμὸν ὑγιαίνοντα ἔχειν, ἤ, τούτου πεπηρωμένου, πολυσαρκίᾳ βαρύνεσθαι; οὐχ ὁρᾶτε ὅτι βέλτιον πρόβατον ἓν ὑγιαῖνον ἔχειν, ἢ μυρία, ψώρας ἐμπεπλησμένα; οὐχ ὁρᾶτε ὅτι εὐτεκνία μετὰ ὀλιγοτεκνίας βελτίων, ἢ πολυπαιδία μετὰ κακοπαιδίας; οὐχ ὁρᾶτε ὅτι ἐν μὲν τῇ βασιλείᾳ ὀλίγοι, ἐν δὲ τῇ γεέννῃ πολλοί; Τί ἐμοὶ καὶ τῷ πλήθει; τί τὸ ὄφελος; Οὐδέν· ἀλλὰ μᾶλλον τοῖς ἄλλοις λύμη. Ταὐτὸν γάρ ἐστιν, οἷον ἄν, εἴ τις,

---

9. Ματθ. 5, 15.
10. Βλ. Σοφ. Σειρ. 16, 3.

Ὁπωσδήποτε καὶ ἄλλοι μὲ προθυμία θὰ σᾶς μιμηθοῦν. Ὁπωσδήποτε θὰ γίνετε λύχνος βρισκόμενος ἐπάνω στὴ λυχνία. Καὶ αὐτὸ εἶναι, λέγει, τὸ πᾶν; Δὲν εἶναι αὐτὸ τὸ πᾶν, ἀλλὰ αὐτὸ εἶναι ἀρχὴ τῶν ἄλλων. Ὁπωσδήποτε αὐτὸς ποὺ δὲν ὁρκίζεται, θὰ φθάσει καὶ σὲ ἄλλη εὐλάβεια, καὶ θέλοντας καὶ μὴ θέλοντας, καὶ νιώθοντας ντροπὴ καὶ φόβο.

Ἀλλά, λέγει, δὲν ἀνέχονται πολλὰ καὶ ἀποσκιρτοῦν. «Ἀλλ' εἶναι προτιμότερο ἕνας νὰ κάμνει τὸ θέλημα τοῦ Κυρίου, παρὰ ἀμέτρητοι παράνομοι»[10]. Ἀπὸ αὐτὸ λοιπὸν ὅλα ἔχουν ἀνατραπεῖ, ὅλα ἔχουν γίνει ἄνω κάτω, διότι, ὅπως ἀκριβῶς στὰ θέατρα, ἐπιθυμοῦμε κόσμο πολύ, ὄχι πλῆθος ἀξιόλογο. Διότι πές μου, τί θὰ μπορέσει νὰ ὠφελήσει ὁ πολὺς κόσμος; Θέλεις νὰ μάθεις, ὅτι ὄχλος εἶναι οἱ ἅγιοι καὶ ὄχι οἱ πολλοί; Φέρετε σὲ πόλεμο ἕνα ἑκατομμύριο καὶ ἕνα ἅγιο· ἂς δοῦμε ποιὸς θὰ κατορθώσει περισσότερα. Βγῆκε ὁ Ἰησοῦς τοῦ Ναυῆ σὲ πόλεμο, καὶ μόνος του τὰ κατόρθωσε ὅλα, ὥστε οἱ ἄλλοι σὲ τίποτε δὲν ὠφέλησαν. Ὁ πολὺς ὄχλος, ἀγαπητέ μου, ὅταν δὲν ἐκτελεῖ τὸ θέλημα τοῦ Θεοῦ, δὲν διαφέρει καθόλου ἀπ' ἐκείνους ποὺ δὲν ὑπάρχουν. Εὔχομαι λοιπὸν καὶ ἐπιθυμῶ καὶ εὐχαρίστως θὰ κόπιαζα, γιὰ νὰ κοσμήσω μὲ πλῆθος τὴν ἐκκλησία, ἀλλὰ μὲ πλῆθος ἀξιόλογο· ἐὰν δὲ αὐτὸ δὲν εἶναι δυνατόν, τότε θέλω αὐτοὶ οἱ λίγοι νὰ εἶναι ἀξιόλογοι. Δὲν βλέπετε, ὅτι εἶναι προτιμότερο νὰ ἔχουμε ἕνα λίθο πολύτιμο, παρὰ ἀμέτρητους ὀβολούς; Δὲν βλέπετε, ὅτι εἶναι προτιμότερο νὰ ἔχουμε τὸν ὀφθαλμὸ ὑγιῆ, παρὰ ἀνάπηρο καὶ βαρυνόμενο μὲ πολυσαρκία; Δὲν βλέπετε ὅτι εἶναι προτιμότερο νὰ ἔχουμε ἕνα πρόβατο ὑγιές, παρὰ ἀμέτρητα, γεμάτα ἀπὸ ψώρα; Δὲν βλέπετε ὅτι εἶναι προτιμότερο νὰ ἔχουμε λίγα καὶ καλὰ παιδιά, παρὰ πολλὰ καὶ κακά; Δὲν βλέπετε ὅτι στὴ μὲν βασιλεία τοῦ Θεοῦ πηγαίνουν λίγοι, στὴ δὲ γέεννα πολλοί; Τί ὑπάρχει ἀνάμεσα σὲ μένα καὶ στὸ πλῆθος; ποιὰ ὠφέλεια; Καμιά. Ἀλλὰ μᾶλλον ἀρρώστια γιὰ τοὺς ἄλλους. Διότι εἶναι τὸ ἴδιο, ὅπως, ἐὰν κάποιος, ἐνῶ εἶναι δυνατὸν νὰ ἔχει δέκα ὑγιεῖς

ἐξὸν δέκα ὑγιαίνοντας ἔχειν ἢ μυρίους νοσοῦντας, ἐπεισάγει τοῖς δέκα τοὺς μυρίους. Οἱ πολλοί, μηδὲν κατορθοῦντες, οὐδὲν ἕτερον ἡμῖν προξενήσουσιν, ἀλλ' ἢ κόλασιν τότε, καὶ κατὰ τὸ παρὸν ἀδοξίαν· οὐδεὶς γὰρ ὅτι πολλοί ἐσμεν ἐρεῖ, ἀλλ' ὅτι ἄχρηστοι μέμφεται. Τοῦτο γοῦν ἡμῖν ἀεὶ λέγουσιν ὅταν εἴπωμεν ὅτι 'πολλοί ἐσμεν'. ''Ἀλλὰ κακοί', φησίν.

Ἰδοὺ πάλιν ἀπαγορεύω, καὶ λαμπρᾷ βοῶ τῇ φωνῇ· (μηδεὶς νομιζέτω γέλωτα εἶναι)· Ἀπείρξω καὶ κωλύσω τοὺς μὴ πειθομένους· καὶ ἕως ἂν ἐν τῷ θρόνῳ καθέζωμαι τούτῳ, οὐδὲν προήσομαι τῶν αὐτοῦ δικαιωμάτων. Ἂν μέ τις καταβιβάσῃ, λοιπὸν ἀνεύθυνός εἰμι· ἕως δ' ἂν ὑπεύθυνος ὦ, οὐ δύναμαι παριδεῖν οὐ διὰ τὴν ἐμὴν κόλασιν, ἀλλὰ διὰ τὴν ὑμετέραν σωτηρίαν· σφόδρα γὰρ ὑμῶν ἐρῶ τῆς σωτηρίας. Ὑπὲρ τούτου δάκνομαι καὶ ἀλγῶ». Ἀλλὰ πείσθητε, ἵνα καὶ ἐνταῦθα καὶ ἐν τῷ μέλλοντι πολὺν λάβητε τὸν μισθόν, καὶ κοινῇ τῶν αἰωνίων ἀπολαύσωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς αὐτοῦ Υἱοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

παρὰ ἀμέτρητους ἀρρώστους, προσθέτει στοὺς δέκα τοὺς ἀμέτρητους. Οἱ πολλοὶ ποὺ δὲν κατορθώνουν τίποτε, δὲν θὰ προξενήσουν σ' ἐμᾶς τίποτε ἄλλο, παρὰ κόλαση τότε, καὶ στὸ παρὸν αἰσχύνη. Διότι κανένας δὲν θὰ πεῖ ὅτι εἴμαστε πολλοί, ἀλλὰ θὰ μᾶς κατηγορεῖ ὅτι εἴμαστε ἄχρηστοι. Αὐτὸ λοιπὸν πάντοτε μᾶς λέγουν, ὅταν ποῦμε, ὅτι 'εἴμαστε πολλοί'· ἀλλὰ 'κακοί', μᾶς λέγουν.

Νὰ πάλι ἀπαγορεύω καὶ φωνάζω μὲ καθαρὴ φωνή, (κανένας ἂς μὴ νομίζει, ὅτι εἶναι περίγελως). Θὰ ἐμποδίσω καὶ δὲν θὰ ἐπιτρέψω σ' αὐτοὺς ποὺ δὲν πείθονται, καὶ ὅσο καιρὸ θὰ κάθομαι στὸ θρόνο αὐτό, δὲν θὰ ἐγκαταλείψω κανένα ἀπὸ τὰ δικαιώματά του. Ἂν ὅμως κάποιος μὲ κατεβάσει, τότε θὰ εἶμαι ἀνεύθυνος· ὅσο ὅμως εἶμαι ὑπεύθυνος, δὲν μπορῶ νὰ παραβλέψω, ὄχι γιὰ τὴ δική μου τιμωρία, ἀλλὰ καὶ γιὰ τὴ δική σας σωτηρία· διότι πάρα πολὺ ἀγαπῶ τὴ σωτηρία σας. Γι' αὐτὴν πονῶ καὶ ὑποφέρω. Ἀλλὰ πεισθεῖτε, γιὰ νὰ λάβετε καὶ ἐδῶ καὶ στὸ μέλλον μεγάλη ἀμοιβή, καὶ ὅλοι μαζὶ ν' ἀπολαύσουμε τὰ αἰώνια ἀγαθὰ μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Μονογενῆ Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει δόξα, δύναμη καὶ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Θ΄
(Πράξ. 3, 12-26)

«Ἰδὼν δέ», φησί, «Πέτρος, ἀπεκρίνατο πρὸς τὸν λαόν· Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;».

1. Πλείονος αὕτη γέμει παρρησίας ἡ δημηγορία. Τοῦτο δὲ ποιεῖ, οὐκ ἐπειδὴ ἐφοβεῖτο, ἀλλ' ἐπειδὴ οὐκ ἂν ἤνεγκαν ἐκεῖνοι, ἄνθρωποι χλευασταὶ ὄντες καὶ γελωτοποιοί. Ὅθεν, ἐκείνης μὲν ἀρχόμενος, καὶ ἐπιστρέφει αὐτούς, διὰ τοῦ προοιμίου εὐθὺς λέγων· «Τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου», ἐνταῦθα δὲ οὐ δεῖται ταύτης τῆς κατασκευῆς· οὐ γὰρ ἐρρᾳθύμουν· τὸ γὰρ σημεῖον αὐτοὺς ἐπέστρεψεν ἅπαντας· ὅθεν καὶ δέους καὶ ἐκπλήξεως ἦσαν μεστοί. Διὸ οὐδὲ ἐδέησεν αὐτῷ ἐντεῦθεν ἄρξασθαι, ἀλλ' ἑτέρωθεν, ὅθεν μάλιστα αὐτοὺς καὶ ᾠκειώσατο, διακρουσάμενος τὴν δόξαν τὴν παρ' αὐτῶν· οὐδὲν γὰρ οὕτως ὠφελεῖ καὶ ἀνίησι τοὺς ἀκούοντας, ὡς τὸ μηδὲν περὶ ἑαυτοῦ λέγειν μέγα τὸν λέγοντα, ἀλλὰ καὶ τὴν ὑποψίαν ἀναιρεῖν. Μᾶλλον οὖν ἑαυτοὺς ἐδόξασαν, καταφρονήσαντες δόξης, καὶ δείξαντες οὐκ ἀνθρώπινον, ἀλλὰ θεῖον ὂν τὸ γεγονός· καὶ ὅτι τοῦ θαυμάζειν μετ' αὐτῶν, οὐ τοῦ θαυμάζεσθαί εἰσιν ἄξιοι. Ὁρᾷς πῶς, φιλοτιμίας ὢν καθαρός, διωθεῖται τὴν εἰς αὐτὸν δόξαν; Οὕτω καὶ οἱ παλαιοὶ ἐποίουν, καθάπερ ὁ Δανιὴλ ἔλεγε· «Καὶ ἐγὼ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοί»· καὶ πάλιν

1. Πράξ. 3, 12.
2. Πράξ. 2, 14.

ΟΜΙΛΙΑ Θ΄
(Πράξ. 3, 12-26)

«Ὅταν δὲ εἶδε αὐτὸ ὁ Πέτρος, εἶπε στὸ λαό· Ἄνδρες Ἰσραηλῖτες, γιατί θαυμάζετε γιὰ τὸ γεγονὸς αὐτό; ἢ γιατί ἔχετε προσηλωμένο τὸ βλέμμα σας σὲ μᾶς, σὰν νὰ τὸν ἔχομε κάνει νὰ περπατᾶ μὲ τὴ δική μας δύναμη ἢ εὐσέβεια;»[1].

1. Ἡ ὁμιλία αὔτη εἶναι γεμάτη ἀπὸ περισσότερη παρουσία. Τὸ κάμνει δὲ αὐτό, ὄχι ἐπειδὴ στὴν προηγούμενη ὁμιλία φοβόταν, ἀλλ' ἐπειδὴ δὲν θὰ μποροῦσαν νὰ ὑποφέρουν ἐκεῖνοι, ποὺ ἦταν ἄνθρωποι χλευαστὲς καὶ γελοτοποιοί. Γι' αὐτὸ ἀρχίζοντας μὲν ἐκείνη τὴν ὁμιλία, κάμνει αὐτοὺς νὰ ἐπιστρέψουν, ἀμέσως λέγοντας μὲ τὸ προοίμιο· «Αὐτὸ ποὺ θὰ σᾶς πῶ, ἂς γίνει γνωστὸ σὲ σᾶς, καὶ ἀκούσατε προσεκτικὰ τοὺς λόγους μου αὐτούς»[2]. Ἐδῶ ὅμως δὲν χρειάζεται αὐτὴν τὴν προπαρασκευή. Διότι αὐτοὶ δὲν ἦταν ράθυμοι, ἀφοῦ τὸ θαῦμα ἔκανε ὅλους αὐτοὺς νὰ ἐπιστρέψουν· γι' αὐτὸ ἦταν γεμάτοι ἀπὸ φόβο καὶ ἔκπληξη· γι' αὐτὸ δὲν χρειάσθηκε σ' αὐτὸν ἀπ' ἐδῶ ν' ἀρχίσει, ἀλλὰ μὲ ἄλλο τρόπο, μὲ τὸν ὁποῖο πρὸ πάντων προσήλκυσε αὐτούς, ἀποκρούοντας τὴ δόξα ποὺ προέρχεται ἀπ' αὐτούς. Διότι τίποτε δὲν ὠφελεῖ καὶ δὲν ἐξυπηρετεῖ τόσο τοὺς ἀκροατές, ὅσο τὸ νὰ μὴ λέγει τίποτε τὸ σπουδαῖο γιὰ τὸν ἑαυτό του, ἀλλὰ καὶ νὰ ἀφαιρεῖ κάθε ὑποψία. Περισσότερο λοιπὸν δόξασαν τοὺς ἑαυτούς τους, ἐφ' ὅσον κατεφρόνησαν τὴ δόξα καὶ ἔδειξαν, ὅτι δὲν ἦταν ἀνθρώπινο, ἀλλὰ θεῖο τὸ γεγονὸς τοῦ θαύματος, καὶ ὅτι εἶναι ἄξιοι νὰ θαυμάζουν μαζὶ μὲ αὐτοὺς καὶ ὄχι νὰ θαυμάζονται. Βλέπεις πῶς, ἐπειδὴ ὁ ἴδιος εἶναι ἀπαλλαγμένος ἀπὸ φιλοδοξία, ἀπορρίπτει τὴ δόξα στὸν ἑαυτό του; Ἔτσι ἔκαμναν καὶ οἱ παλιοί, ὅπως ἀκριβῶς ἔλεγε ὁ Δανιήλ· «Καὶ ἐγὼ δὲ ὄχι γιὰ χάρη κάποιας σοφίας, ποὺ

ὁ Ἰωσήφ· «Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν;»· καὶ ὁ Δαυίδ· «Ὅτε ἤρχετο ὁ λέων καὶ ἡ ἄρκτος, ἐν ὀνόματι Κυρίου ταῖς χερσὶν αὐτοὺς διέσπων»· καὶ οὗτοι νῦν· «Τί ἡμῖν ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;». Οὐδὲ τοῦτο ἡμέτερον, φησίν· οὐ γὰρ ἐπειδὴ ἄξιοί ἐσμεν, ἐπεσπασάμεθα τοῦ Θεοῦ τὴν ῥοπήν.

«Ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν», (ὅρα πῶς ἑαυτὸν εἰσωθεῖ συνεχῶς εἰς τοὺς προγόνους, ἵνα μὴ δόξῃ καινόν τι εἰσάγειν δόγμα· καὶ ἐκεῖ τοῦ πατριάρχου Δαυὶδ ἐμνημόνευσε, καὶ ἐνταῦθα τῶν περὶ τὸν Ἀβραάμ), «ἐδόξασε τὸν Παῖδα αὐτοῦ Ἰησοῦν». Πάλιν ταπεινῶς, καθὼς ἐν τῷ προοιμίῳ· εἶτα λοιπὸν ἐνδιατρίβει τῷ τολμήματι, καὶ ἐπαίρει τὸ γεγενημένον, ἀλλ' οὐχ ὥσπερ πρότερον συσκιάζει. Ποιεῖ δὲ τοῦτο, μᾶλλον αὐτοὺς ἐπαγαγέσθαι βουλόμενος· ὅσῳ γὰρ ἐδείκνυ ὑπευθύνους, τοσούτῳ μᾶλλον τοῦτο ἐγίνετο.

«Ἐδόξασε», φησί, «τὸν Παῖδα αὐτοῦ Ἰησοῦν, ὃν ὑμεῖς παρεδώκατε, καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν». Δύο τὰ ἐγκλήματα, καὶ ὅτι Πιλάτος ἤθελεν ἀπολύειν, καὶ ὅτι ὑμεῖς, ἐκείνου θελήσαντος, οὐκ ἠθελήσατε. «Ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν». Ὡσεὶ ἔλεγεν· 'Ἀντ' αὐτοῦ λῃστὴν ᾐτήσασθε'. Σφόδρα ἐδείνωσε τὸ πρᾶγμα· ἐπειδὴ γὰρ εἶχεν αὐτοὺς ὑπὸ τὴν χεῖρα, πλήττει λοιπὸν σφοδρῶς. «Τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς», φησίν. Ἐνταῦθα τὴν πίστιν τῆς ἀναστάσεως κατασκευάζει. «Ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν». Ἵνα μή τις εἴπῃ· 'Πόθεν τοῦτο δῆλον;' οὐκέτι εἰς προφήτας

3. Δαν. 2, 30.
4. Γεν. 40, 8.
5. Α΄ Βασιλ. 17, 34.
5α. Ἐννοεῖ τὸν Βαραββᾶ.

ὑπάρχει σὲ μένα»[3]. Καὶ πάλι ὁ Ἰωσήφ· «Δὲν γίνεται ἀπὸ τὸ Θεὸ ἡ ἐξήγηση αὐτή;»[4]. Καὶ ὁ Δαυίδ· «Ὅταν ἐρχόταν τὸ λεοντάρι καὶ ἡ ἀρκούδα στὸ ὄνομα τοῦ Κυρίου καὶ μὲ τὴ βοήθεια ἐκείνου διασκόρπιζα αὐτοὺς μὲ τὰ χέρια»[5]. Καὶ αὐτοὶ τώρα· «Γιατί προσβλέπετε ἐπίμονα σ' μᾶς, σὰν νὰ τὸν ἔχουμε κάνει νὰ περιπατεῖ μὲ δική μας δύναμη ἢ τὴν εὐσέβεια;». Οὔτε αὐτὸ εἶναι δικό μας, λέγει· οὔτε ἐπειδὴ εἴμαστε ἄξιοι, προκαλέσαμε τὴν εὔνοια τοῦ Θεοῦ.

«Ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ ὁ Θεὸς τοῦ Ἰσαὰκ καὶ ὁ Θεὸς τοῦ Ἰακώβ, ὁ Θεὸς τῶν πατέρων μας», (πρόσεχε πῶς συνεχῶς προωθεῖ τὸν ἑαυτό του στοὺς προγόνους, γιὰ νὰ μὴ φανεῖ ὅτι εἰσάγει κάποιο καινούργιο δόγμα· καὶ ἐκεῖ μνημόνευσε τὸν πατριάρχη Δαυίδ, καὶ ἐδῶ τοὺς γύρω ἀπὸ τὸν Ἀβραάμ), «Δόξασε τὸν Υἱό του τὸν Ἰησοῦ». Πάλι ὁμιλεῖ μὲ ταπείνωση, ὅπως καὶ στὸ προοίμιο. Ἔπειτα πλέον καταπιάνετε μὲ τὸ τόλμημα καὶ ἐξαίρει τὸ γεγονός, ἀλλὰ δὲν τὸ συσκιάζει ὅπως πρίν. Τὸ κάμνει αὐτό, θέλοντας περισσότερο νὰ προσελκύσει αὐτούς. Διότι ὅσο περισσότερο τοὺς ἀποδείκνυε ὑπεύθυνους, τόσο περισσότερο αὐτὸ κατορθωνόταν.

«Δόξασε», λέγει, «τὸν Υἱό του Ἰησοῦ, τὸν ὁποῖο ὅμως σεῖς παραδώσατε νὰ σταυρωθεῖ καὶ τὸν ἀρνηθήκατε ἐνώπιον τοῦ Πηλάτου, ὅταν εἶχε ἀποφασίσει νὰ τὸν ἀφήσει ἐλεύθερο». Δυὸ οἱ κατηγορίες, καὶ ὅτι ὁ Πιλάτος ἤθελε νὰ τὸν ἀφήσει ἐλεύθερο, καὶ ὅτι σεῖς δὲν θελήσατε, ἐνῶ ἐκεῖνος θέλησε. «Σεῖς δὲ ἀρνηθήκατε τὸν μοναδικὸ ἅγιο καὶ δίκαιο καὶ ζητήσατε νὰ σᾶς δοθεῖ σὰν χάρη ἕνας ἄνδρας φονιάς[5α], ἐνῶ τὸν ἀρχηγὸ τῆς ζωῆς, τὸν φονεύσατε, ἀλλ' ὁ Θεὸς τὸν ἀνέστησε ἐκ νεκρῶν, καὶ τοῦ γεγονότος αὐτοῦ ἐμεῖς εἴμαστε μάρτυρες». Σὰν νὰ ἔλεγε· 'ἀντὶ αὐτοῦ, τὸν ληστὴ ζητήσατε'. Ὑπερβολικὰ ἐπεδείνωσε τὸ πράγμα. Ἐπειδὴ δηλαδὴ εἶχε αὐτοὺς ὑποχείριους, τοὺς κτυπᾶ στὴ συνέχεια δυνατότερα. «Τὸν δὲ ἀρχηγὸ τῆς ζωῆς», λέγει. Ἐδῶ προετοιμάζει τὴν πίστη στὴν ἀνάσταση. «Τὸν ὁποῖο ὁ Θεὸς ἀνέστησε ἐκ νεκρῶν». Γιὰ νὰ μὴ πεῖ κανένας, 'ἀπὸ ποῦ εἶναι αὐτὸ φανερό;' δὲν κατα-

καταφεύγει, ἀλλ' εἰς ἑαυτόν, ἐπειδὴ λοιπὸν ἀξιόπιστος ἦν· τότε μὲν γάρ, εἰπὼν ὅτι ἀνέστη, τὸν Δαυὶδ ἐπηγάγετο μάρτυρα, νυνὶ δέ, εἰπὼν τὸ αὐτό, τὸν χορὸν τὸν ἀποστολικόν. «Οὗ ἡμεῖς ἐσμεν», φησί, «μάρτυρες. Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν». Ζητῶν τὸ πρᾶγμα εἰπεῖν, εὐθέως τὸ σημεῖον ἐπάγει. «Ἐνώπιον», φησί, «πάντων ὑμῶν».

Ἐπειδὴ σφόδρα αὐτῶν καθήψατο, καὶ ἔδειξεν ἀναστάντα τὸν σταυρωθέντα, πάλιν ἀνίησι, διδοὺς αὐτοῖς ἐξουσίαν μετανοίας, λέγων· «Καὶ νῦν, ἀδελφοί, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, καθὼς καὶ οἱ ἄρχοντες ὑμῶν». «Κατὰ ἄγνοιαν ἐπράξατε», μία αὕτη ἀπολογία· δευτέρα, «καθὼς καὶ οἱ ἄρχοντες ὑμῶν». Ὥσπερ ὁ Ἰωσὴφ τοῖς ἀδελφοῖς ἔλεγεν ὅτι «ὁ Θεός με ἀπέστειλεν ἔμπροσθεν ὑμῶν», μᾶλλον δέ, ὃ συνεσταλμένως εἶπεν ἐκεῖ· «Τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες», τοῦτο πλατύνει ἐνταῦθα. «Ὁ δὲ Θεός, ἃ προκατήγγειλε διὰ στόματος πάντων τῶν προφητῶν παθεῖν τὸν Χριστὸν αὐτοῦ, ἐπλήρωσεν οὕτως». Ἅμα δείκνυσιν ὅτι οὐκ ἐκείνων ἐστίν, ἐὰν τοῦτο δειχθῇ, καὶ ὅτι κατὰ Θεοῦ βουλὴν γέγονε. Τῷ δὲ εἰπεῖν, «Ἃ προκατήγγειλε», τὰ ῥήματα, ἃ ἐπὶ τοῦ σταυροῦ ὠνείδιζον, αἰνίττεται· «Εἰ θέλει αὐτόν, σωσάτω αὐτόν, λέγοντες· εἶπε γάρ· Υἱὸς Θεοῦ εἰμι· πέποιθεν ἐπ' αὐτόν· καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ». Λῆρος οὖν, ὦ ἀνόητοι, ταῦτα; Ἄπαγε! ἀλλ' οὕτως ἔδει γενέσθαι· καὶ μαρτυροῦσιν οἱ προφῆται. Ὥστε οὐ παρὰ οἰκείαν

---

6. Γεν. 45, 5.
7. Πράξ. 2, 23.
8. Ματθ. 27, 42-43 καὶ Λουκᾶ, 23, 35.

φεύγει πλέον στοὺς προφῆτες, ἀλλ' στὸν ἑαυτό του, ἐπειδὴ στὴν συνέχεια ἦταν ἀξιόπιστος. Διότι τότε μέν, ὅταν εἶπε, ὅτι ἀναστήθηκε, τὸν Δαυῒδ ἐπεκαλέσθηκε μάρτυρα, τώρα δὲ λέγοντας τὸ ἴδιο, τὸ σύνολο τῶν Ἀποστόλων ἐπικαλεῖται. «Τοῦ γεγονότος αὐτοῦ, ἐμεῖς εἴμαστε», λέγει, «μάρτυρες. Καὶ μὲ τὴν πίστη ποὺ ἔχουμε στὸ ὄνομά του, αὐτὸν ποὺ βλέπετε τώρα ὑγιὴ καὶ γνωρίζετε ὅτι ἦταν χωλός, θεραπεύσαμε, καὶ τὸ ὄνομα τοῦ Ἰησοῦ τὸν στερέωσε στὰ πόδια του, καὶ ἡ πίστη ποὺ ἐνεργεῖται μὲ αὐτὸν ἔδωσε στὸ χωλὸ αὐτὸ τὴν πλήρη αὐτὴ θεραπεία, ἐνώπιον ὅλων σας». Ἀναζητώντας νὰ ἀναφέρει τὴν ἀνάσταση, ἀμέσως παρουσιάζει τὸ θαῦμα. «Ἐνώπιον ὅλων σας», λέγει.

Ἐπειδὴ πάρα πολὺ τοὺς κατηγόρησε καὶ ἀπέδειξε τὸν σταυρωθέντα, ὅτι ἀναστήθηκε, πάλι τοὺς ἀφήνει, ἀφοῦ τοὺς δίνει τὴ δυνατότητα τῆς μετάνοιας, λέγοντας· «Καὶ τώρα, ἀδελφό μου, γνωρίζω ὅτι ἀπὸ ἄγνοια ἐνεργήσατε, ὅπως ἐνήργησαν καὶ οἱ ἄρχοντές σας». «Ὅτι ἀπὸ ἄγνοια ἐνεργήσατε». Πρώτη ἀπολογία αὐτή· δεύτερη «ὅπως ἀκριβῶς καὶ οἱ ἄρχοντές σας». Ὅπως ὁ Ἰωσὴφ ἔλεγε στοὺς ἀδελφούς του, ὅτι «Ὁ Θεὸς μὲ ἀπέστειλε ἔμπροσθέν σας»[6] μᾶλλον δὲ αὐτό, ποὺ εἶπε συνεσταλμένα ἐκεῖ, «ὅτι σύμφωνα μὲ τὴν ὁρισμένη ἀπόφαση καὶ πρόγνωση τοῦ Θεοῦ, παραλάβατε αὐτὸν ποὺ σᾶς παραδόθηκε ἀπὸ τὸν προδότη»[7], αὐτὸ ἀναπτύσσει ἐδῶ. «Ὁ δὲ Θεός, ἐκεῖνα ποὺ προανήγγειλε μὲ τὸ στόμα ὅλων τῶν προφητῶν του γιὰ τὸ πάθος τοῦ Χριστοῦ, τὰ πραγματοποίησε μὲ τὸ σταυρικὸ θάνατό του». Συγχρόνως ἀποδεικνύει ὅτι, ἐὰν ἀποδειχθεῖ αὐτό, δὲν εἶναι δικό του φταίξιμο, καὶ ὅτι ἔχει γίνει σύμφωνα μὲ τὴ θέληση τοῦ Θεοῦ. Μὲ τὸ νὰ πεῖ δέ, «ἐκεῖνα ποὺ προανήγγειλε», ὑπαινίσσεται τοὺς λόγους μὲ τοὺς ὁποίους τὸν ὀνείδιζαν ἐπάνω στὸ σταυρό, λέγοντας· «Ἂν τὸν ἀγαπᾶ ὁ Θεός, ἂς τὸν σώσει· διότι εἶπε, ὅτι εἶμαι Υἱὸς τοῦ Θεοῦ· ἔχει στηρίξει τὴν πεποίθησή του στὸ Θεό· ἂς κατεβεῖ τώρα ἀπὸ τὸ σταυρό»[8]. Εἶναι ὅλα αὐτὰ φλυαρία, ἀνόητοι; Κάθε ἄλλο· ἀλλ' ἔπρεπε ἔτσι νὰ γίνουν· καὶ αὐτὰ μαρτυροῦν οἱ προφῆτες. Συνεπῶς δὲν κατέβηκε ὄχι

ἀσθένειαν οὐ κατέβη, ἀλλὰ παρὰ δύναμιν. Καὶ τίθησιν αὐτὸ ἐν τάξει ἀπολογίας τῆς ὑπὲρ Ἰουδαίων, ἵνα καὶ δέξωνται. «Ἐπλήρωσε», φησίν, «οὕτως». Ὁρᾶς πῶς τὸ πᾶν ἐκεῖ ἀνάγει; «Μετανοήσατε οὖν», φησί, «καὶ ἐπιστρέψατε». Καὶ οὐ λέγει, Ἀπὸ τῶν ἁμαρτιῶν ὑμῶν, ἀλλ' «εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας», τὸ αὐτὸ δηλῶν. Εἶτα τὸ κέρδος ἐπάγει· «Ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου τοῦ Κυρίου». Δείκνυσιν ἐνταῦθα ταλαιπωρηθέντας αὐτούς, καὶ πολλοῖς κατεργασθέντας κακοῖς· διὸ καὶ οὕτως εἶπεν, εἰδὼς ὅτι πρὸς τὸν πάσχοντα καὶ παραμυθίαν ζητοῦντα οὗτος ἂν ἁρμόσειεν ὁ λόγος.

2. Καὶ ὅρα πῶς ὁδῷ προβαίνει. Ἐν μὲν τῇ πρώτῃ δημηγορίᾳ ἠρέμα τὴν ἀνάστασιν καὶ τὴν ἐν οὐρανῷ κάθισιν ἠνίξατο, ἐνταῦθα δὲ καὶ τὴν ἐμφανῆ παρουσίαν. «Καὶ ἀποστείλῃ τὸν προκεχειρισμένον Ἰησοῦν Χριστόν, ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι», (ἀντὶ τοῦ ἀνάγκη ἐστίν), «ἄχρι χρόνων ἀποκαταστάσεως πάντων». Διὰ τί νῦν οὐκ ἔρχεται, ἡ αἰτία δήλη. «Ὧν ἐλάλησε», φησίν, «ὁ Θεὸς διὰ στόματος τῶν ἁγίων αὐτοῦ προφητῶν τῶν ἀπ' αἰῶνος. Μωσῆς μὲν γὰρ εἶπε πρὸς τοὺς πατέρας ὅτι Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς». Ἐκεῖ μὲν τοῦ Δαυὶδ ἐμνημόνευσεν, ἐνταῦθα δὲ Μωσέως. «Πάντων», φησίν, «ὧν ἐλάλησεν ὁ Θεός». Οὐ λέγει, Ὧν εἶπεν ὁ Χριστός, ἀλλ' «Ὧν ἐλάλησεν ὁ Θεός», ἔτι τῷ συσκιάζειν μᾶλλον αὐτοὺς ἐπαγόμενος εἰς πίστιν ἠρέμα. Εἶτα ἐπὶ τὸ ἀξιόπιστον καταφεύγει, λέγων· «Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάν-

ἀπὸ δική του ἀδυναμία, ἀλλὰ ἀπὸ δύναμη. Καὶ τοποθετεῖ αὐτὸ σὲ θέση ἀπολογίας ὑπὲρ τῶν Ἰουδαίων, γιὰ νὰ τὸ ἀποδεχθοῦν. «Τὰ «πραγματοποίησε», λέγει, μὲ τὸν τρόπο αὐτό». Βλέπεις πῶς τὸ πᾶν ἐκεῖ ἀναφέρει; «Μετανοήσατε λοιπόν», λέγει, «καὶ ἐπιστρέψατε». Καὶ δὲν λέγει, 'ἀπὸ τὶς ἁμαρτίες σας', ἀλλὰ «γιὰ νὰ ἐξαλειφθοῦν οἱ ἁμαρτίες σας», δηλώνοντας ἔτσι τὸ ἴδιο πράγμα. Μετὰ προσθέτει τὸ κέρδος· «γιὰ νὰ σᾶς ἔλθουν ἀπὸ τὸ πρόσωπο τοῦ Κυρίου, τὸ γεμάτο ἀπὸ ἔλεος, καιροὶ ἀναψυχῆς καὶ παρηγορίας». Ἀποδεικνύει ἐδῶ ὅτι αὐτοὶ ἔχουν ταλαιπωρηθεῖ καὶ ὅτι ἔχουν πάθει πολλὰ κακά. Γι' αὐτὸ καὶ μίλησε ἔτσι, γνωρίζοντας ὅτι ὁ λόγος αὐτὸς θὰ ἅρμοζε σὲ κάποιον ποὺ πάσχει καὶ ζητεῖ παρηγοριά.

2. Καὶ πρόσεχε, πῶς προχωρεῖ προοδευτικά. Στὴ μὲν πρώτη ὁμιλία ὑπαινίχθηκε ἤρεμα τὴν ἀνάσταση καὶ τὴν ἐγκατάστασή του στὸν οὐρανό, ἐδῶ ὅμως καὶ τὴν ἐμφανὴ παρουσία. «Καὶ γιὰ νὰ ἀποστείλει τὸν Σωτῆρα Χριστό, ποὺ προορίσθηκε πρὶν ἀπὸ αἰῶνες γιὰ νὰ εἶναι δικός σας λυτρωτής, τὸν ὁποῖο πρέπει, σύμφωνα μὲ τὶς προφητεῖες, νὰ ὑποδεχθεῖ ὁ οὐρανός» (ἀντὶ τοῦ εἶναι ἀνάγκη), «καὶ θὰ μείνει ἐκεῖ δοξαζόμενος μέχρις ὅτου ἔλθουν οἱ χρόνοι, κατὰ τοὺς ὁποίους θὰ ἀποκατασταθοῦν τὰ πάντα». Γιατί δὲν ἔρχεται τώρα, ἡ αἰτία εἶναι φανερή. «Γιὰ τὰ ὁποῖα μίλησε ὁ Θεὸς μὲ τὸ στόμα ὅλων τῶν ἁγίων του προφητῶν ἀπὸ τοὺς ἀρχαιοτάτους χρόνους. Διότι ὁ μὲν Μωϋσῆς εἶπε πρὸς τοὺς προπάτορές μας, ὅτι Κύριος ὁ Θεός σας θὰ σᾶς ἀναστήσει προφήτη ἀπὸ τοὺς ἀδελφοὺς καὶ ὁμοεθνεῖς σας ὅπως ἤγειρε ἐμένα· σ' αὐτὸν ὑπακούσατε σὲ ὅλα, ὅσα θὰ σᾶς πεῖ». Ἐκεῖ μὲν μνημόνευσε τὸν Δαυΐδ, ἐδῶ δὲ τὸν Μωϋσῆ. «Γιὰ τὰ ὁποῖα μίλησε ὁ Θεός». Δὲν λέγει, 'γιὰ τὰ ὁποῖα μίλησε ὁ Χριστός', ἀλλὰ «Γιὰ τὰ ὁποῖα μίλησε ὁ Θεός», συγκαλυμμένα ἀκόμη, ὁδηγώντας περισσότερο αὐτοὺς στὴν πίστη μὲ τρόπο ἤρεμο. Κατόπιν καταφεύγει στὸ ἀξιόπιστο, λέγοντας· «Προφήτη θὰ ἀναστήσει γιὰ σᾶς Κύριος ὁ Θεός, ἀπὸ τοὺς ἀδελφούς σας, ὅπως ἤγειρα ἐμένα· σ' αὐτὸν ὑπακούσατε σ' ὅλα ὅσα θὰ

τα». Εἶτα καὶ ἡ τιμωρία πολλή. «Ἔσται δέ», φησί, «πᾶσα ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ. Καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς, ὅσοι ἐλάλησαν καὶ προκατήγγειλαν τὰς ἡμέρας ταύτας». Ἐνταῦθα καλῶς τὸν ὄλεθρον ἔθηκεν· ὅταν γάρ τι λέγῃ μέγα, ἐπὶ τοὺς πρώτους καταφεύγει. Καὶ μαρτυρίαν εὗρεν ἀμφότερα ἔχουσαν, ὥσπερ ἐκεῖ εἶπεν· «Ἕως ἂν θῇ τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ». Τὸ γὰρ θαυμαστόν, ὅτι ὁμοῦ τὰ δύο, καὶ ὑποταγή, καὶ παρακοή, καὶ ἡ τιμωρία. «Ὡς ἐμέ», φησί. Τί τοίνυν πτοεῖσθε; «Ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν». Ὥστε ὑμῖν ἔλεγον, καὶ δι' ὑμᾶς πάντα γέγονεν. Ἐπειδὴ γὰρ διὰ τὸ τόλμημα ἐνόμιζον ἑαυτοὺς ἠλλοτριῶσθαι, (καὶ γὰρ οὐκ ἔχει λόγον τὸν αὐτόν, νῦν μὲν σταυροῦσθαι, νῦν δὲ ὡς οἰκείους θεραπεύειν), δείκνυσιν ὅτι καὶ ἐκεῖνο κατὰ προφητείαν, καὶ τοῦτο. «Ὑμεῖς ἐστε», φησίν, υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης, ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ὑμῶν, λέγων πρὸς Ἀβραάμ· Καὶ ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς». «Ὑμῖν πρῶτον», φησίν, «ὁ Θεός, ἀναστήσας τὸν Παῖδα αὐτοῦ Ἰησοῦν, ἀπέστειλεν», (ἄρα καὶ ἑτέροις· ἀλλ' ὑμῖν πρῶτον τοῖς σταυρώσασιν), «εὐλογοῦντα ὑμᾶς ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηρῶν».

Ἴδωμεν δὲ ἀκριβέστερον ἄνωθεν τὰ ἀναγνωσθέντα. Τέως κατασκευάζει ὅτι αὐτοὶ ἐποίησαν τὸ θαῦμα ἐν τῷ εἰπεῖν· «Τί θαυμάζετε;». Καὶ οὐκ ἀφίησιν ἀπιστεῖσθαι τὸ λεγόμενον. Καὶ ἵνα ἀξιοπιστότερον αὐτὸ ποιήσῃ, προκαταλαμβάνει αὐτῶν τὴν κρίσιν· «Ἡμῖν», φησί, «τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσιν;». Εἰ τοῦτο ὑμᾶς ταράττει καὶ θορυβεῖ, μάθετε τίς ὁ ποιήσας, καὶ μὴ ἐκπλήττεσθε. Καὶ ὁ-

9. Ψαλμ. 109, 2.
10. Γεν. 12, 3.

σᾶς πεῖ». Ἔπειτα καὶ ἡ τιμωρία μεγάλη. «Ὅποιος δὲ δὲν θὰ ὑπακούσει στὸν προφήτη ἐκεῖνο, θὰ ἐξολοθρευθεῖ ἀπὸ τὸ λαὸ τοῦ Θεοῦ. Καὶ ὅλοι δὲ οἱ προφῆτες ἀπὸ τὸν Σαμουὴλ καὶ ἔπειτα, ὅσοι μίλησαν πρὸς τοὺς πατέρες σας, καὶ προανήγγειλαν τὶς ἡμέρες αὐτές». Ἐδῶ καλὰ ἀνέφερε τὸν ὄλεθρο. Διότι ὅταν λέγει κάτι σπουδαῖο, καταφεύγει στοὺς πρώτους. Καὶ βρῆκε μαρτυρία ποὺ περιέχει καὶ τὰ δυό, ὅπως ἀκριβῶς εἶπε ἐκεῖ· «Μέχρις ὅτου θέσει τοὺς ἐχθρούς του κάτω ἀπὸ τὰ πόδια του»[9]. Διότι τὸ θαυμαστὸ εἶναι, ὅτι καὶ τὰ δύο, καὶ ἡ ὑποταγὴ καὶ ἡ παρακοή, καὶ ἡ τιμωρία, εἶναι μαζί. «Ὅπως ἤγειρε ἐμένα», λέγει. Γιατί λοιπὸν πτοεῖσθε; «Σεῖς εἶσθε οἱ ἀπόγονοι καὶ κληρονόμοι τῶν προφητῶν». Ὥστε σὲ σᾶς ἔλεγαν, καὶ γιὰ σᾶς ἔχουν γίνει ὅλα. Διότι, ἐπειδὴ ἐξ αἰτίας τοῦ τολμήματος νόμιζαν ὅτι εἶχαν ἀποξενωθεῖ (καθόσον δὲν εἶναι λογικὸ αὐτό, ἀπὸ τὸ ἕνα μὲν μέρος νὰ σταυρώνεται, ἀπὸ τὸ ἄλλο δὲ νὰ φροντίζει γι' αὐτοὺς σὰν δικούς του), ἀποδεικνύει ὅτι καὶ ἐκεῖνο ἔγινε σύμφωνα μὲ τὴν προφητεία καὶ αὐτό. «Σεῖς εἶστε», λέγει, «οἱ ἀπόγονοι καὶ κληρονόμοι τῶν προφητῶν καὶ τῆς διαθήκης ποὺ συνῆψε ὁ Θεὸς μὲ τοὺς προπάτορές σας, λέγοντας πρὸς τὸν Ἀβραάμ. Καὶ μὲ τὸ σπέρμα σου, θὰ εὐλογηθοῦν ὅλες οἱ φυλὲς τῆς γῆς»[10]. «Σὲ σᾶς», λέγει, «πρῶτα ὁ Θεός, καὶ ἀνέδειξε ἀπὸ τοὺς ἀπογόνους τοῦ Ἀβραὰμ τὸ δοῦλο του Ἰησοῦ, καὶ ἀπέστειλε αὐτόν», (φυσικὰ καὶ σὲ ἄλλους, ἀλλὰ σὲ σᾶς πρῶτα, ποὺ τὸν σταυρώσατε), «γιὰ νὰ σᾶς εὐλογεῖ, ἀφοῦ θὰ ἀποστρέφεσθε τὶς κακὲς πράξεις σας».

Ἀλλ' ἂς δοῦμε ἀκριβέστερα τὰ ὅσα ἀναγνώσθηκαν προηγουμένως. Πρῶτα ἀποδεικνύει ὅτι αὐτοὶ ἔκαναν τὸ θαῦμα, λέγοντας, «Τί θαυμάζετε;». Καὶ δὲν ἀφήνει νὰ μὴ πιστεύεται τὸ λεγόμενο. Καὶ γιὰ νὰ κάνει αὐτὸ πιὸ ἀξιόπιστο, προλαβαίνει τὴν κρίση τους. «Γιατί προσβλέπετε ἐπίμονα σὲ μᾶς, σὰν νὰ ἔχουμε κατορθώσει αὐτὸ μὲ τὴ δική μας δύναμη ἢ εὐσέβεια;». Ἂν αὐτὸ σᾶς ταράσσει καὶ σᾶς ἀνησυχεῖ, μάθετε ποιὸς εἶναι αὐτός, ποὺ τὸ ἔκαμε καὶ μὴ ἐκπλήττεσθε. Καὶ πρόσεχε παντοῦ, ὅτι,

ρα πανταχοῦ ὅτι, ἐπὶ τὸν Θεὸν ὅταν καταφεύγῃ καὶ εἴπῃ παρ' αὐτοῦ γίνεσθαι πάντα, τότε ἀδεῶς αὐτοῖς ἐπιπλήττει. Διὰ τοῦτο καὶ ἀνωτέρω ἔλεγεν· «Ἄνδρα ἀποδεδειγμένον ἀπὸ Θεοῦ εἰς ὑμᾶς». Καὶ πανταχοῦ ἀναμιμνήσκει αὐτοὺς τοῦ τολμήματος, ἵνα καὶ τὸ θαῦμα δειχθῇ, καὶ ἡ ἀνάστασις κυρωθῇ. Ἐνταῦθα δὲ καὶ ἄλλο προσέθηκεν· οὐκ ἔτι γὰρ Ναζωραῖον λέγει, ἀλλὰ τί; «Ὁ Θεός», φησί, «τῶν πατέρων ἡμῶν ἐδόξασε τὸν Παῖδα αὐτοῦ Ἰησοῦν». Ὅρα καὶ τὸ ἄτυφον. Οὐκ ἐνεκάλεσεν, οὐδὲ εἶπεν εὐθέως· 'Καὶ νῦν πιστεύετε· ἰδοὺ ἄνθρωπος τεσσαράκοντα ἔτη χωλὸς ὤν, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἀνέστη'. Οὐχ οὕτως εἶπε, (φιλονεικοτέρους γὰρ ἂν ἐποίησεν), ἀλλὰ τέως αὐτοὺς ἐπαινεῖ, ὅτι ἐθαύμαζον τὸ γεγενημένον· καὶ πάλιν ἀπὸ τοῦ προγόνου καλεῖ. Καὶ οὐ λέγει, 'Ὁ Ἰησοῦς αὐτὸν ἐθεράπευσε', (καίτοι γε αὐτὸς αὐτὸν ἐθεράπευσεν), ἀλλά, ἵνα μὴ λέγωσι, 'καὶ πῶς ἔχει ταῦτα λόγον, εἰ τὸν παράνομον δοξάζει;' διὰ τοῦτο αὐτοὺς ἀναμιμνήσκει τῆς κρίσεως τῆς ἐπὶ Πιλάτου, δεικνὺς ὅτι, εἰ θέλοιεν προσέχειν, οὐκ ἔστι παράνομος· οὐ γὰρ ἂν ὁ Πιλάτος ἠθέλησεν αὐτὸν ἀπολῦσαι. Καὶ οὐκ εἶπε, 'Θελήσαντος', ἀλλὰ «κρίναντος ἐκείνου ἀπολύειν», δηλῶν ὅτι τὸν μὲν ἑτέρους ἀνελόντα ἠτήσατε ἀφεθῆναι, τὸν δὲ τοὺς ἀνῃρημένους ζωογονοῦντα οὐκ ἠθελήσατε. Καὶ ἵνα μὴ λέγωσι πάλιν, 'Πῶς νῦν αὐτὸν δοξάζει ὁ τότε μὴ βοηθήσας;', παράγουσι τοὺς προφήτας, μαρτυροῦντας ὅτι οὕτως ἔδει γενέσθαι.

Εἶτα, ἵνα μὴ νομίσωσι τοῦ Θεοῦ τὴν οἰκονομίαν ἀπολογίαν αὐτῶν εἶναι, πρότερον αὐτῶν καθάπτεται. Καὶ τὸ κατὰ πρόσωπον δὲ Πιλάτου ἀρνήσασθαι οὐκ ἦν τὸ τυχόν, ἐκείνου βουλομένου ἀπολῦσαι· καὶ ὅτι οὐ δυνατὸν ὑμῖν ἀρνήσασθαι, κατηγορεῖ ὁ αἰτηθεὶς ἀντ' αὐτοῦ. Οὕτω καὶ τοῦτο οἰκονομία μεγάλη ἦν. Ἐνταῦθα τὴν ἀναισχυντίαν αὐτῶν δείκνυσι καὶ τὴν ἰταμότητα, καὶ ὅτι ὁ μὲν Ἕλλην, καὶ μόνον

10α. Πρ. 2, 22.

ὅταν καταφεύγει στὸ Θεὸ καὶ λέγει, ὅτι ὅλα γίνονται ἀπὸ αὐτόν, τότε ἐπιπλήττει ἄφοβα αὐτούς. Γι' αὐτὸ καὶ ἔλεγε παραπάνω· «Τὸν ἄνδρα ποὺ ἀποδείχθηκε ἀπὸ τὸ Θεὸ σὲ σᾶς ποιὸς ἦταν»[10α]. Καὶ παντοῦ ὑπενθυμίζει σ' αὐτοὺς τὸ τόλμημα, γιὰ νὰ ἀποδειχθεῖ καὶ τὸ θαῦμα καὶ ἡ ἀνάσταση νὰ ἐπικυρωθεῖ. Ἐδῶ δὲ πρόσθεσε καὶ κάτι ἄλλο· διότι δὲν λέγει πλέον τὸν Ναζωραῖο, ἀλλὰ τί; «Ὁ Θεός», λέγει, «τῶν προγόνων μας δόξασε τὸν Υἱό του Ἰησοῦν». Πρόσεχε καὶ τὴν ταπεινοφροσύνη. Δὲν κατηγόρησε, οὔτε εἶπε ἀμέσως· 'καὶ τώρα πιστεύετε. Νὰ ἄνθρωπος, ποὺ ἐπὶ σαράντα χρόνια ἦταν χωλός, μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ ἀνορθώθηκε'. Δὲν εἶπε ἔτσι, (διότι θὰ τοὺς ἔκανε πιὸ φιλόνεικους), ἀλλὰ πρῶτα τοὺς ἐπαινεῖ, διότι θαύμαζαν τὸ συμβάν. Καὶ πάλι ἀπὸ τὸν πρόγονο τοὺς καλεῖ. Καὶ δὲν λέγει ὅτι 'ὁ Ἰησοῦς θεράπευσε αὐτόν' (ἂν καὶ βέβαια αὐτὸς τὸν θεράπευσε), ἀλλά, γιὰ νὰ μὴ λέγουν, 'καὶ πῶς δικαιολογοῦνται αὐτά, ἐφόσον δοξάζει τὸν παράνομο;', γι' αὐτὸ ὑπενθυμίζει σ' αὐτοὺς τὴν κρίση τοῦ Πιλάτου, ἀποδεικνύοντας, ὅτι ἂν τὸ ἐξετάσουν μὲ προσοχή, θὰ διαπιστώσουν ὅτι δὲν εἶναι παράνομος· διότι ὁ Πιλᾶτος δὲν θὰ ἤθελε νὰ ἀπολύσει αὐτόν. Καὶ δὲν εἶπε, 'ὅταν θέλησε', ἀλλὰ «ὅταν ἀποφάσισε νὰ ἀπολύσει ἐκεῖνον», φανερώνοντας ὅτι ἐκεῖνον μέν, ποὺ εἶχε φονεύσει ἄλλους, ζητήσατε νὰ ἀφεθεῖ ἐλεύθερος, αὐτὸν δὲ ποὺ ζωογονεῖ τοὺς νεκρούς, δὲν θελήσατε. Καὶ γιὰ νὰ μὴ λέγουν πάλι «πῶς τώρα δοξάζει αὐτὸν ἐκεῖνος, ποὺ τότε δὲν βοήθησε;» παρουσιάζουν τοὺς προφῆτες ποὺ μαρτυροῦν, ὅτι ἔτσι ἔπρεπε νὰ γίνει.

Ἔπειτα γιὰ νὰ μὴ νομίσουν, ὅτι ἡ οἰκονομία τοῦ Θεοῦ εἶναι δική τους ἀπολογία, προηγουμένως κατηγορεῖ αὐτούς. Καὶ τὸ ὅτι δὲ τὸν ἀρνηθήκατε ἐνώπιον τοῦ Πιλάτου, ἐνῶ ἐκεῖνος ἤθελε νὰ τὸν ἀπολύσει, δὲν ἦταν τυχαῖο· καὶ ὅτι δὲν ἦταν δυνατὸν νὰ ἀρνηθεῖ σ' ἐσᾶς, κατηγορεῖ αὐτὸς ποὺ ζητήθηκε ἀντ' αὐτοῦ. Ἔτσι καὶ αὐτὸ ἦταν μεγάλη οἰκονομία. Ἐδῶ ἀποδεικνύει τὴν ἀναισχυντία τους καὶ τὴ θρασύτητά τους, καὶ ὅτι ὁ μὲν ἐθνικός, ἂν καὶ μόνο τότε

τότε πρῶτον αὐτὸν ἰδών, ἀπήλλαξεν αὐτόν, (καίτοι γε οὐδὲν μέγα ἀκούσας), οἱ δέ, τοῖς σημείοις συντρεφόμενοι, τὸ ἐναντίον πεποιήκασιν. Ὅτι δὲ δικαίως ἔκρινεν ἐκεῖνος ἀπολύειν, καὶ οὐ κατὰ χάριν τοῦτο ἐποίει, ἄκουε αὐτοῦ ἀλλαχοῦ λέγοντος· «Ἔθος ὑμῖν ἐστιν ἀπολύειν ἕνα τινά· θέλετε οὖν τοῦτον ἀπολύσω ὑμῖν;». «Ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε». Οὐκ εἶπεν, Ἐξεδώκατε' ἀλλὰ πανταχοῦ, «ἠρνήσασθε». Εἰκότως· οὕτω γὰρ καὶ ἔλεγον· «Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα». Καὶ οὐκ εἶπεν, Οὐκ ἐξῃτήσασθε τὸν ἀλήπιον, οὐδὲ ἠρνήσασθε μόνον, ἀλλὰ καὶ «ἀπεκτείνατε». Ὅτε πεπωρωμένοι ἦσαν, οὐδὲν τοιοῦτον εἶπεν, ὅτε μάλιστα ἐσείσθησαν αὐτῶν αἱ ψυχαί, τότε πλήττει σφοδρότερον, ὅτε καὶ αἰσθέσθαι δύνανται. Καθάπερ γὰρ ἡμεῖς τοῖς μὲν μεθύουσιν οὐδὲν λέγομεν, ὅταν δὲ νήψωσι καὶ ἀνενέγκωσιν ἀπὸ τῆς μέθης, τότε ἐπιπλήττομεν, οὕτω δὴ καὶ Πέτρος, ὅτε ἠδύναντο συνιέναι τῶν λεγομένων, τότε καὶ τὴν γλῶτταν ἠκόνησε· πολλὰ τὰ ἐγκλήματα ἀριθμεῖ· οἷον ὅτι, ὃν ὁ Θεὸς ἐδόξασεν, οὗτοι παρέδωκαν· ὅτι, ὃν ὁ Πιλάτος ἀπέλυεν, οὗτοι ἠρνήσαντο κατὰ πρόσωπον ἐκείνου· ὅτι προετίμησαν τὸν λῃστήν.

3. Ὅρα πάλιν λανθανόντως πῶς περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγεται, δεικνὺς ὅτι ἑαυτὸν ἤγερε· καθάπερ ἐν τῇ προτέρᾳ δημηγορίᾳ ἔλεγε, «Καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ», καὶ ἐνταῦθα, «τὸν δὲ ἀρχηγόν», φησί, «τῆς ζωῆς ἀπεκτείνατε». Οὐκ ἄρα παρ' ἑτέρου ἔσχε τὸ ζῆν. Ὥσπερ ἀρχηγὸς τῆς κακίας αὐτὸς ἂν εἴη ὁ τὴν κακίαν τεκών, καὶ ἀρχηγὸς φόνου ὁ τὸν φόνον πρῶτος εἰσαγαγών, οὕτω καὶ ἀρχηγὸς ζωῆς ὁ παρ' ἑαυτοῦ τὴν ζωὴν ἔχων. «Ὃν ὁ Θεὸς ἤγειρε», φησίν. Ἐπειδὴ τοῦτο ἐφθέγξατο, ἐπήγαγε· «Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον,

---

11. Ἰωάν. 18, 39. Πρβλ. Ματθ. 27, 15 καὶ Μάρκ. 15, 6.
12. Ἰωάν. 19, 15.
13. Πράξ. 2, 24.

γιὰ πρώτη φορὰ τὸν εἶδε, τὸν ἀπάλλαξε, (μολονότι δὲν ἄκουσε τίποτε τὸ σπουδαῖο), αὐτοὶ δὲ ἂν καὶ τρέφονταν μὲ τὰ θαύματα, ἔκαναν τὸ ἀντίθετο. Τὸ ὅτι δὲ δίκαια ἔκρινε ἐκεῖνος νὰ τὸν ἀπολύσει καὶ δὲν τὸ ἔκανε αὐτὸ χαριστικά, ἄκουε αὐτὸν σὲ ἄλλο σημεῖο νὰ λέγει· «Ὑπάρχει συνήθεια σὲ σᾶς σύμφωνα μὲ τὴν ὁποία πρέπει ν' ἀπολύσω κάποιο φυλακισμένο· θέλετε λοιπὸν ν' ἀπολύσω αὐτόν;»[11]. «Σεῖς ὅμως ἀρνηθήκατε τὸν ἅγιο καὶ δίκαιο». Δὲν εἶπε, 'ἐξεδώκατε', ἀλλὰ παντοῦ «ἀρνηθήκατε». Δικαιολογημένα. Διότι ἔτσι ἔλεγαν· «Δὲν ἔχομε βασιλέα ἄλλον, παρὰ μόνο τοῦ Καίσαρα»[12]. Καὶ δὲν εἶπε, 'δὲν ζητήσατε τὸν ἀσύλληπτο, οὔτε μόνο ὅτι τὸν ἀρνηθήκατε', ἀλλὰ «καὶ τὸν φονεύσατε». Ὅταν ἦταν πωρωμένοι, δὲν εἶπε τίποτε παρόμοιο, ὅταν συνταράχθηκαν πολὺ οἱ ψυχές τους, τότε τοὺς δίνει δυνατότερα πλήγματα, ὅταν μποροῦσαν νὰ συναισθανθοῦν. Διότι, ὅπως ἀκριβῶς ἐμεῖς δὲν λέμε τίποτε στοὺς μεθυσμένους, ὅταν ὅμως ἀνανήψουν καὶ συνέλθουν ἀπὸ τὴ μέθη, τότε τοὺς ἐπιπλήττουμε, ἔτσι λοιπὸν καὶ ὁ Πέτρος, ὅταν μποροῦσαν νὰ κατανοήσουν τὰ λεγόμενα, τότε καὶ ἀκόνησε τὴ γλώσσα. Πολλὰ εἶναι τὰ ἐγκλήματα ποὺ ἀπαριθμεῖ· ὅπως, ἐκεῖνον ποὺ ὁ Θεὸς δόξασε, αὐτοὶ τὸν παρέδωσαν, ἐκεῖνον ποὺ ὁ Πιλᾶτος ἀπέλυε, αὐτοὶ τὸν ἀρνήθηκαν ἐνώπιον αὐτοῦ· ὅτι, προτίμησαν ἀντὶ Ἐκείνου τὸν ληστή.

3. Πρόσεχε πῶς χωρὶς νὰ γίνεται ἀντιληπτὸς πάλι ὁμιλεῖ γιὰ τὴ δύναμή του, ἀποδεικνύοντας ὅτι ἀναστήθηκε· ὅπως ἀκριβῶς ἔλεγε στὴν προηγούμενη ὁμιλία του, «Διότι δὲν ἦταν δυνατὸν αὐτὸς νὰ κρατηθεῖ ἀπὸ αὐτόν», καὶ ἐδῶ λέγει· «Τὸν δὲ ἀρχηγὸ τῆς Ζωῆς τὸν φονεύσατε»[13]. Ἄρα δὲν ἔλαβε ἀπὸ ἄλλον τὴ Ζωή. Ὅπως ἀκριβῶς ἀρχηγὸς τῆς κακίας θὰ μποροῦσε νὰ θεωρηθεῖ ἐκεῖνος, ποὺ γέννησε τὴν κακία, καὶ ἀρχηγὸς τοῦ φόνου ἐκεῖνος, ποὺ πρῶτος εἰσήγαγε τὸ φόνο, ἔτσι καὶ ἀρχηγὸς τῆς Ζωῆς εἶναι ἐκεῖνος, ποὺ ἔχει τὴ Ζωὴ ἀπὸ τὸν ἑαυτό του. «Τὸν ὁποῖο ὁ Θεὸς ἀνέστησε ἐκ νεκρῶν», λέγει. Ἐπειδὴ εἶπε αὐτό, πρόσθεσε· «Καὶ μὲ τὴν πίστη ποὺ ἔχουμε στὸ ὄνομα

ὃν θεωρεῖτε καὶ οἴδατε ἐστερέωσε τὸ ὄνομα αὐτοῦ καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην». Καὶ μήν, ἐὰν ἡ εἰς αὐτόν ἐστι πίστις ἡ τὸ πᾶν ἐργασαμένη, καὶ ὅτι εἰς αὐτὸν ἐπίστευσε, τίνος ἕνεκεν οὐκ εἶπε, 'Διὰ τοῦ ὀνόματος', ἀλλ' «ἐν τῷ ὀνόματι;». Ὅτι οὔπω ἐθάρρουν εἰπεῖν, «Ἡ εἰς αὐτὸν πίστις». Ἵνα δὲ μὴ τὸ «δι' αὐτοῦ» ταπεινὸν ᾖ, ἐπήγαγε· «Καὶ τὸ ὄνομα αὐτοῦ ἐστερέωσεν αὐτόν». Καὶ τοῦτο πρότερον εἰπών, τότε φησί· «Καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην».

Ὅρα πῶς δείκνυσιν ὅτι καὶ ἐκεῖνο συγκαταβαίνων εἶπεν· οὐ γὰρ ἂν ἑτέρου ἐδεήθη πρὸς ἀνάστασιν, οὗ τὸ ὄνομα χωλόν, οὐδὲν νεκροῦ διαφέροντα, ἤγειρε. Σκόπει πῶς πανταχοῦ τὰς μαρτυρίας αὐτῶν ἐπισπᾶται· ἀνωτέρω μὲν γὰρ ἔλεγε· «Καθὼς καὶ αὐτοὶ οἴδατε», καὶ «ἐν μέσῳ ὑμῶν», καὶ πάλιν, «ὃν θεωρεῖτε καὶ οἴδατε, ἀπέναντι πάντων ὑμῶν»· καίτοι ἐν τῷ ὀνόματι αὐτοῦ οὐκ ᾔδεσαν ὅτι ὑγιὴς ἕστηκεν, ἀλλὰ τοῦτο ᾔδεσαν, ὅτι χωλὸς ἦν. Καὶ αὐτοὶ δὲ οἱ πεποιηκότες ὡμολόγουν ὅτι οὐκ ἰδίᾳ δυνάμει, ἀλλὰ τῇ τοῦ Χριστοῦ ἐστερέωτο. Εἰ δὲ μὴ τοῦτο ἦν, καὶ ὄντως πεπεισμένοι ἦσαν ὅτι ἀνέστη, οὐκ ἂν ἠθέλησαν τοῦ νεκροῦ τὴν δόξαν στῆσαι μᾶλλον ἢ τὴν ἑαυτῶν, καὶ ταῦτα ἐκείνων πρὸς αὐτοὺς ὁρώντων. Εἶτα πεφοβημένα αὐτῶν τὰς ψυχὰς εὐθέως τῇ τῶν ἀδελφῶν προσηγορίᾳ παρεμυθήσατο, εἰπών, «Ἄνδρες ἀδελφοί». Ἐκεῖ μὲν γὰρ οὐδὲν περὶ ἑαυτῶν εἶπεν, ἀλλὰ μόνον περὶ τοῦ Χριστοῦ, «ἀσφαλῶς οὖν γινωσκέτω», λέγων, «πᾶς οἶκος Ἰσραήλ», ἐνταῦθα δὲ καὶ παραίνεσιν προσάγει. Ἐκεῖ ἀνέμενεν αὐτοὺς εἰπεῖν, ἐνταῦθα ᾔδει πόσον εἰργά-

14. Πράξ. 2, 22.
15. Πράξ. 2, 22.

αὐτοῦ, αὐτὸν ποὺ βλέπετε ὑγιῆ καὶ γνωρίζετε ὅτι ἦταν χωλός, τὸν στερέωσε στὰ πόδια του τὸ ὄνομα τοῦ Ἰησοῦ, καὶ ἡ πίστη ποὺ ἐνεργεῖται δι' αὐτοῦ ἔδωσε στὸ χωλὸ αὐτὸ τὴν πλήρη αὐτὴ θεραπεία». Καὶ ὅμως, ἐὰν ἡ πίστη σ' αὐτὸν εἶναι ἐκείνη ποὺ ἔκαμε τὸ πᾶν καὶ ὅτι σ' αὐτὸν πίστευσε, γιὰ ποιὸν λόγο δὲν εἶπε, «διὰ τοῦ ὀνόματος», ἀλλ' εἶπε· «ἐν τῷ ὀνόματι»; Διότι ἀκόμα δὲν εἶχαν τὸ θάρρος νὰ ποῦν· «ἡ πίστη σ' αὐτόν». Γιὰ νὰ μὴ εἶναι ἀσήμαντο τὸ «δι' αὐτοῦ», πρόσθεσε· «καὶ τὸ ὄνομά του στερέωσε αὐτὸν στὰ πόδια του». Καὶ ἀφοῦ εἶπε αὐτὸ προηγουμένως, τότε λέγει, «Καὶ ἡ πίστη ποὺ ἐνεργεῖται δι' αὐτοῦ, ἔδωσε στὸ χωλὸ αὐτὸ τὴν πλήρη αὐτὴ θεραπεία».

Πρόσεχε πῶς ἀποδεικνύει, ὅτι καὶ ἐκεῖνο τὸ εἶπε μὲ συγκατάβαση. Διότι δὲν θὰ χρειαζόταν τὴ βοήθεια ἄλλου γιὰ τὴν ἀνάσταση, ἐκεῖνος ποὺ τὸ ὄνομά του ἀνόρθωσε χωλό, καὶ ποὺ καθόλου δὲν διέφερε ἀπὸ νεκρό. Πρόσεχε πῶς παντοῦ τὶς μαρτυρίες αὐτῶν ἐπικαλεῖται. Διότι παραπάνω μὲν ἔλεγε, «ὅπως καὶ σεῖς οἱ ἴδιοι γνωρίζετε»[14], καὶ «ὅτι ἔκαμε τὸ θαῦμα ἀνάμεσά σας»[15], καὶ πάλιν, «τὸν ὁποῖο βλέπετε ὑγιῆ καὶ γνωρίζετε ὅτι ἦταν χωλός, καὶ αὐτὸ ἔγινε μπροστὰ σ' ὅλους σας», ἂν καὶ βέβαια δὲν γνώριζαν ὅτι ἔγινε ὑγιὴς μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος αὐτοῦ, ἀλλ' ὅμως γνώριζαν αὐτό, ὅτι ἦταν χωλός. Καὶ αὐτοὶ δὲ ποὺ εἶχαν κάμει τὸ θαῦμα ὁμολογοῦσαν, ὅτι στερεώθηκε ὄχι μὲ τὴ δική τους δύναμη, ἀλλὰ μὲ τὴ δύναμη τοῦ Χριστοῦ. Ἐὰν δὲ δὲν γινόταν αὐτὸ καὶ ἦταν πράγματι πεπεισμένοι ὅτι ἀναστήθηκε, δὲν θὰ ἤθελαν νὰ τοποθετήσουν τὴ δόξα τοῦ νεκροῦ ψηλότερα ἀπὸ τὴ δική τους, καὶ αὐτά, ἐνῶ ἐκεῖνοι προσέβλεπαν πρὸς αὐτούς. Ἔπειτα, ἐνῶ οἱ ψυχές τους ἦταν κατατρομαγμένες, ἀμέσως τοὺς παρηγόρησε μὲ τὸ νὰ τοὺς ὀνομάσει ἀδελφούς, λέγοντας, «Ἄνδρες ἀδελφοί». Διότι ἐκεῖ τίποτε γιὰ τοὺς ἑαυτούς τους δὲν εἶπε, ἀλλὰ μόνο γιὰ τὸ Χριστό, λέγοντας, «Ἂς γνωρίζει λοιπὸν μὲ βεβαιότητα ὅλο τὸ γένος τῶν Ἰσραηλιτῶν», ἐδῶ δὲ προσθέτει καὶ παραίνεση. Ἐκεῖ ἀνέμενε αὐτοὺς νὰ μιλήσουν, ἐδῶ γνώριζε πόσο αὐτὰ

σαντο, καὶ ὡς οὗτοι μᾶλλον ἦσαν ᾠκειωμένοι. Καὶ μὴν τὰ ἄνω εἰρημένα οὐκ ἦν ἀγνοίας· τὸ γὰρ τὸν λῃστὴν αἰτῆσαι, τὸ τὸν κριθέντα ἀπολυθῆναι μὴ λαβεῖν, τὸ καὶ θελῆσαι ἀνελεῖν, ποίας ἀγνοίας; Ἀλλ' ὅμως δίδωσιν αὐτοῖς ἐξουσίαν ἀρνήσασθαι, καὶ μεταγνῶναι ἐπὶ τοῖς γεγενημένοις· μᾶλλον δὲ καὶ ἀπολογίαν ὑπὲρ αὐτῶν συντίθησιν εὐπρόσωπον, καὶ λέγει· «Ὅτι μὲν οὖν ἀθῷον ἀνῃρεῖτε, ᾔδειτε· ὅτι δὲ τὸν ἀρχηγὸν τῆς ζωῆς, ἴσως ἠγνοεῖτε». Καὶ ἐντεῦθεν οὐκ αὐτοὺς μόνους ἀφίησιν ἐγκλημάτων, ἀλλὰ καὶ τοὺς τῶν κακῶν ἀρχιτέκτονας· ἢ γὰρ ἂν φιλονεικοτέρους αὐτοὺς ἐποίησεν, εἴ γε εἰς κατηγορίαν τὸν λόγον ἐξήγαγεν· ὁ γάρ τι δεινὸν ἐργασάμενος, ὅταν τις κατηγορῇ, πειρώμενος ἀπολογεῖσθαι, σφοδρότερος γίνεται. Καὶ οὐ λέγει λοιπὸν ὅτι 'ἐσταυρώσατε, ἐφονεύσατε', ἀλλ' «ἐπράξατε», ἐπὶ συγγνώμην αὐτοὺς ἄγων. Εἰ ἐκεῖνοι κατὰ ἄγνοιαν, πολλῷ μᾶλλον οὗτοι· εἰ ἐκεῖνοι ἀφίενται, πολλῷ μᾶλλον οὗτοι.

Τὸ δὲ θαυμαστόν, ὅτι, καὶ ἄνω καὶ ἐνταῦθα εἰπών, ἐκεῖ μέν, «Τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει», ἐνταῦθα δὲ ὅτι «προκατήγγειλε» πᾶσι τὸν Χριστόν, οὐδαμοῦ παράγει μαρτυρίαν, διότι ἑκάστη αὐτῶν μετὰ πολλῶν ἐγκλημάτων, καὶ τῆς κολάσεως τῆς κατ' αὐτῶν εἴρηται. «Καὶ δώσω», φησί, «τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ», καὶ πάλιν, «ἃ προκατήγγειλε», φησί, «διὰ στόματος πάντων τῶν προφητῶν παθεῖν αὐτόν, ἐπλήρωσεν οὕτω». Μεγάλην δείκνυσι τὴν βουλήν, εἴ γε πάντες τοῦτο ἔλεγον, καὶ οὐχ εἷς μόνος. Οὐ μήν, ἐπειδὴ κατὰ ἄγνοιαν γέγονε, παρὰ τῷ Θεῷ δοκοῦν γέγονεν. Ὅρα πόση τοῦ Θεοῦ ἡ σοφία, ὅταν ταῖς ἑτέρων πονηρίαις εἰς τὸ δέον ᾖ κατακεχρημένη. «Ἐπλήρωσε», φησίν. Ἵνα μὴ νομίσωσι λοιπὸν ὑ-

16. Ἠσ. 53, 9.

εἶχαν προχωρήσει καὶ πόσο περισσότερο εἶχαν οἰκειοποιηθεῖ τὴν πίστη. Καὶ βέβαια τὰ παραπάνω λεχθέντα δὲν προέρχονταν ἀπὸ ἄγνοια· διότι τὸ νὰ ζητήσουν τὸ ληστή, τὸ νὰ μὴ λάβουν ἐκεῖνον, ποὺ εἶχε ἀποφασισθεῖ νὰ ἀπολυθεῖ, τὸ νὰ θελήσουν νὰ τὸν φονεύσουν, ἀπὸ ποιὰ ἄγνοια προερχόταν; Ἀλλ' ὅμως δίνει σ' αὐτοὺς τὴ δυνατότητα νὰ ἀρνηθοῦν καὶ νὰ μετανοήσουν γιὰ ὅσα εἶχαν διαπράξει· μᾶλλον δὲ συνθέτει καὶ κατάλληλη ἀπολογία γι' αὐτοὺς καὶ λέγει· «Τὸ ὅτι μὲν φονεύατε ἀθῶο, τὸ γνωρίζατε, τὸ ὅτι δὲ φονεύατε τὸν ἀρχηγὸ τῆς ζωῆς, ἴσως τὸ ἀγνοούσατε». Καὶ μὲ αὐτὸ δὲν συγχωρεῖ μόνο αὐτοὺς γιὰ τὰ ἐγκλήματα, ἀλλὰ καὶ τοὺς πρωτεργάτες τῶν κακῶν· διότι ὁπωσδήποτε θὰ ἔκαμνε αὐτοὺς περισσότερο φιλόνεικους, ἂν ὁδηγοῦσε τὸ λόγο σὲ κατηγορία· καθόσον ἐκεῖνος ποὺ ἔχει διαπράξει κάποιο κακό, ὅταν κάποιος τὸν κατηγορεῖ, προσπαθώντας νὰ ἀπολογηθεῖ, γίνεται πιὸ ἐπιθετικός. Καὶ δὲν λέγει στὴ συνέχεια, 'σταυρώσατε, φονεύσατε', ἀλλ' «ἐπράξατε», ὁδηγώντας αὐτοὺς σὲ συγγνώμη. Ἐὰν ἐκεῖνοι ἀπὸ ἄγνοια ἔπραξαν αὐτά, πολὺ περισσότερο αὐτοί· ἐὰν ἐκεῖνοι συγχωροῦνται, πολὺ περισσότερο αὐτοί.

Ἀλλὰ τὸ ἀξιοθαύμαστο εἶναι ὅτι καὶ παραπάνω καὶ ἐδῶ λέγοντας, ἐκεῖ μὲν «μὲ τὴν ὁρισμένη ἀπόφαση καὶ πρόγνωση τοῦ Θεοῦ», ἐδῶ δέ, ὅτι «διεκήρυξε ἀπὸ πρὶν σὲ ὅλους τὸ Χριστό», πουθενὰ δὲν παρουσιάζει μαρτυρία, διότι ἡ κάθε μία ἀπὸ αὐτὲς ἔχει λεχθεῖ μὲ πολλὰ ἐγκλήματα καὶ μὲ τὴν ἐναντίον τους τιμωρία. «Καὶ ἐγώ», λέγει, «θὰ παραδώσω σὲ θάνατο τοὺς κακοὺς ἀνθρώπους καὶ γιὰ τὸ θάνατό του τοὺς πλουσίους»[16]· καὶ πάλι, «Πραγματοποίησε», λέγει, «ὅλα ἐκεῖνα, ποὺ διεκήρυξε ἀπὸ πρὶν μὲ τὸ στόμα ὅλων τῶν προφητῶν του, ὅτι ὁ Χριστὸς θὰ πάθαινε». Φανερώνει μεγάλη τὴ θέληση, ἐφόσον βέβαια ὅλοι ἔλεγαν αὐτό, καὶ ὄχι μόνο ἕνας. Ἀλλ' ὅμως, ἐφόσον ἔχει γίνει ἀπὸ ἄγνοια, ἔχει γίνει μὲ τὴ θέληση τοῦ Θεοῦ. Πρόσεξε πόση εἶναι ἡ σοφία τοῦ Θεοῦ, ὅταν χρησιμοποιεῖ τὶς κακίες τῶν ἄλλων γιὰ τὴν ὠφέλεια. «Πραγματοποίησε», λέγει. Γιὰ νὰ μὴ νομίσουν πλέον ὅτι ὑπολείπεται σὲ

πολείπεσθαί τι, τοῦτο ἐπήγαγε, δηλῶν ὅτι, ὅσα παθεῖν ἔδει, πεπλήρωται. Ἀλλὰ μὴ νομίσητε, ἐπειδὴ οἱ προφῆται ταῦτα εἶπον, καὶ ἐπειδὴ κατὰ ἄγνοιαν ἐπράξατε, ὅτι ἀρκεῖ εἰς ἀπολογίαν ὑμῖν τοῦτο. Ἀλλ' οὐ λέγει οὕτως, ἀλλὰ πραότερον· «Μετανοήσατε οὖν». Διὰ τί; «Εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας». Οὐ λέγω τὰ ἐν τῷ σταυρῷ τετολμημένα, (ἴσως ἐκεῖνα κατὰ ἄγνοιαν), ἀλλ' ὥστε τὰς ἑτέρας ὑμῶν ἁμαρτίας ἐξαλειφθῆναι. Εἶτα ἐπάγει· «Ὅπως ἂν ἔλθωσιν ὑμῖν καιροὶ ἀναψύξεως». Ἐνταῦθα περὶ ἀναστάσεως διαλέγεται ἀμυδρῶς· ὄντως γὰρ ἐκεῖνοι ἀναψύξεως καιροί, οὓς ἐπεζήτει καὶ Παῦλος, λέγων· «Καὶ ἡμεῖς οἱ ὄντες ἐν τῷ σκήνει, στενάζομεν βαρούμενοι».

Εἶτα, δεικνὺς ὅτι αὐτὸς τῶν καιρῶν τῆς ἀναψύξεως αἴτιος, «καὶ ἀποστείλῃ», φησί, «τὸν προκεχειρισμένον ὑμῖν Ἰησοῦν Χριστόν». Οὐκ εἶπεν, 'Ἐξαλειφθῇ ὑμῶν ἡ ἁμαρτία', ἀλλ' «αἱ ἁμαρτίαι», καὶ ἐκείνην αἰνιττόμενος. «Ἀποστείλῃ». Τοῦτο εἰπών, οὐ λέγει πόθεν λοιπόν, ἀλλὰ μόνον ἐπάγει· «Ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι». Ἀκμὴν δέξασθαι. Καὶ πῶς οὐκ εἶπεν, 'Ὃν οὐρανὸς ἐδέξατο'; Τοῦτο ὡς περὶ τῶν ἄνω χρόνων διαλεγόμενος εἶπεν· Οὕτως ᾠκονόμηται, φησίν, οὕτω συντέθειται'· περὶ δὲ τῆς αἰωνίου ὑπάρξεως αὐτοῦ οὐδέπω φησίν, ἀλλ' ἔτι τοῖς τῆς οἰκονομίας λόγοις ἐνδιατρίβει, καὶ λέγει· «Μωσῆς μὲν γὰρ εἶπε πρὸς τοὺς πατέρας ὅτι Προφήτην ὑμῖν ἀναστήσει Κύριος». Εἶτα, ἀνωτέρω εἰπών, «Ἄχρι χρόνων ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησε ὁ Θεὸς διὰ στόματος πάντων τῶν ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος», αὐτὸν εἰσάγει λοιπὸν τὸν Χριστόν· εἰ γὰρ πολλὰ προ-

17. Β' Κορ. 5, 4.

κάτι, πρόσθεσε αὐτό, δηλώνοντας ὅτι ἔχουν πραγματοποιηθεῖ ὅσα ἔπρεπε νὰ πάθει. Ἀλλὰ μὴ νομίσετε, ἐπειδὴ οἱ προφῆτες τὰ εἶπαν αὐτά, καὶ ἐπειδὴ ἀπὸ ἄγνοια τὰ πράξατε, ὅτι εἶναι ἀρκετὴ ἡ ἀπολογία αὐτὴ γιὰ σᾶς. Ὅμως δὲν ὁμιλεῖ ἔτσι, ἀλλὰ ἠπιότερα· «Μετανοήσατε λοιπόν». Γιατί; «γιὰ νὰ συγχωρηθοῦν οἱ ἁμαρτίες σας». Δὲν ἐννοῶ ἐκεῖνα ποὺ διαπράχθηκαν, ὅταν ἦταν στὸ σταυρό, (ἴσως καὶ ἐκεῖνα νὰ ἔγιναν ἀπὸ ἄγνοια), ἀλλὰ γιὰ νὰ συγχωρηθοῦν οἱ ἄλλες ἁμαρτίες σας. Ἔπειτα προσθέτει· «γιὰ νὰ σᾶς ἔλθουν καιροὶ ἀνακουφίσεως». Ἐδῶ διδάσκει ἀμυδρὰ γιὰ τὴν ἀνάσταση. Διότι πράγματι ἐκεῖνοι εἶναι οἱ καιροὶ ἀνακουφίσεως, ἐκεῖνοι τοὺς ὁποίους ἐπιζητοῦσε καὶ ὁ Παῦλος, λέγοντας· «Καὶ ἐμεῖς ὅσοι εἴμαστε στὸ σῶμα αὐτό, ποὺ μοιάζει μὲ σκηνή, στενάζομε, σὰν νὰ πιεζόμαστε ἀπὸ κάποιο βαρὺ φορτίο»[17].

Ἔπειτα γιὰ νὰ δείξει ὅτι ὁ ἴδιος εἶναι ὁ αἴτιος τῶν καιρῶν ἀνακουφίσεως, λέγει· «Καὶ θὰ σᾶς ἀποστείλει πάλι τὸν Ἰησοῦ Χριστό, ποὺ ἔχει προορισθεῖ νὰ εἶναι λυτρωτής σας». Δὲν εἶπε, 'γιὰ νὰ ἐξαλειφθεῖ ἡ ἁμαρτία σας', ἀλλὰ «οἱ ἁμαρτίες σας», ὑπονοώντας καὶ ἐκείνην. «Θὰ ἀποστείλει»· ἀφοῦ εἶπε αὐτό, δὲν μᾶς λέγει κατόπιν ἀπὸ ποῦ, ἀλλὰ μόνο προσθέτει· «Αὐτὸν δὲ ἔπρεπε μὲν τώρα νὰ τὸν δεχθεῖ ὁ οὐρανός». Εἶναι ὥρα νὰ τὸν δεχθεῖ. Καὶ πῶς δὲν εἶπε 'αὐτὸν ποὺ ὁ οὐρανὸς δέχθηκε'; Τὸ εἶπε αὐτὸ διδάσκοντας γιὰ τοὺς παραπάνω χρόνους. '"Ετσι', λέγει, 'ἔχουν οἰκονομηθεῖ, ἔτσι ἔχουν διευθετηθεῖ'. Γιὰ τὴν αἰώνια δὲ ὕπαρξή του δὲν ὁμιλεῖ ἀκόμη, ἀλλ' ἀναφέρεται στοὺς λόγους τῆς οἰκονομίας καὶ λέγει· «διότι ὁ μὲν Μωϋσῆς εἶπε πρὸς τοὺς προπάτορές μας, ὅτι θὰ σᾶς ἀναστήσει προφήτη». Ἔπειτα μὲ τὸ νὰ πεῖ παραπάνω, «θὰ μείνει δοξαζόμενος στοὺς οὐρανούς, μέχρις ὅτου ἔλθουν οἱ χρόνοι ποὺ θὰ ἀποκατασταθοῦν τὰ πάντα, γιὰ τοὺς ὁποίους μίλησε ὁ Θεὸς μὲ τὸ στόμα ὅλων τῶν ἁγίων του προφητῶν πρὶν ἀπὸ αἰῶνες», εἰσάγει πλέον τὸν ἴδιο τὸ Χριστό. Διότι ἐφόσον προεῖπε πολλά, αὐτὸν δὲ πρέπει νὰ

εἶπεν, αὐτοῦ δὲ ἀκούειν χρή, οὐκ ἄν τις ἁμάρτοι, ταῦτα τοὺς προφήτας εἰρηκέναι λέγων.

4. Ἄλλως δὲ θέλει δεῖξαι ὅτι τὰ αὐτὰ καὶ οἱ προφῆται προεῖπον. Κἄν τις ἀκριβῶς ἐξετάζῃ, εὑρήσει καὶ ἐν τῇ Παλαιᾷ ἀμυδρῶς μέν, εἰρημένα δέ· ὥστε οὐδὲν νεώτερον. «Τὸν προκεχειρισμένον», φησίν. Ἐνταῦθα αὐτοὺς καὶ φοβεῖ, ὡς πολλῶν ὑπολειπομένων. Πῶς οὖν ἔλεγεν, «Ἐπλήρωσεν ἃ ἔδει παθεῖν»; «Ἐπλήρωσεν», εἶπεν, οὐκ, 'ἐπληρώθη', δεικνὺς ὅτι, ἃ μὲν ἐχρῆν παθεῖν, ἐπλήρωσεν, ἃ δὲ γενέσθαι λείπεται ἔτι, οὐδέπω. «Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ». Ὃ μάλιστα ᾠκειοῦτο αὐτούς, λέγει. Ὁρᾷς πῶς ταπεινὰ καὶ ὑψηλὰ παρασπείρει; Ταπεινὸν γὰρ καὶ ὑψηλόν, εἰ ὁ μέλλων εἰς οὐρανοὺς ἀνιέναι κατὰ Μωσέα ἐστί· πλὴν ἀλλὰ τέως μέγα ἦν· οὐ γὰρ δὴ κατὰ Μωσέα τὸ «καὶ ἔσται πᾶς ὁ μὴ ἀκούων ἐξολοθρευθήσεται». Μυρία δὲ καὶ ἄλλα εἶπε τὰ δεικνύντα ὅτι οὐκ ἔστι κατὰ Μωσέα, ὥστε μεγάλης ἥψατο μαρτυρίας. «Ὁ Θεὸς αὐτὸν ἀναστήσει», φησίν, «ἐκ τῶν ἀδελφῶν ὑμῶν». Ὥστε Μωσῆς αὐτὸς ἠπείλησε τοῖς μὴ ἀκούουσι. Ταῦτα ὅλα ἐπαγωγά. «Καὶ πάντες δέ», φησίν, «οἱ προφῆται ἀπὸ Σαμουήλ». Οὐκ ἠθέλησε καθ' ἕκαστον ἐπεξιέναι, ὥστε μὴ μακρὸν ποιῆσαι τὸν λόγον, ἀλλά, καιρίας μνησθεὶς μαρτυρίας τῆς Μωσαϊκῆς, παρέπεμψεν αὐτούς. «Ὑμεῖς ἐστε», φησίν, «υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης, ἧς διέθετο ὁ Θεός». Τῆς διαθήκης», φησίν, «υἱοί», τουτέστι 'κληρονόμοι'. Ἵνα γὰρ δὴ δόξωσιν ὡς ἀπὸ χάριτος Πέτρου ταῦτα λαμβάνειν, δείκνυσιν ὅτι ἄνωθεν αὐτοῖς ὠφείλετο, ἵνα μᾶλλον πιστεύσωσιν ὅτι καὶ τῷ Θεῷ τοῦτο δοκεῖ.

ἀκοῦμε, δὲν θὰ ἔσφαλε κάποιος ἐὰν ἔλεγε, ὅτι αὐτὰ τὰ ἔχουν πεῖ οἱ προφῆτες.

4. Ἐξ ἄλλου δὲ θέλει νὰ ἀποδείξει, ὅτι τὰ ἴδια προεῖπαν καὶ οἱ προφῆτες. Καὶ ἂν κάποιος ἐξετάσει μὲ ἀκρίβεια, θὰ βρεῖ καὶ στὴν Παλαιὰ Διαθήκη ἀμυδρὰ μέν, ὁπωσδήποτε νὰ ἔχουν ὅμως λεχθεῖ˙ ὥστε δὲν ὑπάρχει τίποτε νεώτερο. «Αὐτὸν ποὺ ἔχει πρὸ αἰώνων προορισθεῖ». Ἐδῶ καὶ τοὺς φοβίζει, διότι ὑπολείπονται πολλὰ νὰ γίνουν. Πῶς λοιπὸν ἔλεγε, «Πραγματοποίησε αὐτὰ ποὺ ἔπρεπε νὰ πάθει»; «Πραγματοποίησε», εἶπε, καὶ ὄχι «πραγματοποιήθηκαν», γιὰ νὰ δείξει ὅτι πραγματοποίησε ἐκεῖνα ποὺ ἔπρεπε νὰ πάθει, αὐτὰ ποὺ ὑπολείπονται δὲ ἀκόμα νὰ γίνουν, δὲν τὰ πραγματοποίησε ἀκόμη. «Προφήτην θὰ σᾶς ἀναστήσει Κύριος ὁ Θεός σας ἀπὸ τοὺς ἀδελφούς σας, ὅπως ἀνέστησε ἐμένα», λέγει αὐτὸ ποὺ πρὸ πάντων τοὺς ἔφερνε κοντά. Βλέπεις, πῶς ἀναμιγνύει ταπεινὰ καὶ σπουδαῖα; Διότι ταπεινὸ καὶ σπουδαῖο εἶναι, ἐὰν ἐκεῖνος ποὺ πρόκειται νὰ ἀνέλθει στοὺς οὐρανοὺς εἶναι σὰν τὸ Μωϋσῆ˙ πλὴν ὅμως τότε ἦταν μεγάλο. Διότι δὲν συμφωνεῖ μὲ τὸν Μωϋσῆ τό, «Καὶ θὰ συμβεῖ ὅποιος δὲν ὑπακούσει στὸν προφήτη, ὁπωσδήποτε θὰ ἐξολοθρευθεῖ». Εἶπε δὲ καὶ πάρα πολλὰ ἄλλα, ποὺ φανέρωναν ὅτι δὲν εἶναι σὰν τὸ Μωϋσῆ, ὥστε ἦταν μεγάλη ἡ μαρτυρία ποὺ τοὺς παρουσίασε. «Ὁ Θεὸς θ' ἀναστήσει, αὐτόν», λέγει, «ἀπὸ τοὺς ἀδελφούς σας». Ὥστε ὁ ἴδιος ὁ Μωϋσῆς ἀπείλησε αὐτούς, ποὺ δὲν ἀκούουν. Ὅλα αὐτὰ εἶναι κατηγορίες. «Καὶ ὅλοι δὲ οἱ προφῆτες», λέγει, 'ἀρχῆς γενομένης ἀπὸ τὸ Σαμουήλ». Δὲν θέλησε ν' ἀναφέρει τὸν καθένα χωριστά, γιὰ νὰ μὴ κατηγορήσει, ἀλλ' ἀφοῦ ἀναφέρει τὴν πιὸ βασικὴ μαρτυρία, τὴ σχετικὴ μὲ τὸ Μωϋσῆ, παρέπεμψεν αὐτούς˙ «Σεῖς εἴσθε», λέγει, οἱ ἀπόγονοι τῶν προφητῶν καὶ τῆς Διαθήκης ποὺ συνῆψε ὁ Θεὸς μὲ αὐτούς». «Τῆς Διαθήκης», λέγει, «εἶστε υἱοί», δηλαδὴ κληρονόμοι. Διότι, γιὰ νὰ μὴ νομίσουν ὅτι αὐτὰ τοὺς χαρίζονται ἀπὸ τὸν Πέτρο, ἀποδεικνύει, ὅτι ἀπὸ τὸ Θεὸ τοὺς δόθηκαν αὐτά, γιὰ νὰ πιστεύσουν περισσότερο, ὅτι καὶ ὁ Θεὸς αὐτὸ ἐπιθυμεῖ.

«Ὑμῖν πρῶτον ἀναστήσας», φησίν, «ὁ Θεὸς τὸν Παῖδα αὐτοῦ ἀπέστειλεν». Οὐκ εἶπεν Ὑμῖν ἁπλῶς ἀπέστειλε τὸν Παῖδα αὐτοῦ, ἀλλὰ καί, μετὰ τὴν ἀνάστασιν, καὶ ὅτε ἐσταυρώθη. Ἵνα γὰρ μὴ νομίσωσιν ὅτι αὐτὸς μὲν ταῦτα ἐχαρίζετο, ὁ δὲ Πατὴρ οὐχί, διὰ τοῦτο προσέθηκε τὸ «εὐλογοῦντα ὑμᾶς». Εἰ γὰρ ἀδελφὸς ὑμῶν αὐτὸς καὶ εὐλογεῖ ὑμᾶς, ὑπόπόσχεσις τὸ πρᾶγμά ἐστι· τουτέστι, τοσοῦτον ἀπέχετε τοῦ μὴ κοινωνεῖν τούτοις, ὅτι καὶ τοῖς ἄλλοις ὑμᾶς αἰτίους καὶ ἀρχηγοὺς βούλεται γενέσθαι. Οὐκοῦν μὴ ὡς ἀπερριμμένοι διάκεισθε ἢ ἀποβεβλημένοι. «Ἐν τῷ ἀποστρέφειν», φησίν, «ἕκαστον ἀπὸ τῶν πονηριῶν». Οὕτως ὑμᾶς εὐλογεῖ, καὶ οὐχ ἁπλῶς. Καὶ ποία αὕτη εὐλογία; Μεγάλη· οὐ γὰρ δὴ τὸ ἀποστρέψαι ἀπὸ πονηριῶν, τοῦτο ἱκανὸν καὶ λῦσαι αὐτάς. Εἰ δὲ καὶ λῦσαι οὐχ ἱκανὸν ἦν, πῶς εὐλογίαν παρασχεῖν; Οὐ γὰρ δὴ ὁ ἠδικηκώς, ἤδη καὶ εὐλογεῖται, ἀλλ' ἁμαρτημάτων ἀφίεται. Τὸ δὲ «ὡς ἐμέ», εἰ μὴ κατὰ τὸν τῆς νομοθεσίας τις τρόπον ἐκδέξατο, οὐδαμοῦ λόγον ἂν ἀλλαχοῦ ἕξοι. «Αὐτοῦ ἀκούσεσθε», φησί· καὶ οὐχ ἁπλῶς, ἀλλ' «ἔσται πᾶσα ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ Προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ». Ὅτε αὐτοὺς ἔδειξεν ἡμαρτηκότας, καὶ συγγνώμης μετέδωκε, καὶ ἐπηγγείλατο χρηστά, τότε δὴ δείκνυσιν ὅτι καὶ Μωσῆς τὸ αὐτὸ λέγει. Καὶ ποία αὕτη ἀκολουθία εἰπεῖν, «Ἄχρι χρόνων ἀποκαταστάσεως», καὶ ἐπαγαγεῖν Μωσέα, λέγοντα ὅτι πάντα ἀκούσουσιν, ἃ ἐρεῖ ὁ Χριστός, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἀπειλῆς φοβερᾶς; Μεγάλη· δείκνυσι γὰρ ὅτι καὶ διὰ τοῦτο πείθεσθαι ὀφείλουσιν αὐτῷ.

Τί ἐστιν, «υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης»; Κληρονόμοι, διάδοχοι. Εἰ οὖν υἱοί, τί ὡς περὶ ἀλλότρια διάκεισθε πρὸς τὰ ὑμέτερα; Ἆρα κατηγορίας μὲν ἐπράξατε ἄξια,

«Σὲ σᾶς πρῶτα», λέγει, «ὅταν ὁ Θεὸς ἀνέστησε τὸν Υἱὸ του, ἀπέστειλε αὐτόν». Δὲν εἶπε, ἁπλῶς, 'σᾶς ἀπέστειλε τὸν Υἱὸ του', ἀλλὰ καὶ «μετὰ τὴν ἀνάσταση καὶ ὅταν σταυρώθηκε». Γιὰ νὰ μὴ νομίσουν ὅτι αὐτὸς μὲν χάριζε αὐτά, ὁ δὲ Πατέρας του ὄχι, γι' αὐτὸ πρόσθεσε τό, «γιὰ νὰ σᾶς εὐλογεῖ». Διότι, ἂν αὐτὸς εἶναι ἀδελφός σας καὶ σᾶς εὐλογεῖ, ἄρα τὸ πράγμα εἶναι ὑπόσχεση· δηλαδὴ τόσο πολὺ πρέπει νὰ ἀποφεύγετε νὰ ἔχετε σχέση μὲ αὐτούς, ὥστε καὶ στοὺς ἄλλους νὰ θέλει νὰ γίνετε αἴτιοι καὶ ἀρχηγοί. Λοιπὸν μὴ συμπεριφέρεσθε σὰν νὰ ἔχετε ἀπορριφθεῖ ἢ ἀποβληθεῖ. «Μὲ τὸ νὰ ἀπομακρύνει τὸν καθένα ἀπὸ σᾶς ἀπὸ τὶς πονηρὲς πράξεις του». Ἔτσι σᾶς εὐλογεῖ καὶ ὄχι ἁπλά. Καὶ ποιὰ εἶναι αὐτὴ ἡ εὐλογία; Μεγάλη. Διότι βέβαια τὸ νὰ καταβάλλετε προσπάθεια νὰ ἀπομακρυνθεῖτε ἀπὸ τὶς πονηρίες, αὐτὸ δὲν εἶναι ἱκανὸ καὶ νὰ τὶς συγχωρήσει. Ἐὰν ὅμως δὲν εἶναι ἱκανὸ νὰ τὶς συγχωρήσει, πῶς εἶναι δυνατὸν νὰ παράσχει εὐλογία; Διότι βέβαια αὐτὸς ποὺ ἔχει ἤδη ἀδικήσει δὲν εὐλογεῖται, ἀλλ' συγχωρεῖται ἀπὸ τὶς ἁμαρτίες. Τὸ δέ, «ὅπως ἤγειρε ἐμένα», ἂν κανένας δὲν τὸ δεχθεῖ σύμφωνα μὲ τὸν τρόπο τῆς νομοθεσίας, δὲν θὰ μποροῦσε νὰ ἔχει πουθενὰ ἀλλοῦ ἐξήγηση. «Σ' αὐτὸν νὰ ὑπακούετε», λέγει, καὶ ὄχι ἁπλῶς, ἀλλὰ «ὅποιος δὲν θὰ ὑπακούσει στὸν προφήτη ἐκεῖνον, θὰ ἐξολοθρευθεῖ ἀπὸ τὸ λαό». Ὅταν ἀπέδειξε αὐτοὺς ὅτι εἶχαν ἁμαρτήσει καὶ τοὺς μετέδωσε συγγνώμη καὶ ὑποσχέθηκε ὠφέλιμα πράγματα, τότε πλέον ἀποδεικνύει ὅτι καὶ ὁ Μωϋσῆς λέγει τὸ ἴδιο. Καὶ ποιὰ λογικὴ σχέση ὑπάρχει στὸ νὰ πεῖ, «Μέχρις ὅτου ἔλθουν χρόνια ἀποκαταστάσεως», καὶ νὰ προσθέσει τὸν Μωϋσῆ ποὺ λέγει, ὅτι ὅλα θὰ τὰ ἀκούσουν, ὅσα θὰ πεῖ ὁ Χριστός, καὶ ὄχι ἁπλῶς, ἀλλὰ μὲ ἀπειλὴ φοβερή; Μεγάλη. Διότι ἀποδεικνύει, ὅτι καὶ γι' αὐτὸ ὀφείλουν νὰ ὑπακούουν σ' αὐτόν.

Τί σημαίνει, «υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης»; Κληρονόμοι, διάδοχοι. Ἂν λοιπὸν εἶστε υἱοί, γιατί συμπεριφέρεσθε πρὸς τὰ δικά σας σὰν νὰ πρόκειται γιὰ ξένα; Ἑπομένως πράξατε ἔργα ἄξια κατηγορίας, θὰ μπορέσετε

δυνήσεσθε δὲ ὅμως συγγνώμης τυχεῖν. Εἶτα, ἐπειδὴ εἶπε ταῦτα, εἰκότως λοιπὸν λέγει· «Ὑμῖν ἀπέστειλεν ὁ Θεὸς τὸν Παῖδα αὐτοῦ εὐλογοῦντα ὑμᾶς». Οὐκ εἶπε, 'Σώζοντα', ἀλλά, ὃ μεῖζόν ἐστιν, «εὐλογοῦντα», δεικνὺς ὅτι ὁ σταυρωθεὶς εὐλογεῖ τοὺς σταυρώσαντας. Μιμησώμεθα τοίνυν τοῦτον καὶ ἡμεῖς· ἐκβάλωμεν ψυχὴν φονικὴν καὶ πολεμίαν. Οὐκ ἀρκεῖ τὸ μὴ ἀμύνασθαι, (τοῦτο καὶ ἐν τῇ Παλαιᾷ γέγονεν), ἀλλὰ πάντα πράττωμεν ὑπὲρ τῶν ἠδικηκότων, ὡς ὑπὲρ φίλων γνησίων, ὡς ὑπὲρ ἡμῶν αὐτῶν. Ἐκείνου μιμηταί ἐσμεν, ἐκείνου μαθηταί, τοῦ μετὰ τὸ σταυρωθῆναι πάντα κινοῦντος ὑπὲρ τῶν σταυρωσάντων, καὶ τοὺς Ἀποστόλους ἐκπέμποντος. Καίτοι γε ἡμεῖς πολλαχοῦ καὶ δικαίως πάσχομεν· ἐκεῖνος δὲ οὐ μόνον ἀδίκως, ἀλλὰ καὶ ἀσεβῶς· τὸν εὐεργέτην γάρ, τὸν οὐδὲν ἠδικηκότα, τοῦτον ἐσταύρωσαν. Διὰ τί; εἰπέ μοι, δόξης ἕνεκεν; Καὶ μὴν αὐτὸς αὐτοὺς ἐσέμνυνε. Πῶς; «Ἐπὶ τῆς Μωσέως καθέδρας», φησίν, «ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. Πάντα οὖν ἃ λέγουσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε». Καὶ πάλιν ἀλλαχοῦ· «Ὕπαγε, δεῖξον σεαυτὸν τῷ ἱερεῖ». Καὶ δυνάμενος αὐτοὺς ἀπολέσαι, σώζει. Τοῦτον οὖν μιμησώμεθα, καὶ μηδεὶς ἐχθρός τινος ἔστω, μηδεὶς πολέμιος, ἀλλ' ἢ τοῦ διαβόλου μόνον.

5. Οὐ μικρόν τι πρὸς τοῦτο καὶ τὸ μὴ ὀμνύναι συντελεῖ, καὶ τὸ μὴ ὀργίζεσθαι. Ἀπὸ τοῦ μὴ ὀργίζεσθαι οὐδὲ ἐχθρὸν ἕξομεν. Ἔκκοψον ἀνθρώπου τὸν ὅρκον, καὶ τὰ πτερὰ περιέκοψας τῆς ὀργῆς, τὸν θυμὸν ἔσβεσας ἅπαντα· ὥσπερ γὰρ πνεῦμα ὀργῆς ὁ ὅρκος ἐστί. Χάλασον τὰ ἱστία· οὐδὲν ὄφελος ἱστίου, πνεύματος οὐκ ὄντος. Ἂν τοίνυν μὴ κράζωμεν, μηδὲ ὀμνύωμεν, τὰ νεῦρα ἐξεκόψαμεν τοῦ θυμοῦ. Εἰ δὲ ἀπιστεῖτε, πεῖραν λάβετε τοῦ πράγματος, καὶ ὅτι οὕτως ἔχει,

18. Ματθ. 23, 2 - 3.
19. Ματθ. 8, 4.

ὅμως νὰ τύχετε συγγνώμης. Ἔπειτα, ἐπειδὴ εἶπε αὐτά, δικαιολογημένα στὴ συνέχεια λέγει· «Σὲ σᾶς ὁ Θεὸς ἀπέστειλε τὸν Υἱό του Ἰησοῦν γιὰ νὰ σᾶς εὐλογεῖ». Δὲν εἶπε γιὰ νὰ σᾶς σώσει», ἀλλ' ἐκεῖνο ποὺ εἶναι μεγαλύτερο, «νὰ σᾶς εὐλογήσει», γιὰ νὰ δείξει, ὅτι ἐκεῖνος ποὺ σταυρώθηκε εὐλογεῖ τοὺς σταυρωτές του. Ἂς μιμηθοῦμε λοιπὸν αὐτὸν καὶ ἐμεῖς. Ἂς ἐκριζώσουμε τὴ φονικὴ καὶ ἐχθρικὴ ψυχή. Δὲν εἶναι ἀρκετὸ νὰ μὴ ἀμυνόμαστε, (αὐτὸ ἔγινε καὶ στὴν Παλαιὰ Διαθήκη), ἀλλὰ ὅλα ἂς τὰ πράττομε γιὰ χάρη ἐκείνων ποὺ ἔχουν ἀδικήσει, σὰν νά εἶναι γνήσιοι φίλοι, σὰν νὰ πρόκειται γιὰ μᾶς τοὺς ἴδιους. Ἐκείνου εἴμαστε μιμητές, ἐκείνου μαθητές, ποὺ μετὰ τὴ σταύρωση χρησιμοποιεῖ τὰ πάντα ὑπὲρ ἐκείνων ποὺ τὸν σταύρωσαν, καὶ ἀποστέλλει καὶ τοὺς Ἀποστόλους. Ἂν καὶ βέβαια ἐμεῖς πολλὲς φορὲς καὶ δίκαια πάσχομε, ἐκεῖνος δὲ ὄχι μόνο ἄδικα, ἀλλὰ καὶ μὲ τρόπο ἀσεβή· διότι τὸν εὐεργέτη, ποὺ καθόλου δὲν εἶχε ἀδικήσει, αὐτὸν σταύρωσαν. Γιατί; πές μου, γιὰ δόξα; Καὶ ὅμως αὐτὸς δόξασε αὐτούς. Πῶς; «Ἐπάνω στὸ διδασκαλικὸ θρόνο τοῦ Μωϋσέως κάθισαν», λέγει, «οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. Ὅλα λοιπόν, ὅσα θὰ σᾶς λέγουν αὐτοὶ νὰ πράττετε, νὰ τὰ πράττετε, μὴ πράττετε ὅμως σύμφωνα μὲ τὰ ἔργα τους»[18]. Καὶ πάλι σὲ ἄλλο σημεῖο. «Πήγαινε καὶ δεῖξε τὸν ἑαυτό σου στὸν ἱερέα»[19]. Καὶ ἐνῶ μποροῦσε νὰ καταστρέψει αὐτούς, τοὺς σώζει. Αὐτὸν λοιπὸν ἂς μιμηθοῦμε καὶ κανένας ἂς μὴ εἶναι ἐχθρὸς ἄλλου, κανένας πολέμιος, παρὰ μόνον τοῦ διαβόλου.

5. Δὲν συντελεῖ λίγο γι' αὐτὸ καὶ τὸ νὰ μὴ ὁρκίζεται καὶ τὸ νὰ μὴ ὀργίζεται κανένας. Ἀποφεύγοντας τὴν ὀργὴ δὲν θὰ ἔχουμε ἐχθρό. Κόψε τὸν ὅρκο ἀπὸ τὸν ἄνθρωπο καὶ θὰ ἔχεις περικόψει καὶ τά φτερὰ τῆς ὀργῆς καὶ θά ἔχεις σβήσει ὅλο τὸ θυμό. Διότι ὁ ὅρκος εἶναι σὰν ἄνεμος ὀργῆς. Χάλασε τὰ ἱστία· σὲ τίποτε δὲν ὠφελεῖ τὸ ἱστίο, ὅταν δὲν ὑπάρχει ἄνεμος. Ἂν λοιπὸν δὲν φωνάζουμε, οὔτε ὁρκιζόμαστε, ἀποκόψαμε τὸ νεῦρο τοῦ θυμοῦ. Ἂν δὲν πιστεύετε, μπορεῖτε νὰ δοκιμάσετε καὶ θὰ

τότε γνώσεσθε. Θὲς τῷ θυμουμένῳ νόμον μηδέποτε ὀμνύναι, καὶ οὐκ ἀναγκασθήσῃ περὶ ἐπιεικείας αὐτῷ διαλεχθῆναι. Οὕτω τὸ πᾶν ἤνυσται· καὶ οὔτε ἐπιορκήσετε, οὔτε ὀμόσεσθε ὅλως. Οὐκ ἴστε εἰς ὅσας ἀτοπίας ἑαυτοὺς ἐντεῦθεν ἐμβάλλετε; Ἀνάγκῃ γάρ, δεσμῷ ἑαυτοὺς περιβάλλοντες, καὶ πάσῃ μηχανῇ σπουδάζοντες ὥστε καθάπερ ἐξ ἀφύκτου τινὸς κακοῦ τὴν ψυχὴν ἐξελκύσαι, εἶτα μὴ δυνηθέντες, λοιπὸν ἐν ὀδύνῃ διάγειν καὶ μάχαις, καὶ ἀρᾶσθαι τῷ θυμῷ· ἀλλὰ πάντα εἰκῇ καὶ μάτην γίνεται. Οὐκοῦν ἀπείλησον, διόρισαι, πάντα ποίησον χωρὶς ὅρκου. Ἔξεστιν ἀναλῦσαι καὶ τὰ λεχθέντα καὶ τὰ γενόμενα, ἂν θέλῃς. Οὕτω τήμερον ἀνάγκη πρότερον ὑμῖν διαλεχθῆναι· ἐπειδὴ γὰρ ἠκούσατε, καὶ τὸ πλέον ὑμῖν κατώρθωται.

Φέρε δὴ λοιπόν, τίνος ἕνεκεν ἐπεισῆλθεν ὁ ὅρκος, καὶ διὰ τί συνεχωρήθη εἶναι, εἴπωμεν. Ἄνωθεν τὴν γένεσιν αὐτοῦ διηγούμενοι, καὶ πότε ἐτέχθη, καὶ πῶς, καὶ παρὰ τίνων, ἀμειψόμεθα ὑμᾶς τῇ διηγήσει ὑπὲρ τῆς ὑπακοῆς. Τὸν μὲν γὰρ κατωρθωκότα ἀναγκαῖον καὶ φιλοσοφεῖν, τὸν δὲ μηδέπω, οὐδὲ λόγον ἀκοῦσαι ἄξιον. Ἐποίησαν συνθήκας πολλὰς οἱ περὶ τὸν Ἀβραάμ, καὶ ἔσφαξαν θύματα, καὶ θυσίας ἀνήνεγκαν, καὶ οὐδέπω ἦν ὅρκος. Πόθεν οὖν ἐπεισῆλθεν ὁ ὅρκος; Ὅτε τὰ κακὰ ηὐξήθη, ὅτε πάντα ὁμοῦ ἄνω καὶ κάτω γέγονεν, ὅτε πρὸς εἰδωλολατρίαν ἀπέκλιναν, τότε δή, τότε, ὅτε ἄπιστοι λοιπὸν ἐφαίνοντο, τὸν Θεὸν ἐκάλουν μάρτυρα, ὥσπερ ἐγγυητὴν διδόντες τῶν λεγομένων ἀξιόχρεων· τοῦτο γὰρ ὅρκος ἐστί, τρόπων ἀπιστουμένων ἐγγύη. Ὥστε πρώτη κατηγορία αὕτη τοῦ ὀμνύοντος, εἰ μὴ πιστεύοιτο χωρὶς ἐγγύου, καὶ ἐγγύου μεγάλου· διὰ γὰρ τὴν πολλὴν ἀπιστίαν οὐκ ἄνθρωπον ζητοῦσιν ἔγγυον, ἀλλὰ τὸν Θεόν. Δεύτερον, καὶ

διαπιστώσετε, ὅτι ἔτσι ἔχει τὸ πράγμα. Θέσε σὲ ἐκεῖνον ποὺ θυμώνει νόμο νὰ μὴ ὁρκισθεῖ ποτέ, καὶ δὲν θὰ χρειασθεῖ νὰ τὸν διδάξεις γιὰ ἐπιείκεια. Ἔτσι τὸ πᾶν κατορθώθηκε. Καὶ οὔτε θὰ ἐπιορκήσετε, οὔτε θὰ ὁρκισθεῖτε καθόλου. Δὲν γνωρίζετε ἀπὸ αὐτὸ σὲ πόσες ἀνοησίες ὁδηγεῖτε τοὺς ἑαυτούς σας; Πρέπει λοιπὸν περιβάλλοντας τοὺς ἑαυτούς σας μὲ δεσμὸ νὰ φροντίζετε μὲ κάθε τρόπο νὰ λυτρώσετε τὴν ψυχή σας σὰν ἀπὸ κάποιο ἀναπόφευκτο κακό, ἀλλὰ ἐπειδὴ δὲν τὸ καταφέρατε, κατόπιν ζεῖτε μὲ ὀδύνη καὶ μὲ διαμάχες καὶ καταριέσθε τὸ θυμό, ἀλλ᾽ ὅλα γίνονται μάταια καὶ ἄσκοπα. Λοιπὸν ἀπείλησε, διαχώρισε, κάμε τα ὅλα χωρὶς ὅρκο. Μποροῦμε νὰ ἀναλύσομε καὶ τὰ ὅσα ἔχουν λεχθεῖ καὶ ἔχουν γίνει, ἂν θέλεις. Ἔτσι σήμερα εἶναι ἀνάγκη νὰ σᾶς διδάξω ἠπιότερα· διότι, ἐπειδὴ ἀκούσατε, καὶ τὸ περισσότερο τὸ ἔχετε κατορθώσει.

Ἃς δοῦμε λοιπὸν ἀπὸ ποιὰ αἰτία εἰσῆλθε ὁ ὅρκος καὶ γιατί ἐπιτράπηκε νὰ ὑπάρχει. Διηγούμενοι ἀπὸ τὴν ἀρχὴ τὴ γένεσή του, καὶ τὸ πότε δημιουργήθηκε, καὶ πῶς, καὶ ἀπὸ ποιούς, θὰ σᾶς ἀνταμείψουμε μὲ τὴ διήγηση γιὰ τὴ ὑπακοή σας. Διότι αὐτὸς μὲν ποὺ ἔχει κατορθώσει κάτι εἶναι ἀνάγκη νὰ φιλοσοφεῖ, αὐτὸς δὲ ποὺ δὲν κατώρθωσε τίποτε ἀκόμη, οὔτε λέξη δὲν ἀξίζει νὰ ἀκούσει. Οἱ ἄνθρωποι τοῦ περιβάλλοντος τοῦ Ἀβραὰμ ἔκαμαν πολλὲς συνθῆκες, καὶ ἔσφαξαν ζῶα γιὰ θυσίες, καὶ πρόσφεραν θυσίες, καὶ ὁ ὅρκος ἀκόμη δὲν ὑπῆρχε. Ἀπὸ ποῦ λοιπὸν εἰσῆλθε ὁ ὅρκος; Ὅταν αὐξήθηκαν τὰ κακά, ὅταν ὅλα μαζὶ ἔγιναν ἄνω κάτω, ὅταν ἐξέκλιναν πρὸς τὴν εἰλωλολατρία, τότε, ὅταν ἄρχισαν νὰ φαίνονται στὴ συνέχεια ἄπιστοι, καλοῦσαν μάρτυρα τὸ Θεό, καθιστώντας αὐτὸν ἀξιόπιστο ἐγγυητὴ τῶν λόγων τους. Διότι αὐτὸ εἶναι ὅρκος, ἡ ἐγγύηση τῶν ἀμφισβητουμένων θέσεων. Ὥστε αὐτὴ εἶναι ἡ πρώτη κατηγορία ἐκείνου ποὺ ὁρκίζεται, ὅτι δὲν γίνεται πιστευτός, χωρὶς ἐγγύηση καὶ μάλιστα ἐγγύηση μεγάλη· διότι γιὰ τὴ μεγάλη ἀπιστία δὲν ζητοῦν ἄνθρωπο ἐγγυητή, ἀλλὰ τὸ Θεό. Δεύτερο καὶ σ᾽

τοῦ λαμβάνοντος τὸν ὅρκον τὸ αὐτὸ ἔγκλημα, εἰ, ὑπὲρ συναλλαγμάτων διαφερόμενος, τὸν Θεὸν ἕλκοι πρὸς τὴν ἐγγύην, καὶ λέγοι μὴ ἀφίστασθαι, εἰ μὴ ἐκεῖνον λάβοι. Ὦ τῆς ὑπερβαλλούσης ἀναισθησίας! ὢ τῆς ὕβρεως! σκώληξ καὶ γῆ καὶ σποδὸς τυγχάνων καὶ καπνός, τὸν Δεσπότην σου ἕλκεις εἰς ἐγγύην, κἀκεῖνον ἀναγκάζεις λαβεῖν. Εἰπέ μοι, εἰ, τῶν παίδων ὑμῶν φιλονεικούντων πρὸς ἀλλήλους, καὶ ἀπιστουμένων ἑαυτοῖς, ἔφησεν ὁ ὁμόδουλος μὴ ἀποστήσεσθαι, ἕως ἂν τὸν κοινὸν δεσπότην ἐγγυητὴν λάβοι, ἆρα οὐκ ἂν ἔλαβε πληγὰς μυρίας, καὶ ἔμαθεν ὅτι τῷ δεσπότῃ εἰς ἄλλα κεχρῆσθαι δεῖ, οὐκ εἰς ταῦτα; Τί λέγω ὁμόδουλον; Εἰ γὰρ αἰδεσιμώτερον εἵλετο ἄνδρα, οὐχ ὕβριν τὸ πρᾶγμα ἡγήσατο ἄν;

Ἀλλ' ἐγὼ οὐ βούλομαι, φησί. Καλῶς· οὐκοῦν μηδὲ ἐκεῖνον ἀνάγκαζε, ἐπεὶ καὶ ἐπ' ἀνθρώπων τοῦτο γίνεται· ἂν εἴπῃ· 'Τὸν δεῖνα δίδωμι ἐγγυητήν', σὺ οὐκ ἀνέχῃ. Τί οὖν; καὶ ἀπολέσω, φησί, τὸ διδόμενον; Οὐ λέγω τοῦτο, ἀλλ' ὅτι τὸν Θεὸν ὑβρίσαι ἀνέχῃ. Διὸ καὶ μᾶλλον ὁ καταναγκάζων ἢ ὁ ὀμνὺς ἀπαραίτητον ἔχει τὴν κόλασιν· ὡσαύτως καὶ ὁ μηδενὸς αἰτοῦντος ὀμνύς. Καὶ τὸ δὴ χαλεπώτερον, ὅτι ὀμνύει ἕκαστος ὑπὲρ ὀβολοῦ ἑνός, ὑπὲρ προσθήκης μικρᾶς, ὑπὲρ ἀδικίας. Ταῦτα, ὅταν μὴ ὦσιν ἐπιορκίαι· ἂν δὲ ἐπιορκία παρακολουθήσῃ, πάντα ἄνω καὶ κάτω, καὶ ὁ λαβών, καὶ ὁ δοὺς πεποίηκεν. Ἀλλ' ἔστιν ἀγνοούμενά τινα, φησίν. Ἀλλά, ταῦτα προορώμενος, μηδὲν ποίει ῥαθύμως· εἰ δὲ ῥαθύμως ποιεῖς, ἀπαίτει σαυτὸν δίκην ζημίας. Βέλτιον οὕτω ζημιωθῆναι, ἢ ἑτέρως. Εἰπὲ γάρ μοι, ἕλκεις εἰς ὅρκον τὸν ἄνδρα, τί προσδοκῶν; ὅτι ἐπιορκήσει; Ἀλλὰ τοῦτο ἀνοίας ἐσχάτης· ἐπὶ τὴν σὴν γὰρ κεφαλὴν ἡ δίκη τραπήσεται· βέλ-

ἐκεῖνον ποὺ δέχεται τὸν ὅρκο ὑπάρχει ἡ ἴδια κατηγορία, ἐφ' ὅσον ἐνδιαφερόμενος γιὰ τὰ συναλλάγματα, ἐπικαλεῖται τὸ Θεὸ ἐγγυητὴ καὶ λέγει ὅτι δὲν θὰ παραιτηθεῖ ἂν δὲν λάβει ἐκεῖνον. Πῶ πῶ ὑπερβολικὴ ἀναισθησία, πῶ πῶ ἀναίδεια· ἐνῶ εἶσαι σκουλήκι καὶ χῶμα καὶ σκόνη καὶ καπνός, θέλεις τὸν Κύριό σου ἐγγυητή, καὶ τὸν ὅρκο ἐξαναγκάζεις τοὺς ἄλλους νὰ σοῦ δώσουν. Πές μου, ἂν συνέβαινε οἱ δοῦλοι σας νὰ φιλονεικοῦν μεταξύ τους καὶ νὰ μὴ πιστεύουν τοὺς ἑαυτούς τους, καὶ ἔλεγε ὁ ὁμόδουλος, ὅτι δὲν θὰ παραιτηθεῖ μέχρις ὅτου λάβει ἐγγυητὴ τὸν κοινὸ κύριο, ἄρα γε δὲν θὰ ἐτιμωρεῖτο μὲ πολλὰ κτυπήματα καὶ δὲν θὰ μάθαινε ὅτι πρέπει σὲ ἄλλα νὰ χρησιμοποιεῖ τὸν κύριο καὶ ὄχι σὲ τέτοια; Τί λέγω ὁμόδουλο; Διότι ἂν προτιμοῦσε σεβασμιώτερο ἄνδρα, δὲν θὰ θεωροῦνταν τὸ πράγμα προσβολή;

Ἀλλ' ἐγὼ δὲν θέλω, λέγει. Καλῶς· λοιπὸν οὔτε ἐκεῖνον νὰ τὸν ἀναγκάζεις, ἀφοῦ καὶ μεταξὺ τῶν ἀνθρώπων γίνεται αὐτό, ἂν πεῖ κάποοιος, 'δίνω ἐγγυητὴ τὸν τάδε', σὺ δὲν ἀνέχεσαι. Τί λοιπόν; καὶ θὰ χάσω, λέγει, αὐτὸ ποὺ δίνω; Δὲν λέγω αὐτό, ἀλλ' ὅτι ἀνέχεσαι νὰ ἀσεβήσεις στὸ Θεό. Γι' αὐτὸ καὶ περισσότερο αὐτὸς ποὺ ἐξαναγκάζει παρὰ αὐτὸς ποὺ ὁρκίζεται, θὰ ἔχει ὁπωσδήποτε τὴν τιμωρία, καθὼς ἐπίσης καὶ αὐτὸς ποὺ ὁρκίζεται, χωρὶς κανένας νὰ τοῦ τὸ ζητήσει. Καὶ τὸ χειρότερο βέβαια εἶναι, ὅτι ὁ καθένας ὁρκίζεται γιὰ ἕναν ὀβολό, γιὰ μιὰ μικρὴ προσθήκη, γιὰ ἀδικία. Αὐτά, ὅταν δὲν ὑπάρχουν ἐπιορκίες· ἂν δὲ ἀκολουθήσει καὶ ἐπιορκία, καὶ ἐκεῖνος ποὺ ἔλαβε καὶ ἐκεῖνος ποὺ ἔδωσε τὸν ὅρκο, τὰ ἔκαναν ὅλα ἄνω κάτω. Ἀλλ' εἶναι, λέγει, καὶ μερικὰ ποὺ δὲν τὰ γνωρίζομε. Ἀλλὰ προβλέποντας αὐτά, μὴ κάμνεις τίποτε ἀπρόθυμα· ἐὰν ὅμως τὸ κάμνεις ἀπρόθυμα, νὰ ἀπαιτεῖς ἀπὸ τὸν ἑαυτόν σου δίκαια τιμωρία. Εἶναι καλύτερα νὰ τιμωρηθεῖς ἔτσι, παρὰ διαφορετικά. Διότι πές μου, παρασύρεις σὲ ὅρκο τὸν ἄνθρωπο, ἀναμένοντας τί; ὅτι θὰ ἐπιορκήσει; Ἀλλὰ αὐτὸ εἶναι ἡ χειρότερη ἀνοησία· διότι ἡ τιμωρία θὰ στραφεῖ στὴ δική σου κεφαλή· εἶναι

τιόν σε τὰ χρήματα ἀπολέσαι, ἢ ἐκεῖνον ἀπόλλυσθαι. Τί μετὰ τῆς σῆς ζημίας τοῦτο ποιεῖς, καὶ μετὰ τῆς ὕβρεως τοῦ Θεοῦ; Θηρίου αὕτη ἡ ψυχή, καὶ ἀσεβοῦς ἀνδρός. Ἀλλὰ προσδοκῶ ὅτι οὐκ ἐπιορκήσει. Οὐκοῦν καὶ χωρὶς ὅρκου πίστευσον. Ἀλλ' εἰσὶ πολλοί, φησίν, οἳ χωρὶς ὅρκου εἵλοντο ἀποστερῆσαι, μετὰ δὲ ὅρκον, οὐκέτι. Ἀπατᾷς σεαυτόν, ἄνθρωπε. Ἄνθρωπος, κλέπτειν μεμαθηκὼς καὶ τὸν πλησίον ἀδικεῖν, ἕλοιτο ἂν καὶ ὅρκον καταπατῆσαι πολλάκις· εἰ δὲ περὶ τοῦ ὀμόσαι εὐλαβηθείη, περὶ τὸ ἀδικῆσαι πολλῷ μᾶλλον. Ἀλλ' ἄκων αὐτὸ πάσχει; Οὐκοῦν συγγνώμης ἄξιος. Ἀλλὰ τί λέγω περὶ τῶν ὅρκων τούτων, ἀφεὶς τοὺς ἐπ' ἀγορᾶς; Ἐκεῖ γὰρ οὐδὲν τοιοῦτον ἔχεις εἰπεῖν· ὑπὲρ γὰρ δέκα ὀβολῶν ὅρκοι γίνονται καὶ ἐπιορκίαι· ὅτι γὰρ σκηπτὸς ἄνωθεν οὐ κατέρχεται, ὅτι γὰρ οὐ πάντα ἀνατρέπεται, ἕστηκας κατέχων τὸν Θεόν. Τί δήποτε; Ἵνα λάχανα λάβῃς, ἵνα ὑποδήματα, ὑπὲρ ὀλίγου ἀργυρίου εἰς μαρτυρίαν αὐτὸν καλῶν. Μὴ δή, ἐπειδὴ μὴ κολαζόμεθα, νομίσωμεν μηδὲ ἁμαρτάνειν· τοῦτο τῆς φιλανθρωπίας ἐστὶ τοῦ Θεοῦ, οὐ τῆς ἡμετέρας ἀρετῆς. Ὄμοσον κατὰ τοῦ παιδὸς τοῦ σοῦ, ὄμοσον κατὰ σαυτοῦ, εἰπέ, 'Οὕτω μὴ δήμιος ἐπισταίη ταῖς πλευραῖς ταῖς ἐμαῖς'. Ἀλλὰ δέδοικας. Τῶν πλευρῶν σου οὖν ἀτιμότερος ὁ Θεός; τῆς κεφαλῆς σου εὐτελέστερος; Εἰπέ· 'Οὕτω μὴ πηρωθῶ'. Ἀλλ' ὁ μὲν Χριστὸς οὕτως ἡμῶν φείδεται, ὡς κωλύειν καὶ κατὰ τῆς οἰκείας ὀμνύειν κεφαλῆς, ἡμεῖς δὲ οὕτως ἀφειδοῦμεν τῆς δόξης τῆς τοῦ Θεοῦ, ὡς πανταχοῦ αὐτὸν ἕλκειν. Οὐκ ἴστε τί ἐστι Θεός, καὶ ποίοις στόμασι καλεῖσθαι ὀφείλει. Ἀλλ' ἂν μὲν περί τινος λέγωμεν ἀνδρὸς ἐναρέτου, φαμέν, 'Ἀπόπλυνον τὸ στόμα σου, καὶ οὕτω μνήσθητι', νυνὶ δὲ τὸ τίμιον ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα, τὸ θαυμαστὸν

καλύτερα σὺ νὰ χάσεις τὰ χρήματα, παρὰ ἐκεῖνος νὰ χαθεῖ. Γιατί κάμνεις αὐτό, μὲ δική σου ζημία καὶ μὲ ἀσέβεια πρὸς τὸ Θεό; ἡ ψυχὴ αὐτὴ εἶναι θηρίου καὶ ἀσεβῆ ἀνθρώπου. Ἀλλ' ἀναμένω, ὅτι δὲν θὰ ἐπιορκήσει. Λοιπὸν καὶ χωρὶς ὅρκο πίστευε. Ἀλλ' ὑπάρχουν πολλοί, λέγει, ποὺ χωρὶς ὅρκο θὰ προτιμοῦσαν νὰ μὴ δώσουν ὅ,τι ὑποσχέθηκαν, μετὰ ἀπὸ ὅρκο ὅμως ποτέ. Ἀπατᾶς τὸν ἑαυτό σου, ἄνθρωπε. Ἄνθρωπος, ποὺ ἔμαθε νὰ κλέβει καὶ νὰ ἀδικεῖ τὸν πλησίον, θὰ προτιμοῦσε καὶ τὸν ὅρκο πολλὲς φορὲς νὰ καταπατήσει· ἂν ὅμως φοβόταν νὰ ὁρκισθεῖ, πολὺ περισσότερο θὰ φοβόταν καὶ νὰ ἀδικήσει. Ἀλλὰ τὸ κάμνει αὐτὸ παρὰ τὴ θέλησή του; Συνεπῶς εἶναι ἄξιος συγγνώμης. Ἀλλὰ γιατί ὁμιλῶ γιὰ τοὺς ὅρκους αὐτούς, ἀφήνοντας τοὺς ὅρκους τῆς ἀγορᾶς; Διότι ἐκεῖ, τίποτε παρόμοιο δὲν ἔχεις νὰ πεῖς· καθόσον γιὰ δέκα ὀβολοὺς γίνονται ὅρκοι καὶ ἐπιορκίες· Ἐπειδὴ δηλαδὴ δὲν πέφτει κεραυνὸς ἀπὸ πάνω, ἐπειδὴ δὲν ἀνατρέπονται τὰ πάντα, ἔρχεσαι καὶ ὁρκίζεσαι στὸ Θεό. Τί λοιπόν; Γιὰ νὰ λάβεις λάχανα, ὑποδήματα, γιὰ λίγα χρήματα, καλεῖς αὐτὸν σὰν μάρτυρα. Μὴ λοιπὸν νομίσουμε, ὅτι ἐπειδὴ δὲν τιμωρούμαστε, δὲν ἁμαρτάνομε· τοῦτο ὀφείλεται στὴ φιλανθρωπία τοῦ Θεοῦ, ὄχι στὴ δική μας ἀρετή. Ὁρκίσου στὸ παιδί σου· ὁρκίσου στὸν ἴδιο τὸν ἑαυτό σου· πές· 'ἔτσι οὔτε δήμιος ἂς μὴ λυπηθεῖ τὶς πλευρές μου'. Ἀλλὰ φοβᾶσαι. Λοιπὸν ὁ Θεὸς εἶναι ἀτιμότερος ἀπὸ τὶς πλευρές σου; πιὸ εὐτελὴς ἀπὸ τὸ κεφάλι σου; Πές, ἂς μὴ μείνω ἔτσι ἀνάπηρος. Ἀλλ' ὁ μὲν Χριστὸς τόσο πολὺ μᾶς λυπᾶται, ὥστε νὰ μᾶς ἐμποδίζει νὰ ὁρκιζόμαστε καὶ κατὰ τῆς κεφαλῆς μας, ἡμεῖς δὲ τόσο πολὺ παραμελοῦμε τὴ δόξα τοῦ Θεοῦ, ὥστε παντοῦ αὐτὸν θέλουμε ἐγγυητή. Δὲν γνωρίζετε τί εἶναι Θεὸς καὶ μὲ ποιὰ στόματα πρέπει νὰ ἐπικαλεῖται. Ἀλλ' ἐὰν μὲν ὁμιλοῦμε γιὰ κάποιον ἐνάρετο ἄνδρα, λέμε, 'πλύνε τὸ στόμα σου καὶ ὕστερα ἀνάφερέ τον', τώρα δὲ τὸ τίμιο ὄνομα, τὸ ὑπεράνω ἀπὸ κάθε ὄνομα, τὸ θαυμαστὸ σὲ ὅλη τὴ γῆ, ποὺ οἱ δαίμονες ὅταν τὸ

ἐν πάσῃ τῇ γῇ, ὃ δαίμονες ἀκούοντες φρίττουσιν, ἁπλῶς περισύρομεν.

6. Ὢ τῆς συνηθείας! ἀπὸ γὰρ ταύτης γέγονεν εὐκαταφρόνητον. Ἀμέλει γοῦν εἰς οἶκον ἅγιον ἂν ἐπιθῇς τινι ἀνάγκην ὀμόσαι, ὡς φρικτὸν τὸν ὅρκον ἐργασάμενος, οὕτω διάκεισαι· καίτοι πόθεν οὕτω φρικτὸν εἶναι δοκεῖ, ἀλλ' ἢ ὅτι ἐκείνῳ μὲν ἁπλῶς ἀποκεχρήμεθα, τούτῳ δὲ οὐχί; οὐ γὰρ φρίκην ἔδει γενέσθαι, ὀνομαζομένου τοῦ Θεοῦ; Ἀλλ' ἐπὶ μὲν Ἰουδαίων οὕτως αὐτοῦ τὸ ὄνομα σεμνὸν ἦν, ὡς ἐν πετάλοις γράφεσθαι, καὶ μηδενὶ τὰ γράμματα ἐξεῖναι φορεῖν, ἀλλ' ἢ μόνῳ τῷ ἀρχιερεῖ, νυνὶ δὲ ὡς τὸ τυχὸν οὕτω περιφέρομεν αὐτοῦ τὸ ὄνομα. Εἰ ἁπλῶς ὀνομάζειν τὸν Θεὸν οὐ πᾶσιν εὐαγές, τὸ καὶ ἐπὶ μαρτυρίαν αὐτὸν καλεῖν, πόσης τόλμης, εἰπέ μοι, πόσης μανίας; Εἰ γὰρ πάντα ῥῖψαι ἐχρῆν, οὐκ ἔδει προθύμως ἐᾶν;

Ἰδοὺ λέγω καὶ διαμαρτύρομαι· Κατορθώσατε τούτους τοὺς ἐπὶ τῆς ἀγορᾶς ὅρκους, τοὺς δὲ μὴ πειθομένους, πάντας ἐμοὶ ἀγάγετε. Ἰδοὺ παρόντων ὑμῶν ἐπισκήπτω τοῖς πρὸς ὑπηρεσίαν ἀφωρισμένοις τῶν οἴκων τῶν εὐκτηρίων, καὶ παραινῶ καὶ παρεγγυῶ, μηδενὶ ὀμνύναι ἁπλῶς ἐξεῖναι· μᾶλλον δὲ μηδὲ ἑτέρως. Πρὸς ἐμὲ οὖν ἀγέσθω ὅστις ἂν ᾖ, ἐπειδὴ καὶ ταῦτα μέχρις ἡμῶν ἔρχεσθαι δεῖ, καθάπερ ἐπὶ παίδων μικρῶν. Μὴ γένοιτο! Αἰσχύνη γάρ ἐστιν ὑπέρ τινων ἔτι δέεσθαι μανθάνειν. Μὴ τραπέζης ἱερᾶς ἅψασθαι τολμᾷς, ἀμύητος ὤν; Ἀλλὰ τὸ ἔτι χεῖρον, σὺ ὁ μεμυημένος τῆς ἱερᾶς ἅψασθαι τραπέζης τολμᾷς, ἧς οὐδὲ πᾶσιν ἱερεῦσιν ἅψασθαι θέμις, καὶ οὕτως ὀμνύναι. Καὶ σὺ μὲν τῆς τοῦ παιδὸς κεφαλῆς οὐκ ἂν ἅψαιο ἀπελθών, τραπέζης δὲ ἅπτῃ, καὶ

20. Ἔξοδ. 39, 29.

ἀκούουν φρίττουν, ἡμεῖς σὰν κάτι ὁπλὸ τὸ καταξευτελίζουμε.

6. Πὼ πὼ συνήθεια! διότι ἀπὸ τὴν αἰτία αὐτὴ ἔχει γίνει εὐκαταφρόνητο. Ὁπωσδήποτε λοιπὸν ἂν ἀναγκάσεις κάποιον νὰ ὁρκισθεῖ σὲ οἶκο ἅγιο, φέρεσαι ἔτσι σὰν νὰ διέπραξες φρικτὸ ὅρκο· καὶ ἀπὸ ποῦ φαίνεται ὅτι εἶναι ἔτσι φρικτό, παρὰ ἀπὸ τὸ ὅτι, ἐκεῖνον μὲν ἁπλῶς χρησιμοποιοῦμε, αὐτὸν δὲ ὄχι; δὲν θὰ ἔπρεπε λοιπὸν νὰ προκαλεῖ φρίκη, ὅταν ἀναφέρεται τὸ ὄνομα τοῦ Θεοῦ; Ἀλλὰ στοὺς μὲν Ἰουδαίους ἦταν τόσο σεβαστὸ τὸ ὄνομα αὐτοῦ, ὥστε νὰ γράφεται στὰ πέταλα, καὶ σὲ κανένα νὰ μὴ ἐπιτρέπεται νὰ φορεῖ τὰ γράμματα, παρὰ μόνο στὸν ἀρχιερέα[20], τώρα δὲ διασύρουμε τὸ ὄνομα αὐτοῦ κατὰ τέτοιο τρόπο σὰν νὰ εἶναι κάτι τὸ τυχαῖο. Ἂν ἁπλῶς τὸ νὰ ὀνομάζουμε τὸ Θεὸ δὲν εἶναι σὲ ὅλους σεβαστό, τὸ νὰ ἐπικαλούμαστε αὐτὸν γιὰ μάρτυρα πές μου πόσης θρασύτητας δεῖγμα εἶναι; πόσης παραφροσύνης; Διότι, ἐὰν ἔπρεπε ὅλα νὰ τὰ ἀπορρίψουμε, δὲν θὰ ἔπρεπε πρόθυμα νὰ τὰ ἀφήσουμε;

Ἰδοὺ λέγω καὶ διαμαρτύρομαι, κατορθώσατε νὰ ἀποφύγετε τοὺς ὅρκους ποὺ δίδονται στὴν ἀγορά, αὐτοὺς δὲ ποὺ δὲν πείθονται, ὁδηγήσατέ τους ὅλους σ' ἐμένα. Νά, παρουσία ὅλων σας παραγγέλω στοὺς διορισμένους στὴν ὑπηρεσία τῶν εὐκτήριων οἴκων, καὶ προτρέπω καὶ δίνω ἐντολή, σὲ κανένα νὰ μὴ ἐπιτρέπουν νὰ ὁρκίζεται γιὰ ἁπλὰ πράγματα, μᾶλλον δὲ καὶ σὲ καμιὰ ἄλλη περίπτωση. Πρὸς ἐμένα λοιπὸν ἂς ὁδηγηθεῖ ὅποιος καὶ ἂν εἶναι, ἐπειδὴ καὶ αὐτὰ πρέπει νὰ φθάνουν μέχρις ἐμένα, ὅπως ἀκριβῶς συμβαίνει καὶ μὲ τὰ μικρὰ παιδιά. Μὴ γένοιτο! Διότι εἶναι ντροπὴ μερικοὶ ἀκόμη νὰ χρειάζεται νὰ διδάσκονται. Μήπως τολμᾶς νὰ ἐγγίσεις ἱερὴ τράπεζα, ἐνῶ εἶσαι ἀμύητος; Ἀλλὰ τὸ ἀκόμα χειρότερο, σὺ ποὺ εἶσαι μυημένος τολμᾶς νὰ ἐγγίσεις τὴν ἱερὴ τράπεζα, ποὺ οὔτε ὅλοι οἱ ἱερεῖς δὲν ἐπιτρέπεται νὰ ἐγγίζουν, καὶ ὁρκίζεσαι κατὰ τέτοιο τρόπο. Καὶ σὺ μέν, φεύγοντας δὲν θὰ μποροῦσες νὰ ἐγγίσεις τὸ κεφάλι τοῦ παιδιοῦ, ἐγγί-

οὐ φρίττεις, οὐδὲ δέδοικας; Πρὸς ἐμὲ τοὺς τοιούτους ἄγε· ἐγὼ δικάσω, καὶ χαίροντας ἑκατέρους ἀποπέμψω. Ὃ βούλεσθε, ποιεῖτε· νόμον τίθημι μηδὲ ὅλως ὀμνύναι. Ποία σωτηρίας ἐλπίς, οὕτως ἡμῶν πάντα κενούντων; διὰ τοῦτο γραμματεῖα, διὰ τοῦτο συμβόλαια, ἵνα καταθύσῃς τὴν σαυτοῦ ψυχήν; τί τοσοῦτον κερδαίνεις, ὅσον ἀπολλύεις; Ἐπιώρκησεν; Ἀπώλεσας κἀκεῖνον καὶ σαυτόν. Ἀλλ' οὐκ ἐπιώρκησε; Καὶ οὕτως ἀπώλεσας, παραβῆναι τὴν ἐντολὴν ἀναγκάσας.

Ἐξελάσωμεν τοῦτο τὸ νόσημα ἀπὸ τῆς ψυχῆς· τέως ἀπὸ τῆς ἀγορᾶς αὐτὸ διώξωμεν, ἀπὸ τῶν παντοπωλείων, ἀπὸ τῶν λοιπῶν ἐργαστηρίων· μείζων ὁ πόρος ἡμῖν ἔσται. Μὴ νομίσητε διὰ τῶν παραβάσεων τῶν θείων νόμων τὰ βιωτικὰ κατορθοῦσθαι. Ἀλλ' οὐ πιστεύει, φησί· καὶ γὰρ καὶ τοῦτό ποτε παρ' ἐνίων ἤκουσα, ὅτι, 'ἂν μὴ ὀμόσω μυρίους ὅρκους, οὐ πιστεύει'. Σὺ τούτων αἴτιος ὁ προχείρως ὀμνύς· ἐπεί, εἰ μὴ τοῦτο ἦν, ἀλλὰ πᾶσιν ἦν δῆλον ὅτι οὐκ ὀμνύεις, πίστευέ μοι λέγοντι ὅτι τῶν μυρίους κατεσθιόντων ὅρκους μᾶλλον ἂν ἐπιστεύθης, ἐπινεύσας μόνον. Ἰδοὺ γάρ, εἰπέ μοι, τίνι ἄρα μᾶλλον πιστεύετε, ἐμοὶ τῷ μὴ ὀμνύοντι, ἢ τοῖς ὀμνύουσιν; Ἀλλὰ σύ, φησίν, ἄρχων εἶ καὶ ἐπίσκοπος. Τί οὖν, ἂν δείξω ὅτι οὐ τοῦτο μόνον; Μετὰ ἀληθείας ἀποκρίνασθέ μοι, παρακαλῶ, εἰ συνεχῶς ὤμνυον καὶ διὰ παντός, ἄρα ἂν προέστη μου ἡ ἀρχή; Οὐδαμῶς. Ὁρᾷς ὅτι οὐ διὰ τοῦτο; Τί δὲ κερδαίνεις ὅλως; εἰπέ μοι. Παῦλος ἐλίμωττε· καὶ σὺ ἑλοῦ πεινᾶν μᾶλλον ἢ παραβῆναί τινα τῶν ἐντολῶν τοῦ Θεοῦ. Τί οὕτως ἄπιστος εἶ; Σὺ μὲν οὖν πάντα αἱρῇ καὶ ποιῆσαι καὶ παθεῖν ὑπὲρ τοῦ μὴ ὀμόσαι, αὐτὸς δέ σε οὐκ ἀμείψεται; Ἀλλὰ τοὺς μὲν ἐπιόρκους καὶ πολυόρκους καθ' ἑκάστην τρέ-

ζεις ὅμως τὴν τράπεζα καὶ δὲν φρίττεις οὔτε φοβᾶσαι; Πρὸς ἐμένα φέρε αὐτούς· ἐγὼ θὰ δικάσω καὶ χαρούμενος καὶ τοὺς δύο θὰ ἀφήσω νὰ φύγουν. Αὐτὸ ποὺ ἐπιθυμεῖτε κάμνετε· νόμον θέτω νὰ μὴ ὁρκίζεσθε καθόλου Ποιά ἐλπίδα σωτηρίας ὑπάρχει ὅταν ἐμεῖς τόσο πολὺ ὅλα τὰ περιφρονοῦμε; Γι' αὐτὸ ὑπάρχουν διαθῆκες, γι αὐτὸ ὑπάρχουν συμβόλαια, γιὰ νὰ θυσιάσεις τὴν ψυχή σου; τί κερδίζεις περισσότερο ἀπὸ αὐτὸ ποὺ χάνεις; Ἐπιόρκησε; Ἔχασες καὶ ἐκεῖνον καὶ τὸν ἑαυτό σου. Ἀλλὰ δὲν ἐπιόρκησε; Καὶ ἔτσι τὸν ἔκανες νὰ χαθεῖ, ἀφοῦ τὸν ἐξανάγκασες νὰ παραβεῖ τὴν ἐντολή.

Ἂς ἀπομακρύνουμε αὐτὸ τὸ νόσημα ἀπὸ τὴν ψυχή πρῶτα ἂς τὸ ἐκδιώξουμε ἀπὸ τὴν ἀγορά, ἀπὸ τὰ παντοπωλεῖα, ἀπὸ τὰ λοιπὰ ἐργαστήρια· μεγαλύτερα θὰ εἶναι γιὰ μᾶς τὰ ὀφέλη. Μὴ νομίσητε ὅτι τὰ βιοτικὰ ἐπιτυγχάνονται μὲ τὶς παραβάσεις τῶν θείων νόμων. Ἀλλὰ δὲν πιστεύει, λέγει· διότι καὶ αὐτὸ κάποτε ἄκουσα ἀπὸ μερικούς· ὅτι, ἂν δὲν κάνω πολλοὺς ὅρκους, δὲν πιστεύει· Σὺ εἶσαι αἴτιος, ποὺ ὁρκίζεσαι ἀπερίσκεπτα· διότι ἐὰν δὲν ἦταν αὐτό, ἀλλὰ σὲ ὅλους ἦταν γνωστό, ὅτι δὲν ὁρκίζεσαι, πίστεψε σ' ἐμένα ποὺ σοῦ τὸ λέω, ὅτι περισσότερο θὰ γινόσουν πιστευτὸς ἀπὸ ἐκείνους, ποὺ μύριους κατατρώγουν ὅρκους, κάμοντας καὶ μόνο ἕνα νεῦμα. Διότι νά, πές μου παρακαλῶ, σὲ ποιόν πιστεύετε περισσότερο, σὲ ἐμένα, ποὺ δὲν ὁρκίζομαι ἢ σὲ ἐκείνους ποὺ ὁρκίζονται; Ἀλλὰ σύ, λέγει, εἶσαι ἄρχοντας καὶ ἐπίσκοπος. Τί λοιπόν, ἂν ἀποδείξω ὅτι δὲν εἶναι μόνο αὐτό; Ἀποκριθεῖτε μου, εἰλικρινά, παρακαλῶ, ἂν συνεχῶς καὶ πάντοτε ὁρκιζόμουν, ἄραγε θὰ ἦταν ἡ ἐξουσία μου σεβαστή; Καθόλου. Βλέπεις ὅτι δὲν εἶναι γι' αὐτό; Μὲ μία λέξη, πές μου, τί κερδίζεις; Ὁ Παῦλος ὑπέφερε ἀπὸ τὴν πείνα· καὶ σὺ θὰ πρέπει νὰ προτιμᾶς νὰ πεινᾶς μᾶλλον παρὰ νὰ παραβῇς κάποια ἀπὸ τὶς ἐντολὲς τοῦ Θεοῦ Γιατί εἶσαι ἔτσι ἄπιστος; Σὺ μὲν προτιμᾶς τὰ πάντα νὰ κάνεις καὶ νὰ πάθεις γιὰ νὰ μὴ ὁρκισθεῖς, αὐτὸς δὲ δὲν θὰ σὲ ἀνταμείψει; Ἀλλὰ ἐκείνους μὲν ποὺ εἶναι ἐπί-

φει τὴν ἡμέραν, σὲ δὲ παραδώσει λιμῷ, ἐπειδὴ ἤκουσας αὐτοῦ; Πάντες ἰδέτωσαν ὅτι τῶν εἰς ταύτην τὴν ἐκκλησίαν συναγομένων οὐδεὶς οὐκ ἔστιν ὁ ὀμνύς· καὶ ἀπὸ τούτου γενώμεθα δῆλοι, μὴ ἀπὸ τῆς πίστεως μόνον, καὶ τοῦτο πρὸς Ἕλληνας καὶ πρὸς πάντας ἔχωμεν τὸ διαλλάττον. Σφραγῖδα λάβωμεν ἐκ τῶν οὐρανῶν, ἵνα ὥσπερ ἀγέλη βασιλικὴ πανταχοῦ φαινώμεθα· ἀπὸ τοῦ στόματος καὶ τῆς γλώττης τέως γνωριζόμεθα καθάπερ οἱ βάρβαροι· καθάπερ οἱ Ἑλληνιστὶ εἰδότες, ταύτῃ τῶν βαρβάρων διαλλάττωμεν. Εἰπὲ γάρ μοι, οἱ ψιττακοὶ λεγόμενοι πόθεν εἰσὶ γνώριμοι; οὐκ ἀπὸ τοῦ λαλεῖν κατὰ ἄνθρωπον; Καὶ ἡμεῖς τοίνυν ἀπὸ τοῦ λαλεῖν ὡς οἱ Ἀπόστολοι γενώμεθα γνώριμοι· ἀπὸ τοῦ λαλεῖν ὡς οἱ ἄγγελοι. Ἂν εἴπῃ τις, "Ὄμοσον" ἀκουέτω ὅτι ὁ Χριστὸς ἐκέλευσε, καὶ οὐκ ὄμνυμι. Τοῦτο ἱκανὸν πᾶσαν εἰσαγαγεῖν ἀρετήν. Θύρα τίς ἐστιν εὐσεβείας, ὁδὸς ἐπὶ φιλοσοφίαν (εὐλαβείας) εἰσάγουσα, παλαίστρα τίς ἐστι.

Ταῦτα φυλάττωμεν, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ορκοι καὶ ὁρκίζονται πολύ, τρέφει κάθε ἡμέρα, ἐσένα δὲ θὰ σὲ παραδώσει σὲ πεῖνα καὶ στέρηση, ἐπειδὴ ἄκουσες αὐτόν; Ἂς προσέξουν ὅλοι, ὅτι ἀπὸ τοὺς συγκεντρωμένους στὴν ἐκκλησία αὐτὴν δὲν πρέπει νὰ ὑπάρχει κανένας ποὺ νὰ ὁρκίζεται· καὶ ἀπὸ αὐτὸ ἂς γίνουμε φανεροί, ὄχι μόνο ἀπὸ τὴν πίστη, καὶ αὐτὸ ἂς ἔχουμε ἐκεῖνο ποὺ θὰ μᾶς διαχωρίζει καὶ ἀπὸ τοὺς ἐθνικοὺς καὶ ἀπὸ ὅλους τοὺς λοιπούς. Ἂς λάβουμε σφραγίδα ἀπὸ τοὺς οὐρανούς, γιὰ νὰ φαινόμαστε παντοῦ σὰν ἀγέλη βασιλική· πρῶτα ἂς γνωριζόμαστε ἀπὸ τὸ στόμα καὶ τὴ γλώσσα, ὅπως ἀκριβῶς οἱ βάρβαροι· ὅπως ἀκριβῶς οἱ γνωρίζοντες ἑλληνικά, ἔτσι ἂς διακρινόμαστε ἀπὸ τοὺς βαρβάρους. Διότι πές μου παρακαλῶ, οἱ λεγόμενοι παπαγάλοι ἀπὸ ποῦ εἶναι γνωστοί; Ὄχι ἀπὸ τὸ ὅτι ὁμιλοῦν σὰν ἄνθρωποι; Καὶ ἐμεῖς λοιπὸν ἂς γινόμαστε γνωστοὶ ἀπὸ τὸ ὅτι θὰ ὁμιλοῦμε ὅπως οἱ Ἀπόστολοι· ἀπὸ τὸ ὅτι ὁμιλοῦμε ὡς ἄγγελοι. Ἂν κάποιος μᾶς πεῖ, 'ὁρκίσου', ἂς ἀκούει, ὅτι ὁ Χριστὸς παρήγγειλε, καὶ δὲν ὁρκίζομαι. Τοῦτο εἶναι ἱκανὸ νὰ φέρει κάθε ἀρετή. Εἶναι κάποια θύρα εὐσέβειας, εἶναι κάποια παλαίστρα.

Αὐτὰ ἂς φυλάττουμε γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει δόξα, δύναμη, τιμή, τώρα καὶ πάντοτε, καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ι΄
(Πράξ. 4, 1 - 22)

«Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαόν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ».

1. Οὔπω τῶν προτέρων ἀναπνεύσαντες πειρασμῶν, εὐθέως εἰς ἑτέρους ἐνέβησαν. Καὶ ὅρα πῶς οἰκονομεῖται τὰ πράγματα. Πρῶτον, ἐχλευάσθησαν πάντες ὁμοῦ (οὐ μικρὸς οὗτος ὁ πειρασμός)· δεύτερον, αὐτοὶ οἱ κορυφαῖοι εἰς κινδύνους ἐμπίπτουσιν. Οὐκ ἐφεξῆς δὲ τὰ δύο γέγονεν, οὐδὲ ἁπλῶς, ἀλλὰ πρότερον εὐδοκιμήσαντες ἐν ταῖς δημηγορίαις, καὶ θαῦμα ἐργασάμενοι μετὰ ταῦτα μέγα· οὕτω δὴ λοιπὸν μετὰ τὸ θαρρῆσαι, συγχωροῦντος τοῦ Θεοῦ, τῶν ἀγώνων ἅπτονται. Σὺ δέ μοι θέα πῶς, ἐπὶ τοῦ Χριστοῦ τὸν παραδώσοντα ζητοῦντες, ἐνταῦθα λοιπὸν αὐτοὶ τὰς χεῖρας ἐπιβάλλουσι, θρασύτεροι γεγονότες καὶ ἀναισχυντότεροι μετὰ τὸν σταυρόν· ἡ γὰρ ἁμαρτία, ἕως μὲν ἂν ὠδίνηται, ἔχει τινὰ αἰσχύνην, ἐπειδὰν δὲ τελεσθῇ, τότε ἀναισχυντοτέρους ποιεῖ τοὺς ἐργαζομένους αὐτήν. Τί δήποτε δὲ καὶ στρατηγὸς ἐφίσταται; «Ἐπέστησαν γὰρ αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ», φησίν. Ἵνα πάλιν δημόσιον ἔγκλημα περιθῶσι τοῖς γινομένοις, καὶ μὴ ὡς ἰδιωτικὸν ἐκδικῶσιν, ὅπερ πανταχοῦ σπουδάζουσι ποιεῖν. «Διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαόν». Διεπονοῦντο οὐ μόνον ὅτι ἐδίδασκον, ἀλλ' ὅτι οὐκ αὐτὸν μόνον ἔλεγον ἐγηγέρθαι, ἀλλὰ καὶ ἡμᾶς δι' ἐκεῖνον ἀνίστασθαι. «Διὰ τὸ διδάσκειν αὐτούς», φησί, «τὸν λαόν, καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τῶν νε-

1. Πράξ. 4, 1.

Ο Μ Ι Λ Ι Α Ι΄
(Πράξ. 4, 1 - 22)

«Ἐνῶ δὲ οἱ δύο Ἀπόστολοι μιλοῦσαν στὸ λαό, τοὺς πλησίασαν οἱ ἱερεῖς καὶ ὁ ἐπικεφαλῆς τῆς φρουρᾶς τοῦ ναοῦ»[1].

1. Ἐνῶ δὲν εἶχαν ἀκόμη ἀναπνεύσει ἀπὸ τοὺς προηγουμένους πειρασμούς, ἀμέσως περιέπεσαν σὲ ἄλλους. Καὶ βλέπε πῶς οἰκονομοῦνται τὰ πράγματα. Πρῶτα χλευάσθηκαν ὅλοι μαζὶ (δὲν εἶναι μικρὸς αὐτὸς ὁ πειρασμός)· δεύτερο οἱ ἴδιοι οἱ κορυφαῖοι περιπίπτουν σὲ κινδύνους. Δὲν ἔγιναν καὶ τὰ δύο στὴ συνέχεια, τὸ ἕνα κατόπιν τοῦ ἄλλου, ἀλλὰ ἀφοῦ προηγουμένως διακρίθηκαν στὶς ὁμιλίες καὶ ἀφοῦ ἐνήργησαν στὴ συνέχεια μέγα θαῦμα· ἔτσι λοιπὸν μετὰ τὸ θάρρος ποὺ πῆραν καὶ μετὰ τὴν παραχώρηση τοῦ Θεοῦ, ἀρχίζουν τοὺς ἀγῶνες. Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεχε, πῶς στὴν περίπτωση μὲν τοῦ Χριστοῦ ζητοῦν ἐκεῖνον ποὺ θὰ παραδώσει, ἐδῶ πλέον οἱ ἴδιοι ἐπιβάλουν τὰ χέρια, ἀφοῦ ἔγιναν μετὰ τὴ σταύρωση πιὸ θρασεῖς καὶ πιὸ ἀναίσχυντοι· καθόσον ἡ ἁμαρτία, ἐν ὅσω μὲν κυοφορεῖται, ἔχει κάποια ντροπή, ὅταν ὅμως πραγματοποιηθεῖ, τότε κάμνει πιὸ ἀναίσχυντους αὐτοὺς ποὺ τὴν διαπράττουν. Τί τέλος πάντων καὶ ὁ ἐπικεφαλῆς τοῦ ναοῦ παρίσταται; «Διότι», λέγει, «ἔφθασαν ξαφνικὰ πρὸς αὐτοὺς οἱ ἱερεῖς καὶ ὁ ἐπικεφαλῆς τοῦ ἱεροῦ». Γιὰ νὰ ἀποδώσουν πάλι δημόσιο ἔγκλημα στὰ γεγονότα καὶ νὰ μὴ τὸ ἐκδικάσουν σὰν ἰδιωτικό, πράγμα ποὺ παντοῦ προσπαθοῦν νὰ κάμνουν. «Καὶ στενοχωροῦνταν διότι οἱ Ἀπόστολοι δίδασκαν τὸ λαό». Στενοχωροῦνταν, ὄχι μόνο ἐπειδὴ δίδασκαν, ἀλλὰ καὶ ἐπειδὴ ἔλεγαν ὅτι ὄχι μόνο αὐτὸς ἀναστήθηκε, ἀλλὰ ὅτι καὶ ἐμεῖς ἐξ αἰτίας ἐκείνου ἀνασταινόμαστε. «Διότι δίδασκαν αὐτοί», λέγει, «τὸ λαὸ καὶ κήρυτταν τὴν ἀνάσταση τῶν νεκρῶν, ἀποδεικνύοντας αὐτὴν μὲ τὴν ἀνάσταση τοῦ Ἰησοῦ». Τόσο πολὺ ἰσχυρὴ

κρῶν». Οὕτως ἰσχυρὰ ἐγένετο ἡ ἀνάστασις, ὡς καὶ ἑτέροις αὐτὸν αἴτιον γενέσθαι ἀναστάσεως.

«Καὶ ἐπέβαλον αὐτοῖς τὰς χεῖρας, καὶ ἔθεντο αὐτοὺς εἰς τήρησιν εἰς τὴν αὔριον· ἦν γὰρ ἑσπέρα ἤδη». Ὢ τῆς ἀναισχυντίας! ἔτι τῶν προτέρων αἱμάτων γεμούσας τὰς χεῖρας εἶχον, καὶ οὐκ ἐνάρκων, ἀλλ' ἐπέβαλλον πάλιν αὐτὰς ἑτέροις αἵμασιν ὥστε πληρῶσαι· ἢ τάχα καὶ ἔδεισαν πλῆθος αὐτοὺς ἤδη γεγονότας, καὶ διὰ τοῦτο αὐτοῖς ὁ στρατηγὸς συνεπέστη· «ἦν», γάρ, φησίν, «ἑσπέρα ἤδη». Ἐκεῖνοι μὲν οὖν, βουλόμενοι αὐτοὺς μαλάξαι, τοῦτο ἐποίουν καὶ ἐφύλαττον, τοὺς δὲ Ἀποστόλους τολμηροτέρους μᾶλλον εἰργάζετο ἡ ἀναβολὴ τοῦ χρόνου. Καὶ ὅρα τίνες ἀπολαμβάνονται· οἱ κορυφαῖοι τῶν Ἀποστόλων, τοῖς ἄλλοις λοιπὸν ὑπόδειγμα γενόμενοι, ἵνα μηκέτι ζητῶσιν ἀλλήλους, μηδὲ τὸ κοινῇ εἶναι. «Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν, καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε». Τί τοῦτο; μὴ γὰρ εὐδοκιμήσαντας εἶδον; οὐχὶ δεθέντας ἐθεάσαντο; πῶς οὖν ἐπίστευσαν; Ὁρᾷς ἐνέργειαν φανεράν; Καὶ μὴν καὶ τοὺς ἤδη πιστεύσαντας ἔδει ἀσθενεστέρους γενέσθαι, ἀλλ' οὐκ ἐγένοντο· ἡ γὰρ Πέτρου δημηγορία εἰς τὸ βάθος τὰ σπέρματα κατέβαλε, καὶ τῆς διανοίας αὐτῶν ἥψατο. Οἱ δὲ διὰ τοῦτο ὠργίζοντο, ὅτι οὐδὲν αὐτοὺς ἐδεδίεσαν, ὅτι οὐδὲν τὰ παρόντα δεινὰ ἡγοῦντο· εἰ γὰρ ὁ σταυρωθείς, φησί, τοιαῦτα ἐργάζεται, καὶ τὸν χωλὸν ἀνέστησεν, οὐ φοβούμεθα οὐδὲ τούτους. Ἄρα καὶ τοῦτο τῆς τοῦ Θεοῦ οἰκονομίας γέγονεν. Ἐντεῦθεν πλείους οἱ νῦν πιστεύσαντες τῶν πρώτων ἐγένοντο. Ἐφ' ᾧ καὶ δείσαντες, διὰ τοῦτο, αὐτῶν ὁρώντων, ἔδησαν τοὺς Ἀποστόλους, ἵνα καὶ αὐτοὺς δειλοτέρους ἐργάσωνται.

ὑπῆρξε ἡ ἀνάσταση, ὥστε καὶ σὲ ἄλλους αὐτὸς νὰ γίνει αἴτιος ἀναστάσεως.

«Καὶ ἔβαλαν τὰ χέρια ἐπάνω τους καὶ τοὺς συνέλαβαν καὶ τοὺς ἔθεσαν ὑπὸ ἐπιτήρηση σὲ κρατητήριο γιὰ τὴν ἐπαύριο, γιατὶ ἦταν πιὰ ἑσπέρα». Πώ, πὼ ἀναισχυντία! Ἐνῶ εἶχαν ἀκόμη τὰ χέρια τους γεμάτα ἀπὸ τὰ προηγούμενα αἵματα, καὶ δὲν εἶχαν ἀναπαυθεῖ, ἐπέβαλλαν πάλι αὐτὰ σὲ ἄλλους γιὰ νὰ τὰ γεμίσουν μὲ ἄλλα αἵματα· ἢ ἴσως καὶ φοβήθηκαν, διότι ἤδη οἱ Ἀπόστολοι εἶχαν γίνει πολλοὶ μὲ τοὺς ὀπαδούς τους, καὶ γι' αὐτὸ καὶ ὁ ἐπικεφαλῆς τοῦ ναοῦ ἔφθασε ἐκεῖ μαζὶ μὲ αὐτούς. Διότι λέγει, «ἦταν πιὰ ἑσπέρα». Ἐκεῖνοι λοιπὸν θέλοντας νὰ ἐξευμενήσουν αὐτούς, ἔκαμναν αὐτὸ καὶ τοὺς φύλαγαν, τοὺς Ἀποστόλους ὅμως ἡ ἀναβολὴ τοῦ χρόνου τοὺς ἔκαμνε πιὸ τολμηρούς. Καὶ πρόσεχε, ποιοὶ συλλαμβάνονται· οἱ κορυφαῖοι ἀπὸ τοὺς Ἀποστόλους, γενόμενοι στὴ συνέχεια στοὺς ἄλλους ὑπόδειγμα, ὥστε πλέον νὰ μὴ ζητοῦν ὁ ἕνας τὸν ἄλλον, οὔτε νὰ εἶναι μαζί. «Πολλοὶ δὲ ἀπὸ ἐκείνους ποὺ ἄκουσαν τὸ λόγο τοῦ Πέτρου πίστεψαν καὶ ἔγινε ὁ ἀριθμὸς τῶν πιστῶν ἀνδρῶν, ἐκτὸς ἀπὸ τὶς γυναῖκες καὶ τὰ παιδιά, περίπου πέντε χιλιάδες». Τί σημαίνει αὐτό; μήπως δηλαδὴ εἶδαν ὅτι εὐδοκίμησαν; δὲν τοὺς εἶδαν δεμένους; πῶς λοιπὸν πίστεψαν; Βλέπεις φανερὴ ἐνέργεια τοῦ Θεοῦ; Καὶ ὅμως ἔπρεπε καὶ ἐκεῖνοι ποὺ εἶχαν πιὰ πιστέψει, νὰ γίνουν ἀσθενέστεροι στὴν πίστη, ἀλλὰ δὲν ἔγιναν· διότι ἡ ὁμιλία τοῦ Πέτρου ἔρριψε στὸ βάθος τὰ σπέρματα, καὶ ἄγγισε τὴ διάνοιά τους. Αὐτοὶ δὲ γι' αὐτὸ ὀργίζονταν, διότι δὲν τοὺς φοβήθηκαν καθόλου, καὶ δὲν ὑπελόγιζαν καθόλου τὰ παρόντα κακά· διότι, λέγει, ἂν αὐτὸς ποὺ σταυρώθηκε, κατόρθωσε τέτοια πράγματα καὶ τὸν χωλὸ ἔγειρε, δὲν φοβούμαστε οὔτε αὐτούς. Ἄρα καὶ αὐτὸ ἔγινε κατὰ θεία οἰκονομία. Ἀπὸ αὐτὸ ἔγιναν τώρα αὐτοὶ ποὺ πίστεψαν περισσότεροι ἀπὸ τοὺς πρώτους. Γι' αὐτὸ ἀκριβῶς, ἐπειδὴ φοβήθηκαν, βλέποντας αὐτά, ἔδεσαν τοὺς Ἀποστόλους, γιὰ νὰ τοὺς κάμουν περισσότερο δειλούς. Τὸ ἀντίθετο ὅμως

Τὸ ἐναντίον δὲ γέγονεν ἢ ἐκεῖνοι ἐβούλοντο. Διὰ τοῦτο καὶ οὐκ ἐπ' αὐτῶν αὐτοὺς ἐξετάζουσιν, ἀλλὰ κατ' ἰδίαν, ἵνα μὴ ἀπὸ τῆς παρρησίας οἱ ἀκούοντες κερδάνωσιν.

«Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους καὶ γραμματεῖς ἐν Ἰερουσαλήμ, καὶ Ἄνναν τὸν ἀρχιερέα, καὶ Καϊάφαν, καὶ Ἰωάννην καὶ Ἀλέξανδρον, καὶ ὅσοι ἐκ γένους ἦσαν ἀρχιερατικοῦ». Πάλιν συνέρχονται ἐπὶ τὸ αὐτό· οὐκέτι γὰρ μετὰ τῶν ἄλλων κακῶν τὰ τοῦ νόμου ἐφυλάττετο. Καὶ πάλιν δικαστηρίου σχῆμα τῷ πράγματι περιτιθέασιν, ἵνα ὑπεύθυνοι τῇ ἀδίκῳ γένωνται κρίσει. «Καὶ στήσαντες αὐτοὺς ἐν μέσῳ, ἐπυνθάνοντο· Ἐν ποίᾳ δυνάμει, ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ἡμεῖς;». Καὶ μὴν ᾔδεισαν· «διαπονούμενοι» γάρ, φησί, «διὰ τὸ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν». Διὰ δὴ τοῦτο καὶ κατέσχον αὐτούς. Τίνος οὖν ἕνεκεν ἐρωτῶσι; Προσδοκῶντες αὐτοὺς διὰ τὸ πλῆθος ἐξάρνους γενέσθαι, καὶ τὸ πᾶν διὰ τούτου νομίζοντες κατωρθωκέναι. Ὅρα γοῦν καὶ τί φασιν· «Ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς; Τότε Πέτρος, πλησθεὶς Πνεύματος ἁγίου, εἶπε πρὸς αὐτούς»· ἀναμνήσθητί μοι νῦν τῶν τοῦ Χριστοῦ λόγων, καὶ πῶς ἐξέβη, ὃ ἔλεγεν· «Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς εἰς συναγωγάς, μὴ μεριμνήσητε, πῶς ἢ τί λαλήσετε· τὸ γὰρ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν ἐστι τὸ λαλοῦν ἐν ὑμῖν». Ἄρα ἐνεργείας πολλῆς ἀπέλαβον. Τί δὲ καὶ λέγει, ἄκουσον· «Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ». Ὅρα φιλοσοφίαν ἀνδρός, καὶ πῶς, γέμων παρρησίας, οὐδὲν ὑβριστικὸν φθέγγεται, ἀλλὰ μετὰ τιμῆς. «Ἄρχοντες τοῦ λαοῦ», φησί, «καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ, εἰ

---

2. Ματθ. 10, 19 20.

ἔγινε ἀπὸ ὅ,τι ἐκεῖνοι ἤθελαν. Γι' αὐτὸ καὶ ἐξετάζουν αὐτοὺς ὄχι ἐνώπιον αὐτῶν, ἀλλὰ κατ' ἰδία, γιὰ νὰ μὴ ἀποκομίσουν ὠφέλεια οἱ ἀκούοντες ἀπὸ τὴν παρρησία τους.

«Κατὰ τὴν ἑπόμενη δὲ ἡμέρα συνέβηκε νὰ συναχθοῦν οἱ ἄρχοντες τῶν Ἰουδαίων καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς πού διέμεναν στὰ Ἱεροσόλυμα καὶ ὁ Ἄννας ὁ ἀρχιερέας καὶ ὁ Καϊάφας καὶ ὁ Ἰωάννης καὶ ὁ Ἀλέξανδρος καὶ ὅσοι κατάγονταν ἀπὸ οἰκογένεια ἀρχιερατική». Πάλι συγκεντρώνονται ἐπὶ τὸ αὐτό. Διότι μαζὶ μὲ τὰ ἄλλα κακὰ δὲν φυλάσσονταν πιὰ τὰ τοῦ νόμου. Καὶ πάλι δίνουν στό πράγμα μορφὴ δικαστηρίου, γιὰ νὰ γίνουν ὑπεύθυνοι κατὰ τὴν ἄδικη κρίση. «Καὶ ἀφοῦ διέταξαν τοὺς Ἀποστόλους νὰ σταθοῦν ὄρθιοι στὸ μέσο, ζητοῦσαν νὰ μάθουν μὲ ποιὰ δύναμη ἢ μὲ τὴν ἐπίκληση ποιοῦ ὀνόματος κάνατε σεῖς αὐτό»; Καὶ βέβαια τὸ γνώριζαν' «διότι στενοχωροῦνταν», λέγει, «πού οἱ Ἀπόστολοι δίδασκαν τὸ λαὸ καὶ κήρυτταν τὴν ἀνάσταση, ἀποδεικνύοντας αὐτὴν μὲ τὴν ἀνάσταση τοῦ Ἰησοῦ Χριστοῦ». Γι' αὐτὸ λοιπὸν καὶ συνέλαβαν αὐτούς. Γιὰ ποιὸ λόγο λοιπὸν τοὺς ἐρωτοῦν; Ἀναμένοντας αὐτοὺς νὰ ἀπαρνηθοῦν τὸ Χριστὸ ἐνώπιον τοῦ πλήθους καὶ νομίζοντας ὅτι μὲ αὐτὸ θὰ ἔχουν κατορθώσει τὸ πᾶν. Πρόσεχε λοιπὸν καὶ τί λέγουν; «Μὲ τὴν ἐπίκληση ποιοῦ ὀνόματος κάνατε σεῖς αὐτό;». «Τότε ὁ Πέτρος, ἀφοῦ φωτίσθηκε καὶ γέμισε ἡ ψυχή του ἀπὸ ἔμπνευση τοῦ ἁγίου Πνεύματος, εἶπε πρὸς αὐτούς»' Θυμήσου τώρα, σὲ παρακαλῶ, τοὺς λόγους τοῦ Χριστοῦ καὶ πῶς πραγματοποιήθηκε ἐκεῖνο πού ἔλεγε' «Ὅταν δὲ θὰ σᾶς παραδώσουν γιὰ νὰ ὁδηγηθεῖτε σὲ δικαστήρια ἢ στὶς συναγωγὲς μὴ φροντίσετε νὰ βρεῖτε, πῶς θὰ μιλήσετε ἢ τί θὰ πεῖτε' διότι τὸ Πνεῦμα τοῦ Πατέρα σας θὰ ὁμιλεῖ μὲ τὸ δικό σας στόμα»[2]. Ἄρα ἔλαβαν πολλὴ θεία ἐνέργεια. Ἄκουσε δὲ τί λέγει στὴ συνέχεια: «Ἄρχοντες τοῦ λαοῦ, καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ»' Πρόσεχε τὴ σύνεση τοῦ ἄνδρα καὶ πῶς, ἐνῶ εἶναι γεμάτος ἀπὸ παρρησία, δὲν λέγει κανένα λόγο ὑβριστικό, ἀλλὰ μὲ τιμὴ τοὺς ὁμιλεῖ' «Ἄρχοντες τοῦ λαοῦ», λέγει, «καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ, ἐφόσον

ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται, γνωστὸν ἔστω πᾶσιν ὑμῖν, καὶ παντὶ τῷ λαῷ Ἰσραήλ». Σφόδρα αὐτῶν γενναίως καθήψατο ἀπὸ τοῦ προοιμίου, καὶ διεκωδώνισε· μᾶλλον δὲ αὐτοὺς καὶ ἀνέμνησε τῶν προτέρων, ὅτι ἐπ' εὐεργεσίᾳ αὐτοὺς κρίνουσιν, ὡσανεὶ ἔλεγε· 'Μάλιστα μὲν ἐχρῆν στεφανοῦσθαι ἡμᾶς ἐπὶ τούτοις, καὶ ὡς εὐεργέτας ἀνακηρύττεσθαι, νῦν δὲ καὶ κρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, οὐχὶ ἐνδόξου· καί τι ἐν τούτῳ τίς ἂν ἐβάσκηνε;'.

2. Πολλῆς βαρύτητος ἡ ἐπαγγελία γέμει. Δείκνυται δὲ ἐντεῦθεν ὅτι αὐτοὶ ἑαυτοὺς περιπείρουσι τοῖς κακοῖς. «Ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου». Ὃ μάλιστα αὐτοὺς ἐλύπει, προστίθησι. Τοῦτο ἦν ἄρα, ὃ ἔλεγεν αὐτοῖς ὁ Χριστός· «Ὃ ἠκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ τῶν δωμάτων». «Ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής». Μὴ νομίσητε, φησίν, ὅτι κρύπτομεν τὴν πατρίδα ἢ τὸ πάθος. «Ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ αὐτὸς παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής». Πάλιν τὸ πάθος, πάλιν ἡ ἀνάστασις. «Αὐτός ἐστιν ὁ λίθος ὁ ἐξουθενωθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδομούντων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας». Ἀνέμνησεν αὐτοὺς καὶ ῥήματος ἱκανοῦ φοβῆσαι· «ὁ πεσὼν» γάρ, φησίν, «ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ λικμήσῃ αὐτόν». «Καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία». Ποίας οἴει πληγὰς αὐτοὺς λαμβάνειν ἐκ τούτων τῶν ῥημάτων; «Οὐ-

3. Ματθ. 10, 27.
4. Ψαλμ. 117, 22.
5. Ματθ. 21, 44.

ἐμεῖς σήμερα ἀνακρινόμαστε, ἐπειδὴ εὐεργετήσαμε ἄνθρωπο ἀσθενὴ καὶ μᾶς ἐρωτᾶτε μὲ ποιὸ τρόπο αὐτὸς θεραπεύθηκε, ἂς γίνει γνωστὸ σὲ ὅλους σας καὶ σὲ ὅλο τὸ λαὸ τοῦ Ἰσραήλ». Μὲ μεγάλη γενναιότητα κατηγόρησε αὐτοὺς ἀπὸ τὴν ἀρχὴ καὶ τοὺς συγκλόνισε. Μάλιστα δὲ ὑπενθύμισε σ' αὐτοὺς τὰ προηγούμενα, ὅτι τοὺς ἀνακρίνουν γιὰ εὐεργεσία, καὶ εἶναι σὰν νὰ ἔλεγε· Καὶ βέβαια θὰ ἔπρεπε νὰ μᾶς ἐπιβραβεύσετε γι' αὐτὰ καὶ νὰ μᾶς ἀνακηρύξετε σὰν εὐεργέτες, τώρα δὲ ἀνακρινόμαστε γιὰ εὐεργεσία ποὺ κάναμε σὲ ἄνθρωπο ἀσθενή, ὄχι σὲ πλούσιο, οὔτε σὲ ἰσχυρὸ ἡγεμόνα, οὔτε σὲ ἔνδοξο· καὶ ὅμως κάτι τέτοιο ποιὸς θὰ μποροῦσε νὰ τὸ φθονήσει;'.

2. Ἡ ὑπόσχεση εἶναι γεμάτη ἀπὸ μεγάλη βαρύτητα· ἀποδεικνύει δὲ μὲ αὐτὸ ὅτι οἱ ἴδιοι σουβλίζουν τοὺς ἑαυτούς τους μὲ τὰ κακά. «Ὅτι μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου». Αὐτὸ ποὺ περισσότερο τοὺς λυποῦσε, αὐτὸ προσθέτει. Αὐτὸ ἦταν συνεπῶς ἐκεῖνο, ποὺ τοὺς ἔλεγε ὁ Χριστός· «Ἐκεῖνο ποὺ ἀκούσατε μυστικὰ στὸ αὐτί, κηρύξατέ το ἀπὸ τὶς ταράτσες»[3]· «Ὅτι μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, τὸν ὁποῖο σεῖς σταυρώσατε καὶ τὸν ὁποῖο ὁ Θεὸς ἀνέστησε ἐκ νεκρῶν, μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος αὐτοῦ, ὁ χωλὸς αὐτὸς στέκεται ὄρθιος μπροστά σας ὑγιής». Μὴ νομίσητε, λέγει, ὅτι κρύβουμε τὴν πατρίδα ἢ τὸ πάθος του. «Αὐτὸν ποὺ σεῖς σταυρώσατε, καὶ τὸν ὁποῖο ὁ Θεὸς ἀνέστησε ἐκ νεκρῶν, μὲ τὴν ἐπίκληση τοῦ ὀνόματός του, αὐτὸς στέκεται μπροστό σας ὑγιής». Πάλι τὸ πάθος, πάλι ἡ ἀνάσταση. «Αὐτὸς εἶναι ὁ λίθος ποὺ περιφρονήθηκε ἀπὸ σᾶς τοὺς οἰκοδόμους, ποὺ ἔγινε ἀκρογωνιαῖος λίθος»[4]. Ὑπενθύμισε σ' αὐτοὺς καὶ λόγο ἱκανὸ νὰ τοὺς φοβήσει. Διότι λέγει, «Ἐκεῖνος ποὺ θὰ πέσει μὲ ἐχθρικὲς διαθέσεις ἐπάνω στὸ λίθο αὐτό, θὰ τσακισθεῖ· καὶ ἐπάνω σ' ἐκεῖνον ποὺ θὰ πέσει, θὰ τὸν σκορπίσει σὰν σκόνη»[5]. «Καὶ δὲν εἶναι δυνατὸν μὲ κανένα ἄλλον νὰ ἐπιτύχουμε τὴ σωτηρία». Ποιὰ νομίζεις πλήγματα δέχονται αὐτοὶ ἀπ' αὐτὰ τὰ λόγια; «Διότι δὲν ὑπάρχει

τε γὰρ ὄνομα ἕτερόν ἐστιν ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς». Ἐνταῦθα καὶ ὑψηλὰ φθέγγεται. Ὅταν γὰρ μὴ ᾖ τι κατορθῶσαι, ἀλλὰ παρρησίαν ἐπιδείξασθαι μόνον, οὐ φείδεται· οὐ γὰρ ἐδεδοίκει μὴ πλήξῃ· καὶ οὐκ εἶπεν ἁπλῶς, 'Δι' ἄλλου', ἀλλ' «οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία», δηλῶν ὅτι οὗτος ἡμᾶς σῶσαι δύναται, ὁμοῦ δὲ καὶ βουλόμενος αὐτοὺς φοβῆσαι.

«Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παρρησίαν καὶ Ἰωάννου, καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτούς, ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν». Καὶ πῶς, φησίν, οἱ ἀγράμματοι κατερρητόρευσαν καὶ αὐτῶν καὶ τῶν ἀρχιερέων; Ὅτι οὐκ αὐτοὶ ἐφθέγγοντο, ἀλλὰ δι' αὐτῶν ἡ τοῦ Πνεύματος χάρις. «Τόν τε ἄνθρωπον ὁρῶντες σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν». Πολλὴ ἡ τοῦ ἀνθρώπου παρρησία· καὶ δῆλον ἀπὸ τοῦ ἐν αὐτῷ τῷ δικαστηρίῳ μὴ καταλιπεῖν αὐτούς. Ὥστε, εἰ εἶπον ὅτι 'οὐχ οὕτως ἔχει', ἐκεῖνος ἂν κατηγόρησε. «Κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν, συνέβαλον πρὸς ἀλλήλους, λέγοντες· Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις;». Ὁρᾷς ἐν ἀπορίᾳ ὄντας, καὶ πάλιν τὸν φόβον τὸν ἀνθρώπινον πάντα ἐργαζόμενον. Ὥσπερ οὖν ἐπὶ τοῦ Χριστοῦ ἀνατρέψει τὸ γενόμενον οὐκ ἴσχυσαν, οὐδὲ συσκιάσαι, ἀλλά, κωλυόντων αὐτῶν, μᾶλλον ἐπεδίδου τὰ τῆς πίστεως, οὕτω καὶ νῦν γίνεται. «Τί ποιήσομεν;». Ὢ τῆς ἀνοίας! εἰ γευσαμένους τῶν ἀγώνων λοιπὸν καταπλήξεσθαι ἐνόμιζον, μᾶλλον δὲ εἰ, παρὰ τὴν ἀρχὴν μηδὲν ἰσχύσαντες, μετὰ τὴν τοσαύτην ῥητορείαν προσεδόκησάν τι ποιήσειν. Ὅσῳ οὖν ἐβούλοντο κωλύειν, τοσούτῳ μᾶλλον ηὔξετο τὰ πράγματα.

κάτω ἀπὸ τὸν οὐρανὸ καὶ ὅλη τὴ γῆ κανένα ἄλλο ὄνομα, ποὺ νὰ ἔχει δοθεῖ ἀπὸ τὸ Θεὸ στοὺς ἀνθρώπους μὲ τὸ ὁποῖο νὰ μποροῦμε νὰ σωθοῦμε. Ἐδῶ ὁμιλεῖ καὶ γιὰ ὑψηλὲς ἔννοιες. Διότι, ὅταν δὲν μπορεῖ νὰ κατορθώσει κάτι, ἀλλὰ μόνο παρρησία νὰ ἐπιδείξει, δὲν λυπεῖται· διότι δὲν φοβήθηκε νὰ τοὺς πληγώσει· καὶ δὲν εἶπε ἁπλῶς, 'μὲ ἄλλον', ἀλλ' «ὅτι δὲν εἶναι δυνατὴ ἡ σωτηρία μὲ κανένα ἄλλο», δηλώνοντας ὅτι αὐτὸς μπορεῖ νὰ μᾶς σώσει, συγχρόνως δὲ θέλοντας καὶ νὰ φοβήσει αὐτούς.

«Βλέποντας δὲ μὲ ἔκπληξη τὸ θάρρος τοῦ Πέτρου καὶ τοῦ Ἰωάννου καὶ ἀντιληφθέντες ὅτι ἦταν ἄνθρωποι ἀγράμματοι καὶ λαϊκοί, θαύμαζαν καὶ ἀνεγνώριζαν ὅτι αὐτοὶ ἦταν μαζὶ μὲ τὸν Ἰησοῦ». Καὶ πῶς, λέγει, οἱ ἀγράμματοι ἔγιναν ἀνώτεροι ρήτορες καὶ ἀπὸ αὐτοὺς καὶ ἀπὸ τοὺς ἀρχιερεῖς; Διότι δὲν μιλοῦσαν αὐτοί, ἀλλὰ μέσω αὐτῶν ἡ χάρη τοῦ ἁγίου Πνεύματος. «Ἐπειδὴ δὲ ἔβλεπαν τὸν ἄνθρωπο ποὺ εἶχε θεραπευθεῖ, νὰ στέκεται μαζί τους ὄρθιος, δὲν εἶχαν νὰ προβάλουν καμιὰ ἀντίρρηση». Μεγάλη ἦταν ἡ παρρησία τοῦ ἀνθρώπου· καὶ εἶναι φανερὸ αὐτὸ ἀπὸ τὸ ὅτι οὔτε στὸ δικαστήριο δὲν τοὺς ἐγκατέλειψε. Ὥστε, ἂν ἔλεγαν ὅτι δὲν ἔγινε ἔτσι, ἐκεῖνος θὰ τοὺς κατηγοροῦσε. «Ἀφοῦ δὲ διέταξαν αὐτοὺς νὰ ἐξέλθουν ἀπὸ τὴν αἴθουσα τοῦ δικαστηρίου, ἀντάλλαξαν μεταξύ τους σκέψεις, λέγοντας· τί θὰ κάνουμε μὲ αὐτοὺς τοὺς ἀνθρώπους;». Βλέπεις ὅτι βρίσκονται σὲ ἀπορία καὶ πάλι ὅτι ὁ ἀνθρώπινος φόβος τὰ πάντα κατορθώνει. Ὅπως ἀκριβῶς λοιπὸν στὴν περίπτωση τοῦ Χριστοῦ δὲν μποροῦσαν νὰ ἀνατρέψουν τὸ γενόμενο, οὔτε νὰ τὸ συσκοτίσουν, ἀλλ', ἐνῶ αὐτοὶ ἐμπόδιζαν, περισσότερο πρόοδευαν τὰ τῆς πίστεως, ἔτσι καὶ τώρα γίνεται. «Τί νὰ κάνουμε;». Πώ, πώ, ἀνοησία· ἂν καὶ δηλαδὴ γεύθηκαν πλέον τοὺς ἀγῶνες, νόμιζαν ὅτι θὰ τοὺς κατατρομάξουν, μᾶλλον δὲ ἐνῶ στὴν ἀρχὴ δὲν κατόρθωσαν τίποτε νὰ ἐπιτύχουν, μετὰ τὴ ρητορεία αὐτὴ ἀνέμεναν ὅτι κάτι θὰ κατορθώσουν. Ὅσο δηλαδὴ ἤθελαν νὰ ἐμποδίσουν, τόσο αὐξάνονταν τὰ πράγματα περισσότερο.

«Ὅτι μὲν γνωστὸν σημεῖον γέγονε δι' αὐτῶν, πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ φανερόν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι. Ἀλλ' ἵνα μὴ ἐπὶ πλέον διανεμηθῇ εἰς τὸν λαόν, ἀπειλῇ ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων. Καὶ καλέσαντες αὐτούς, παρήγγειλαν τὸ καθόλου μὴ φθέγγεσθαι, μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ». Ὅρα καὶ τούτων τὴν ἀναισχυντίαν, καὶ τῶν Ἀποστόλων τὴν φιλοσοφίαν. «Ὁ δὲ Πέτρος καὶ Ἰωάννης ἀποκριθέντες εἶπον πρὸς αὐτούς· Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε. Ἡμεῖς οὐ δυνάμεθα ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν. Οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν αὐτούς, μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσονται αὐτοὺς διὰ τὸν λαόν». Ἐπεστόμισαν αὐτοὺς τὰ σημεῖα, καὶ λοιπὸν οὐδὲ ἠνέσχοντο πληρῶσαι αὐτοὺς τὸν λόγον, ἀλλὰ μεταξὺ λέγοντας διέκοψαν σφόδρα ὑβριστικῶς. «Ὅτι πάντες ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῷ γεγονότι. Ἐτῶν γὰρ ἦν πλειόνων ὁ ἄνθρωπος τεσσαράκοντα, ἐφ' ὃν ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως». Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις;». Τὸ μὲν οὖν πρῶτον διὰ δόξαν ἀνθρωπίνην πάντα ἐποίουν, νυνὶ δὲ καὶ ἕτερον προσέκειτο, τὸ μὴ δόξαι μιαιοφόνους εἶναι, ὃ μετὰ ταῦτα ἔλεγον· «Βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου». «Ἀπειλῇ ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων». Ὢ τῆς ἀνοίας! Πεισθέντες ὅτι ἀνέστη, καὶ τοῦτο τεκμήριον λαβόν-

---

θ. Πράξ. 5, 28.

«Ότι μὲν ἔγινε μὲ αὐτοὺς πραγματικὸ θαῦμα εἶναι φανερό σὲ ὅλους τοὺς κατοίκους τῆς Ἰερουσαλήμ, καὶ δὲν μποροῦμε νὰ τὸ ἀρνηθοῦμε. Ἀλλὰ γιὰ νὰ μὴ διαδοθεῖ καὶ γνωστοποιηθεῖ περισσότερο στὸ λαὸ τὸ θαῦμα αὐτό, ἂς τοὺς ἀπειλήσουμε μὲ αὐστηρὴ ἀπειλὴ νὰ μὴ ὁμιλοῦν πλέον σὲ κανένα ἄνθρωπο γιὰ τὸ ὄνομα αὐτό. Καὶ ἀφοῦ τοὺς κάλεσαν ἐκ νέου νὰ μποῦν, τοὺς παράγγειλαν στὸ ἑξῆς νὰ μὴ ὁμιλοῦν καθόλου, οὔτε νὰ διδάσκουν γιὰ τὸ ὄνομα τοῦ Ἰησοῦ». Πρόσεχε καὶ αὐτῶν τὴν ἀναισχυντία, καὶ τὴ σύνεση τῶν Ἀποστόλων. «Ὁ Πέτρος ὅμως καὶ ὁ Ἰωάννης ἀποκρίθηκαν σ' αὐτοὺς καὶ εἶπαν· ἐὰν εἶναι δίκαιο ἐνώπιον τοῦ Θεοῦ νὰ ὑπακούομε περισσότερο σὲ σᾶς παρὰ στὸ Θεό, κρίνατε μόνοι σας. Διότι ἐμεῖς δὲν μποροῦμε, ἐκεῖνα τὰ ὁποῖα μὲ βεβαιότητα γνωρίζομε γιὰ τὸν Ἰησοῦ, καὶ ἀκούσαμε, νὰ μὴ τὰ κηρύττουμε. Αὐτοὶ ὅμως, ἀφοῦ πάλι τοὺς ἀπείλησαν, ὅτι θὰ τιμωρηθοῦν σκληρότερα, ἂν δὲν συμμορφωθοῦν πρὸς τὰ ὅσα τοὺς εἶπαν, τοὺς ἄφησαν ἐλεύθερους, ἐπειδὴ δὲν εὕρισκαν τρόπο νὰ τοὺς τιμωρήσουν, τοὺς ἀπέλυσαν ἐξ αἰτίας τοῦ λαοῦ. Ἀποστόμωσαν αὐτοὺς τὰ θαύματα καὶ δὲν ἀνέχονταν πλέον νὰ ὁλοκληρώσουν οἱ Ἀπόστολοι τὸ λόγο τους, ἀλλ', ἐνῶ μιλοῦσαν, τοὺς διέκοψαν ἀπότομα καὶ μὲ αὐθάδεια. «Διότι ὅλοι δόξαζαν τὸ Θεὸ γιὰ τὸ γεγονὸς αὐτό. Καθόσον ὁ ἄνθρωπος στὸν ὁποῖο εἶχε γίνει τὸ θαῦμα αὐτὸ τῆς θεραπείας ἦταν πάνω ἀπὸ σαράντα χρόνων». Ἀλλ' ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ λεχθέντα.

«Τί νὰ κάνουμε μὲ τοὺς ἀνθρώπους αὐτούς;». Στὴν ἀρχὴ λοιπὸν ὅλα τὰ ἔκαμναν γιὰ νὰ δοξασθοῦν ἀπὸ τοὺς ἀνθρώπους, τώρα ὅμως προστέθηκε καὶ ἄλλο, τὸ νὰ μὴ φανοῦν ὅτι εἶναι δολοφόνοι, πράγμα ποὺ ἔλεγαν στὴ συνέχεια· «Θέλετε νὰ ἐπιρρίψετε ἐπάνω μας τὴν εὐθύνη γιὰ τὸ φόνο τοῦ ἀνθρώπου αὐτοῦ»[*]. «Ἂς τοὺς ἀπειλήσουμε μὲ αὐστηρὴ ἀπειλὴ νὰ μὴ ὁμιλοῦν πλέον σὲ κανένα ἄνθρωπο, χρησιμοποιώντας τὸ ὄνομα αὐτό». Πώ, πὼ ἀνοησία! Ἐπειδὴ πείσθηκαν, ὅτι ἀναστήθηκε, καὶ ἔλαβαν αὐτὸ σὰν ἀπόδειξη, ὅτι εἶναι Θεός, νόμισαν ὅτι θὰ ὑποσκιάσουν μὲ

τὲς ὅτι ἔστι Θεός, τὸν ὑπὸ τοῦ θανάτου μὴ κατασχεθέντα ὑπὸ οἰκείων προσεδόκησαν μηχανημάτων συσκιάζεσθαι. Τί ταύτης τῆς ἀνοίας ἴσον; καὶ μὴ θαυμάσῃς ὅτι πάλιν ἀνηνύτοις ἐπιχειροῦσι· τοιοῦτον γὰρ ἡ πονηρία· οὐδὲν ὁρᾷ, ἀλλὰ πανταχοῦ θορυβεῖται. Ἐπηρεαζόμενοι γάρ, ὡς ἠπατημένοι οὕτω διέκειντο· ὅπερ ἐστὶν ἐπὶ τῶν προληφθέντων, ἐπὶ τῶν ἐμπαιχθέντων ἐπί τινι. Καὶ μὴν ἄνω καὶ κάτω διὰ τοῦτο ἔλεγον ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρε, καὶ ὅτι ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ οὗτος παρέστηκεν ὑγιής, δεικνύντες ὅτι ἀνέστη ὁ Ἰησοῦς. Ἄλλως δὲ καὶ αὐτοὶ ἀνάστασιν ἐνόμιζον, ψυχρὰν μὲν καὶ μειρακιώδη, ἐνόμιζον δὲ ὅμως· νῦν δὲ ἀπιστοῦσι καὶ θορυβοῦνται, τί ποιεῖν αὐτοῖς βουλόμενοι. Τοῦτο γοῦν μόνον οὐκ ἦν ἱκανὸν πεῖσαι αὐτοὺς μηδὲν αὐτοῖς ποιῆσαι, τὸ οὕτω μετὰ παρρησίας διαλέγεσθαι; Διὰ τί ἀπιστεῖς, εἰπέ μοι, ὦ Ἰουδαῖε; Τῷ γὰρ γενομένῳ σημείῳ προσέχειν ἔδει καὶ τοῖς λόγοις, οὐ τῇ τῶν πολλῶν πονηρίᾳ. Καὶ τί δήποτε οὐ παραδιδόασιν αὐτοὺς Ῥωμαίοις; Ἤδη ἦσαν διαβεβλημένοι πρὸς αὐτοὺς ἀπὸ τῶν περὶ τὸν Χριστόν, ὥστε μᾶλλον ἑαυτοὺς ἐκάκιζον, ὑπερτιθέμενοι τὴν αὐτῶν ἔνδειξιν. Ἐπὶ δὲ τοῦ Χριστοῦ οὐχ οὕτως, ἀλλ' ἐν μέσαις νυξὶ λαβόντες αὐτὸν εὐθέως ἀπήγαγον, καὶ οὐκ ἀνεβάλοντο, δεδοικότες σφόδρα τὸ πλῆθος. Περὶ δὲ τούτων οὔτε ἐθάρρουν, οὔτε μὴν ἄγουσιν αὐτοὺς πρὸς Πιλάτον, εὐλαβούμενοι καὶ ὑποπτεύοντες τὰ πρότερα, μὴ καὶ ὑπὲρ ἐκείνων ἐγκληθῶσιν. «Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους καὶ γραμματεῖς ἐν Ἱερουσαλήμ».

3. Πάλιν συνέδρια ἐν Ἱεροσολύμοις, καὶ ἐκεῖ τὰ αἵματα ἐκχεῖται, οὐδὲ τὴν πόλιν ᾐδέσθησαν. Ἄννας, φησί, καὶ Καϊάφας. Τούτου οὐδὲ τὴν δούλην ἐρωτῶσαν ἤνεγκεν ὁ Πέτρος, ἐπὶ τούτου ἠρνήσατο, ἑτέρου κατασχεθέντος. Νυνὶ δέ,

7. Ματθ. 26, 70.

τὶς δικές τους ραδιουργίες ἐκεῖνον ποὺ δὲν καταβλήθηκε ἀπὸ τὸ θάνατο. Τί μπορεῖ νὰ ἐξισωθεῖ μὲ αὐτὴ τὴν ἀνοησία; Καὶ μὴ ἀπορήσεις πάλι ἐπειδὴ ἐπιχειροῦν τὰ ἀκατόρθωτα· διότι τέτοια εἶναι ἡ κακία. Τίποτε δὲν προσέχει, ἀλλὰ παντοῦ θορυβεῖται. Διότι, ἐνῶ περιφρονοῦνταν, συμπεριφέρονταν ἔτσι σὰν νὰ εἶχαν ἀπατηθεῖ· ὅπως συμβαίνει μὲ ἐκείνους ποὺ ἔχουν προδικασθεῖ καὶ ἔχουν ἐμπαιχθεῖ σὲ κάτι. Καὶ πράγματι γι' αὐτὸ ἔλεγαν συνέχεια ὅτι ὁ Θεὸς ἀνέστησε αὐτόν, καὶ ὅτι μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος τοῦ Ἰησοῦ, αὐτὸς θεραπεύθηκε, γιὰ νὰ δείξουν ὅτι ἀναστήθηκε ὁ Ἰησοῦς. Ἄλλωστε δὲ καὶ αὐτοὶ πίστευαν σὲ ἀνάσταση, ψυχρὴ μὲν καὶ παιδαριώδη, ὁπωσδήποτε ὅμως πίστευαν, τώρα ὅμως ἀπιστοῦν καὶ θορυβοῦνται, σκεπτόμενοι τί νὰ κάνουν σ' αὐτούς. Αὐτὸ λοιπὸν μόνο, τὸ ὅτι δίδασκαν μὲ τόση παρρησία, δὲν ἦταν ἱκανὸ νὰ τοὺς πείσει, νὰ μὴ κάνουν τίποτε σ' αὐτούς; Πές μου, Ἰουδαῖε, γιατί ἀπιστεῖς; Διότι ἔπρεπε νὰ προσέχεις στὸ θαῦμα ποὺ ἔγινε καὶ στοὺς λόγους καὶ ὄχι στὴν κακία τῶν πολλῶν. Καὶ γιατί λοιπὸν δὲν παρέδωσαν αὐτοὺς στοὺς Ρωμαίους; Ἤδη ἦταν ἐκτεθειμένοι πρὸς αὐτοὺς ἀπὸ τὰ ὅσα συνέβησαν μὲ τὴν καταδίκη τοῦ Χριστοῦ, ὥστε ἦταν κυριευμένοι ἀπὸ περισσότερη δειλία καὶ ἀνέβαλλαν τὴν καταγγελία τους. Στὴν περίπτωση ὅμως τοῦ Χριστοῦ δὲν ἔγινε ἔτσι, ἀλλὰ μέσα στὰ μεσάνυχτα, ἀφοῦ τὸν συνέλαβαν, ἀμέσως τὸν ὁδήγησαν σὲ δίκη καὶ δὲν ἀνέβαλαν αὐτήν, ἐπειδὴ φοβήθηκαν πάρα πολὺ τὸ πλῆθος. Γι' αὐτοὺς ὅμως οὔτε θάρρος εἶχαν, οὔτε βέβαια τοὺς ὁδηγοῦν πρὸς τὸν Πιλάτο, φοβούμενοι καὶ σκεπτόμενοι τὰ προηγούμενα, μήπως καὶ γιὰ ἐκεῖνα κατηγορηθοῦν. «Κατὰ τὴν ἑπομένη δὲ ἡμέρα συνέβηκε νὰ συναχθοῦν στὴν Ἰερουσαλὴμ οἱ ἄρχοντες αὐτῶν, οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς».

3. Πάλι συνέδρια στὰ Ἰεροσόλυμα, καὶ ἐκεῖ τὰ αἵματα χύνονται καὶ δὲν σεβάσθηκαν τὴν πόλη. Ὁ Ἄννας λέγει καὶ ὁ Καϊάφας. Οὔτε τὴν δούλη αὐτοῦ, ὅταν τὸν ρωτοῦσε, μπόρεσε νὰ ὑποφέρει ὁ Πέτρος καὶ ἀρνήθηκε αὐτόν, ἐνῶ ἄλλος εἶχε συλληφθεῖ[7]. Τώρα ὅμως ἀφοῦ

εἰς μέσους αὐτοὺς παρελθών, ὅρα πῶς φθέγγεται. «Εἰ ἡμεῖς ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται, γνωστὸν ἔστω πᾶσιν ὑμῖν». Οἱ δέ, «ἐν ποίῳ ὀνόματι ἐποιήσατε», λέγουσι, «τοῦτο;». Τὸ ποῖον διὰ τί μὴ λέγεις, ἀλλὰ συσκιάζεις; «Ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς;». Καὶ μὴν ἔλεγεν ὅτι οὐχ ἡμεῖς ἐποιήσαμεν». Ὅρα σύνεσιν· οὐκ εἶπεν εὐθέως ὅτι 'ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ ἐποιήσαμεν', ἀλλὰ τί; «Ἐν τῷ ὀνόματι αὐτοῦ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής». Καὶ οὐ λέγει, 'Ἐγένετο ὑφ' ἡμῶν ὑγιής'. Καὶ πάλιν· «Εἰ ἡμεῖς ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς». Πλήττει αὐτούς, ὡς ἀεὶ τοιαῦτα ἐγκαλοῦντας, καὶ εὐεργεσίαις ἀνθρώπων μεμφομένους, καὶ ἀναμιμνήσκει τῶν προτέρων, ὅτι αὐτοὶ ἐπὶ φόνους τρέχουσι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπὶ εὐεργεσίαις ἐγκαλοῦσιν. Ὁρᾷς πῶς ἔχει τὸ βαρὺ καὶ τὰ ῥήματα; Ἐν τούτοις γὰρ ἐγυμνάζοντο, καὶ λοιπὸν ἀκατάπληκτοι ἦσαν. Ἐξ ὧν δείκνυσιν αὐτοῖς, ὅτι αὐτοὶ μᾶλλον κηρύττουσιν ἄκοντες τὸν Χριστόν, καὶ αὐτοὶ τὸ δόγμα ἐπαίρουσιν οἱ ἀνακρίνοντες καὶ ἐξετάζοντες.

«Ὃν ὑμεῖς ἐσταυρώσατε». Βαβαὶ τῆς παρρησίας! «Ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν». Τοῦτο πάλιν μείζονος ἐλευθεροστομίας. Ὃ τοίνυν λέγει, τοῦτό ἐστι· 'Μὴ νομίσητε ὅτι τὰ ἐπονείδιστα κρύπτομεν· τοσοῦτον ἀπέχομεν συσκιάσαι, ὅτι καὶ παρρησιαζόμεθα'.

Ταῦτα μονονουχὶ ὀνειδίζων αὐτοῖς, λέγει, καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ ἐνδιατρίβει τῷ λόγῳ, «οὗτός ἐστιν εἰργάσαντο, ἐπάγει· «Ὁ γενόμενος εἰς κεφαλὴν γωνίας»· τουτέστιν, 'ὁ φύσει τίμιος καὶ δόκιμος, οὗτος ἐξουθενήθη'. Οὕτως ἀπὸ τοῦ σημείου πολλὴν ἔσχον τὴν παρρησίαν. Σὺ δέ μοι σκόπει πῶς, ὅτε μὲν διδάξαι χρή, προφητείας παράγου-

εἰσῆλθε στὸ μέσο αὐτῶν, πρόσεχε πῶς ὁμιλεῖ. «Ἐπειδὴ ἐμεῖς σήμερα ἀνακρινόμαστε ποὺ εὐεργετήσαμε ἄνθρωπο ἀσθενὴ καὶ μᾶς ρωτᾶτε πῶς αὐτὸς θεραπεύθηκε, ἂς γίνει γνωστὸ σὲ ὅλους σας». Αὐτοὶ δὲ λέγουν, «Μὲ τὴν ἐπίκληση ποιοῦ ὀνόματος κάνατε σεῖς αὐτό;». Γιατί δὲν ἀναφέρεις τὸ ποιό, ἀλλὰ τὸ συγκαλύπτεις; «Στὸ ὄνομα ποιοῦ κάνατε σεῖς αὐτό;». Καὶ ὅμως ἔλεγε, «ὅτι δὲν τὸ κάναμε ἐμεῖς». Πρόσεχε σύνεση· δὲν εἶπε, ὅτι 'Στὸ ὄνομα τοῦ Ἰησοῦ κάναμε αὐτό', ἀλλὰ τί; «μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος τοῦ Ἰησοῦ, αὐτὸς στέκεται ὑγιὴς μπροστά σας». Καὶ δὲν λέγει, 'ὅτι ἔγινε ἀπὸ ἐμᾶς ὑγιής'. Καὶ πάλι· «Ἐπειδὴ ἐμεῖς ἀνακρινόμαστε ποὺ εὐεργετήσαμε ἄνθρωπο ἀσθενή». Κτυπᾶ αὐτούς, ἐπειδὴ πάντοτε κατηγοροῦν παρόμοια καὶ ἐπειδὴ μέμφονται εὐεργεσίες ἀνθρώπων, καὶ ὑπενθυμίζει τὰ προηγούμενα, ὅτι αὐτοὶ τρέχουν σὲ φόνους καὶ ὄχι μόνο αὐτό, ἀλλὰ κατηγοροῦν καὶ γιὰ τὶς εὐεργεσίες. Βλέπεις πῶς καὶ τὰ λόγια εἶναι σκληρά; Διότι μὲ αὐτὰ γυμνάζονταν καὶ ἦταν πλέον ἀτρόμητοι. Μὲ αὐτὰ τὰ λόγια ἀποδεικνύει, ὅτι αὐτοὶ παρὰ τὴ θέλησή τους περισσότερο κηρύττουν τὸ Χριστὸ καὶ οἱ ἴδιοι ποὺ ἀνακρίνουν καὶ ἐξετάζουν ἐξυψώνουν τὸ δόγμα.

«Αὐτὸν ποὺ σεῖς ἐσταυρώσατε». Πώ, πὼ παρρησία! «Αὐτὸν ὁ Θεὸς ἀνέστησε ἐκ νεκρῶν». Αὐτὸ εἶναι ἀκόμα μεγαλύτερης ἐλευθεροστομίας. Αὐτὸ λοιπὸν ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· 'Μὴ νομίσετε ὅτι ἀποκρύπτομε τὰ ἀτιμωτικά'· τόσο πολὺ ἀπέχομε ἀπὸ τοῦ νὰ τὰ συγκαλύψουμε, ὥστε μὲ θάρρος νὰ τὰ παρουσιάζουμε'.

Αὐτὰ τὰ λέγει, σὰν νὰ τοὺς κατηγορεῖ σχεδόν, καὶ ὄχι μόνο ἁπλά, ἀλλὰ καὶ παρατείνοντας τὸ λόγο καὶ λέγοντας· «Αὐτὸς εἶναι ὁ λίθος, ποὺ περιφρονήθηκε ἀπὸ σᾶς τοὺς οἰκοδομοῦντες». Ἔπειτα, γιὰ ν' ἀποδείξει ὅτι αὐτὸ τὸ ἔκαμαν σὲ αὐτὸν ποὺ ἦταν ἐνάρετος, προσθέτει· «αὐτὸς ὁ λίθος ἔγινε ἀκρογωνιαῖος»· δηλαδή, 'αὐτὸς ποὺ ἦταν ἐκ φύσεως τίμιος καὶ ἐξαίρετος αὐτὸς περιφρονήθηκε'. Τόσο μεγάλη παρρησία ἀπέκτησαν. Σὺ ὅμως, πρόσεχε, παρακαλῶ, πῶς, ὅταν μὲν χρειάζεται νὰ διδάξουν, ἀνα-

σι πολλάς, ὅτε δὲ παρρησιάσθαι, μόνον ἀποφαίνονται. «Οὔτε» γάρ, φησίν, «ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐ ᾧ δεῖ σωθῆναι ἡμᾶς»· ὅτι πᾶσιν ἀνθρώποις καὶ οὐκ αὐτοῖς μόνοις ἐδόθη τὸ ὄνομα. Πρὸς τοῦτο καὶ αὐτοὺς ἐπάγεται μάρτυρας. Ἐπειδὴ γὰρ ἔλεγον, «Ἐν ποίῳ ὀνόματι ἐποιήσατε;», «εἰς τὸ τοῦ Χριστοῦ», φησίν, «ἄλλο οὐκ ἔστιν ὄνομα». Πῶς οὖν ἐρωτᾶτε; Οὕτω πανταχοῦ τοῦτο δῆλόν ἐστιν. «Οὔτε γὰρ ὄνομα ἕτερόν ἐστιν ὑπὸ τὸν οὐρανόν», φησίν, «ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς». Ταῦτα ψυχῆς κατεγνωκυίας τῆς ζωῆς τῆς παρούσης ἐστίν. Ἡ πολλὴ παρρησία δείκνυσι τοῦτο. Ἐνταῦθα δῆλον ποιεῖ ὅτι, καὶ ὅτε ταπεινὰ ἐφθέγγετο περὶ τοῦ Χριστοῦ, οὐ δεδοικώς, ἀλλὰ συγκαταβαίνων· ἐπειδὴ δὲ νῦν καιρὸς ἦν, οὕτω φθέγγεται ὑψηλά, ὡς αὐτῷ τούτῳ καὶ τοὺς ἀκούοντας ἅπαντας καταπλῆξαι.

Ἰδοὺ καὶ ἄλλο σημεῖον οὐκ ἔλαττον τοῦ προτέρου. «Ἐπεγίνωσκόν τε αὐτούς», φησίν, «ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν». Οὐχ ἁπλῶς τοῦτο τέθεικε τὸ χωρίον ὁ Εὐαγγελιστής, ἀλλά, ἵνα δηλώσῃ καὶ ποῦ ἦσαν. Ἐν τῷ πάθει, φησίν· οὗτοι γὰρ μόνοι τότε συνῆσαν, ὅτε καὶ ἑώρων αὐτοὺς ταπεινούς, συνεσταλμένους· ὃ καὶ μάλιστα αὐτοὺς ἐξένιζεν, ἡ ἀθρόα μεταβολή· καὶ γὰρ ἐκεῖ ἦσαν οἱ περὶ Ἄνναν καὶ Καϊάφαν, καὶ περειστήκεσαν αὐτοῖς καὶ οὗτοι· νῦν δὲ ἐξέπληττεν αὐτοὺς ἡ σφόδρα παρρησία· οὐ γὰρ τοῖς ῥήμασι μόνον ἐδείκνυντο ἀφροντιστοῦντες περὶ τοιούτων κρινόμενοι, καὶ ὑπὲρ τῶν ἐσχάτων ἐπηρτημένου τοῦ κινδύνου, ἀλλὰ καὶ τῷ σχήματι, καὶ τῇ φωνῇ, καὶ τῷ βλέμματι, καὶ πᾶσιν ἁπλῶς τὴν παρρησίαν ἀνέφαινον

7α. Δηλαδὴ ὁ Πέτρος καὶ ὁ Ἰωάννης.

φέρουν πολλὲς προφητεῖες, ὅταν δὲ χρειάζεται νὰ δείξουν θάρρος, ἐκφράζουν μόνο τὴ γνώμη τους. «Διότι», λέγει, δὲν ὑπάρχει κάτω ἀπὸ τὸν οὐρανὸ κανένα ἄλλο ὄνομα δοσμένο ἀπὸ τὸ Θεὸ στοὺς ἀνθρώπους, ποὺ νὰ μποροῦμε νὰ σωθοῦμε»˙ διότι τὸ ὄνομα δόθηκε σὲ ὅλους τοὺς ἀνθρώπους καὶ ὄχι μόνο σ᾽ αὐτούς. Γι᾽ αὐτὸ παρουσιάζει καὶ αὐτοὺς μάρτυρες. Διότι, ἐπειδὴ ἔλεγαν, «μὲ τὴν ἐπίκληση ποιοῦ ὀνόματος κάνατε αὐτό;», λέγει, «μὲ τὸ ὄνομα τοῦ Χριστοῦ˙ ἄλλο ὄνομα δὲν ὑπάρχει». Πῶς λοιπὸν ἐρωτᾶτε; Τόσο πολὺ αὐτὸ εἶναι παντοῦ φανερό˙ «Διότι δὲν ὑπάρχει», λέγει, «ἄλλο ὄνομα κάτω ἀπὸ τὸν οὐρανὸ δοσμένο ἀπὸ τὸ Θεὸ στοὺς ἀνθρώπους μὲ τὸ ὁποῖο νὰ μποροῦμε νὰ σωθοῦμε». Αὐτὰ εἶναι λόγια ψυχῆς ποὺ ἔχει περιφρονήσει τὴν παροῦσα ζωή. Αὐτὸ τὸ ἀποδεικνύει ἡ μεγάλη παρρησία. Ἐδῶ φανερώνει, ὅτι καὶ ὅταν μιλοῦσε μὲ ταπεινὰ λόγια γιὰ τὸ Χριστό, δὲν τὰ ἔκαμνε ἀπὸ φόβο, ἀλλὰ δείχνοντας συγκατάβαση˙ ἐπειδὴ ὅμως τώρα ἦταν καιρὸς κατάλληλος, τόσο πολὺ ὑψηλὰ ὁμιλεῖ, ὥστε μὲ αὐτὸ ἀκριβῶς καὶ ὅλους τοὺς ἀκροατὲς νὰ καταπλήξει.

Νὰ καὶ ἄλλη ἀπόδειξη, ὄχι μικρότερη ἀπὸ τὴν προηγούμενη. «Καὶ γνώριζαν πολὺ καλὰ ὅτι αὐτοὶ ἦταν μαζὶ μὲ τὸν Ἰησοῦ». Δὲν ἀναφέρει αὐτὸ τὸ χωρίο στὴ τύχη ὁ εὐαγγελιστής, ἀλλὰ γιὰ νὰ φανερώσει καὶ ποῦ ἦταν. Στὸ πάθος, λέγει. Διότι αὐτοὶ μόνο τότε παραβρίσκονταν[7α], ὅταν ἔβλεπαν αὐτοὺς ταπεινοὺς καὶ συνεσταλμένους, πράγμα ποὺ τοὺς παραξένευε πάρα πολύ, ἡ ἀπότομη δηλαδὴ μεταβολή˙ καθόσον ἐκεῖ ἦταν οἱ ἄνθρωποι τοῦ περιβάλλοντος τοῦ Ἄννα καὶ Καϊάφα καὶ παραβρισκόταν καὶ αὐτὸς ἐκεῖ μαζὶ μὲ αὐτούς˙ τώρα ὅμως τοὺς ἐξέπληττε ἡ μεγάλη παρρησία τους˙ διότι δὲν φαίνονταν ὅτι ἀδιαφοροῦσαν μόνο μὲ τὰ λόγια τους, γιὰ τὸ ὅτι κρίνονταν γιὰ τέτοια πράγματα καὶ γιὰ τὸν ἔσχατο κίνδυνο ποὺ κρεμόταν ἀπὸ πάνω τους, ἀλλὰ καὶ μὲ τὴ στάση τους, καὶ τὸν τόνο τῆς φωνῆς τους καὶ μὲ τὸ βλέμμα τους καὶ γενικὰ μὲ ὅλα ὅσα ἔλεγαν, φανέρωναν τὴν παρρησία

ἐπὶ τοῦ λαοῦ, ἐξ ὧν ἐφθέγγοντο. Ἐθαύμαζον δὲ ἴσως ὅτι ἄνθρωποι καὶ ἀγράμματοί εἰσι καὶ ἰδιῶται· ἐπειδὴ ἔνι ἀγράμματόν τινα εἶναι, μὴ μέντοι καὶ ἰδιώτην· ἢ ἰδιώτην μέν, οὐκ ἀγράμματον δέ. Δείκνυσιν ἐνταῦθα ὅτι τὰ δύο συνῆλθε. «Καταλαβόμενοι», φησί. Πόθεν; Ἀφ' ὧν ἔλεγον. Οὐ μακροὺς κατατείνει λόγους, ἀλλὰ καὶ ἀπ' αὐτῆς τῆς ἀπαγγελίας καὶ τῆς συνθήκης τὴν παρρησίαν δηλοῖ, ὥστε ἐπέσκηψαν ἂν αὐτοῖς, εἰ μὴ σὺν αὐτοῖς ἦν ὁ ἄνθρωπος. «Ἐπεγίνωσκόν τε αὐτούς», φησίν, «ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν». Ὅπερ αὐτοὺς ἐποίει πιστεῦσαι, ὅτι παρ' ἐκείνου ταῦτα ᾔδεσαν, καὶ ὡς ἐκείνου μαθηταὶ πάντα ἔπραττον. Οὐχ ἧττον δὲ τῆς τούτων φωνῆς ἠφίει φωνὴν τὸ θαῦμα καὶ τὸ σημεῖον· ὃ δὴ καὶ μάλιστα ἐνέφραξεν αὐτῶν τὰ στόματα.

«Εἰ δίκαιόν ἐστι», φησίν, «ἐνώπιον τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε». Ὅτε ὁ φόβος ὑπειμήθη μᾶλλον, (τὸ γὰρ παραγγεῖλαι οὐδὲν ἦν ἕτερον ἢ ἀπολυθῆναι), τότε καὶ ἐπιεικέστερον φθέγγονται· οὕτω μακρὰν θράσους ἦσαν. «Ὅτι γνωστὸν σημεῖον γέγονεν οὐ δυνάμεθα ἀρνήσασθαι». Ὥστε ἠρνήσαντο ἄν, εἰ μὴ τοῦτο ἦν, εἰ μὴ ἡ τῶν πολλῶν μαρτυρία ἦν. Καὶ μὴν πᾶσι κατάδηλον ἦν. Ἀλλὰ τοιοῦτον ἡ κακία, θρασὺ καὶ ἰταμόν. «Ἀπειλῇ ἀπειλησώμεθα». Τί λέγεις; ἀπειλῇ προσδοκᾶτε στήσειν τὸ κήρυγμα; Οὕτω πανταχοῦ αἱ ἀρχαὶ χαλεπαί τε καὶ δύσκολοι. Τὸν διδάσκαλον ἀνείλετε, καὶ οὐκ ἐστήσατε, καὶ νῦν, ἂν ἀπειλήσητε, προσδοκᾶτε ἀποστήσειν ἡμᾶς; Ὁ δεσμὸς οὐκ ἔπεισεν ὑφειμένως διαλεχθῆναι, καὶ ὑμεῖς πείσετε; Πάνυ γε, τοὺς οὐδὲν ὑμᾶς ἡγουμένους καὶ ἀπειλοῦντας. «Εἰ δίκαιόν ἐστι», φησίν, «ἐ-

τους στὸ λαό. Θαύμαζαν δὲ ἴσως, διότι ἦταν ἄνθρωποι ἀγράμματοι καὶ λαϊκοί· ἐπειδὴ εἶναι δυνατὸν νὰ εἶναι κάποιος ἀγράμματος, ὄχι ὅμως καὶ λαϊκός, ἢ λαϊκὸς μέν, ὄχι ὅμως ἀγράμματος. Ἀποδεικνύει ὅτι ἐδῶ καὶ τὰ δύο συνυπῆρχαν. «Τὸ ἀντιλήφθηκαν», λέγει. Ἀπὸ ποῦ; Ἀπὸ ἐκεῖνα ποὺ ἔλεγαν. Δὲν μακρηγορεῖ, ἀλλὰ καὶ ἀπὸ αὐτὴ τὴν ἀπαγγελία καὶ τὴν ὅλη κατάσταση, φανερώνει τὴν παρρησία· ὥστε θὰ τοὺς κατηγοροῦσαν, ἐὰν δὲν ἦταν πλησίον τους καὶ ὁ θεραπευθεὶς ἄνθρωπος. «Γνώριζαν πολὺ καλά», λέγει, «ὅτι ἦσαν μαζὶ μὲ τὸν Ἰησοῦ». Γεγονὸς ποὺ τοὺς ἔκαμε νὰ πιστεύσουν, ὅτι ἀπὸ ἐκεῖνον γνώριζαν αὐτὰ καὶ ὅτι τὰ πάντα ἔπρατταν σὰν μαθητὲς ἐκείνου. Ὄχι δὲ λιγώτερο ἀπὸ τὴ φωνὴ αὐτῶν, κραύγαζε τὸ θαῦμα καὶ τὸ σημεῖο, τὸ ὁποῖο πρό πάντων καὶ ἔφραζε τὰ στόματά τους.

«Ἂν εἶναι δίκαιο», λέγει, «ἐνώπιον τοῦ Θεοῦ νὰ ὑπακούομε περισσότερον σὲ σᾶς παρὰ στὸ Θεό, κρίνατε μόνοι σας». Ὅταν ὁ φόβος μετριάσθηκε περισσότερο (διότι τὸ νὰ τοὺς παραγγείλουν νὰ συμμορφωθοῦν μὲ τὶς ἐντολές τους δὲν εἶναι τίποτε ἄλλο, παρὰ νὰ τοὺς ἀπολύσουν), τότε καὶ ἐπιεικέστερα ὁμιλοῦν. Τόσο πολὺ μακριὰ ἦταν ἀπὸ τὸ θράσος. «Τὸ ὅτι μὲν ἔγινε θαῦμα, ποὺ εἶναι γνωστό, δὲν μποροῦμε νὰ τὸ ἀρνηθοῦμε». Ὥστε θὰ τὸ ἀρνιοῦνταν, ἂν δὲν ὑπῆρχε αὐτό, δηλαδὴ ἐὰν δὲν ὑπῆρχε ἡ μαρτυρία τῶν πολλῶν. Καὶ πράγματι ἦταν ὁλοφάνερο σὲ ὅλους. Ἀλλὰ τέτοιο πράγμα εἶναι ἡ κακία, θρασὺ καὶ ἀδιάντροπο. «Θὰ τοὺς ἀπειλήσουμε πολὺ αὐστηρά». Τί λέγεις; μὲ ἀπειλὴ περιμένετε νὰ σταματήσετε τὸ κήρυγμα; Μὲ τὸν τρόπο αὐτὸ οἱ ἐξουσίες εἶναι φοβερὲς καὶ δύσκολες. Τὸν διδάσκαλο τὸν φονεύσατε καὶ δὲν σταματήσατε τὸ κήρυγμα, καὶ τώρα, ἂν μᾶς ἀπειλήσετε, περιμένετε νὰ ἐγκαταλείψουμε αὐτό; Ἡ φυλάκιση δὲν μᾶς ἔπεισε νὰ συνομιλήσουμε μαζί σας πιὸ μετριασμένα, καὶ θὰ μᾶς πείσετε σεῖς; Πολὺ περισσότερο βέβαια δὲν ὑπακούουμε σ' αὐτοὺς ποὺ δὲν μᾶς ὑπολογίζουν καθόλου καὶ μᾶς ἀπειλοῦν· «Ἂν εἶναι δίκαιο», λέγει «ἐνώπιον τοῦ

νώπιον τοῦ Θεοῦ, ὑμῶν μᾶλλον ἀκούειν ἢ τοῦ Θεοῦ». Ἐνταῦθα τοῦ Θεοῦ φασιν ἀντὶ τοῦ Χριστοῦ. Εἶδες πῶς νῦν ἐξέβη ὃ εἶπεν αὐτοῖς· «Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· μὴ φοβηθῆτε αὐτούς»;

4. Εἶτα πάλιν τὴν ἀνάστασιν βεβαιοῦσι δι' ὧν ἐπάγουσι, λέγοντες· «Ἡμεῖς οὐ δυνάμεθα μὴ λαλεῖν ἃ εἴδομεν καὶ ἠκούσαμεν». Ὥστε ἡμεῖς μὲν ἀξιόπιστοί ἐσμεν μάρτυρες, ὑμεῖς δὲ προσαπειλοῦντες, εἰκῇ πάλιν ἀπειλεῖτε. Δέον οὖν μεταβάλλεσθαι ἐφ' οἷς ὁ λαὸς ἐδόξαζε τὸν Θεόν, οἱ δὲ καὶ ἀνελεῖν ἀπειλοῦσιν· οὕτω θεομάχοι ἦσαν. Οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν αὐτούς. Ἐντεῦθεν περιφανέστεροι καὶ λαμπρότεροι ἐγένοντο· «ἡ γὰρ δύναμίς μου», φησίν, «ἐν ἀσθενείᾳ τελειοῦται». Ἤδη ἐμαρτύρησαν οὗτοι, πρὸς πάντα παραταξάμενοι. Τί ἐστιν, «Ἡμεῖς οὐ δυνάμεθα, ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν»; Εἰ ψευδῆ, φησίν, ἃ λέγομεν, ἐπιλαβοῦ, εἰ δὲ ἀληθῆ, τί κωλύεις; Τοιοῦτον ἡ φιλοσοφία. Ἐκεῖνοι ἐν ἀπορίᾳ, οὗτοι ἐν εὐφροσύνῃ· ἐκεῖνοι πολλῆς γέμοντες αἰσχύνης, οὗτοι μετὰ παρρησίας πάντα πράττοντες· ἐκεῖνοι ἐν τῷ δεδοικέναι, οὗτοι ἐν τῷ θαρρεῖν. Τίνες γὰρ ἦσαν, εἰπέ μοι, οἱ φοβούμενοι; οἱ λέγοντες, «Ἵνα μὴ ἐπὶ πλέον διανεμηθῇ εἰς τὸν λαόν», ἢ οἱ λέγοντες, «Οὐ δυνάμεθα, ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν»; Καὶ ἐν ἡδονῇ, καὶ ἐν παρρησίᾳ, καὶ ἐν εὐφροσύνῃ μείζονι πάντων οὗτοι, ἐκεῖνοι ἐν ἀθυμίᾳ, ἐν αἰσχύνῃ, ἐν φόβῳ· τὸν γὰρ λαὸν ἐδεδοίκεσαν. Ἃ ἐβούλοντο, ἐφθέγξαντο οὗτοι, ἐκεῖνοι, ἃ ἐβούλοντο, οὐκ ἐποίησαν. Τίνες ἦσαν ἐν δεσμοῖς καὶ ἐν κινδύνοις; οὐχὶ οὗτοι μάλιστα.

Ἐχώμεθα τοίνυν τῆς ἀρετῆς· μὴ μέχρι τέρψεως τὰ λεγόμενα ἔστω, μηδὲ μέχρι παραμυθίας τινός. Οὐκ ἔστι τὸ

---

8. Ματθ. 10, 16 - 26.
9. Β΄ Κορινθ. 12, 9.

Θεοῦ, νὰ υπακούουμε περισσότερο σὲ σᾶς παρὰ στὸ Θεό». Ἐδῶ λέγει τοῦ Θεοῦ ἀντὶ τοῦ Χριστοῦ. Εἶδες πῶς τώρα ἐπαλήθευσε ἐκεῖνο ποὺ εἶπε σ' αὐτούς, «Νὰ ἐγὼ σᾶς ἀποστέλλω σὰν πρόβατα ἥμερα ἀνάμεσα σὲ λύκους· μὴ φοβηθεῖτε αὐτούς»[8];

4. Ἔπειτα πάλι ἐπιβεβαιώνουν τὴν ἀνάσταση μὲ τὰ ὅσα προσθέτουν, λέγοντας· «Δὲν μποροῦμε ἐμεῖς νὰ μὴ κηρύττουμε ἐκεῖνα ποὺ εἴδαμε καὶ ἀκούσαμε»· Ὥστε ἐμεῖς μὲν εἴμαστε ἀξιόπιστοι μάρτυρες, σεῖς δὲ καὶ μὲ τὸ νὰ μᾶς ἀπειλεῖτε ἀκόμη, μάτια πάλι μᾶς ἀπειλεῖτε. Ἔπρεπε βέβαια νὰ μεταβάλλονται μὲ ἐκεῖνα, ποὺ ὁ λαὸς δόξαζε τὸ Θεό, αὐτοὶ δὲ ἀπειλοῦν καὶ νὰ φονεύσουν· τόσο πολὺ θεομάχοι ἦταν. Αὐτοὶ δέ, ἀφοῦ τοὺς ἀπείλησαν καὶ πάλι, τοὺς ἄφησαν ἐλεύθερους. Ἀπὸ αὐτὸ ἔγιναν ἐνδοξότεροι καὶ λαμπρότεροι. «Διότι ἡ δύναμή μου», λέγει, «ἀναδεικνύεται τέλεια, ὅταν ὁ ἄνθρωπος εἶναι ἀνίσχυρος»[9]. Ἤδη τὸ ἐπιβεβαίωσαν αὐτοί, μὲ τὸ νὰ ἀντιταχθοῦν πρὸς ὁποιονδήποτε. Τί σημαίνει, «Ἐμεῖς δὲν μποροῦμε, αὐτὰ ποὺ εἴδαμε καὶ ἀκούσαμε, νὰ μὴ τὰ κηρύττουμε»; Ἂν εἶναι, λέγει, ψέματα αὐτὰ ποὺ λέμε, νὰ μᾶς σταματήσεις, ἐὰν ὅμως εἶναι ἀληθινά, γιατὶ μᾶς ἐμποδίζεις; Τέτοια εἶναι ἡ εὐσέβεια. Ἐκεῖνοι μὲν βρίσκονται σὲ ἀπορία, αὐτοὶ σὲ εὐφροσύνη· ἐκεῖνοι εἶναι γεμάτοι ἀπὸ πολλὴ ντροπή, αὐτοὶ μὲ παρρησία πράττουν ὅλα· ἐκεῖνοι εἶναι κυριευμένοι ἀπὸ φόβο, αὐτοὶ δὲ μὲ θάρρος. Διότι πές μου, ποιοὶ ἦταν οἱ φοβούμενοι; ἐκεῖνοι ποὺ λέγουν «Γιὰ νὰ μὴ διαδοθεῖ περισσότερο στὸ λαό», ἢ ἐκεῖνοι ποὺ λέγουν, «Δὲν μποροῦμε αὐτὰ ποὺ εἴδαμε καὶ ἀκούσαμε, νὰ μὴ τὰ κηρύττουμε»; Αὐτοὶ καὶ εὐχαρίστηση ἔνοιωθαν καὶ παρρησία καὶ εὐφροσύνη μεγαλύτερη ἀπὸ ὅλους, ἐνῶ ἐκεῖνοι ἦταν κυριευμένοι ἀπὸ λύπη, ἀδιαντροπιὰ καὶ φόβο· διότι εἶχαν φοβηθεῖ τὸ λαό. Αὐτοὶ εἶπαν αὐτὰ ποὺ ἤθελαν, ἐνῶ ἐκεῖνοι δὲν ἔκαναν αὐτὰ ποὺ ἤθελαν. Ποιοὶ ἦταν μέσα σὲ δεσμὰ καὶ σὲ κινδύνους; δὲν ἦταν πιὸ πολὺ αὐτοί;

Ἂς ἀσκοῦμε λοιπὸν τὴν ἀρετή· τὰ λόγια αὐτὰ ἂς μὴ σταματοῦν μόνο στὴ τέρψη, οὔτε στὸ νὰ παρέχουν κά-

θέατρον τοῦτο, ἀγαπητέ, κιθαρῳδῶν, οὐδὲ τραγῳδῶν, ἔνθα μέχρι τῆς τέρψεως ὁ καρπός, καὶ τῆς ἡμέρας παραδραμούσης παρῆλθεν ἡ τέρψις. Καὶ εἴθε ἦν τέρψις μόνη, καὶ μὴ καὶ βλάβη μετὰ τῆς τέρψεως! ἀλλ' ὅμως ἄπεισιν ἐκεῖθεν οἴκαδε ἕκαστος, καθάπερ ἀπό τινος λύμης ἀναμαξάμενος πολλὰ τῶν αὐτόθι· καὶ ὁ μὲν νέος ἀπολαβών τινα τῶν σατανικῶν ᾀσμάτων μέλη, ὅσα ἴσχυσε τῇ μνήμῃ καταθέσθαι, συνεχῶς ἐπὶ τῆς οἰκίας ᾄδει, ὁ δὲ πρεσβύτης, ἅτε δὴ σεμνότερος, τοῦτο μὲν οὐ ποιεῖ, τῶν δὲ ἐκεῖσε λεγομένων ῥημάτων μέμνηται πάντων. Ἐντεῦθεν οὐδὲν ἔχοντες ἄπιτε. Καὶ πῶς οὐκ αἰσχύνης ἄξιον; Νόμον ἐθήκαμεν· μᾶλλον δὲ οὐχ ἡμεῖς ἐθήκαμεν· μὴ γένοιτο! «Μὴ γὰρ καλέσητε», φησί, «διδάσκαλον ἐπὶ τῆς γῆς». Νόμον ἔθηκεν ὁ Χριστός, ὥστε μηδένα ὀμνύναι. Τί γέγονεν, εἰπέ μοι, περὶ τούτου τοῦ νόμου; (οὐ γὰρ παύσομαι περὶ τούτου διαλεγόμενος· «Μήπως πάλιν ἐλθών», κατὰ τὸν Ἀπόστολον, «οὐ φείσωμαι»). Ἆρα ἐμεριμνήσατε τὸ πρᾶγμα; ἆρα ἐφροντίσατε; ἆρα γέγονέ τις ὑμῖν σπουδή, ἢ πάλιν τῶν αὐτῶν ἀψόμεθα λόγων; Μᾶλλον δέ, εἴτε γέγονεν, εἴτε μή, τῶν αὐτῶν ἀψόμεθα λόγων, ἵνα φροντίσητε· εἰ δὲ ἐμεριμνήσατε, ἵνα πάλιν βεβαιότερον τοῦτο ἐργάσησθε, καὶ τοὺς ἄλλους παρακαλέσητε.

Πόθεν οὖν ἡμῖν ἀρκτέον τοῦ λόγου; βούλεσθε ἀπὸ τῆς Παλαιᾶς; Ἀλλὰ τοῦτο ἡμετέρα αἰσχύνη, ὅτι τὰ ἐν τῇ Παλαιᾷ, ἃ ὑπερβαίνειν ἔδει, οὐδὲ οὕτω φυλάττομεν· ἡμᾶς γὰρ οὐ περὶ τούτων ἀκούειν ἔδει (τῆς γὰρ Ἰουδαϊκῆς εὐτελείας ταῦτα τὰ παραγγέλματα), ἀλλ' ἐκεῖνα τὰ τέλεια· Ῥῖψον τὰ χρήματα· στῆθι γενναίως· τὴν ψυχὴν ἐπίδος ὑπὲρ τοῦ κηρύγματος· καταγέλασον τῶν ἐπὶ τῆς γῆς ἁπάντων· μηδὲν ἔστω

10. Ματθ. 23, 8-9.
11. Β' Κορινθ. 13, 2.

ποια παρηγορία. Δὲν εἶναι, ἀγαπητέ, αὐτὸ τὸ θέατρο κιθαρωδῶν, οὔτε τραγωδῶν, ὅπου ὁ καρπὸς φθάνει μέχρι τὴν εὐχαρίστηση, καὶ ὅταν τελειώσει ἡ ἡμέρα, παρῆλθε καὶ ἡ εὐχαρίστηση. Καὶ μακάρι νὰ ἦταν μόνο ἡ εὐχαρίστηση, καὶ νὰ μὴ ὑπῆρχε καὶ βλάβη μαζὶ μὲ τὴν εὐχαρίστηση! ἀλλ' ὅμως φεύγει ἀπὸ ἐκεῖ ὁ καθένας στὴν οἰκία του, ἀφοῦ ἀπεκόμισε πολλὰ ἀπὸ τὰ ὅσα εἶδε καὶ ἄκουσε ἐκεῖ, ὅπως ἀκριβῶς ἀπὸ κάποια καταστροφή· καὶ ὁ μὲν νέος, ἀφοῦ ἀπολαύσει μερικὲς μελωδίες ἀπὸ τὰ σατανικὰ ἄσματα, ὅσες κατόρθωσε νὰ ἐναποθέσει στὴ μνήμη του, τραγουδᾶ συνέχεια στὴν οἰκία του, ὁ δὲ ἡλικιωμένος, ἐπειδὴ βέβαια εἶναι σεμνότερος, δὲν κάμνει μὲν αὐτό, ὅμως ἐνθυμεῖται ὅλα τὰ λόγια ποὺ λέχθηκαν ἐκεῖ. Ἀπ' ἐδῶ φεύγετε χωρὶς νὰ ἔχετε μαζί σας τίποτε. Καὶ πῶς αὐτὸ δὲν εἶναι ἄξιο ντροπῆς; Θέσαμε νόμο· μᾶλλον δὲ δὲν τὸν θέσαμε ἐμεῖς· μὴ γένοιτο· «Καὶ μὴ καλέσετε», λέγει, «διδάσκαλο ἐπάνω στὴ γῆ»[10]· νόμο ἔθεσε ὁ Χριστός, ὥστε κανένας νὰ μὴ ὁρκίζεται. Πές μου, τί ἔχει γίνει μὲ τὸ νόμο αὐτό; (διότι δὲν θὰ παύσω νὰ ὁμιλῶ γιὰ τὸ νόμο αὐτό· «Μήπως πάλι ὅταν ἔλθω», κατὰ τὸν Ἀπόστολο Παῦλο, «δὲν λυπηθῶ κανένα»[11]). Ἄραγε ἐνδιαφερθήκατε γιὰ τὸ πράγμα; ἄραγε φροντίσατε; ἄραγε ἔγινε ἀπὸ σᾶς κάποια προσπάθεια, ἢ πάλι θὰ καταπιασθοῦμε μὲ τοὺς ἴδιους λόγους; Μᾶλλον ὅμως, εἴτε ἔχει γίνει, εἴτε ὄχι, θὰ ποῦμε τοὺς ἴδιους λόγους, γιὰ νὰ φροντίσετε τώρα· ἂν δὲ φροντίσατε, γιὰ νὰ κάμετε πάλι αὐτὸ μὲ μεγαλύτερη ἀσφάλεια, καὶ ἔτσι νὰ παρακινήσετε καὶ τοὺς ἄλλους.

Ἀπὸ ποῦ λοιπὸν νὰ ἀρχίσουμε τὸ λόγο; θέλετε ἀπὸ τὴν Παλαιὰ Διαθήκη; Ἀλλὰ αὐτὸ εἶναι δική μας ντροπή, διότι, τὰ τῆς Παλαιᾶς Διαθήκης, ποὺ ἔπρεπε νὰ τὰ ὑπερβαίνουμε, οὔτε τὰ ἐφαρμόζουμε ὅπως ἐκεῖνοι. Διότι ἐμεῖς δὲν ἔπρεπε γι' αὐτὰ νὰ ἀκοῦμε, (διότι αὐτὰ τὰ παραγγέλματα ἀνήκουν στὴν Ἰουδαϊκὴ ἁπλότητα), ἀλλὰ ἐκεῖνα τὰ τέλεια· περιφρόνησε τὰ χρήματα, στάσου μὲ γενναιότητα· δῶσε τὴν ψυχή σου στὸ κήρυγμα· περιφρόνησε ὅλα τὰ ἐπὶ τῆς γῆς· μὴ ἔχεις τίποτε τὸ κοινὸ μὲ τὸν παρόντα

σοι κοινὸν πρὸς τὸν παρόντα βίον· ἂν [illegible] τις, εὐεργέτησον· ἂν πλεονεκτήσῃ, εὐλόγησον· ἂν βλασφημῇ, τίμησον· πάντων ἀνώτερος ἔσο'. Ταῦτα καὶ τὰ τοιαῦτα ἀκούειν ἔδει. Νυνὶ δὲ ὑπὲρ ὅρκου διαλεγόμεθα· καὶ ταὐτὸν γίνεται, ὥσπερ ἄν, εἴ τις τὸν ὀφείλοντα φιλοσοφεῖν, ἀφελκύσας τῶν διδασκάλων ἐκείνων, συλλαβὰς ἔτι καὶ τὸ κατὰ στοιχεῖον ἀναγινώσκειν ποιεῖ. Ἐννόησόν σοι ὅση ἐστὶν αἰσχύνη, ἄνθρωπόν τινα ὑπήνην βαθεῖαν ἔχοντα, καὶ ῥόπαλον ἐπιφερόμενον, καὶ ἐξωμίδα ἔχοντα, εἰς διδασκάλους μετὰ τῶν παίδων ἀπιέναι, καὶ τὰ αὐτὰ ἐκείνοις μανθάνειν, ἆρα οὐ πολὺς ὁ γέλως; Ἀλλὰ πλείων οὗτος ὁ ἡμέτερος· οὐ γὰρ ὅσον φιλοσοφίας τὸ μέσον καὶ γραμμάτων, τοσοῦτον τῆς Ἰουδαϊκῆς πολιτείας καὶ τῆς ἡμετέρας τὸ διάφορον, ἀλλ' ὅσον ἀγγέλων καὶ ἀνθρώπων. Εἴ τις, εἰπέ μοι, ἄγγελον ἐκ τοῦ οὐρανοῦ καταγαγών, κελεύσειεν ἐνταῦθα ἑστάναι καὶ ἀκροᾶσθαι τῶν ἡμετέρων λόγων, ὡς ὀφείλοντα ἀπὸ τούτων ῥυθμίζεσθαι, ἆρα οὐκ αἰσχύνη καὶ γέλως ἦν; Εἰ δὲ τὸ περὶ τούτων ἔτι παιδεύεσθαι γέλως, τὸ μηδὲ τούτοις προσέχειν, εἰπέ μοι, πόση κατάγνωσις; πόση αἰσχύνη; Καὶ πῶς γὰρ οὐκ αἰσχύνης, ὅτι ἔτι Χριστιανοὶ περὶ τοῦ μὴ δεῖν ὀμνύναι παιδεύονται; Πλὴν ἀλλ' ἀνασχώμεθα, ἵνα μὴ μᾶλλον γελώμεθα. Φέρε οὖν ἀπὸ τῆς Παλαιᾶς ὑμῖν διαλεχθῶμεν τήμερον. Τί δὲ αὕτη φησίν; «Ὅρκῳ μὴ ἐθίσῃς τὸ στόμα σου, μηδὲ τῷ ὀνόματι τοῦ Ἁγίου συνεθισθῇς». Διὰ τί; «Ὥσπερ γὰρ οἰκέτης, ἐξεταζόμενος ἐνδελεχῶς, ἀπὸ μώλωπος οὐ καθαρισθήσεται, οὕτως οὐδὲ ὁ ὀμνύων».

5. Ὅρα τὴν σύνεσιν τοῦ σοφοῦ τούτου. Οὐκ εἶπεν, "Ὅρκῳ μὴ ἐθίσῃς τὴν διάνοιάν σου', ἀλλὰ «τὸ στόμα σου»· ὅτι

---

12. Σοφ. Σειρὰχ 23, 9-10.

βίο· ἂν σὲ ἀδικήσει κάποιος, εὐεργέτησέ τον· ἂν γίνει πλεονέκτης, εὐλόγησέ τον· ἂν βλασφημήσει, δεῖξε τὴν ἐκτίμησή σου· καὶ γενικὰ στάσου ψηλότερα ἀπὸ ὅλα. Αὐτὰ καὶ παρόμοια ἔπρεπε νὰ ἀκοῦμε. Τώρα ὅμως συζητοῦμε γιὰ τὸν ὅρκο· καὶ γίνεται τὸ ἴδιο, ὅπως, ἂν κάποιος αὐτὸν ποὺ ὀφείλει νὰ φιλοσοφεῖ, ἀφοῦ τὸν ἀποσπάσει ἀπὸ τοὺς διδασκάλους ἐκείνους, τὸν κάμνει ἀκόμα νὰ διαβάζει συλλαβὲς καὶ τὰ γράμματα. Σκέψου, παρακαλῶ, πόση ντροπὴ ὑπάρχει, κάποιον ἄνθρωπο, ποὺ ἔχει πυκνὴ γενειάδα καὶ ποὺ κρατεῖ ρόπαλο καὶ φορεῖ ἐξωμίδα, νὰ μεταβαίνει σὲ δασκάλους μαζὶ μὲ παιδιὰ καὶ νὰ μαθαίνει τὰ ἴδια γράμματα μὲ ἐκεῖνα, ἄρα δὲν θὰ εἶναι γιὰ μεγάλα γέλια; Ἀλλὰ ἀκόμα μεγαλύτερος εἶναι αὐτὸς ὁ δικός μας. Διότι ἡ διαφορὰ μεταξὺ τῆς φιλοσοφίας καὶ τῶν γραμμάτων δὲν εἶναι τόση, ὅση εἶναι ἡ διαφορὰ μεταξὺ τῆς Ἰουδαϊκῆς πολιτείας καὶ τῆς δικῆς μας, ἀλλ' ὅση μεταξὺ τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων. Πές μου, ἐὰν κάποιος, ἀφοῦ κατέβαζε ἀπὸ τὸν οὐρανὸ ἕναν ἄγγελο, καὶ τὸν διέταζε νὰ σταθεῖ ἐδῶ καὶ νὰ ἀκούσει τοὺς δικούς μας λόγους, σὰν κάποιος ποὺ ὀφείλει ἀπ' αὐτοὺς νὰ ρυθμίζει τὴ ζωή του, δὲν θὰ ἦταν ἄραγε ντροπὴ καὶ ἄξιο γιὰ γέλια; Ἂν δέ, τὸ νὰ ἀσκούμαστε ἀκόμα μὲ αὐτά, εἶναι ἄξιο γιὰ γέλια, τὸ νὰ μὴ προσέχουμε οὔτε σ' αὐτά, πές μου, πόσης καταφρονήσεως ἄξιο εἶναι, πόσης ντροπῆς; Διότι πῶς δὲν εἶναι ντροπή, οἱ χριστιανοὶ ἀκόμα νὰ διδάσκονται, ὅτι δὲν πρέπει νὰ ὁρκίζονται; Πλὴν ὅμως ἂς διακόψουμε τὴ συζήτηση γι' αὐτὸ τὸ θέμα, γιὰ νὰ μὴ γελοιοποιούμαστε περισσότερο. Ἐμπρὸς λοιπὸν ἂς σᾶς διδάξουμε σήμερα, ἀρχίζοντας ἀπὸ τὴν Παλαιὰ Διαθήκη. Τί δὲ λέγει αὐτή; «Μὲ ὅρκο νὰ μὴ συνηθίσεις τὸ στόμα σου, οὔτε μὲ τὸ ὄνομα τοῦ Θεοῦ νὰ ἐξοικειωθεῖς». Γιατί; «Διότι ὅπως ἀκριβῶς ὁ ὑπηρέτης τοῦ σπιτιοῦ, ποὺ ἐλέγχεται ἀδιάκοπα ἀπὸ τὸν κύριό του, δὲν θὰ ἀπαλλαγεῖ ἀπὸ τὰ κτυπήματα γιὰ τὰ σφάλματά του, ἔτσι καὶ ὁ ὁρκιζόμενος.

5. Πρόσεχε τὴν σύνεση αὐτοῦ τοῦ σοφοῦ. Δὲν εἶπε, μὲ ὅρκο μὴ συνηθίσεις τὴν διάνοιά σου', ἀλλὰ «τὸ στόμα

τοῦ στόματος ὃν τὸ πᾶν οἶδε, καὶ ὅτι εὐκόλως κατορθοῦται· συνήθεια γάρ ἐστι λοιπόν, ἀπροαιρέτως γινομένη. Οἷόν εἰσι πολλοί, οἵ, ἐν βαλανείοις εἰσιόντες, ἅμα τῷ τὰς θύρας ὑπερβῆναι σφραγίζονται· τοῦτο οἶδεν ἡ χείρ, καὶ μηδενὸς κελεύοντος, ἀπὸ τῆς συνηθείας ποιεῖν· πάλιν, λύχνου ἀφθέντος, πολλάκις τῆς διανοίας ἕτερόν τι σκεπτομένης, ἡ χεὶρ τὴν σφραγῖδα ποιεῖ. Οὕτω δὴ καὶ τὸ στόμα οὐ μετὰ τῆς ψυχῆς φθέγγεται, ἀλλὰ ἀπὸ τῆς συνηθείας, καὶ ἐν τῇ γλώττῃ τὸ πᾶν ἐστι. «Καὶ τῷ ὀνόματι», φησί, «τοῦ Ἁγίου μὴ συνεθισθῇς. Ὥσπερ γὰρ οἰκέτης, ἐξεταζόμενος ἐνδελεχῶς, ἀπὸ μώλωπος οὐ καθαρισθήσεται, οὕτως οὐδὲ ὁ ὀμνύων». Οὐχὶ τὴν ἐπιορκίαν ἐνταῦθα, ἀλλὰ τὸν ὅρκον ἐκκόπτει, καὶ αὐτῷ τίθησι τὴν τιμωρίαν· ἄρα τὸ ὀμνύειν ἁμαρτία. Τοιαύτη ὄντως ἐστὶν ἡ ψυχή, τοσούτων γέμει τραυμάτων, τοσούτων μωλώπων. Ἀλλ' οὐχ ὁρᾷς; Τοῦτο γὰρ τὸ δεινόν· καίτοι γε δύνασαι, ἐὰν θέλῃς, ὁρᾶν· ἔδωκε γάρ σοι ὀφθαλμοὺς ὁ Θεός. Τοιούτοις ὀφθαλμοῖς ἑώρα Προφήτης, λέγων· «Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου».

Κατεφρονήσαμεν τοῦ Θεοῦ, ἐμισήσαμεν τὸ ὄνομα τὸ καλόν, κατεπατήσαμεν τὸν Χριστόν, ἐλύσαμεν τὴν αἰδῶ, οὐδεὶς μετὰ τιμῆς μέμνηται τοῦ ὀνόματος τοῦ Θεοῦ. Καὶ σὺ μέν, ἂν φιλῇς τινα, καὶ πρὸς τὸ ὄνομα διανίστασαι, τὸν δὲ Θεὸν οὕτω συνεχῶς καλεῖς ὡς οὐδέν. Κάλεσον αὐτὸν ἐπὶ εὐεργεσίᾳ ἐχθροῦ· κάλεσον αὐτὸν ἐπὶ σωτηρίᾳ τῆς σῆς ψυχῆς· τότε παρέσται, τότε εὐφραίνεις αὐτόν· νῦν δὲ παροξύνεις. Κάλεσον αὐτόν, ὡς ἐκάλεσε Στέφανος. Τὶ λέγων; «Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην». Κάλεσον αὐτόν, ὡς ἐκάλεσεν ἡ τοῦ Ἐλκανᾶ γυνή, μετὰ δακρύων, μετὰ θρήνων, μετὰ εὐχῆς. Οὐ κωλύω, ἀλλὰ καὶ σφόδρα παραινῶ. Κάλε-

13. Ψαλμ. 37, 6.
14. Πράξ. 7, 60.
15. Α' Βασιλ. 1, 10.

σου»· διότι γνωρίζει ὅτι τὸ πᾶν προέρχεται ἀπὸ τὸ στόμα καὶ ὅτι εὔκολα κατορθώνεται. Διότι εἶναι συνήθεια, ποὺ στὴ συνέχεια γίνεται χωρὶς νὰ τὸ θέλει κανείς, ὅπως εἶναι, ὅταν εἰσέρχονται πολλοὶ στὸ λουτρό, μόλις διαβοῦν τὶς θύρες κλειδώνονται. Αὐτὸ τὸ γνωρίζει τὸ χέρι καὶ τὸ κάνει ἀπὸ συνήθεια, χωρὶς νὰ τὸ διατάζει κανένας. Πάλι, μόλις ἀνάψει τὸ λυχνάρι, καὶ ἐνῶ τὸ μυαλὸ σκέπτεται κάτι ἄλλο, τὸ χέρι σφραγίζει τὴ θύρα. Ἔτσι λοιπὸν καὶ τὸ στόμα, δὲν ὁμιλεῖ μαζὶ μὲ τὴν ψυχή, ἀλλὰ ἀπὸ συνήθεια καὶ τὸ πᾶν βρίσκεται στὴ γλώσσα. «Καὶ μὲ τὸ ὄνομα τοῦ Θεοῦ», λέγει, νὰ ἐξοικειωθεῖ. Ὅπως ἀκριβῶς ὁ ὑπηρέτης ποὺ ἐλέγχεται ἀδιάκοπα ἀπὸ τὸν κύριό του δὲν θὰ διαφύγει ἀπὸ τὰ κτυπήματα γιὰ τὰ σφάλματά του, ἔτσι καὶ ἐκεῖνος ποὺ ὁρκίζεται». Ἐδῶ δὲν ἐκριζώνει τὴν ἐπιορκία, ἀλλὰ τὸν ὅρκο, καὶ γι' αὐτὸν θέτει τὴν τιμωρία. Ἄρα ὁ ὅρκος εἶναι ἁμαρτία. Τέτοια πράγματι εἶναι ἡ ψυχή, ἀπὸ τόσα πολλὰ τραύματα εἶναι γεμάτη, ἀπὸ τόσα κτυπήματα. Ἀλλὰ δὲν βλέπεις; Διότι αὐτὸ εἶναι τὸ φοβερό· ἂν καὶ βέβαια μπορεῖς, ἐὰν θέλεις, νὰ βλέπεις, διότι ὁ Θεὸς σοῦ ἔδωσε ὀφθαλμούς. Μὲ τέτοιους ὀφθαλμοὺς ὁ προφήτης ἔβλεπε, ὅταν ἔλεγε: «Ἐμύρισαν καὶ ἐσάπησαν τὰ τραύματά μου ἀπὸ τὴν ἀνοησία μου»[13].

Περιφρονήσαμε τὸ Θεό, μισήσαμε τὸ καλὸ ὄνομα, καταπατήσαμε τὸ θέλημα τοῦ Χριστοῦ, ἐξαφανίσαμε τὴ ντροπή, κανένας δὲν μνημονεύει τὸ ὄνομα τοῦ Θεοῦ μὲ σεβασμό. Καὶ σὺ μὲν ἂν ἀγαπᾶς κάποιον, καὶ στὸ ἄκουσμα τοῦ ὀνόματός του ἐξανίστασαι, τὸν δὲ Θεὸ ἐπικαλεῖσαι τόσο ἀδιάφορα συνεχῶς σὰν νὰ μὴ εἶναι τίποτε τὸ σπουδαῖο. Κάλεσε αὐτὸν γιὰ εὐεργεσία τοῦ ἐχθροῦ· κάλεσε αὐτὸν γιὰ τὴ σωτηρία τῆς ψυχῆς σου· τότε θὰ παραστεῖ, τότε εὐφραίνεις αὐτόν· τώρα ὅμως τὸν παροργίζεις. Κάλεσε αὐτὸν ὅπως τὸν κάλεσε ὁ Στέφανος. Τί ἔλεγε; «Κύριε, μὴ λογαριάσεις σ' αὐτοὺς τὴν ἁμαρτία αὐτή»[14]. Κάλεσε αὐτόν, ὅπως τὸν κάλεσε ἡ σύζυγος τοῦ Ἐλκανᾶ, μὲ δάκρυα, μὲ θρήνους, μὲ προσευχή[15]. Ὄχι μόνο δὲν ἐμποδίζω, ἀλλὰ καὶ ὑπερβολικὰ συμβουλεύω. Κάλεσε αὐτὸν ὅπως τὸν κά-

σον αὐτόν, ὡς ἐκάλεσε Μωϋσῆς, καὶ ἐβόα παρακαλῶν ὑπὲρ τῶν φυγαδευσάντων αὐτόν. Καὶ σὺ μὲν ἂν τινος μνησθῇς ἁπλῶς ἀνδρὸς αἰδεσίμου, ὕβρις τὸ πρᾶγμα, τὸν δὲ Θεὸν περιφέρων οὐ μόνον ἁπλῶς, ἀλλὰ καὶ ἀκαίρως ἐν τοῖς σοῖς λόγοις, οὐδὲν τὸ πρᾶγμα νομίζεις; Καὶ πόσης οὐχὶ κολάσεως ἄξιος ἂν εἴης; Οὐ κωλύω τὸν Θεὸν ἔχειν διὰ παντὸς ἐν διανοίᾳ (τοῦτο γὰρ καὶ εὔχομαι καὶ βούλομαι), ἀλλὰ μὴ παρὰ τὸ δοκοῦν αὐτῷ, ἀλλ' αἰνοῦντα, ἀλλὰ τιμῶντα. Μεγάλα ἂν τοῦτο εἰργάσατο ἡμῖν ἀγαθά, εἰ, ὅτε ἔδει, καὶ ἐφ' οἷς ἔδει, μόνον ἐκαλοῦμεν αὐτόν. Διὰ τί, εἰπέ μοι, ἐπὶ μὲν τῶν Ἀποστόλων τοσαῦται δυνάμεις ἐγίνοντο, ἐπὶ δὲ ἡμῶν οὐχί; καίτοι ὁ αὐτός ἐστι Θεός, τὸ αὐτὸ ὄνομα. Ἀλλ' οὐκ ἔστιν ἴσον. Πῶς; Ὅτι ἐκεῖνοι μὲν ἐπὶ τούτοις, οἷς εἶπον, αὐτὸν ἐκάλουν μόνον, ἡμεῖς δὲ οὐκ ἐπὶ τούτοις, ἀλλ' ἐπ' ἄλλοις. Εἰ δὲ ἀπιστεῖ, καὶ διὰ τοῦτο ὀμνύεις, λέγε μέν, 'Πίστευσον' πλήν, εἰ βούλει, ὄμοσον κατὰ σαυτοῦ. Οὐκ ἀντινομοθετῶν τῷ Χριστῷ λέγω, μὴ γένοιτο! («Ἔστω» γάρ, φησίν, «ὑμῶν τὸ Ναί, ναί, καὶ τὸ Οὔ, οὔ»), ἀλλὰ συγκαταβαίνων ὑμῖν, ἵνα μᾶλλον εἰς τοῦτο ὑμᾶς ἐναγάγω, καὶ τῆς συνηθείας ἀπαγάγω τῆς τυραννικῆς. Πόσοι, ἐν τοῖς ἄλλοις εὐδοκιμοῦντες, ἀπώλοντο ἀπὸ τούτων τῶν πραγμάτων;

Βούλεσθε μαθεῖν διὰ τί συνεχώρουν τοῖς ἀρχαίοις ὀμνύειν; (ἐπιορκεῖν γὰρ οὐδὲ ἐκείνοις συγκεχώρητο). Ἐπειδὴ ἐν τοῖς εἰδώλοις ὤμνυον. Οὐκ αἰσχύνεσθε τούτοις ἐμμένοντες τοῖς νόμοις, οἷς ἐκεῖνοι ἐνήγοντο οἱ ἀσθενεῖς; Ἐπεὶ καὶ νῦν, Ἕλληνα ἐὰν λάβω, οὐκ εὐθέως αὐτῷ ἐπιτάσσω τοῦτο, ἀλλὰ τέως εἰδέναι τὸν Χριστὸν παραινῶ· ὁ δὲ πιστός, καὶ μαθὼν αὐτὸν καὶ ἀκούσας εἰ μέλλοι τῆς αὐτῆς τῷ Ἕλληνι συγκαταβάσεως δεῖσθαι, τί τὸ ὄφελος; ποῖον τὸ κέρδος; Ἀλλ' ἡ συνήθεια χαλεπόν, καὶ δυσαποσπάστως ἔχεις; Οὐκοῦν, ἐ-

---

16. Ἀριθμ. 12, 13.
17. Ματθ. 5, 37.

λεσε ὁ Μωϋσῆς ποὺ φώναζε παρακαλώντας γιὰ ἐκείνους ποὺ τὸν ἐξεδίωξαν[16]. Καὶ σὺ μὲν ἂν μνημονεύσεις ἄσκοπα κάποιον ἄνδρα σεβάσμιο, θεωρεῖς προσβολὴ τὸ πράγμα, ἀναφέροντας ὅμως στοὺς λόγους σου τὸ Θεὸ ὄχι μόνο ἄσκοπα, ἀλλὰ καὶ ἀκατάλληλα, νομίζεις ὅτι δὲν εἶναι σπουδαῖο πρᾶγμα; Καὶ γιὰ πόση τιμωρία δὲν θὰ ἤσουν ἄξιος; Δὲν σοῦ ἐμποδίζω νὰ ἔχεις τὸ Θεὸ συνέχεια στὸ νοῦ σου (διότι αὐτὸ καὶ τὸ εὔχομαι καὶ τὸ ἐπιθυμῶ), ὄχι ὅμως ὅπως δὲν τοιριάζει σ' αὐτόν, ἀλλὰ γιὰ νὰ τὸν δοξάζεις καὶ νὰ τὸν τιμᾶς. Μεγάλα καλὰ θὰ μᾶς πρόσφερνε αὐτό, ἐὰν τὸν παρακαλούσαμε μόνο. Πές μου σὲ παρακαλῶ γιατί στὴν ἐποχὴ μὲν τῶν Ἀποστόλων γίνονταν τόσα θαύματα, σ' ἐμᾶς δὲ ὄχι; καίτοι εἶναι ὁ ἴδιος Θεός, τὸ ἴδιο ὄνομα. Ἀλλὰ δὲν εἶναι τὸ ἴδιο. Πῶς; Διότι ἐκεῖνοι μὲν μόνο γι' αὐτά, ποὺ παραπάνω εἶπα, καλοῦσαν αὐτόν, ἐμεῖς δὲ ὄχι γι' αὐτά, ἀλλὰ γιὰ ἄλλα. Ἐὰν ὅμως ἀπιστεῖ κάποιος καὶ γι' αὐτὸ ὁρκίζεσαι, λέγε μέν, 'πίστευσε', ἀλλ' ἂν θέλεις, ὁρκίσου στὸν ἑαυτό σου. Δὲν τὸ λέγω νομοθετώντας ἀντίθετους πρὸς τὸ Χριστὸ νόμους, μὴ γένοιτο! (διότι λέγει, «Ἂς εἶναι ὁ λόγος σας ναί, ὅταν πράγματι εἶναι ναί, καὶ ἂς εἶναι ὄχι, ὅταν πράγματι εἶναι ὄχι»[17], ἀλλὰ δείχνοντας συγκατάβαση πρὸς ἐσᾶς, γιὰ νὰ σᾶς ὁδηγήσω περισσότερο σ' αὐτὸ καὶ νὰ σᾶς ἀπομακρύνω ἀπὸ τὴν τυραννικὴ συνήθεια. Πόσοι, ἐνῶ εὐδοκιμοῦσαν σ' ἄλλα, καταστράφηκαν ἀπὸ τὰ πράγματα αὐτά;

Θέλετε νὰ μάθετε γιατί ἐπέτρεπαν στοὺς ἀρχαίους νὰ ὁρκίζονται; (διότι ἡ ἐπιορκία οὔτε σ' αὐτοὺς ἐπιτρεπόταν, ἐπειδὴ ὁρκίζονταν στὰ εἴδωλα. Δὲν ντρέπεσθε νὰ ἐμμένετε σ' αὐτοὺς τοὺς νόμους, τοὺς ὁποίους ἐκεῖνοι οἱ ἀσθενεῖς ἀκολουθοῦσαν; Διότι καὶ τώρα, ἂν λάβω ἕναν ἐθνικό, δὲν διατάσσω ἀμέσως σ' αὐτὸν αὐτό, ἀλλὰ πρῶτα τὸν συμβουλεύω νὰ γνωρίσει τὸ Χριστό· ὁ δὲ πιστός, ποὺ ἔχει γνωρίσει καὶ ἔχει ἀκούσει τὸ Χριστό, ἂν πρόκειται νὰ χρειάζεται τὴν ἴδια συγκατάβαση μὲ τὸν ἐθνικό, ποιὸ τὸ ὄφελος; ποιὸ τὸ κέρδος; Ἀλλ' ἡ συνήθεια εἶναι φοβερὸ πράγμα καὶ δύσκολα μπο-

πεὶ τοσαύτη τῆς συνηθείας ἡ τυραννίς, εἰς ἑτέραν αὐτὴν μετάγαγε συνήθειαν. Καὶ πῶς δυνατόν; φησίν. Ὃ πολλάκις εἶπον, τοῦτο καὶ νῦν λέγω· "Ἔστωσαν λογισταὶ τῶν λεγομένων πολλοί, ἔστωσαν ἐξετασταὶ καὶ διορθωταί". Οὐκ ἔστιν αἰσχύνη τὸ ὑφ' ἑτέρων διορθοῦσθαι· μᾶλλον μὲν οὖν αἰσχύνη τὸ ἀπωθεῖσθαι τοὺς διορθοῦντας, καὶ ἐπὶ βλάβῃ τῆς οἰκείας σωτηρίας τοῦτο ποιεῖν. Καὶ σὺ μὲν τὴν ἐσθῆτα ἂν ἐναλλὰξ περιβάλῃ, καὶ παῖδα ἐπιτρέπεις διορθῶσαι, καὶ οὐκ αἰσχύνῃ παρ' ἐκείνου μανθάνων (καίτοι γε ἐν τούτῳ πολλὴ ἡ αἰσχύνη), ἐνταῦθα δέ, τὴν ψυχὴν βλαπτόμενος, αἰσχύνῃ, εἰπέ μοι, παρ' ἑτέρου παιδεύεσθαι; καὶ κοσμοῦντα μέν σε περὶ τὴν ἐσθῆτα φέρεις τὸν οἰκέτην καὶ ὑποδύντα, κοσμοῦντα δὲ τὴν ψυχὴν οὐ φέρεις; Καὶ πόσης οὐ ταῦτα ἀνοίας; Ἔστω καὶ οἰκέτης τούτων διδάσκαλος, ἔστω καὶ παιδίον, ἔστω καὶ γυνή, ἔστω καὶ φίλος, καὶ συγγενής, καὶ γείτων· ὥσπερ γὰρ τὸ πάντοθεν ἐλαυνόμενον θηρίον οὐχ οἷόν τε διαφυγεῖν, οὕτω τὸν τοσούτους ἔχοντα φύλακας, τὸν τοσούτους ἐπιτιμῶντας, τὸν πάντοθεν πληττόμενον οὐκ ἔνι μὴ φυλάξασθαι. Καὶ ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ χαλεπῶς οἴσει τοῦτο, καὶ κατὰ τὴν δευτέραν, καὶ ἐν τῇ τρίτῃ, λοιπὸν δὲ ῥᾷστον ἔσται, καὶ μετὰ τὴν τετάρτην οὐδὲ τὸ πρᾶγμα ἔσται αὐτό.

Ἀπόπειραν ποιήσατε, εἴ γε ἀπιστεῖτε· φροντίσατε, παρακαλῶ. Οὐκ ἔστι τὸ τυχὸν ἁμαρτανόμενον, οὐδὲ κατορθούμενον, ἀλλὰ ἑκατέρωθεν μέγα, καὶ κακὸν καὶ καλόν. Γένοιτο δὲ καλὸν γενέσθαι χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ρεῖς νὰ ἀπαλλαγεῖς ἀπὸ αὐτή; Λοιπὸν ἐφόσον τόση εἶναι ἡ τυραννία τῆς συνήθειας νὰ τὴν μετατρέψεις σὲ ἄλλη συνήθεια. Καὶ πῶς εἶναι δυνατόν, λέγει; Αὐτὸ ποὺ πολλὲς φορὲς εἶπα, αὐτὸ καὶ τώρα λέγω˙ '"Ας ὑπάρξουν πολλοὶ ἐλεγκτὲς τῶν λεγομένων, ἂς ὑπάρξουν ἐξεταστὲς καὶ διορθωτές'. Δὲν εἶναι ντροπὴ τὸ νὰ διορθώνεσαι ἀπὸ ἄλλους˙ μᾶλλον μὲν εἶναι ντροπὴ τὸ νὰ ἀπομακρύνεις ἐκείνους ποὺ σὲ διορθώνουν, καὶ νὰ κάμνεις αὐτὸ μὲ βλάβη τῆς δικῆς σου σωτηρίας. Καὶ σὺ μὲν ἂν φορέσεις ἀνάποδα τὸ ἔνδυμα καὶ ἐπιτρέπεις σὲ παιδὶ νὰ σὲ ὑποδείξει τὴ διόρθωση, καὶ δὲν ντρέπεσαι νὰ μαθαίνεις ἀπὸ ἐκεῖνο (ἂν καὶ βέβαια σ' αὐτὸ ὑπάρχει μεγάλη ντροπή), ἐδῶ δὲ ἐνῶ βλάπτεται ἡ ψυχή σου, πές μου, ντρέπεσαι νὰ διδάσκεσαι ἀπὸ ἄλλον; Καὶ ὅταν μὲν στολίζεις τὴν ἐνδυμασία σου καὶ ὅταν ὑποδύεσαι, φέρεις τὸν ὑπηρέτη νὰ σὲ βοηθήσει, ὅταν δὲ πρόκειται νὰ στολίσεις τὴν ψυχή σου, δὲν φέρεις βοηθό; Καὶ πόση ἀνοησία δὲν ὑπάρχει σ' αὐτά; Ἂς ὑπάρχει ἀκόμη καὶ ὑπηρέτης δάσκαλος γι' αὐτά, ἂς ὑπάρχει καὶ παιδί, ἂς ὑπάρχει καὶ γυναίκα, ἂς ὑπάρχει καὶ φίλος καὶ συγγενὴς καὶ γείτονας˙ διότι, ὅπως ἀκριβῶς τὸ θηρίο ποὺ περικυκλώνεται ἀπὸ παντοῦ, δὲν εἶναι δυνατὸν νὰ διαφύγει, ἔτσι καὶ αὐτὸς ποὺ ἔχει τόσους φύλακες καὶ τόσους ποὺ τὸν ἐπιτιμοῦν, καὶ ποὺ δέχεται πλήγματα ἀπὸ παντοῦ, δὲν εἶναι δυνατὸν νὰ μὴ προφυλαχθεῖ. Καὶ τὴν μὲν πρώτη ἡμέρα δύσκολα θὰ τὸ ὑποφέρες αὐτό, καὶ τὴν δεύτερη καὶ τὴν τρίτη, στὴν συνέχεια ὅμως θὰ εἶναι εὐκολώτατο, καὶ μετὰ τὴν τέταρτη, θέμα δὲν θὰ ὑπάρχει.

Κάμετε δοκιμή, ἐὰν βέβαια δὲν πιστεύετε˙ φροντίσατε, παρακαλῶ. Δὲν ὑπάρχει κάτι ποὺ κατὰ τύχη νὰ γίνεται ἁμαρτία, καὶ ποὺ δὲν κατορθώνετε ἡ διόρθωσή του, ἀλλὰ καὶ ἀπὸ τὶς δύο πλευρές του εἶναι μεγάλο καὶ κακὸ καὶ καλό. Εἴθε δὲ νὰ γίνει καλό, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ Ἅγιο Πνεῦμα ἀνήκει δόξα, δύναμη καὶ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΑ΄
(Πράξ. 4, 23-35)

«Ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον».

1. Οὐχὶ φιλοτιμίας ἕνεκεν διηγοῦνται, (πῶς γάρ;) ἀλλὰ τοῦ Χριστοῦ χάριτος ταῦτα τεκμήρια ἐπιδείκνυνται. Διὸ καὶ ὅσα μὲν ἐκεῖνοι εἶπον, ταῦτα διηγοῦνται, τὰ δὲ αὐτῶν εἰ καὶ παρατρέχουσιν, ὅμως καὶ ταύτῃ θαρσαλεώτεροι γίνονται. Καὶ σκόπει πῶς πάλιν ἐπὶ τὴν ἀληθῆ βοήθειαν κατέφυγον, ἐπὶ τὴν συμμαχίαν τὴν ἄμαχον, καὶ πάλιν ὁμοθυμαδόν, καὶ μετὰ σπουδῆς· οὐδὲ γάρ ἐστιν εὐχὴ ἁπλῶς γινομένη: «Οἱ δὲ ἀκούσαντες ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν Θεόν, καὶ εἶπον». Ὅρα πῶς εἰσιν ἠκριβωμέναι αὐτῶν αἱ εὐχαί. Ὅτε τὸν ἄξιον εἰς ἀποστολὴν ἠξίουν αὐτοῖς ἀναδειχθῆναι, οὕτως ἔλεγον· «Σύ, Κύριε, καρδιογνῶστα πάντων, ἀνάδειξον» (προγνώσεως γὰρ ἦν ἐκεῖ χρεία), ἐνταῦθα δέ, ἐπειδὴ ἐπιστομισθῆναι τοὺς ἐναντίους ἐχρῆν, περὶ δεσποτείας διαλέγονται· διὸ καὶ οὕτως ἤρξαντο· «Δέσποτα ὁ Θεός, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, ὁ διὰ στόματος Δαυὶδ τοῦ παιδός σου εἰπών· Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ». Καθάπερ συνθήκας ἀπαιτοῦντες τὸν Θεὸν τὴν προφητείαν εἰς μέσον ἄγουσιν, ἅμα καὶ ἑαυτοὺς παραμυθούμενοι ὅτι εἰκῇ ἅπαντα

---

1. Πράξ. 4, 23.
2. Πράξ. 1, 24.
3. Ψαλμ. 2, 1-2.

ΟΜΙΛΙΑ ΙΑ΄
(Πράξ. 4, 23-35)

«Ὅταν δὲ οἱ Ἀπόστολοι ἀπολύθηκαν, πῆγαν στοὺς φίλους τους, τοὺς ἄλλους πιστούς, καὶ τοὺς ἀνήγγειλαν ὅσα τοὺς εἶπαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι»[1].

1. Δὲν διηγοῦνται αὐτὰ ἀπὸ φιλοδοξία (διότι πῶς θὰ μποροῦσε νὰ γίνει αὐτό;) ἀλλὰ φανερώνουν αὐτὰ σὰν ἀποδείξεις τῆς χάριτος τοῦ Χριστοῦ. Γι' αὐτὸ καὶ ὅσα μὲν εἶπαν ἐκεῖνοι, αὐτὰ διηγοῦνται, τὰ δὲ δικά τους, ἂν καὶ τὰ παραλείπουν, ὅμως καὶ ἔτσι γίνονται περισσότερο θαρραλέοι. Καὶ πρόσεχε πάλι πῶς κατέφυγαν πρὸς τὴν ἀληθινὴ βοήθεια, πρὸς τὴν ἀκαταμάχητη συμμαχία καὶ πάλι ὅλοι μαζὶ καὶ μὲ πολὺ προθυμία˙ διότι δὲν εἶναι μιὰ ἁπλὴ προσευχὴ ποὺ γίνεται. «Αὐτοὶ δὲ ὅταν ἄκουσαν αὐτά, ὅλοι μαζὶ μὲ μιὰ καρδιά, ὕψωσαν φωνὴ πρὸς τὸ Θεὸ καὶ εἶπαν». Πρόσεχε μὲ πόση προσοχὴ γίνονται οἱ προσευχές τους. Ὅταν παρακαλοῦσαν νὰ ἀναδειχθεῖ σ' αὐτοὺς ὁ ἄξιος γιὰ τὸ ἔργο τοῦ ἀποστόλου μὲ τρόπο ἔλεγαν τὰ ἑξῆς˙ «Σὺ Κύριε, ποὺ γνωρίζεις τὶς καρδιὲς ὅλων, ἀνάδειξε τὸν ἄξιο»[2] (διότι ἐκεῖ ὑπῆρχε ἡ ἀνάγκη τῆς προγνώσεως), ἐδῶ ὅμως, ἐπειδὴ ἔπρεπε νὰ ἀποστομωθοῦν οἱ ἀντίθετοι, ὁμιλοῦν γιὰ δεσποτεία˙ γι' αὐτὸ καὶ ἄρχισαν ἔτσι˙ «Δέσποτα, ποὺ εἶσαι ὁ Θεός μας, ποὺ δημιούργησες τὸν οὐρανὸ καὶ τὴ γῆ καὶ τὴ θάλασσα, καὶ ὅλα ὅσα ὑπάρχουν ἐπάνω καὶ μέσα σ' αὐτά˙ σὺ ποὺ εἶπες μὲ τὸ στόμα τοῦ δούλου σου Δαυίδ˙ Γιατί ἀφηνίασαν οἱ ἐθνικοί, γιατί οἱ λαοὶ αὐτοὶ σκέφθηκαν σχέδια ἀνόητα; Παρατάχθηκαν οἱ βασιλεῖς τῆς γῆς καὶ συγκεντρώθηκαν οἱ ἄρχοντες στὸν ἴδιο τόπο ἐναντίον τοῦ Κυρίου καὶ τοῦ Χριστοῦ αὐτοῦ»[3]. Σὰν νὰ ἀπαιτοῦν συμφωνίες ἀπὸ τὸ Θεό, ἐπικαλοῦνται τὴν προφητεία, συγχρόνως δὲ παρηγοροῦν καὶ τοὺς ἑαυ-

μελετῶσιν οἱ ἐχθροί. Ὃ οὖν λέγουσι, τοῦτό ἐστιν. Ἐκεῖνα εἰς πέρας ἄγαγε, καὶ δεῖξον ὅτι κενὰ ἐμελέτησαν.

«Συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐν τῇ πόλει ταύτῃ ἐπὶ τὸν ἅγιον Παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας, Ἡρώδης τε καὶ Πόντιος Πιλάτος σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραὴλ ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι. Καὶ τὰ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν». Ὁρᾷς τὴν φιλοσοφίαν, καὶ πῶς οὐχὶ καταρωμένων ἐστὶ ταῦτα; Οὐκ ἔθηκαν δὲ τὰς ἀπειλὰς ἰδικῶς, ἀλλ' ὅτι ἠπείλησαν μόνον λέγουσιν· ἐπιτέμνεται γὰρ ὁ συγγραφεὺς τὸν λόγον. Καὶ ὅρα. Οὐκ εἶπον, 'Ῥάξον αὐτούς, κατάβαλε αὐτούς', ἀλλὰ τί; «Καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον σου». Οὕτω μανθάνομεν εὔχεσθαι καὶ ἡμεῖς. Καίτοι γε πόσου οὐκ ἂν τις ἐμπλησθείη θυμοῦ, εἰς ἄνδρας ἐμπεσών, ἀνελεῖν αὐτὸν ἐπιχειροῦντας, καὶ ἀπειλοῦντας τοιαῦτα; πόσης οὐκ ἂν ἀπεχθείας πληρωθείη; Ἀλλ' οὐχ οἱ ἅγιοι οὗτοι. «Ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν εἰς ἴασιν, καὶ σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου Παιδός σου Ἰησοῦ». Ἂν ἐν τῷ ὀνόματι ἐκείνῳ γίνωνται αἱ ἐνέργειαι, μεγάλη ἔσται ἡ παρρησία, φησί. «Δεηθέντων δὲ αὐτῶν, ἐσαλεύθη ὁ τόπος, ἐν ᾧ ἦσαν συνηγμένοι». Τοῦ ἀκουσθῆναι αὐτούς, καὶ τῆς ἐπισκέψεως τοῦ Θεοῦ τοῦτο τεκμήριον γέγονε. «Καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου». Τί ἐστιν, «Ἐπλήσθησαν»; Ἀντὶ τοῦ 'ἀνεπυρώθησαν τῷ Πνεύματι'· καὶ γὰρ καὶ ἀνεκαίετο ἐν αὐτοῖς τὸ χάρισμα. «Καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ παρρησίας. Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία». Ὁρᾷς ὅτι μετὰ τῆς χάριτος τοῦ Θεοῦ καὶ τὰ παρ' ἑαυτῶν εἰσέφερον; Πανταχοῦ γὰρ τοῦτο χρὴ παρατηρεῖν, ὅτι μετὰ τῆς χάριτος τοῦ Θεοῦ καὶ τὰ παρ'

4. Πράξ. 3, 6.

τούς τους, διότι μάταια οἱ ἐχθροὶ τὰ μελετοῦν ὅλα. Αὐτὸ λοιπὸν ποὺ λέγουν σημαίνει τὸ ἑξῆς· Ἐκεῖνα φέρε σὲ πέρας καὶ δεῖξε ὅτι συνέλαβαν σχέδια μάταια.

«Διότι συγκεντρώθηκαν ἀληθινὰ σ' αὐτὴν τὴν πόλη ἐναντίον τοῦ ἁγίου δούλου σου Ἰησοῦ, τὸν ὁποῖο ἔχρισες, καὶ γιὰ νὰ διαπράξουν ὁ Ἡρώδης καὶ ὁ Πόντιος Πιλάτος μαζὶ μὲ τὰ ἔθνη καὶ τὰ πλήθη τοῦ Ἰσραήλ, ὅσα τὸ χέρι σου καὶ ἡ θέλησή σου προόρισαν νὰ γίνουν. Καὶ τώρα, Κύριε, στρέψε τὸ βλέμμα σου στὶς ἀπειλές τους». Βλέπεις τὴν εὐσέβειά τους καὶ πῶς τὰ λόγια αὐτὰ δὲν εἶναι ἀπὸ ἀνθρώπους ποὺ καταριοῦνται; Δὲν ἀνέφεραν δὲ τὶς ἀπειλὲς εἰδικά, ἀλλὰ λέγουν μόνο ὅτι τοὺς ἀπείλησαν· διότι ὁ συγγραφέας συντομεύει τὸ λόγο. Καὶ πρόσεχε· δὲν εἶπαν 'σύντριψε αὐτούς, κατανίκησε αὐτούς', ἀλλὰ τί; «Καὶ δῶσε στοὺς δούλους σου τὴ δύναμη γιὰ νὰ κηρύττουν τὸ λόγο σου μὲ ὅλο τὸ θάρρος». Ἔτσι διδασκόμαστε καὶ ἐμεῖς νὰ προσευχόμαστε. Διότι πράγματι πόσο δὲν θὰ θύμωνε κάποιος, ἂν ἔπεφτε σὲ ἄνδρες, ποὺ θὰ ἐπιχειροῦσαν νὰ τὸν φονεύσουν καὶ θὰ τὸν ἀπειλοῦσαν μὲ παρόμοια; πόση ἀπέχθεια δὲν θὰ ἔνιωθε; Ἀλλὰ δὲν συμβαίνει τὸ ἴδιο μὲ αὐτοὺς τοὺς ἁγίους. «Καὶ ἐνῶ σὺ θὰ ἁπλώνεις τὸ παντοδύναμο χέρι σου γιὰ θαματουργικὴ θεραπεία, καὶ ἐνῶ θὰ γίνονται σημεῖα καὶ θαύματα μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος τοῦ ἁγίου δούλου σου Ἰησοῦ». Ἂν οἱ θαυματουργικὲς ἐνέργειες γίνονται μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος ἐκείνου, μεγάλη θὰ εἶναι, λέγει, ἡ παρρησία. «Καὶ ὅταν αὐτοὶ προσευχήθηκαν στὸ Θεό, σείσθηκε ὁ τόπος, ὅπου ἦταν συγκεντρωμένοι». Τοῦτο ἔγινε σὰν ἀπόδειξη, ὅτι εἰσακούσθηκαν αὐτὰ καὶ ὅτι τοὺς ἐπισκέφθηκε ὁ Θεός. «Καὶ ὅλοι πληρώθηκαν ἀπὸ Πνεῦμα ἅγιο». Τί σημαίνει «ἐπλήσθησαν»; Ἀντὶ τοῦ 'ἀνεφλέγησαν ἀπὸ τὸ Πνεῦμα'. Διότι κατέκαιε σ' αὐτοὺς τὸ χάρισμα. «Καὶ δίδασκαν τὸ λόγο τοῦ Θεοῦ μὲ θάρρος πολύ. Καὶ ἦταν μία ἡ καρδιὰ καὶ ἡ ψυχὴ ὅλων ἐκείνων ποὺ πίστεψαν». Βλέπεις ὅτι μαζὶ μὲ τὴ χάρη τοῦ Θεοῦ πρόσφερναν καὶ τὰ δικά τους; Διότι παντοῦ πρέπει νὰ παρατηροῦμε αὐτό, ὅτι μαζὶ μὲ τὴ χάρη

ἑαυτῶν ἐπιδεικνύουσι· Καθάπερ Πέτρος ἔλεγεν· «Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι». Ὁ ἀνωτέρω οὖν εἶπεν, ὅτι «πάντες ἦσαν ἐπὶ τὸ αὐτό», πάλιν ἐνταῦθα δηλῶν ὅτι τὸ αὐτὸ λέγει, ὅτι «τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία».

Εἰπὼν δὲ ὅτι ἠκούσθησαν, λέγει λοιπὸν αὐτῶν καὶ τὴν ἀρετήν· καὶ γὰρ μέλλει ἐμβαίνειν εἰς τὸ διήγημα τῆς Σαπφείρας καὶ τοῦ Ἀνανίου. Διό, θέλων δεῖξαι τὴν μιαρίαν ἐκείνων, πρότερον περὶ τῆς τῶν ἄλλων ἀρετῆς διαλέγεται. Εἰπὲ δή μοι, ἡ ἀγάπη τὴν ἀκτημοσύνην ἔτεκεν, ἢ ἡ ἀκτημοσύνη τὴν ἀγάπην; Ἐμοὶ δοκεῖ ἡ ἀγάπη τὴν ἀκτημοσύνην, ἣ καὶ ἐπέσφιγγεν αὐτὴν μᾶλλον. Ἄκουε δὲ καὶ τί φησι· «Πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία». Ἰδοὺ καρδία καὶ ψυχὴ τὸ αὐτό. «Καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. Καὶ δυνάμει μεγάλῃ ἀπεδίδουν τὸ μαρτύριον τῆς ἀναστάσεως οἱ Ἀπόστολοι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ». Καθάπερ ἐγχειρισθέντας αὐτοὺς τοῦτο δείκνυσιν, ἢ καὶ ὡς περὶ ὀφλήματος λέγει· τουτέστι, τὸ μαρτύριον τῆς βασιλείας μετὰ παρρησίας πᾶσιν ἀπεδίδουν. «Χάρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς· οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς». Καθάπερ ἐν οἰκίᾳ πατρικῇ υἱοὶ ὁμότιμοι πάντες, οὕτω διέκειντο· οὐκ ἔνι γὰρ εἰπεῖν ὅτι ἔτρεφον μὲν τοὺς ἄλλους, ὡς ἐξ ἰδίων δὲ τρέφοντες, οὕτω διέκειντο. Ἀλλὰ τὸ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι, ἑαυτῶν ἀποστήσαντες τὰ πράγματα, οὕτως ἔτρεφον, ἵνα μηκέτι ὡς ἐξ ἰδίων, ἀλλ' ὡς ἐκ κοινῶν τρέφειν δοκῶσιν. «Ὅσοι δὲ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες τὰς τιμὰς τῶν

5. Πράξ. 2, 44.

τοῦ Θεοῦ ἐπιδεικνύουν καὶ τὰ δικά τους· ὅπως ἀκριβῶς ὁ Πέτρος ἔλεγε, «Ἀργυρᾶ καὶ χρυσᾶ νομίσματα δὲν ἔχω»[4]. Αὐτὸ λοιπὸν ποὺ εἶπε παραπάνω, ὅτι «ὅλοι οἱ πιστεύοντες ἦταν μεταξύ τους «ἑνωμένοι»[5], πάλι ἐδῶ δηλώνοντας λέγει, ὅτι «ἡ καρδιὰ καὶ ἡ ψυχὴ ὅλων ἐκείνων ποὺ πίστεψαν, ἦταν μία».

Ἀφοῦ δὲ εἶπε, ὅτι εἰσακούσθηκαν, λέγει στὴ συνέχεια καὶ τὴν ἀρετή τους· διότι πρόκειται νὰ εἰσέλθει στὴ διήγηση τῆς Σαπφείρας καὶ τοῦ Ἀνανία. Γι' αὐτό, ἐπειδὴ θέλει νὰ ἀποδείξει τὴν ἀχρειότητα ἐκείνων, προηγουμένως ὁμιλεῖ γιὰ τὴν ἀρετὴ τῶν ἄλλων. Πές μου λοιπόν, ἡ ἀγάπη ἔφερε τὴν ἀκτημοσύνη, ἢ ἡ ἀκτημοσύνη τὴν ἀγάπη; Ἐμένα μοῦ φαίνεται ὅτι ἡ ἀγάπη ἔφερε τὴν ἀκτημοσύνη, ἡ ὁποία καὶ περισσότερο σφιχτὰ συγκρατοῦσε αὐτήν. Ἄκουε δὲ καὶ τί λέγει· «Ὅλων ἡ καρδιὰ καὶ ἡ ψυχὴ ἦταν μιά». Νὰ ἡ καρδιὰ καὶ ἡ ψυχὴ εἶναι τὸ ἴδιο. «Καὶ κανένας δὲν βρισκόταν ἀπ' αὐτούς, ποὺ νὰ λέγει καὶ τὸ ἐλάχιστο ἀπὸ τὰ ὑπάρχοντά του καὶ τὴν περιουσία του ὅτι ἦταν δικό του, ἀλλὰ τὰ εἶχαν μεταξύ τους ὅλα σὲ κοινὴ χρήση. Καὶ μὲ δύναμη μεγάλη, ποὺ ἔπειθε τοὺς ἀκροατές, ἔδιναν οἱ Ἀπόστολοι τὴν μαρτυρία γιὰ τὴν ἀνάσταση τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ». Παρουσιάζει αὐτό, σὰν νὰ τοὺς εἶχε παραδοθεῖ ἢ τὸ λέγει σὰν νὰ πρόκειται γιὰ ὀφειλή· δηλαδὴ τὴ μαρτυρία γιὰ τὴ βασιλεία τὴν πρόσφεραν σ' ὅλους μὲ παρρησία. «Σὲ ὅλους αὐτοὺς τοὺς πιστοὺς ἡ χάρη τοῦ Θεοῦ ἦταν μεγάλη, διότι δὲν ὑπῆρχε κανένας μεταξύ τους ποὺ νὰ ἦταν φτωχὸς καὶ νὰ στεροῦνταν τὰ ἀπαραίτητα γιὰ τὴ ζωή του». Ὅπως ἀκριβῶς σὲ πατρικὴ οἰκία, ὅλοι οἱ υἱοὶ εἶναι ἰσότιμοι, ἔτσι ζοῦσαν αὐτοί. Διότι δὲν εἶναι δυνατὸν νὰ ποῦμε, ὅτι ἔτρεφαν μὲν τοὺς ἄλλους, συμπεριφέρονταν δὲ ἔτσι σὰν νὰ τοὺς ἔτρεφαν ἀπὸ τὰ δικά τους. Ἀλλὰ τὸ ἀξιοθαύμαστο εἶναι αὐτό, ὅτι, ἀφοῦ ἀποχωρίσθηκαν ἀπὸ τὰ δικά τους πράγματα, ἔτρεφαν τοὺς ἄλλους κατὰ τέτοιο τρόπο, ὥστε ποτὲ πλέον νὰ μὴ νομίζουν ὅτι τοὺς τρέφουν ἀπὸ τὰ δικά τους, ἀλλ' ἀπὸ τὰ κοινά. «Διότι ὅσοι ἦταν ἰδιοκτῆτες χωραφιῶν ἢ σπιτιῶν, ἀφοῦ τὰ πωλοῦσαν, ἔφερναν

πιπρασκομένων, καὶ ἐτίθεσαν παρὰ τοὺς πόδας τῶν Ἀποστόλων. Διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις χρείαν εἶχε». Πολλὴ ἡ τιμή, εἴ γε μὴ εἰς χεῖρας, ἀλλὰ παρὰ τοὺς πόδας τῶν Ἀποστόλων ἐτίθουν. «Ἰωσῆς δὲ ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν Ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον, Υἱὸς παρακλήσεως» (οὐ δοκεῖ μοι οὗτος ἐκεῖνος εἶναι ὁ μετὰ Ματθίου· ἐκεῖνος γὰρ καὶ Ἰωσῆς ἐλέγετο καὶ Βαρσαβᾶς, ὕστερον δὲ ἐπεκλήθη καὶ Ἰοῦστος· οὗτος δὲ Βαρνάβας, υἱὸς παρακλήσεως ὑπὸ τῶν Ἀποστόλων ἐπωνομάσθη. Καὶ δοκεῖ μοι ἀπὸ τῆς ἀρετῆς εἰληφέναι τὸ ὄνομα, ὡς πρὸς τοῦτο ἱκανὸς ὢν καὶ ἐπιτήδειος), «Λευΐτης, Κύπριος τῷ γένει, ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν Ἀποστόλων».

2. Ἐνταῦθά μοι παρατήρει πῶς δείκνυσι τὸν νόμον λυόμενον, καὶ πῶς φησι, «Λευΐτης ὤν, Κύπριος ἦν». Ὅτι λοιπὸν καὶ μετοικοῦντες ἐχρημάτιζον Λευῖται. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. «Ἀπολυθέντες», φησίν, ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον». Ὅρα τὸ ἄτυφον τῶν Ἀποστόλων, καὶ τὴν φιλοσοφίαν. Οὐ περιελθόντες ἐκόμπασαν καὶ εἶπον πῶς ἀπεχρήσαντο τοῖς ἱερεῦσιν οὐδὲ ἐφιλοτιμήσαντο τῇ ἀπαγγελίᾳ, ἀλλ' ἁπλῶς ἐλθόντες, ἅπερ ἤκουσαν παρὰ τῶν πρεσβυτέρων ἀπαγγέλλουσιν. Ἐντεῦθεν μανθάνομεν ὅτι τοῖς πειρασμοῖς ἑαυτοὺς οὐκ ἐπέρριπτον, ἀλλὰ μᾶλλον καὶ τοὺς ἐπαγομένους γενναίως ἔφερον. Ἄλλος δὲ εἴ τις ἦν, ἴσως ἂν τῇ τοῦ πλήθους παρρησίᾳ θαρρῶν κἂν ὕβρισε, κἂν μυρία ἐφθέγξατο δυσχερῆ. Ἀλλ' οὐχ οἱ φιλόσοφοι οὗτοι, ἀλλ' ἅπαντα ἡμέρως καὶ ἐπιεικῶς. «Οἱ δὲ ἀκούσαντες», φησί, «ὁμοθυμα-

τὶς εἰσπράξεις τῶν πωλουμένων καὶ τὶς τοποθετοῦσαν μπροστὰ στὰ πόδια τῶν Ἀποστόλων. Διαμοιράζονταν δὲ στὸν καθένα σύμφωνα μὲ τὴν ἀνάγκη ποὺ εἶχε». Ἦταν μεγάλη ἡ τιμή, ἐφ᾽ ὅσον βέβαια τοποθετοῦσαν τὶς εἰσπράξεις ὄχι στὰ χέρια τῶν Ἀποστόλων,. ἀλλὰ μπροστὰ στὰ πόδια τους. «Ὁ Ἰωσῆς δέ, ποὺ μετονομάσθηκε ἀπὸ τοὺς Ἀποστόλους Βαρνάβας, ὄνομα ποὺ μεταφράζεται στὴν ἑλληνικὴ υἱός παρηγορίας» (μοῦ φαίνεται ὅτι αὐτός δὲν εἶναι ἐκεῖνος ποὺ ἀναφέρεται μὲ τὸ Ματθία· διότι ἐκεῖνος καὶ Ἰωσῆς ὀνομαζόταν καὶ Βαρσαβᾶς, ὕστερα ὅμως ὀνομάσθηκε καὶ Ἰοῦστος· αὐτὸς ὅμως ὀνομάσθηκε ἀπὸ τοὺς Ἀποστόλους Βαρνάβας, υἱὸς δηλαδὴ παρακλήσεως. Καὶ μοῦ φαίνεται ὅτι ἔλαβε τὸ ὄνομα ἀπὸ τὴν ἀρετή, ἐπειδὴ ἦταν ἱκανός καὶ ἐπιτήδειος ὡς πρὸς αὐτό), «ποὺ ἦταν Λευίτης καὶ Κύπριος κατὰ τὴν καταγωγή του, εἶχε στὴ κατοχή του ἕνα ἀγρό, καί, ἀφοῦ τὸν πούλησε, ἔφερε τὰ χρήματα ποὺ εἰσέπραξε καὶ τὸ ἔθεσε μπροστὰ στὰ πόδια τῶν Ἀποστόλων».

2. Ἐδῶ παρακαλῶ, παρατήρησε πῶς ἀποδεικνύει τὸ νόμο καταργούμενο, καὶ πῶς λέγει, «ποὺ ἦταν Λευίτης καὶ καταγόμενος ἀπὸ τὴν Κύπρο». Διότι οἱ Λευίτες μποροῦσαν πλέον καὶ νὰ μετακινοῦνται. Ἀλλὰ ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ προαναφερθέντα· «Ὅταν», λέγει, «οἱ Ἀπόστολοι ἀφέθηκαν ἐλεύθεροι, πῆγαν στοὺς δικούς τους ὁμόπιστους καὶ τοὺς ἀνάγγειλαν ὅσα τοὺς εἶπαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι». Πρόσεχε τὴν ταπείνωση τῶν Ἀποστόλων καὶ τὴν εὐσέβειά τους. Δὲν κομπάζουν ἐπιστρέφοντας, οὔτε λέγουν πῶς ἀντιμετώπισαν τοὺς ἱερεῖς, οὔτε ὑπερηφανεύθηκαν μὲ τὴν ἀπαγγελία τους, ἀλλ᾽ ἁπλῶς ἐπέστρεψαν καὶ διηγήθηκαν τὰ ὅσα ἄκουσαν ἀπὸ τοὺς πρεσβυτέρους. Ἀπὸ αὐτὸ διδασκόμαστε, ὅτι δὲν ἔβαζαν τοὺς ἑαυτούς τους στοὺς πειρασμούς, ἀλλὰ μᾶλλον μὲ γενναιότητα ἀντιμετώπιζαν καὶ αὐτοὺς ποὺ τοὺς παρουσιάζονταν. Ἂν δὲ ἦταν κάποιος ἄλλος, παίρνοντας θάρρος ἀπὸ τὸ πλῆθος ποὺ τοὺς ὑποστήριζε, ἴσως νὰ ἔβριζε, ἢ νὰ ἔλεγε πολλὰ δυσάρεστα. Ὄχι ὅμως αὐτοὶ οἱ φιλόσοφοι, ἀλλὰ ὅλα τὰ κάμνουν μὲ ἠρεμία καὶ ἐπιείκεια. «Αὐ-

δὸν ἦραν φωνὴν πρὸς τὸν Θεόν». Ἡ κραυγὴ γέγονεν ἀπὸ ἡδονῆς καὶ διαθέσεως πολλῆς· καὶ γὰρ αἱ τοιαῦται ἀνύουσιν εὐχαί, αἱ φιλοσοφίας γέμουσαι, αἱ περὶ τοιούτων γινόμεναι, αἱ παρὰ τῶν τοιούτων, αἱ ἐν τοῖς τοιούτοις καιροῖς, αἱ κατὰ τὸν τρόπον τοῦτον· ὡς αἵ γε ἄλλαι βδελυκταὶ καὶ ἀκάθαρτοι.

Ὅρα πῶς οὐδὲν περιττόν, ἀλλὰ περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγονται μόνον· μᾶλλον δέ, καθάπερ ὁ Χριστὸς ἔλεγε τοῖς Ἰουδαίοις, «Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ λαλῶ», οὕτω καὶ αὐτοί φασι· «Διὰ Πνεύματος ἁγίου». Ἰδοὺ καὶ ὁ Σωτὴρ ἐν Πνεύματι φθέγγεται. Τί δέ ἐστιν, ὃ καὶ λέγουσιν, ἄκουε. «Δέσποτα ὁ Θεός, ὁ διὰ στόματος Δαυὶδ παιδός σου εἰπών· Ἵνα τί ἐφρύαξαν ἔθνη;». Ἔθος γὰρ τῇ Γραφῇ περὶ ἑνὸς ὡς περὶ πολλῶν λέγειν. Ὃ οὖν λέγουσι, τοῦτό ἐστιν· 'Οὐκ αὐτοὶ ἴσχυσαν, ἀλλὰ σὺ τὸ πᾶν, ὁ ἐπιτρέψας καὶ εἰς πέρας ἀγαγών, εἰργάσω, ὁ εὐμήχανος καὶ σοφός, ὁ τοῖς ἐχθροῖς εἰς τὸ βούλημά σου χρησάμενος· ἐνταῦθα γὰρ ταῦτα περὶ τῆς εὐμηχανίας καὶ σοφίας αὐτοῦ διαλέγονται, δηλοῦντες ὅτι αὐτοὶ μὲν συνῆλθον ὡς ἐχθροὶ φονικῇ προαιρέσει καὶ ὡς ἐναντιούμενοι, ἐποίουν δὲ (ἃ σὺ ὅμως ἐβούλου ποιῆσαι), «ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι». Τί ἐστιν, «Ἡ χείρ σου»; Ἐνταῦθά μοι δοκεῖ χεῖρα λέγειν τὴν δύναμιν καὶ βουλήν. Ἀρκεῖ, φησί, βουληθῆναί σε μόνον· οὐδεὶς γὰρ δυνάμει προορίζει. Τὸ οὖν «ὅσα ἡ χείρ σου», τοῦτό ἐστιν· 'Ὅσα διέταξας'. Ἢ τοίνυν τοῦτο λέγει, ἢ ὅτι τῇ χειρὶ διέπραττεν. Ὥσπερ οὖν τότε κενὰ ἐμελέτησαν, οὕτω καὶ νῦν, φησί, κενὰ μελετῆσαι αὐτοὺς ποίησον. «Καὶ δὸς τοῖς δούλοις σου»· τουτέστι, 'μὴ εἰς ἔργον ἔλθοιεν αἱ ἀπειλαὶ αὐτῶν'. Ταῦτα δὲ ἔλεγον, οὐκ αὐτοὶ παραιτούμενοι δυσχερές

τοὶ δὲ ὅταν ἄκουσαν αὐτά, λέγει, ὅλοι μαζὶ μὲ μιὰ καρδιὰ ὕψωσαν φωνὴ πρὸς τὸ Θεό». Ἡ κραυγὴ ἔγινε ἀπὸ εὐχαρίστηση καὶ πολλὴ διάθεση· καθόσον αὐτὲς οἱ προσευχὲς ὠφελοῦν, αὐτὲς ποὺ εἶναι γεμάτες ἀπὸ εὐσέβεια, ποὺ γίνονται γιὰ παρόμοια πράγματα, ποὺ προέρχονται ἀπὸ τέτοιους πιστούς, ποὺ γίνονται σὲ τέτοιες περιστάσεις καὶ μὲ τέτοιο τρόπο, ὅπως πάλι βέβαια οἱ ἄλλες εἶναι βδελυρὲς καὶ ἀκάθαρτες.

Πρόσεχε πῶς τίποτε περιττὸ δὲν λέγουν, ἀλλ' ὁμιλοῦν μόνο γιὰ τὴ δύναμη αὐτοῦ· μᾶλλον δέ, ὅπως ὁ Χριστὸς ἔλεγε στοὺς Ἰουδαίους, «Ἂν δὲ ἐγὼ ὁμιλῶ μὲ τὴ δύναμη τοῦ Πνεύματος τοῦ Θεοῦ», ἔτσι καὶ αὐτοὶ λέγουν «Μὲ Πνεῦμα ἅγιο». Νὰ καὶ ὁ Σωτὴρ ὁμιλεῖ μὲ Πνεῦμα. Ποιό δὲ εἶναι αὐτὸ ποὺ λέγουν, ἄκουε· «Κύριε ὁ Θεός, ποὺ μίλησες μὲ τὸ στόμα τοῦ δούλου σου Δαυὶδ καὶ εἶπες· γιατὶ κυριεύθηκαν ἀπὸ μανία τὰ ἔθνη;». Διότι συνηθίζει ἡ Γραφὴ νὰ ὁμιλεῖ γιὰ ἕνα, σὰν νὰ ὁμιλεῖ γιὰ πολλά. Αὐτὸ λοιπὸν ποὺ λέγουν, σημαίνει τὸ ἑξῆς· 'Δὲν ὑπερίσχυσαν αὐτοί, ἀλλὰ σὺ τὸ πᾶν ἐπέτυχες, σὺ ὁ ὁποῖος ἐπέτρεψες αὐτὰ καὶ τὰ ἔφερες σὲ πέρας, σὺ τὰ ἐργάσθηκες, σὺ ὁ ἐπινοητικὸς καὶ σοφός, σὺ ποὺ χρησιμοποίησες κατὰ τὸ θέλημά σου τοὺς ἐχθρούς'. Διότι ἐδῶ αὐτὰ τὰ λέγουν γιὰ τὴν ἐφευρετικότητα καὶ τὴ σοφία του, ἀποδεικνύοντας, ὅτι αὐτοὶ μὲν συγκεντρώθηκαν σὰν ἐχθροί, μὲ φονικὴ διάθεση καὶ σὰν ἀντίπαλοι, ἔκαναν ὅμως, (ἐκεῖνα ποὺ σὺ ἤθελες νὰ κάμουν), «ὅσα τὸ παντοδύναμο χέρι σου καὶ ἡ θέλησή σου ἀποφάσισαν νὰ γίνουν». Τί σημαίνει, «Τὸ χέρι σου»; Ἐδῶ μοῦ φαίνεται, ὅτι χέρι ὀνομάζει τὴ δύναμη καὶ θέλησή του. Ἀρκεῖ, λέγει, μόνο νὰ θελήσεις· διότι κανεὶς δὲν προαποφασίζει μὲ τὴ δύναμη. Τὸ «ὅσα τὸ χέρι σου» λοιπόν, αὐτὸ σημαίνει· 'ὅσα διέταξες'. Ἢ λοιπὸν αὐτὸ ἐννοεῖ, ἢ ὅτι μὲ τὸ χέρι τὰ διέπραττε. Ὅπως ἀκριβῶς λοιπὸν τότε μηχανεύθηκαν σχέδια μάταια, ἔτσι καὶ τώρα, λέγει, κάνε τους νὰ σκεφθοῦν μάταια. «Καὶ δῶσε στοὺς δούλους σου»· δηλαδὴ 'νὰ μὴ πραγματοποιηθοῦν οἱ ἀπειλές τους'. Ἔλεγαν δὲ αὐτά, ὄχι γιὰ νὰ ἀποφύγουν

τι παθεῖν, ἀλλ' ὑπὲρ τοῦ κηρύγματος· οὐ γὰρ εἶπον, 'Καὶ ἐξελοῦ τῶν κινδύνων ἡμᾶς', ἀλλὰ τί; «Καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον σου». Ὁ οὖν ἐκεῖνα εἰς τέλος ἀγαγών, καὶ ταῦτα ἄγαγε.

«Ὃν ἔχρισας», φησίν. Ὅρα πῶς καὶ ἐν τῇ εὐχῇ διαιροῦσι τὸ πάθος, καὶ τὸ πᾶν εἰς αὐτὸν ἀνατιθέασι, καὶ τῆς παρρησίας αὐτὸν αἴτιον εἶναι λέγουσιν. Εἶδες πῶς πάντα διὰ τὸν Θεὸν αἰτοῦσι, καὶ οὐδὲν εἰς οἰκείαν δόξαν οὐδὲ φιλοτιμίαν; Τὸ μὲν οὖν αὐτῶν ἀπαγγέλλονται, ὅτι οὐ καταπλαγήσονται, ἀξιοῦσι δὲ σημεῖα γενέσθαι. «Ἐν τῷ τὴν χεῖρά σου», φησίν, «ἐκτείνειν εἰς ἴασιν, καὶ σημεῖα καὶ τέρατα γίνεσθαι». Καλῶς· χωρὶς γὰρ τούτων εἰ μυρίαν ἐπεδείξατο προθυμίαν, εἰκῇ πάντα ἐποίουν. Ἐπένευσεν αὐτῶν τῇ δεήσει, καὶ δῆλον τοῦτο ἐποίησε, σείσας τὸν τόπον, ὅτι πάρεστι ταῖς εὐχαῖς αὐτῶν· «δεηθέντων γὰρ αὐτῶν», φησί, ἐσαλεύθη ὁ τόπος». Ὅτι δὲ διὰ τοῦτο ἐγένετο, ἄκουε τοῦ Προφήτου λέγοντος· «Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν»· καὶ πάλιν· «Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ». Ποιεῖ δὲ τοῦτο ὁ Θεὸς καὶ διὰ φόβον μείζονα, καὶ εἰς θάρσος αὐτοὺς ἐνάγων μετὰ τὰς ἀπειλὰς ἐκείνας, καὶ εἰς παρρησίαν πλείονα ἀλείφων. Ἐπεὶ γὰρ ἀρχὴ ἦν, καὶ αἰσθητοῦ ἐδέοντο σημείου πρὸς τὸ πιστευθῆναι αὐτούς, μετὰ δὲ ταῦτα οὐδαμοῦ τοῦτο γίνεται, πολλῆς οὕτω παρακλήσεως ἔτυχον ἀπὸ τῆς εὐχῆς. Εἰκότως δὲ καὶ σημείων χάριν αἰτοῦσιν· οὐδαμόθεν ἄλλοθεν εἶχον γὰρ ἐπιδεῖξαι ὅτι ἀνέστη, ἀλλ' ἢ ἀπὸ τῶν σημείων. Ὥστε οὐ τὴν ἀσφάλειαν ἐζήτουν τὴν αὐτῶν μόνον, ἀλλὰ καὶ τὸ μὴ καταισχυνθῆναι, ἀλλὰ τὸ ἐν παρρησίᾳ φθέγγεσθαι. Ἐσαλεύθη ὁ τόπος, καὶ αὐτοὺς μᾶλλον ἐστερέωσε. Τοῦτο δὲ ποτὲ μὲν ὀρ-

---

6. Ψαλμ. 103, 32.
7. Ψαλμ. 113, 7.

νὰ πάθουν κάτι κακὸ οἱ ἴδιοι, ἀλλὰ γιὰ χάρη τοῦ κηρύγματος· διότι δὲν εἶπαν, 'βγάλε μας ἀπὸ τοὺς κινδύνους', ἀλλὰ τί; «καὶ δῶσε στοὺς δούλους σου τὴ δύναμη γιὰ νὰ διδάσκουν τὸ λόγο σου μὲ ὅλο τὸ θάρρος». Σὺ λοιπὸν ποὺ πραγματοποίησες ἐκεῖνα, πραγματοποίησε καὶ αὐτά.

«Τὸν ὁποῖον ἔχρισες», λέγει. Πρόσεχε, πῶς καὶ στὴν προσευχὴ διαχωρίζουν τὸ πάθος, καὶ τὸ πᾶν σ' αὐτὸν ἀναθέτουν, καὶ διδάσκουν ὅτι αὐτὸς εἶναι αἴτιος καὶ τῆς παρρησίας. Εἶδες πῶς ὅλα τὰ ζητοῦν γιὰ τὸ Θεὸ καὶ τίποτε γιὰ τὴ δική τους δόξα, οὔτε ἀπὸ φιλοδοξία; Τὸ μὲν λοιπὸν δικό τους ὑπόσχονται, ὅτι δὲν θὰ ἐκπλαγοῦν, ζητοῦν ὅμως νὰ γίνουν θαύματα· «Καί, ἁπλώνοντας ἐσὺ τὸ παντοδύναμο χέρι σου, νὰ γίνονται θεραπεῖες ἀσθενειῶν, καὶ σημεῖα καὶ καταπληκτικὰ θαύματα». Πολὺ καλά· διότι χωρὶς αὐτά, ἀκόμη καὶ ἂν ἔδειχναν πολλὴ προθυμία, ἄσκοπα ὅλα θὰ τὰ ἔκαμναν. Εἰσάκουσε τὴ δέησή τους καὶ φανέρωσε αὐτό, σείοντας τὸν τόπο, γιὰ νὰ δείξει ὅτι εἶναι παρὼν στὶς προσευχές τους. Διότι, λέγει, «ὅταν αὐτοὶ προσευχήθηκαν σείσθηκε ὁ τόπος». Ὅτι δέ, ἔγινε γι' αὐτό, ἄκουε τὸν Προφήτη ποὺ λέγει· «Αὐτός, ποὺ μὲ ἕνα του βλέμμα ποὺ ρίπτει στὴ γῆ, τὴν κάμνει νὰ τρέμει»[6]· καὶ πάλι· «Ἀπὸ τὸ φόβο ποὺ ἐμπνέει τὸ πρόσωπο τοῦ Κυρίου σαλεύθηκε ἡ γῆ ἀπὸ σεισμό, ἀπὸ τὸ πρόσωπο τοῦ Θεοῦ τοῦ Ἰακώβ»[7]. Τὸ κάμνει δὲ αὐτὸ ὁ Θεὸς καὶ γιὰ μεγαλύτερο φόβο, καὶ ὁδηγώντας αὐτοὺς σὲ θάρρος, μετὰ τὶς ἀπειλὲς ἐκεῖνες, καὶ προετοιμάζοντας αὐτοὺς σὲ μεγαλύτερη παρρησία. Διότι, ἐπειδὴ ἦταν ἀρχὴ καὶ χρειάζονταν ἕνα αἰσθητὸ σημεῖο γιὰ νὰ γίνουν αὐτοὶ πιστευτοί, ἐνῶ στὴ συνέχεια πουθενὰ δὲν γίνεται αὐτό, γι' αὐτὸ ἔλαβαν πολλὴ παρηγορία ἀπὸ τὴν προσευχή. Δικαιολογημένα δὲ ζητοῦν καὶ τὴ χάρη τῶν σημείων· διότι δὲν εἶχαν νὰ ἀποδείξουν ἀπὸ τίποτε ἄλλο ὅτι ἀναστήθηκε, παρὰ μόνο ἀπὸ τὰ σημεῖα. Ὥστε δὲν ζητοῦσαν τὴ δική τους μόνο ἀσφάλεια, ἀλλὰ καὶ νὰ μὴ καταισχυνθοῦν, καὶ νὰ ὁμιλοῦν μὲ παρρησία. Σείσθηκε ὁ τόπος καὶ αὐτοὺς περισσότερο τοὺς στερέωσε. Τοῦτο δὲ ἄλλοτε μὲν εἶναι

γῆς ἐστι δεῖγμα, ποτὲ δὲ ἐπισκέψεως καὶ προνοίας, νυνὶ δὲ ὀργῆς. Ἐπὶ δὲ τοῦ σωτηρίου πάθους ξένως καὶ παρὰ φύσιν γέγονε. Καὶ γὰρ τότε πᾶσα ἐσαλεύθη ἡ γῆ. Καὶ αὐτὸς δὲ ὁ Σωτὴρ ἔλεγε· «Τότε ἔσονται λιμοὶ καὶ λοιμοί, καὶ σεισμοὶ κατὰ τόπους». Ἄλλως δὲ καὶ ὀργῆς τῆς κατ' ἐκείνων ἦν· τούτους γὰρ Πνεύματος ἐνέπλησεν. Ὅρα καὶ οἱ Ἀπόστολοι μετὰ τὴν εὐχὴν Πνεύματος πληροῦνται. «Καὶ χάρις μεγάλη ἦν», φησίν, «ἐπὶ πάντας αὐτούς· οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς». Ὁρᾷς ὅτι πολλὴ τοῦ πράγματος ἡ δύναμις, ὅπου γε καὶ ἐκεῖ ταύτης ἔδει. Αὕτη γὰρ ἡ ὑπόθεσις τῶν ἀγαθῶν, ἧς καὶ δεύτερον μέμνηται, παραινῶν πᾶσι τὴν τῶν χρημάτων ὑπεροψίαν, ἀνωτέρω μὲν λέγων ὅτι «οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι», ἐνταῦθα δὲ ὅτι «οὐκ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς».

3. Ὅτι γὰρ οὐ τῶν σημείων ἦν τὸ γινόμενον μόνον, ἀλλὰ καὶ τῆς αὐτῶν προαιρέσεως, δηλοῖ ἡ Σάπφειρα καὶ ὁ Ἀνανίας. Οὐ λόγῳ δέ, ἀλλὰ καὶ δυνάμει τὸ μαρτύριον τῆς ἀναστάσεως ἐδείκνυσαν, καθάπερ καὶ Παῦλος λέγει· «Καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως». Καὶ οὐχ ἁπλῶς δυνάμει, ἀλλὰ μεγάλῃ δυνάμει. Καλῶς δὲ εἶπε, «Χάρις ἦν ἐπὶ πάντας». Διὰ τοῦτο γὰρ ἡ χάρις, ὅτι οὐδεὶς ἦν ἐνδεής· τουτέστιν, ἀπὸ τῆς πολλῆς προθυμίας τῶν ἐπιδιδόντων οὐδεὶς ἦν ἐνδεής· οὐ γὰρ μέρει μὲν ἐδίδοσαν, μέρει δὲ ἐταμιεύοντο, οὐδὲ πάντα μέν, ὡς ἴδια δέ. Τὴν ἀνωμαλίαν ἐκ μέσου ἐξήγαγον, καὶ ἐν ἀφθονίᾳ ἔζων πολλῇ· καὶ μετὰ πολλῆς δὲ

8. Ματθ. 24, 7.
9. Α' Κορινθ. 2, 4.

δεῖγμα θείας ὀργῆς, ἄλλοτε δὲ θείας ἐπισκέψεως καὶ πρόνοιας, τώρα ὅμως εἶναι δεῖγμα θείας ὀργῆς. Κατὰ τὴ διάρκεια δὲ τοῦ πάθους τοῦ Σωτῆρος ἐπὶ τοῦ σταυροῦ, κάτι παράξενο καὶ ἀφύσικο ἔγινε. Καθόσον τότε σείσθηκε ὅλη ἡ γῆ. Καὶ ὁ ἴδιος ὁ Σωτὴρ ἔλεγε· «Τότε θὰ συμβοῦν πεῖνες καὶ ἐπιδημίες καὶ σεισμοὶ σὲ διάφορους τόπους»[8]. Ἐξ ἄλλου δὲ ἦταν καὶ δεῖγμα ὀργῆς ἐναντίον ἐκείνων· αὐτοὺς ὅμως τοὺς γέμισε ἀπὸ τὸ Ἅγιο Πνεῦμα. Πρόσεχε ὅτι καὶ οἱ Ἀπόστολοι μετὰ τὴν προσευχὴ γεμίζουν ἀπὸ τὸ ἅγιο Πνεῦμα. «Καὶ μεγάλη χάρη τοῦ Θεοῦ», λέγει, «ἦταν σὲ ὅλους αὐτοὺς τοὺς πιστούς. Καὶ ἀπόδειξη τῆς χάριτος αὐτῆς ἦταν ὅτι δὲν ὑπῆρχε κανένας ἀνάμεσα σ' αὐτοὺς φτωχός». Βλέπεις, ὅτι εἶναι πολὺ μεγάλη ἡ δύναμη τοῦ πράγματος, ὅπου βέβαια καὶ ἐκεῖ αὐτὴ χρειαζόταν. Διότι αὐτὴ εἶναι ἡ αἰτία τῶν ἀγαθῶν, τὴν ὁποίαν καὶ γιὰ δεύτερη φορὰ μνημονεύει, συμβουλεύοντας σὲ ὅλους τὴν περιφρόνηση τῶν χρημάτων· παραπάνω μὲν λέγοντας, ὅτι «Καὶ οὔτε ἕνας ἀπὸ αὐτοὺς ἔλεγε ὅτι καὶ τὸ ἐλάχιστο ἀπὸ τὰ ὑπάρχοντά του εἶναι δικό του», ἐδῶ δέ, ὅτι «Δὲν ὑπῆρχε ἀνάμεσα σ' αὐτοὺς κανένας φτωχός».

3. Τὸ ὅτι μὲν αὐτὸ ποὺ συνέβαινε δὲν ὀφειλόταν μόνο στὰ θαύματα, ἀλλὰ καὶ στὴ διάθεση αὐτῶν, τὸ φανερώνει ἡ Σάπφειρα καὶ ὁ Ἀνανίας. Ἀπέδειξαν τὴ μαρτυρία τῆς ἀναστάσεως ὄχι μόνο μὲ λόγια, ἀλλὰ καὶ μὲ δύναμη, ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος λέγει· «Καὶ τὸ κήρυγμά μου δὲν ἔγινε μὲ λόγους πιθανοὺς καὶ συναρπαστικοὺς τῆς ἀνθρώπινης σοφίας, ἀλλ' ἔγινε μὲ ἀπόδειξη Πνεύματος καὶ θείας δυνάμεως»[9]. Καὶ ὄχι ἁπλῶς μὲ δύναμη, ἀλλὰ μὲ μεγάλη δύναμη. Καλὰ δὲ εἶπε, «Ἡ χάρη τοῦ Θεοῦ ἦταν σὲ ὅλους τοὺς πιστούς». Διότι γι' αὐτὸ ὑπῆρχε ἡ χάρη, διότι κανένας δὲν ἦταν φτωχός· δηλαδὴ ἀπὸ τὴν πολλὴ προθυμία ἐκείνων ποὺ πρόσφεραν δὲν ὑπῆρχε κανένας φτωχός. Διότι δὲν ἔδιναν μὲν ἕνα μέρος, ἄλλο δὲ μέρος τὸ ἀποταμίευαν, οὔτε ὅλα μέν, ἀλλὰ τὰ εἶχαν σὰν δικά τους. Τὴν ἀνωμαλία αὐτὴ τὴν ἐξαφάνισαν καὶ ζοῦσαν μὲ ἀφθονία πολλή· καὶ μὲ πολλὴ ἐκτίμηση δὲ

τῆς τιμῆς τοῦτο ἐποίουν· οὐδὲ γὰρ εἰς τὰς χεῖρας ἐτόλμων δοῦναι, οὐδὲ τετυφωμένως παρεῖχον, ἀλλὰ παρὰ τοὺς πόδας ἔφερον, καὶ αὐτοὺς οἰκονόμους ἠφίεσαν γίνεσθαι, καὶ κυρίους ἐποίουν, ἵνα ὡς ἐκ κοινῶν λοιπὸν ἀναλίσκηται, ἀλλὰ μὴ ὡς ἐξ ἰδίων. Τοῦτο καὶ πρὸς τὸ μὴ κενοδοξεῖν αὐτοὺς συνεβάλλετο. Τοῦτο εἰ καὶ νῦν γέγονε, μετὰ πλείονος ἂν τῆς ἡδονῆς ἐβιώσαμεν, καὶ πλούσιοι καὶ πένητες. Οὐ τοῖς πένησι δὲ μᾶλλον, ἢ τοῖς πλουσίοις τοῦτο ἔφερεν ἂν τὴν ἡδονήν. Καὶ εἰ βούλει, τέως ὑπογράψωμεν αὐτῷ τῷ λόγῳ, καὶ ταύτῃ καρπωσώμεθα τὴν ἡδονήν, ἐπειδὴ ἐν ἔργοις οὐ βούλεσθε. Μάλιστα μὲν γὰρ καὶ ἐξ ἐκείνων δῆλον τῶν τότε γενομένων, ὅτι πωλοῦντες οὐκ ἦσαν ἐνδεεῖς, ἀλλὰ καὶ τοὺς πένητας πλουσίους ἐποίουν.

Πλὴν ἀλλὰ καὶ νῦν ὑπογράψωμεν τοῦτο τῷ λόγῳ, καὶ πάντες τὰ αὐτῶν πωλείτωσαν πάντα, καὶ φερέτωσαν εἰς μέσον, τῷ λόγῳ λέγω· μηδεὶς θορυβείσθω, μήτε πλούσιος, μήτε πένης. Πόσον οἴει χρυσίον συνάγεσθαι; Ἐγὼ στοχάζομαι (οὐ γὰρ δὴ μετὰ ἀκριβείας δυνατὸν εἰπεῖν), ὅτι, εἰ πάντες καὶ πᾶσαι τὰ αὐτῶν ἐνταῦθα ἐκένωσαν χρήματα, καὶ χωρία καὶ κτήματα καὶ οἰκίας ἀπέδοντο, (ἀνδράποδα γὰρ οὐκ ἂν εἴποιμι· οὐδὲ γὰρ τότε τοῦτο ἦν, ἀλλ' ἐλευθέρους ἴσως ἐπέτρεπον γίνεσθαι), τάχα ἂν ἑκατὸν μυριάδες λιτρῶν χρυσίου συνήχθησαν· μᾶλλον δὲ καὶ δὶς καὶ τρὶς τοσαῦτα. Εἰπὲ γάρ μοι, ἡ πόλις ἡμῖν εἰς πόσον μιγάδων ἀριθμὸν νῦν τελεῖ; πόσους βούλεσθε εἶναι Χριστιανούς; βούλεσθε δέκα μυριάδας, τὸ δὲ ἄλλο Ἑλλήνων καὶ Ἰουδαίων; πόσαι μυριάδες χρυσίου ἂν συνελέγησαν; πόσος δὲ ἀριθμός ἐστι πενήτων; Οὐκ οἶμαι πλέον μυριάδων πέντε. Τούτους δὴ καθ' ἑκάστην ἡμέραν τρέφεσθαι πόση ἀφθονία ἦν; Μᾶλλον δέ, κοι-

ἔκαμναν αὐτό· διότι οὔτε στὰ χέρια τολμοῦσαν νὰ τὰ δίνουν, οὔτε μὲ ἀλαζονεία τὰ παρεῖχαν, ἀλλὰ τὰ ἔφερναν μπροστὰ στὰ πόδια τους, καὶ ἐπέτρεψαν αὐτοὺς νὰ γίνουν οἰκονόμοι καὶ τοὺς ἔκαμναν κυρίους αὐτῶν γιὰ νὰ ξοδεύουν κατόπιν σὰν ἀπὸ κοινὰ καὶ ὄχι σὰν ἀπὸ τὰ δικά τους. Αὐτὸ συντελοῦσε νὰ μὴ ὑπερηφανεύονται αὐτοί. Τοῦτο ἂν καὶ τώρα γινόταν, θὰ μπορούσαμε νὰ ζήσουμε μὲ περισσότερη εὐχαρίστηση, καὶ πλούσιοι καὶ φτωχοί. Καὶ αὐτὸ δὲ θὰ ἔφερνε εὐχαρίστηση ὄχι περισσότερη στοὺς φτωχούς, ἀπ' ὅ,τι στοὺς πλούσιους. Καὶ ἂν θέλεις, πρῶτα ἂς τὸ περιγράψουμε αὐτὸ μὲ τὰ λόγια καὶ ἂς καρπωθοῦμε μὲ τὸν τρόπο αὐτὸ τὴν εὐχαρίστηση, ἐπειδὴ στὴν πράξη δὲν θέλετε. Διότι περισσότερο μὲν φανερὸ γίνεται ἀπὸ ἐκεῖνα ποὺ ἔγιναν τότε, ὅτι δηλαδὴ ἐνῶ τὰ πουλοῦσαν, δὲν ἦταν φτωχοί, ἀλλὰ καὶ τοὺς φτωχοὺς ἔκαμναν πλουσίους.

Πλὴν ὅμως καὶ τώρα ἂς περιγράψουμε αὐτὸ μὲ τὸ λόγο, καὶ ἂς πουλήσουν ὅλοι ὅλα τὰ δικά τους καὶ ἂς τὰ φέρουν μπροστὰ σὲ ὅλους, μὲ τὸ λόγο λέγω· κανένας ἂς μὴ θορυβηθεῖ, οὔτε πλούσιος, οὔτε φτωχός. Πόσος χρυσὸς νομίζεις ὅτι συγκεντρώνεται; Ἐγὼ ὑπολογίζω, (διότι δὲν εἶναι δυνατὸ νὰ τὸ ποῦμε μὲ ἀκρίβεια), ὅτι, ἂν ὅλοι καὶ ὅλες ἔφερναν καὶ παρέδιναν ἐδῶ τὰ χρήματά τους καὶ τὰ χωράφια καὶ τὰ κτήματα καὶ τὶς οἰκίες (διότι δὲν θὰ μποροῦσα νὰ μιλήσω γιὰ δούλους· διότι τότε δὲν θὰ ὑπῆρχαν αὐτοί, ἀλλ' ἴσως ἐπέτρεπαν νὰ γίνονται ἐλεύθεροι), ἴσως νὰ συγκεντρωνόταν περίπου ἕνα ἑκατομμύριο λίτρα χρυσοῦ· μᾶλλον δὲ καὶ διπλάσια καὶ τριπλάσια ἀπὸ αὐτά. Διότι πές μου, πόσον ἀριθμὸ μιγάδων ἔχει σήμερα ἡ πόλη μας; πόσοι νομίζετε ὅτι εἶναι χριστιανοί; θέλετε ἑκατὸ χιλιάδες, τὸ δὲ ὑπόλοιπο εἶναι ἐθνικοὶ καὶ Ἰουδαῖοι; πόσες δεκάδες χιλιάδες χρυσοῦ θὰ μποροῦσαν νὰ συγκεντρωθοῦν; πόσος δὲ εἶναι ὁ ἀριθμὸς τῶν φτωχῶν; δὲν νομίζω ὅτι εἶναι περισσότεροι ἀπὸ πενήντα χιλιάδες. Πόση λοιπὸν τροφὴ θὰ χρειαζόταν γιὰ νὰ τρέφονται αὐτοὶ κάθε ἡμέρα; Μᾶλλον δὲ ἐπειδὴ ἡ τροφὴ θὰ εἶναι κοινὴ

νῆς τῆς τροφῆς γινομένης, καὶ συσσίτων ὄντων, οὐδὲ πολλῆς ἂν ἐδέησε δαπάνης. Τί οὖν, φησίν, ἐμέλλομεν ποιεῖν μετὰ τὸ ἀναλωθῆναι; Σὺ οἴει δυνηθῆναι ἀναλωθῆναί ποτε; οὐ γὰρ ἂν μυριοπλασίων ἡ τοῦ Θεοῦ χάρις ἐξεχύθη; Τί δαί; οὐκ ἂν οὐρανὸν ἐποιήσαμεν τὴν γῆν; Εἰ, ἔνθα τρισχίλιοι καὶ πεντακισχίλιοι, τοῦτο γενόμενον οὕτως ἔλαμψε, καὶ οὐδεὶς αὐτῶν πενίαν ᾐτιάσατο, πόσῳ μᾶλλον ἐν τοσούτῳ πλήθει; τίς δὲ οὐκ ἂν καὶ τῶν ἔξωθεν ἐπέδωκεν; Ἵνα δὲ δείξω ὅτι τὸ διεσπάσθαι, τοῦτο δαπανηρὸν καὶ πενίας ποιητικόν, ἔστω οἰκία, ἔνθα παιδία δέκα καὶ γυνὴ καὶ ἀνήρ, καὶ ἡ μὲν ἐριουργείτω, ὁ δὲ ἔξωθεν φερέτω προσόδους· εἰπὲ δή μοι, οὗτοι, κοινῇ σιτούμενοι καὶ μίαν ἔχοντες οἰκίαν, πλείονα ἂν ἀναλίσκοιεν, ἢ διασπασθέντες; Εὔδηλον ὅτι διασπασθέντες. Εἰ γὰρ μέλλοιεν διεσπάσθαι τὰ δέκα παιδία, δέκα καὶ οἰκημάτων χρεία, δέκα τραπεζῶν, δέκα ὑπηρετῶν, καὶ τῆς ἄλλης προσόδου τοσαύτης. Τί δέ, ἔνθα δούλων πλῆθός ἐστιν; οὐχὶ διὰ τοῦτο πάντες μίαν ἔχουσι τράπεζαν, ὥστε μὴ πολλὴν γενέσθαι τὴν δαπάνην; Ἡ γὰρ διαίρεσις ἀεὶ ἐλάττωσιν ἐμποιεῖ, ἡ δὲ ὁμόνοια καὶ συμφωνία αὔξησιν. Οὕτως οἱ ἐν τοῖς μοναστηρίοις ζῶσι νῦν, ὥσπερ ποτὲ οἱ πιστοί. Τίς ἂν ἀπέθανεν οὖν ἀπὸ λιμοῦ; τίς δὲ οὐ διετράφη μετὰ ἀφθονίας πολλῆς; Νῦν μὲν οὖν τοῦτο δεδοίκασιν ἄνθρωποι μᾶλλον, ἢ εἰς πέλαγος ἐμπεσεῖν ἄπλετον καὶ ἄπειρον, εἰ δὲ πεῖραν ἐποιησάμεθα τούτου, τότε ἂν κατετολμήσαμεν τοῦ πράγματος. Πόσην οἴει καὶ χάριν εἶναι; Εἰ γὰρ τότε, ὅτε οὐδεὶς ἦν πιστός, ἀλλὰ τρισχίλιοι καὶ πεντακισχίλιοι μόνον, ὅτε πάντες οἱ τῆς οἰκουμένης ἦσαν ἐχθροί, ὅτε οὐδαμόθεν προσεδόκων παραμυθίαν. οὕτω δὴ κατετόλμησαν τοῦ πράγματος, πόσῳ

καὶ θὰ ὑπάρχουν σισσίτια, δὲν θὰ χρειαζόταν πολλὴ δαπάνη. Τί λοιπόν, λέγει, ἐπρόκειτο νὰ κάνουμε, ὅταν θὰ τελείωναν οἱ τροφές; Σὺ νομίζεις ὅτι εἶναι δυνατὸν νὰ τελειώσουν ποτέ; διότι δὲν θὰ γινόταν μυριοπλάσια ἡ χάρη τοῦ Θεοῦ; δὲν θὰ ξεχνιόταν πλούσια ἡ χάρη τοῦ Θεοῦ; Τί λοιπόν; δὲν θὰ μετατρέπαμε τὴ γῆ σὲ οὐρανό; Ἂν αὐτὸ ἔγινε ὅπου ἦταν τρεῖς χιλιάδες καὶ πέντε χιλιάδες, καὶ τόσο πολὺ ἔλαμψε καὶ κανένας ἀπὸ αὐτοὺς δὲν διαμαρτυρήθηκε γιὰ φτώχεια, πόσο μᾶλλον σὲ τόσο πολὺ πλῆθος; Ποιὸς δὲ καὶ ἀπὸ τοὺς μὴ χριστιανοὺς δὲν θὰ ἔδινε; Γιὰ νὰ ἀποδείξω δὲ ὅτι ἡ διάσπαση αὐτὴ εἶναι δαπανηρὴ καὶ δημιουργὸς τῆς φτώχειας, ἂς ὑποθέσουμε ὅτι ὑπάρχει μιὰ οἰκία, ὅπου ὑπάρχουν δέκα παιδιά, ἡ γυναίκα καὶ ὁ ἄνδρας, καὶ ἡ μὲν γυναίκα ἀσχολεῖται μὲ τὴν κατασκευὴ μάλλινων εἰδῶν, ὁ δὲ ἄνδρας φέρνει ἀπ' ἔξω ἔσοδα· πές μου λοιπόν, ἐὰν αὐτοὶ διατρέφονται ἀπὸ κοινοῦ καὶ ἔχουν μιὰ οἰκία, θὰ ξόδευαν περισσότερα ἔτσι ἢ ἐὰν θὰ εἶχαν διασπασθεῖ; Εἶναι φανερὸ ὅτι θὰ ξόδευαν περισσότερα ὅταν θὰ εἶχαν διασπασθεῖ. Διότι, ἐὰν συνέβαινε νὰ διαχωρισθοῦν τὰ δέκα παιδιά, θὰ χρειάζονταν καὶ δέκα οἰκήματα, δέκα τράπεζες, δέκα ὑπηρέτες καὶ ἄλλα τόσα ἔσοδα. Τί λοιπὸν γίνεται, ὅπου ὑπάρχει πλῆθος δούλων; δὲν ἔχουν γι' αὐτὸ ὅλοι μιὰ τράπεζα, ὥστε νὰ μὴ γίνει πολλὴ ἡ δαπάνη; Διότι πάντοτε ἡ διαίρεση προκαλεῖ ἐλάττωση, ἡ δὲ ὁμόνοια καὶ συμφωνία προκαλεῖ αὔξηση. Κατὰ τὸν ἴδιο τρόπο ζοῦν σήμερα οἱ μοναχοὶ στὰ μοναστήρια, ὅπως ἀκριβῶς τότε οἱ πιστοί. Ποιὸς λοιπὸν πέθανε ἀπὸ πείνα; ποιὸς δὲ δὲν διατράφηκε μὲ μεγάλη ἀφθονία; Σήμερα λοιπὸν αὐτὸ φοβοῦνται οἱ ἄνθρωποι περισσότερο παρὰ νὰ πέσουν στὸ φοβερὸ καὶ ἀνοικτὸ πέλαγος, ἂν ὅμως τὸ δοκιμάζαμε αὐτό, τότε θὰ τολμούσαμε τὸ πράγμα. Καὶ πόση χάρη νομίζεις ὅτι ὑπάρχει; Διότι, ἂν τότε, ὅταν δὲν ὑπῆρχε κανένας πιστός, ἀλλὰ τρεῖς καὶ πέντε χιλιάδες μόνο, ὅταν ὅλοι οἱ ἄνθρωποι τῆς γῆς ἦταν ἐχθροί, ὅταν ἀπὸ πουθενὰ δὲν ἀνέμεναν παρηγορία, μὲ τόση τόλμη ἐπιχείρησαν τὸ πράγμα, πόσο περισσότερο τώρα θὰ

μᾶλλον· νῦν τοῦτο ἂν ἐγένετο, ἔνθα τῇ τοῦ Θεοῦ χάριτι πανταχοῦ τῆς οἰκουμένης πιστοί; τίς δ' ἂν ἔμενεν Ἕλλην λοιπόν; Οὐδένα ἔγωγε ἡγοῦμαι· οὕτως ἂν πάντας ἐπεσπασάμεθα, καὶ εἱλκύσαμεν πρὸς ἡμᾶς αὐτούς. Πλὴν ἀλλά, ἐὰν ὁδῷ ταύτῃ προβαίνωμεν, πιστεύω τῷ Θεῷ ὅτι καὶ τοῦτο ἔσται. Πείσθητέ μοι μόνον, καὶ κατὰ τάξιν κατορθώσομεν τὰ πράγματα· καὶ ἂν ὁ Θεὸς ζωὴν δῷ, πιστεύω ὅτι ταχέως εἰς ταύτην ἡμᾶς ἄξομεν τὴν πολιτείαν.

4. Τέως τὸν νόμον τὸν περὶ τοῦ ὅρκου κατορθώσατε, καὶ βεβαιώσατε· καὶ ὁ φυλάξας τὸν μὴ φυλάξαντα δῆλον ποιείτω, καὶ ἐγκαλείτω λοιπόν, καὶ ἐπιτιμάτω σφοδρῶς· ἡ γὰρ προθεσμία ἐγγύς, καὶ ἐξέτασιν ποιήσω τοῦ πράγματος, καὶ τὸν ἁλόντα ἀφορίσω καὶ ἀπείρξω. Ἀλλὰ μηδένα γένοιτο τοιοῦτον εὑρεθῆναι παρ' ἡμῖν, ἀλλὰ πάντας μετὰ ἀκριβείας τὸ σύνθημα τὸ πνευματικὸν τοῦτο φυλάξαι! Καθάπερ οὖν ἐν πολέμῳ ἀπὸ τοῦ συνθήματος οἵ τε οἰκεῖοι καὶ ἀλλότριοι γνωρίζονται, οὕτω δὴ καὶ νῦν γινέσθω· καὶ γὰρ καὶ νῦν ἐν πολέμῳ ἐσμέν, ἵνα καὶ τοὺς ἀδελφοὺς ἐπιγινώσκωμεν τοὺς οἰκείους. Ὅσον γάρ ἐστιν ἀγαθὸν τοῦτο ἡμῖν εἶναι τὸ γνώρισμα, καὶ ἐνταῦθα καὶ ἐπὶ τῆς ἀλλοτρίας; οἷον τοῦτο ὅπλον κατὰ τῆς τοῦ διαβόλου μηχανῆς; Στόμα γάρ, οὐκ εἰδὸς ὀμνύειν, ταχέως καὶ τὸν Θεὸν ἐν εὐχαῖς ἐπισπάσεται, καὶ τὸν διάβολον πλήξει καιρίαν πληγήν· στόμα, οὐκ εἰδὸς ὀμνύειν, οὐδὲ ὑβρίζειν εἴσεται. Καθάπερ ἐξ οἰκίας τινός, οὕτως ἀπὸ τῆς γλώττης τὸ πῦρ ἔκβαλε τοῦτο, καὶ παρέλκυσον ἔξω. Δὸς αὐτῇ μικρὸν ἀναπνεῦσαι, τὸ ἕλκος ἀσθενέστερον ποίησον.

Ναί, παρακαλῶ, ἵνα ὑμῖν καὶ ἕτερόν τι ἐκδῶ μάθημα· οὔπω γὰρ τούτου κατωρθωμένου, οὐ τολμῶ ἐπὶ ἕτερόν τι ἐλθεῖν. Τοῦτο μετὰ ἀκριβείας ὑμῖν κατορθωθήτω· τούτου λάβετε τοῦ κατορθώματος αἴσθησιν πρότερον, καὶ τότε ὑμῖν καὶ

μποροῦσε νὰ γίνει αὐτό, ὅταν μὲ τὴ χάρη τοῦ Θεοῦ παντοῦ στὴν οἰκουμένη ὑπάρχουν πιστοί; Ποιὸς δὲ πλέον θὰ παρέμεινε ἐθνικός; Ἐγὼ τουλάχιστο νομίζω κανένας· ἔτσι ὅλους θὰ τοὺς κάναμε δικούς μας καὶ θὰ τοὺς προσελκύαμε κοντά μας. Πλὴν ὅμως, ἂν ἀκολουθοῦμε αὐτὸ τὸ δρόμο, πιστεύω στὸ Θεό, ὅτι καὶ αὐτὸ θὰ γίνει. Πιστέψτε μόνο τὰ λόγια μου καὶ μὲ τὴ σειρὰ θὰ τὰ κατορθώσουμε τὰ πράγματα· καὶ ἂν ὁ Θεὸς μᾶς δώσει ζωή, πιστεύω ὅτι γρήγορα θὰ φθάσουμε σ' αὐτὸ τὸν τρόπο ζωῆς.

4. Πρῶτα κατορθώσατε τὸ νόμο γιὰ τὸν ὅρκο καὶ σταθεροποιήσατε αὐτόν· καὶ αὐτὸς ποὺ τὸν φύλαξε, ἂς φανερώσει αὐτὸν ποὺ δὲν τὸν φύλαξε, καὶ ἂς τὸν κατηγορεῖ πλέον καὶ ἂς τὸν ἐπιτιμᾶ πολὺ αὐστηρά. Διότι ἡ προθεσμία εἶναι κοντὰ καὶ θὰ κάνω ἐξέταση τοῦ πράγματος καὶ ἐκεῖνον ποὺ θὰ συλλάβω θὰ τὸν ἀφορίσω καὶ θὰ τὸν ἀπομακρύνω. Ἀλλ' εἴθε νὰ μὴ βρεθεῖ κανένας τέτοιος ἀνάμεσά μας, ἀλλὰ ὅλοι νὰ φυλάξουν μὲ ἀκρίβεια τὸ πνευματικὸ αὐτὸ σύνθημα. Ὅπως ἀκριβῶς λοιπὸν στὸν πόλεμο μὲ τὸ σύνθημα γνωρίζονται καὶ οἱ οἰκεῖοι καὶ οἱ ξένοι, ἔτσι λοιπὸν καὶ τώρα ἂς γίνει. Διότι καὶ τώρα εἴμαστε σὲ πόλεμο γιὰ νὰ ἀναγνωρίσουμε καὶ τοὺς δικούς μας ἀδελφούς. Ὑπάρχει μεγαλύτερο ἀγαθὸ σ' ἐμᾶς ἀπὸ τὸ γνώρισμα αὐτό, καὶ ἐδῶ καὶ στὴν ἄλλη ζωή; Ὑπάρχει σὰν αὐτὸ τὸ ὅπλο κατὰ τῆς πανουργίας τοῦ διαβόλου; Διότι στόμα ποὺ δὲν γνωρίζει νὰ ὀρκίζεται, γρήγορα καὶ τὸ Θεὸ στὶς προσευχὲς θὰ προσελκύσει, καὶ στὸ διάβολο θὰ δώσει θανάσιμο κτύπημα· στόμα ποὺ δὲν γνωρίζει νὰ ὀρκίζεται, οὔτε νὰ βρίζει θὰ μάθει. Ὅπως ἀκριβῶς ἀπὸ κάποια οἰκία ποὺ καίγεται, ἔτσι βγάλε ἀπὸ τὴ γλώσσα σου τὴ φωτιὰ αὐτὴ καὶ πέταξέ την ἔξω. Κάμε αὐτὴ νὰ ἀναπνεύσει γιὰ λίγο· κάμε τὴν πληγὴ ἀσθενέστερη.

Ναὶ παρακαλῶ, γιὰ νὰ σᾶς δώσω καὶ κάποιο ἄλλο μάθημα· διότι ἐφόσον ἀκόμα αὐτὸ δὲν ἔχει κατορθωθεῖ, δὲν τολμῶ νὰ προχωρήσω σὲ ἄλλο. Τοῦτο μὲ προσοχὴ ἂς κατορθωθεῖ ἀπὸ σᾶς· λάβετε προηγουμένως αἴσθηση αὐτοῦ τοῦ κατορθώματος, καὶ τότε θὰ σᾶς προσφέρω

ἑτέρους εἰσάξω νόμους, μᾶλλον δὲ οὐκ ἐγώ, ἀλλ' ὁ Χριστός. Φυτεύσατε ἐν τῇ ψυχῇ τῇ ὑμετέρᾳ τοῦτο τὸ καλόν, καὶ κατὰ μικρὸν ἔσεσθε παράδεισος τοῦ Θεοῦ, πολλῷ βελτίων ἐκείνου τοῦ παραδείσου· οὔτε γὰρ ὄφις παρ' ἡμῖν, οὔτε δένδρον θανατηφόρον, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν. Πήξατε ἐν βάθει ταύτην τὴν συνήθειαν. Ἂν τοῦτο γένηται, οὐχ ὑμεῖς οἱ παρόντες ὠφεληθήσεσθε μόνον, ἀλλὰ καὶ πάντες οἱ ἐν τῇ οἰκουμένῃ· καὶ οὐκ ἐκεῖνοι μόνον, ἀλλὰ καὶ οἱ μετὰ ταῦτα ἐπιγινόμενοι· ἔθος γὰρ καλὸν εἰσελθόν, καὶ παρὰ πάντων φυλαττόμενον, εἰς μακροὺς διαδοθήσεται χρόνους, καὶ οὐδεὶς αὐτὸ καιρὸς ἐκκόψαι δυνήσεται. Εἰ ξύλα τις συλλέγων ἐν Σαββάτῳ λιθόλευστος γέγονεν, ὁ τὰ πολλῷ τῆς συλλογῆς ἐκείνης χαλεπώτερα ἐργαζόμενος, καὶ φορτίον ἁμαρτιῶν συλλέγων (τοῦτο γὰρ τῶν ὅρκων τὸ πλῆθος), τί οὐχ ὑποστήσεται; τί δὲ οὐχ ὑπομενεῖ; Πολλὴν λήψεσθε παρὰ τοῦ Θεοῦ τὴν βοήθειαν, ἐὰν τοῦτο ὑμῖν κατωρθωμένον ᾖ. Ἂν εἴπω, 'Μὴ ὑβρίσῃς', εὐθέως τὸν θυμόν μοι φέρεις εἰς μέσον· ἂν εἴπω, 'Μὴ βασκήνῃς', ἄλλην αἰτίαν ἐρεῖς. Ἐνταῦθα οὐδὲν τοιοῦτον ἔχεις εἰπεῖν. Διὰ τοῦτο ἀπὸ τῶν εὐκόλων ἠρξάμην, ἐπεὶ καὶ ἐν ταῖς τέχναις ἁπάσαις τὸ αὐτὸ ποιοῦσιν. Οὕτω τις καὶ ἐπὶ τὰ μείζονα ἔρχεται, τὰ εὐκολώτερα πολλῷ πρῶτον μανθάνων.

Εἴσεσθε πῶς ἐστιν εὔκολον τοῦτο, ὅταν, τῇ τοῦ Θεοῦ χάριτι κατορθώσαντες, καὶ ἕτερον δέξησθε νόμον. Δότε μοι παρρησίαν καὶ ἐπὶ Ἑλλήνων, καὶ ἐπὶ Ἰουδαίων, καὶ πρὸ πάντων ἐπὶ τοῦ Θεοῦ. Ναί, παρακαλῶ, πρὸς τῆς ἀγάπης, πρὸς τῆς ὠδῖνος, δι' ἧς ὑμᾶς ὤδινα, «Τεκνία μου». Τὸ δὲ ἑξῆς οὐκ ἐπάξω, τὸ «οὓς πάλιν ὠδίνω», οὐδὲ ἐρῶ τὸ «ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν», (πιστεύω γὰρ ὅτι μεμόρφωται Χριστὸς ἐν ὑμῖν), ἀλλ' ἕτερα πρὸς ὑμᾶς ἐρῶ· «Ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου»· πι-

10. Ἀριθμ. 15, 35 - 36.
11. Γαλατ. 4, 19.

καὶ ἄλλους νόμους· μᾶλλον δὲ ὄχι ἐγώ, ἀλλ' ὁ Χριστός. Φυτέψατε στὴ ψυχή σας αὐτὸ τὸ καλό, καὶ σιγὰ - σιγὰ θὰ γίνετε παράδεισος τοῦ Θεοῦ, πολὺ καλύτερος ἀπὸ ἐκεῖνον τὸν παράδεισο· διότι οὔτε φίδι ὑπάρχει σὲ μᾶς, οὔτε δένδρο θανατηφόρο, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια. Στερεώσατε σὲ βάθος αὐτὴ τὴ συνήθεια. Ἂν γίνει αὐτό, δὲν θὰ ὠφεληθεῖτε μόνο σεῖς οἱ παρόντες, ἀλλὰ καὶ ὅλοι οἱ ἄνθρωποι τῆς οἰκουμένης· καὶ ὄχι μόνο ἐκεῖνοι, ἀλλὰ καὶ ὅσοι θὰ γεννηθοῦν κατόπιν. Διότι συνήθεια καλὴ ποὺ εἰσήχθηκε καὶ ποὺ τηρεῖται ἀπ' ὅλους, θὰ διαδοθεῖ σὲ μακροὺς χρόνους καὶ κανένας καιρὸς δὲν θὰ μπορέσει νὰ τὴν ἐξαφανίσει. Ἐὰν αὐτός, ποὺ μάζεψε ξύλα τὴν ἡμέρα τοῦ Σαββάτου, λιθοβολήθηκε[10], ἐκεῖνος ποὺ κάμνει πολὺ χειρότερα πράγματα ἀπὸ τὴ συλλογὴ ἐκείνη, καὶ ποὺ συλλέγει φορτίο ἁμαρτιῶν (διότι αὐτὸ εἶναι τὸ πλῆθος τῶν ὅρκων) τί δὲν θὰ πάθει; τί δὲν θὰ ὑπομείνει; Θὰ λάβετε μεγάλη βοήθεια ἀπὸ τὸ Θεό, ἂν αὐτὸ θὰ ἔχει κατορθωθεῖ ἀπὸ σᾶς. Ἂν πῶ, 'μὴ βρίσεις ἀμέσως μοῦ ἐπικαλεῖσαι σὰν αἰτία τὸ θυμό· ἂν πῶ, μὴ φθονήσεις', θὰ μοῦ προβάλεις ἄλλη δικαιολογία. Ἐδῶ δὲν ἔχεις τίποτε παρόμοιο νὰ πεῖς. Γι' αὐτὸ ἄρχισα ἀπὸ τὰ εὔκολα, ἐπειδὴ καὶ σὲ ὅλες τὶς τέχνες τὸ ἴδιο κάμνουν. Ἔτσι κανεὶς προχωρεῖ καὶ πρὸς τὰ μεγαλύτερα, ἀφοῦ πολὺ πρὶν μάθει τὰ εὐκολώτερα.

Θὰ ἀντιληφθεῖτε πόσο αὐτὸ εἶναι εὔκολο, ὅταν, μὲ τὴ χάρη τοῦ Θεοῦ, κατορθώσετε αὐτό, καὶ θὰ δεχθεῖτε ἄλλο νόμο. Δώσατέ μου θάρρος καὶ ἐνώπιον τῶν ἐθνικῶν καὶ ἐνώπιον τῶν Ἰουδαίων καὶ πρὸ πάντων ἐνώπιον τοῦ Θεοῦ. Ναί, παρακαλῶ, γιὰ χάρη τῆς ἀγάπης, γιὰ χάρη τοῦ πόνου, μὲ τὸν ὁποῖο σᾶς γέννησα, «παιδιά μου». Στὸ ἑξῆς ὅμως δὲν θὰ προσθέσω τό, «γιὰ τὰ ὁποῖα νιώθω πόνους»· οὔτε θὰ πῶ τό, «μέχρις ὅτου ἡ κατὰ Χριστὸν ζωὴ μορφωθεῖ μέσα σας»[11]. (Διότι πιστεύω ὅτι μέσα σας ἔχει μορφωθεῖ ἡ κατὰ Χριστὸν ζωή), ἀλλὰ θὰ πῶ ἄλλα πρὸς ἐσᾶς· «Ἀδελφοί μου ἀγαπητοὶ καὶ πολυπόθητοι, σεῖς εἶσθε ἡ χαρά μου καὶ ὁ στέφανός μου», διότι πιστέψτε με, ὅτι

στεύσατε γάρ μοι ὅτι οὐκ ἄλλως ἐρῶ. Εἰ μυρίους τις λιθοκολλήτους στεφάνους βασιλικοὺς ἐπέθηκέ μου τῇ κεφαλῇ νῦν, οὐκ ἂν εὐφράνθην, ὡς εὐφραίνομαι ἐπὶ τῇ προκοπῇ τῇ ὑμετέρᾳ· μᾶλλον δέ, οὐδὲ τὸν βασιλέα οὕτως οἶμαι χαίρειν, ὡς ἐγὼ ἐφ' ὑμῖν. Τί λέγω; Εἰ πάντα τὰ ἔθνη, τὰ πολεμοῦντα αὐτῷ, νικήσας ἐπανῆλθε, καὶ τοῦ νενομισμένου στεφάνου πλείους ἑτέρους ἔλαβε στεφάνους, καὶ ἕτερα διαδήματα σύμβολα τῆς νίκης, οὐκ ἂν αὐτὸν οὕτως οἶμαι χαίρειν ἐπὶ τοῖς τροπαίοις, ὡς ἐγὼ ἐπὶ τῇ προκοπῇ τῇ ὑμετέρᾳ· ὥσπερ γὰρ μυρίους στεφάνους ἐπὶ τῆς κεφαλῆς ἔχων, οὕτως ἀγάλλομαι. Καὶ εἰκότως· ἂν γὰρ τῇ τοῦ Θεοῦ χάριτι τοῦτο ὑμῖν κατορθωθῇ τὸ ἔθος, μυρίους νενικήκατε πολέμους, καὶ πολλῷ χαλεπωτέρους ἐκείνου· πρὸς δαίμονας πονηρούς, πρὸς ἀλάστορας παλαίσαντες καὶ μαχεσάμενοι οὐ διὰ μαχαίρας, ἀλλὰ διὰ γλώττης καὶ προαιρέσεως.

Ὅρα γὰρ ὅσα κατορθοῦται, ἐὰν ἄρα κατορθώσητε. Πρῶτον, ὅτι συνήθειαν χαλεπὴν ἐκκόπτετε· δεύτερον, λογισμὸν πονηρόν, καὶ ὅθεν πάντα τὰ κακά, τῷ νομίζειν ἀδιάφορον εἶναι τὸ πρᾶγμα καὶ μηδὲν βλάπτειν· τρίτον, τὸν θυμόν· τέταρτον, τὴν φιλοχρηματίαν· πάντα γὰρ ταῦτα ὁ ὅρκος τίκτει. Ἀλλὰ ἀπὸ τούτου καὶ εἰς τὰ ἄλλα κατορθώματα λήψεσθε πολλὴν ἀφορμήν· καθάπερ γὰρ οἱ τὰ στοιχεῖα μανθάνοντες τῶν παίδων, οὐκ ἐκεῖνα μόνα μανθάνουσιν, ἀλλ' ἐν ἐκείνοις παιδεύονται κατὰ μικρὸν ἀναγινώσκειν, οὕτω δὴ καὶ ὑμεῖς· οὐκ ἔτι λοιπὸν ὑμᾶς ὁ πονηρὸς λογισμὸς ἀπατήσει, οὐδὲ ἐρεῖτε ὅτι 'ἀδιάφορόν ἐστι τόδε', οὐκ ἔτι τῇ συνηθείᾳ φθέγγεσθε, ἀλλὰ πρὸς ἅπαντα στήσεσθε γενναίως, ἵνα διὰ πάντων τὴν κατὰ Θεὸν ἀρετὴν διανύσαντες, τῶν αἰωνίων ἀπολαύσητε ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς αὐτοῦ Υἱοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

12. Φιλιπ. 4, 1.

δὲν θὰ εἶναι διαφορετικὰ τὰ λόγια ποὺ θὰ πῶ. Ἂν κάποιος μοῦ τοποθετοῦσε τώρα στὸ κεφάλι μου ἀμέτρητα λιθοστόλιστα βασιλικὰ στεφάνια, δὲν θὰ εὐφραινόμουν ἔτσι, ὅπως εὐφραίνομαι μὲ τὴ δική σας προκοπή· μᾶλλον δέ, οὔτε ὁ βασιλιὰς νομίζω ὅτι τόσο πολὺ χαίρεται, ὅπως ἐγὼ γιὰ σᾶς. Τί λέγω; Ἂν, νικώντας ὅλα τὰ ἔθνη ποὺ τὸν πολεμοῦν, ἐπανερχόταν καὶ λάμβανε περισσοτέρους ἄλλους στεφάνους ἀπὸ τὸν κανονικὸ στέφανο καὶ ἄλλα διαδήματα, σύμβολα τῆς νίκης, νομίζω ὅτι αὐτὸς δὲν θὰ χαιρόταν τόσο πολὺ γιὰ τὰ τρόπαια, ὅπως ἐγὼ γιὰ τὴ δική σας προκοπή διότι χαίρομαι σὰ νὰ ἔχω ἐπάνω στὸ κεφάλι ἀμέτρητα στεφάνια. Καὶ δικαιολογημένα. Διότι ἂν μὲ τὴ χάρη τοῦ Θεοῦ αὐτὴ ἡ συνήθεια κατορθωθεῖ ἀπὸ σᾶς, ἀμέτρητους πολέμους ἔχετε νικήσει καὶ πολὺ φοβερώτερους ἀπὸ ἐκεῖνον, ἀφοῦ παλαίψατε καὶ δώσατε μάχη ἐναντίον πονηρῶν δαιμόνων, ἐναντίον κακοποιῶν, ὄχι μὲ μάχαιρα, ἀλλὰ μὲ τὴ γλώσσα καὶ τὴ διάθεση.

Διότι πρόσεχε, πόσα κατορθώνονται, ἂν βέβαια τὰ κατορθώσετε. Πρῶτα ὅτι κόβετε μιὰ κακὴ συνήθεια· δεύτερο, κόβετε σκέψη πονηρή, ἀπὸ τὴν ὁποία προέρχονται καὶ ὅλα τὰ κακά, μὲ τὸ νὰ νομίζεις ὅτι ἡ πονηρὴ σκέψη εἶναι ἀδιάφορο πράγμα καὶ ὅτι δὲν βλάπτει καθόλου· τρίτο, κόβετε τὸ θυμό· τέταρτο, τὴ φιλοχρηματία· διότι ὅλα αὐτὰ τὰ δημιουργεῖ ὁ ὅρκος. Ἀλλὰ καὶ ἀπὸ αὐτὸ τὸ κατόρθωμα, θὰ λάβετε μεγάλη ἀφορμὴ καὶ γιὰ τὰ ἄλλα κατορθώματα. Διότι ὅπως ἀκριβῶς τὰ παιδιὰ μαθαίνουν τὰ πρῶτα γράμματα, δὲν μαθαίνουν ὅμως μόνο ἐκεῖνα, ἀλλὰ μὲ ἐκεῖνα ἐκπαιδεύονται σιγὰ - σιγὰ νὰ μάθουν ἀνάγνωση, ἔτσι λοιπὸν καὶ σεῖς· ποτὲ πλέον δὲν θὰ σᾶς ἐξαπατήσει ἡ πονηρὴ σκέψη, οὔτε θὰ πεῖτε, 'αὐτὸ εἶναι ἀδιάφορο', ποτὲ πλέον δὲν θὰ μιλήσετε μὲ τὴ συνήθεια τοῦ ὅρκου, ἀλλὰ ἐνώπιον ὅλων θὰ σταθεῖτε μὲ γενναιότητα, γιὰ νὰ ἀπολαύσετε τὰ αἰώνια ἀγαθά, ἀφοῦ διανύσετε τὴν κατὰ Θεὸ ἀρετή, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Μονογενῆ Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΒ΄
(Πράξ. 4, 36 - 5, 16)

«Ἰωσῆς δέ, ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν Ἀποστόλων (ὅ ἐστι μεθερμηνευόμενον, Υἱὸς παρακλήσεως), Λευίτης Κύπριος τῷ γένει, ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων».

1. Μέλλει διηγεῖσθαι τὸ κατὰ Ἀνανίαν λοιπὸν καὶ Σάπφειραν, καί, θέλων δεῖξαι τὸν ἄνδρα χείριστα ἡμαρτηκότα, πρῶτον μέμνηται τοῦ κατωρθωκότος· ὅτι, τοσούτου πλήθους ὄντος τοῦ ταῦτα ποιοῦντος, τοσαύτης χάριτος, τοσούτων σημείων, οὐχ ὑπ' οὐδενὸς τούτων διωρθώθη, ἀλλά, καθάπαξ ὑπὸ τῆς φιλοχρηματίας τυφλωθείς, τὸν ὄλεθρον ἐκεῖνον ἐπεσπάσατο τῇ ἑαυτοῦ κεφαλῇ. «Ὑπάρχοντος αὐτῷ ἀγροῦ» (οὕτως εἶπε, δηλῶν ὅτι τοῦτον μόνον ἐκέκτητο), «πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν Ἀποστόλων». «Ἀνὴρ δέ τις, ὀνόματι Ἀνανίας, σὺν Σαπφείρᾳ τῇ γυναικὶ αὐτοῦ, ἐπώλησε κτῆμα, καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς γυναικός· καὶ ἐνέγκας μέρος τι, παρὰ τοὺς πόδας τῶν Ἀποστόλων ἔθηκε». Τὸ δεινὸν ὅτι μετὰ συγκαταθέσεως ἡ ἁμαρτία, καὶ οὐδεὶς ἕτερος ᾔδει τὸ γενόμενον. Πόθεν ἐπῆλθε τῷ ταλαιπώρῳ τούτῳ καὶ ἀθλίῳ τοῦτο ἐργάσασθαι; «Εἶπε δὲ ὁ Πέτρος· Ἀνανία, διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου;».

---

1. Πράξ. 4, 36.

ΟΜΙΛΙΑ ΙΒ΄
(Πράξ. 4, 36 - 5, 16)

«Ὁ Ἰωσῆς δέ, ποὺ ἐπονομάσθηκε ἀπὸ τοὺς Ἀποστόλους Βαρνάβας, (ὄνομα ποὺ μεταφραζόμενο σημαίνει υἱὸς παρηγορίας) καὶ ποὺ ἦταν Λευΐτης, Κύπριος τὴν καταγωγή, εἶχε ἕνα χωράφι, πού, ἀφοῦ τὸ πούλησε, ἔφερε τὰ χρήματα καὶ τὰ ἔθεσε μπροστὰ στὰ πόδια τῶν Ἀποστόλων»[1].

1. Πρόκειται πλέον νὰ διηγηθεῖ τὰ σχετικὰ μὲ τὸν Ἀνανία καὶ τὴ Σάπφειρα, καί, θέλοντας νὰ δείξει ὅτι ὁ ἄνδρας εἶχε ἁμαρτήσει κατὰ τὸ χειρότερο τρόπο, ἀναφέρει αὐτὸν ποὺ πρῶτος εἶχε διαπράξει τὸ κατόρθωμα αὐτὸ τῆς ἀρετῆς, διότι, ἂν καὶ ὑπῆρχε τόσο πλῆθος ποὺ ἔκαμνε αὐτά, τόση πολλὴ χάρη, τόσα πολλὰ θαύματα, ὄχι μόνο δὲν διορθώθηκε ἀπὸ κανένα ἀπ' αὐτά, ἀλλ', ἀφοῦ τυφλώθηκε ἀπὸ τὴ φιλαργυρία, ἐπέσυρε τὴν καταστροφὴ ἐκείνη, στὸ κεφάλι του· «Ἕνα χωράφι ποὺ εἶχε, (ἔτσι εἶπε, γιὰ νὰ φανερώσει ὅτι αὐτὸ μόνο εἶχε), ἀφοῦ τὸ πούλησε, ἔφερε τὰ χρήματα καὶ τὰ τοποθέτησε μπροστὰ στὰ πόδια τῶν Ἀποστόλων». «Κάποιος ὅμως ἄνθρωπος ποὺ ὀνομαζόταν Ἀνανίας, μαζὶ μὲ τὴ γυναίκα του Σάπφειρα, πούλησε ἕνα χωράφι καὶ ξεχώρισε ἕνα μέρος ἀπὸ τὸ ἀντίτιμο καὶ τὸ κράτησε, ἐνῶ τὸ γνώριζε καὶ ἡ γυναίκα του· καί, ἀφοῦ ἔφερε τὸ ὑπόλοιπο τοῦ ἀντιτίμου, τὸ τοποθέτησε μπροστὰ στὰ πόδια τῶν Ἀποστόλων». Τὸ φοβερὸ εἶναι, ὅτι ἡ ἁμαρτία ἔγινε μὲ τὴ συγκατάθεση καὶ τῶν δύο καὶ κανένας ἄλλος δὲν γνώριζε τὸ γεγονός. Ἀπὸ ποῦ ἦλθε στὸν ταλαίπωρο καὶ ἄθλιο αὐτὸ νὰ διαπράξει αὐτό; «Εἶπε δὲ ὁ Πέτρος· Ἀνανία, γιατί ἄφησες τὸν Σατανᾶ νὰ κυριεύσει τὴν καρδιά σου καὶ νὰ πεῖς ψέματα στὸ Πνεῦμα τὸ ἅγιο, καὶ νὰ κατακρατήσεις κρυφὰ γιὰ τὸν ἑαυτό σου ἕνα μέρος ἀπὸ τὸ ἀντίτιμο τοῦ χωραφιοῦ ποὺ

Ὅρα καὶ νῦν μέγα σημεῖον γενόμενον, καὶ πολλῷ πλέον ἐκείνου τοῦ προτέρου. «Οὐχὶ μένον σοὶ ἔμενε, καὶ πραθὲν ἐπὶ τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε;». Τουτέστι, 'μὴ γὰρ ἀνάγκη τις ἦν καὶ βία; μὴ γὰρ ἄκοντας ὑμᾶς ἕλκομεν;'. «Τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο; Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ. Ἀκούων δὲ ὁ Ἀνανίας τοὺς λόγους τούτους, πεσὼν ἐξέψυξεν». Ὁρᾷς πόθεν μεῖζον τὸ σημεῖον τοῦτο; Ἀπὸ τοῦ ἀνελεῖν, ἀπὸ τοῦ τὰ ἐν διανοίᾳ εἰδέναι, καὶ τὰ λάθρα γεγονότα.

«Ἐγένετο δὲ φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. Ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτόν, καὶ ἐξενέγκαντες ἔθαψαν. Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ, μὴ εἰδυῖα τὸ γεγονός, εἰσῆλθεν. Ἀπεκρίθη δὲ αὐτῇ ὁ Πέτρος· Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε;». Ταύτην ἐβούλετο σῶσαι· ἐκεῖνος γὰρ ἦν ὁ ἀρχηγὸς τῆς ἁμαρτίας. Καὶ διὰ τοῦτο αὐτῇ δίδωσι τάχα καιρὸν ἀπολογίας, καὶ ἐξουσίαν μετανοίας. Διὸ καὶ λέγει· «Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; Ἡ δὲ εἶπε· Ναί, τοσούτου. Ὁ δὲ Πέτρος εἶπε πρὸς αὐτήν· Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα τὸ ἅγιον; Ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε. Ἔπεσε δὲ παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν. Εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκράν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς. Καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν Ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα». Μετὰ τὸ γενέσθαι τὸν φόβον αὐτῶν, πλείο-

πούλησες»; Πρόσεχε ὅτι καὶ τώρα γίνεται μεγάλο θαῦμα, καὶ πολὺ μεγαλύτερο ἀπὸ ἐκεῖνο τὸ προηγούμενο. «Μήπως ὅταν εἶχες τὸ κτῆμα, δὲν παρέμενε δικό σου, καὶ ὅταν πουλήθηκε τὸ ἀντίτιμό του δὲν ἦταν στὴν ἐξουσία σου νὰ τὸ διαθέσεις ὅπως ἤθελες;». Δηλαδή, «μήπως λοιπὸν ὑπῆρχε κάποια ἀνάγκη καὶ βία; μήπως σᾶς προσελκύουμε χωρὶς τὴ θέλησή σας;». «Γιατί» δέχθηκες στὴν καρδιά σου αὐτὸ τὸ πράγμα; Δὲν εἶπες ψέματα σὲ ἀνθρώπους, ἀλλὰ στὸ Θεό. Μόλις δὲ ὁ Ἀνανίας ἄκουσε τοὺς λόγους αὐτοὺς ἔπεσε κατὰ γῆς καὶ ξεψύχησε». Βλέπεις, ἀπὸ ποῦ εἶναι μεγαλύτερο τὸ θαῦμα αὐτό; Ἀπὸ τὸ θάνατό του, ἀπὸ τὴ γνώση τῶν σκέψεων, καὶ ἀπὸ τὰ ὅσα ἔγιναν κρυφά.

«Καὶ κατέλαβε φόβος μεγάλος ὅλους, ὅσοι ἄκουαν αὐτά. Ἀφοῦ δὲ σηκώθηκαν οἱ νεώτεροι καὶ τὸν περιτύλιξαν μὲ νεκρικοὺς ἐπιδέσμους, ὅπως συνηθιζόταν, καὶ τὸν μετέφεραν ἔξω ἀπὸ τὴν πόλη, τὸν ἔθαψαν. Ἐν τῷ μεταξὺ δὲ πέρασε χρονικὸ διάστημα περίπου τριῶν ὡρῶν καὶ εἰσῆλθε στὸν τόπο τῆς συνάξεως καὶ ἡ γυναίκα τοῦ Ἀνανία, ποὺ δὲν γνώριζε τὸ γεγονός. Ἀποκρίθηκε δὲ πρὸς αὐτὴν ὁ Πέτρος καὶ εἶπε· πές μου, μήπως τόσα χρήματα πουλήσατε τὸ χωράφι; Ἤθελε νὰ τὴ σώσει· διότι ἐκεῖνος ἦταν ὁ ἀρχηγὸς τῆς ἁμαρτίας. Καὶ γι᾿ αὐτὸ δίνει σ᾿ αὐτὴν καιρό, ἴσως ἀπολογίας καὶ δυνατότητα μετάνοιας. Γι᾿ αὐτὸ καὶ λέγει· «Πές μου, μήπως τόσα χρήματα πουλήσατε τὸ χωράφι;». Αὐτὴ δὲ εἶπε· Ναί, τόσα. Ὁ δὲ Πέτρος εἶπε τότε πρὸς αὐτήν· γιατί συμφωνήθηκε μεταξύ σας νὰ πειράξετε τὸ Πνεῦμα τὸ ἅγιο; Νά, τὰ πόδια ἐκείνων ποὺ ἔθαψαν τὸν ἄνδρα σου, εἶναι κοντὰ στὴ θύρα καὶ τώρα θὰ μεταφέρουν καὶ σένα ἔξω. Ἔπεσε δὲ καὶ αὐτὴ ἀμέσως τὴν ἴδια στιγμὴ κοντὰ στὰ πόδια τοῦ Πέτρου καὶ ξεψύχησε. Ὅταν δὲ εἰσῆλθαν οἱ νεαροί, τὴν βρῆκαν νεκρή, καί, ἀφοῦ τὴν μετέφεραν ἔξω ἀπὸ τὴν πόλη, τὴν ἔθαψαν κοντὰ στὸν ἄνδρα της. Καὶ κυρίευσε μεγάλος φόβος ὅλη τὴν Ἐκκλησία, καὶ ὅλους ὅσοι ἄκουσαν αὐτά. Μετὰ τὴ δημιουργία τοῦ φόβου αὐτῶν, ἔκαναν πιὸ πολ-

να σημεῖα ἐποίουν· καὶ ὅτι ἐποίουν, ἄκουε. «Διὰ δὲ τῶν χειρῶν τῶν Ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά. Καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος· τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός». Εἰκότως· καὶ γὰρ ὁ Πέτρος ἦν λοιπὸν φοβερός, κολάζων καὶ τὰ εἰς νοῦν ἐξελέγχων· ᾧ καὶ μᾶλλον προσέκειντο διά τε τὸ σημεῖον, καὶ τὴν πρώτην δημηγορίαν, καὶ τὴν δευτέραν, καὶ τὴν τρίτην· αὐτὸς γὰρ καὶ τὸ σημεῖον εἰργάσατο τὸ πρῶτον, καὶ τὸ δεύτερον, καὶ τὸ νῦν, ὅπερ ἐμοὶ καὶ διπλοῦν, ἀλλ' οὐχ ἁπλῶς ἕν τι καὶ μόνον εἶναι δοκεῖ· ἓν μέν, τὸ τὰ κατὰ διάνοιαν ἐλέγξαι, δεύτερον δέ, τὸ ἀνελεῖν προστάγματι.

«Μᾶλλον δὲ προσετίθεντο πιστεύοντες», φησί, «τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν, ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ τιθέναι ἐπὶ τῶν κλινῶν καὶ κραββάτων, ἵνα, ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν». Τοῦτο ἐπὶ τοῦ Χριστοῦ οὐ γέγονεν· ὅθεν καὶ ὁρᾶν νῦν ἐστιν ἔργῳ τῷ ὑπ' αὐτοῦ εἰρημένον ἐξελθόν. Ποῖον δὴ τοῦτο; «Ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει». «Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱερουσαλήμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες». Σὺ δέ μοι σκόπει πῶς αὐτοῖς ὁ βίος ὑφαίνεται πᾶς διὰ τῶν ἐναντίων· οἷον, ἀθυμία πρώτη γέγονε διὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ, εἶτα εὐθυμία διὰ τὴν τοῦ Πνεύματος κάθοδον· πάλιν ἀθυμία διὰ τοὺς χλευάζοντας, εἶτα εὐθυμία διὰ τοὺς πιστοὺς καὶ τὸ σημεῖον· πάλιν ἀθυμία διὰ τὸ κατασχεθῆναι, εἶτα εὐθυμία διὰ τῆς ἀπολογίας. Πά-

2. Ἰωάνν. 14, 12.

λὰ θαύματα· καὶ ὅτι ἔκαναν, ἄκουε· «Μὲ τὰ χέρια δὲ τῶν Ἀποστόλων γίνονταν πολλὰ θαύματα καὶ τέρατα μεταξὺ τοῦ λαοῦ. Καὶ μαζεύονταν ὅλοι μὲ μιὰ ψυχὴ στὴ στοὰ τοῦ Σολομώντα. Ἀπὸ τοὺς λοιποὺς δέ, ποὺ δὲν εἶχαν πιστεύσει, κανένας δὲν τολμοῦσε νὰ προσκολληθεῖ σ' αὐτούς, ἀλλ' τὸ πλῆθος ἔτρεφε μεγάλη ὑπόληψη. Δικαιολογημένα, διότι καὶ ὁ Πέτρος πλέον ἦταν αυστηρὸς τιμωρώντας καὶ ἐλέγχοντας καὶ τὶς σκέψεις, καὶ τὸν ὁποῖο περισσότερο τὸν πλησίαζαν καὶ ἐξ αἰτίας τοῦ θαύματος καὶ ἐξ αἰτίας τῆς πρώτης, τῆς δεύτερης καὶ τῆς τρίτης ὁμιλίας· καθόσον αὐτὸς ἐπιτέλεσε καὶ τὸ πρῶτο θαῦμα καὶ τὸ δεύτερο καὶ τὸ τωρινό, ποὺ γιὰ μένα εἶναι διπλό, ἀλλὰ δὲν φαίνεται νὰ εἶναι ἁπλῶς ἕνα καὶ μόνο· ἕνα μέν, τὸ ὅτι ἤλεγξε τὴ σκέψη τους, δεύτερο δέ, τὸ ὅτι ὁ θάνατος συνέβηκε μὲ τὸ πρόσταγμά του.

«Ἀκόμη δέ», λέγει, «περισσότερα πλήθη ἀνδρῶν καὶ γυναικῶν προστίθονταν σ' αὐτοὺς ποὺ πίστευαν στὸν Κύριο, ὥστε ἔβγαζαν ἀπὸ τὰ σπίτια τους στὶς πλατεῖες τοὺς ἀσθενεῖς καὶ ἔθεταν αὐτοὺς ἐπάνω σὲ κρεββάτια καὶ φορεῖα, ὥστε, ὅταν θὰ περνοῦσε ἀπὸ ἐκεῖ ὁ Πέτρος, νὰ πέσει ἔστω καὶ ἡ σκιά του σὲ κάποιον ἀπ' αὐτούς». Αὐτὸ δὲν συνέβηκε ἐπὶ τοῦ Χριστοῦ· ἄρα εἶναι δυνατὸν καὶ τώρα νὰ βλέπει κανένας νὰ πραγματοποιεῖται ἐκεῖνο, ποὺ λέχθηκε ἀπ' αὐτόν. Ποιὸ λοιπὸν εἶναι αὐτό; «Ἐκεῖνος ποὺ πιστεύει σὲ μένα, τὰ ἔργα ποὺ κάνω ἐγώ, θὰ τὰ κάνει καὶ ἐκεῖνος, ἀλλὰ καὶ μεγαλύτερα ἀπ' αὐτὰ θὰ κάνει»[2]. Συγκεντρωνόταν δὲ στὴν Ἱερουσαλὴμ καὶ τὸ πλῆθος τῶν κατοίκων ἀπὸ τὶς γειτονικὲς πόλεις καὶ ἔφερναν τοὺς ἀσθενεῖς καὶ ὅσους βασανίζονταν ἀπὸ ἀκάθαρτα πνεύματα καὶ ὅλοι θεραπεύονταν». Σὺ ὅμως πρόσεχε, παρακαλῶ, πῶς ὅλος ὁ βίος αὐτῶν ὑφαίνεται μὲ τὰ ἀντίθετα ὅπως, πρώτη λύπη δοκίμασαν γιὰ τὴν ἀνάληψη τοῦ Χριστοῦ, ἔπειτα χαρὰ γιὰ τὴν κάθοδο καὶ ἐπιφοίτηση τοῦ ἁγίου Πνεύματος· πάλι λύπη γιὰ τοὺς χλευασμοὺς ποὺ δέχονταν, ἔπειτα δὲ χαρὰ γιὰ τοὺς πιστοὺς καὶ τὸ θαῦμα πάλι λύπη γιὰ τὴ σύλληψή τους, ἔπειτα δὲ χαρὰ μὲ τὴν

λιν ἐνταῦθα καὶ εὐθυμία καὶ ἀθυμία. Ὅτι μὲν γὰρ ἦσαν λαμπροί, καὶ ὁ Θεὸς αὐτοῖς ἀπεκάλυψεν εὐθυμία ὅτι δὲ τοὺς αὐτῶν ἀνῄρουν, ἀθυμία. Πάλιν εὐθυμία ὑπὸ τῆς λαμπρότητος· πάλιν ἀθυμία ἀπὸ τοῦ ἀρχιερέως. Καὶ διόλου τοῦτο σκοπουμένοις ἰδεῖν δυνατόν· καὶ ἐπὶ τῶν παλαιῶν δὲ οὕτως εὕροι τις ἄν. Ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. «Ἐπώλουν», φησί, «καὶ ἔφερον τὰς τιμάς, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν Ἀποστόλων». Ὅρα μοι, ἀγαπητέ, πῶς οὐ τοῖς Ἀποστόλοις ἐπέτρεπον πωλεῖν, ἀλλ' αὐτοὶ ἐπώλουν, καὶ τὰς τιμὰς ἐκείνοις ἐδίδοσαν. Ἀλλ' οὐχ οὕτως ὁ Ἀνανίας, ἀλλ' ὑφαιρεῖται τι τῆς τιμῆς, οὗ ἀπέδοτο ἀγροῦ· διὸ καὶ τιμωρεῖται ὡς τὸ πρᾶγμα μὴ καλῶς διαθέμενος, καὶ κλέπτων τὰ ἑαυτοῦ φωραθείς. Οὗτος καὶ τῶν νῦν ἱερέων ἥψατο ὁ λόγος, καὶ σφόδρα κατὰ κράτος. Ἐπεὶ δὲ συνῄδει τῷ γενομένῳ καὶ ἡ τούτου γυνή, διὰ τοῦτο καὶ αὐτὴν ἐξετάζει.

2. Ἀλλ' ἴσως εἴποι τις ἂν ὅτι σφόδρα πικρῶς αὐτῇ ἐχρήσατο. Τί λέγεις; εἰπέ μοι, ποία πικρία; Εἰ ξύλα τις συλλέξας καταλεύεται, πολλῷ μᾶλλον ὁ ἱερόσυλος· καὶ ταῦτα γὰρ ἱερὰ λοιπὸν ἦν τὰ χρήματα. Οὐκοῦν ὁ ἑλόμενος τὰ αὐτοῦ πωλῆσαι καὶ διαδοῦναι, εἶτα λαβών, ἱερόσυλος ἂν εἴη. Εἰ δὲ ὁ ἐκ τῶν αὐτοῦ λαβών, ἱερόσυλος, πολλῷ μᾶλλον ὁ ἐκ τῶν ἀλλοτρίων· μὴ γάρ, ἐπειδὴ νῦν μὴ γίνεται τοῦτο, καὶ ἕπεται παρὰ πόδας ἡ κόλασις, νομίσητε ἀτιμωρητὶ ταῦτα γίνεσθαι. Ὁρᾷς ὅτι τοῦτο ἐγκαλεῖται, ὅτι, ποιήσας αὐτὰ ἱερὰ χρήματα, τότε ἔλαβε; Μὴ γὰρ οὐκ ἠδύνασο, φησί, καὶ μετὰ τὸ πωλῆσαι αὐτὰ ὡς ἰδίοις ἀποχρήσασθαι; μὴ γὰρ ἐκωλύθης; διὰ τί μετὰ τὸ ὑποσχέσθαι λαμβάνεις; Ὅρα πῶς εὐ-

3. Ἀριθμ. 15, 35.

ἀπολογία. Ἐδῶ πάλι καὶ χαρὰ καὶ λύπη. Τὸ ὅτι δηλαδὴ ἦταν λαμπροί, καὶ ὁ Θεὸς ἀποκαλύφθηκε σ' αὐτούς, τοὺς προξενοῦσε εὐθυμία, τὸ ὅτι δὲ φόνευαν τοὺς δικούς τους, λύπη. Πάλι εὐθυμία ἀπὸ τὴ λαμπρότητα, πάλι λύπη ἀπὸ τὴ στάση τοῦ Ἀρχιερέα. Καὶ καθόλου δὲν εἶναι δυνατὸ νὰ δεῖς νὰ δίνουν σημασία σ' αὐτό· καὶ στοὺς παλαιοὺς δὲ θὰ μποροῦσε κανεὶς νὰ διαπιστώσει τὸ ἴδιο. Ἂς δοῦμε δὲ ἀπὸ τὴν ἀρχὴ τὰ προαναφερθέντα. «Πουλοῦσαν», λέγει, «καὶ ἔφερναν τὶς εἰσπράξεις καὶ τὶς τοποθετοῦσαν μπροστὰ στὰ πόδια τῶν Ἀποστόλων». Πρόσεχε, ἀγαπητέ μου, πῶς δὲν ἐπέτρεπαν στοὺς Ἀποστόλους νὰ πουλοῦν, ἀλλ' οἱ ἴδιοι τὰ πουλοῦσαν καὶ τὶς εἰσπράξεις τὶς ἔδιναν σ' ἐκείνους. Ὁ Ἀνανίας ὅμως δὲν ἐνεργεῖ ἔτσι, ἀλλ' ἀφαιρεῖ κάτι ἀπὸ τὸ ἀντίτιμο τοῦ ἀγροῦ· γι' αὐτὸ καὶ τιμωρεῖται, ἐπειδὴ δὲν διέθεσε καλὰ τὸ πράγμα καὶ ἀφοῦ συνελήφθηκε ἐπ' αὐτοφώρῳ νὰ κλέβει τὰ δικά του. Αὐτὸ τὸ πράγμα κυρίεψε καὶ τοὺς σημερινοὺς ἱερεῖς, μὲ ζωηρότητα καὶ μεγάλη δύναμη. Ἐπειδὴ δὲ γνώριζε τὸ συμβὰν καὶ ἡ σύζυγος αὐτοῦ, γι' αὐτὸ ἐξετάζει καὶ αὐτήν.

2. Ἀλλ' ἴσως θὰ ἔλεγε κάποιος, ὅτι πολὺ σκληρὰ συμπεριφέρθηκε πρὸς αὐτήν. Τί λέγεις; πές μου, ποιὰ σκληρότητα; Ἂν, ὅταν κάποιος συλλέγει ξύλα θανατώνεται μὲ λιθοβολισμό, πολὺ περισσότερο ὁ ἱερόσυλος· διότι καὶ αὐτὰ τὰ χρήματα πλέον ἦταν ἱερά. Λοιπὸν αὐτὸς ποὺ μόνος του προτίμησε νὰ πωλήσει καὶ νὰ διαθέσει τὰ δικά του, ἔπειτα ἂν λάβει κάτι ἀπὸ αὐτά, γίνεται ἱερόσυλος. Ἂν δὲ αὐτὸς ποὺ ἔλαβε ἀπὸ τὰ δικά του εἶναι ἱερόσυλος, πολὺ περισσότερο αὐτὸς ποὺ παίρνει ἀπὸ τὰ ξένα. Διότι μὴ νομίσετε, ἐπειδὴ τώρα δὲν γίνεται αὐτό, καὶ ἐπειδὴ δὲν ἀκολουθεῖ ἀμέσως ἡ τιμωρία, ὅτι αὐτὰ γίνονται χωρὶς τιμωρία. Βλέπεις, ὅτι γι' αὐτὸ κατηγορεῖται, ὅτι τότε ἔλαβε ἀπὸ αὐτά, ὅταν ἔκανε αὐτὰ ἱερὰ χρήματα; Μήπως δηλαδὴ δὲν μποροῦσες, λέγει, καὶ μετὰ τὴν πώλησή τους νὰ χρησιμοποιήσεις αὐτὰ σὰν δικά σου; μήπως ἐμποδίσθηκες; γιατί παίρνεις ἀπὸ αὐτά, μετὰ τὴν ὑπόσχεσή σου νὰ τὰ παραχωρήσεις; Βλέπεις πῶς ἀμέσως

θέως ἐξ ἀρχῆς ἐπέθετο ὁ διάβολος μεταξὺ σημείων γενομένων καὶ θαυμάτων τοσούτων, μᾶλλον δὲ πῶς καὶ οὗτος ὑπ' αὐτοῦ ἐπωρώθη; Τοιοῦτόν τι καὶ ἐν τῇ Παλαιᾷ γέγονεν, ὅτε ὁ Χαρμὶ τὸ ἀνάθημα κλέψας ἑάλω· ἀλλ' ὅμως ἔγνως καὶ ἐκεῖ μεθ' ὅσης ἐκδικίας διωρθώθη τὸ πρᾶγμα. Ἱεροσυλία γὰρ σφόδρα χαλεπόν, ἀγαπητέ, καὶ πολλῆς γέμον καταφρονήσεως. Οὔτε πωλῆσαι ἠναγκάσαμεν, φησίν, οὔτε πωλήσαντα δοῦναι τὰ χρήματα· σὺ εἵλου ἐξ οἰκείας προαιρέσεως, τί τοίνυν ἔκλεψας ἀπὸ τῶν ἱερῶν χρημάτων; «Διὰ τί ἐπλήρωσε», φησίν, «ὁ Σατανᾶς τὴν καρδίαν σου;».

Καὶ εἰ ὁ Σατανᾶς τοῦτο ἐποίησε, τί αὐτὸς ἐγκαλεῖται; Αἴτιος γέγονε δεξάμενος αὐτοῦ τὴν ἐνέργειαν, καὶ πληρωθείς. Ἀλλ' ἔδει διορθῶσαι, φησίν. Ἀλλ' οὐκ ἂν διωρθώθη· ὁ γὰρ τοιαῦτα ὁρῶν καὶ μὴ κερδάνας, πολλῷ μᾶλλον οὐκ ἂν ἑτέρως ἐκέρδανεν. Οὐκ ἔδει τοίνυν ἁπλῶς παρελθεῖν τὸ γεγονός, ἀλλ' ὡς σηπεδόνα τινὰ ἐκτμηθῆναι, ἵνα μὴ τῷ λοιπῷ λυμήνηται σώματι. Νῦν μὲν γὰρ καὶ οὗτος ὠφέληται μὴ προελθὼν περαιτέρω κακίας, καὶ οἱ λοιποὶ σπουδαιότεροι γενόμενοι, τότε δὲ ἂν τοὐναντίον συνέβη. Διὰ τοῦτο πρῶτον ἐλέγχει, καὶ δείκνυσιν ὅτι οὐκ ἔλαθεν αὐτὸν τὸ γεγονός, καὶ τότε καταδικάζει· 'διὰ τί γάρ, φησί, τοῦτο πεποίηκας; ἤθελες ἔχειν; Ἔδει ἔχειν ἐξ ἀρχῆς, καὶ μὴ ὑποσχέσθαι· νῦν δὲ λαβὼν μετὰ τὸ ἀναθέσθαι, μείζονα τὴν ἱεροσυλίαν εἰργάσω· ὁ μὲν γὰρ τὰ τῶν ἄλλων λαμβάνων, ἴσως ἀλλοτρίων ἐπιθυμήσας λαμβάνει, σοὶ δὲ ἐξῆν ἔχειν τὰ σά. Τί τοίνυν ἐποίησας αὐτὰ ἱερά, καὶ τότε ἔλαβες; Ἀπὸ πολλῆς καταφρονήσεως τοῦτο πεποίηκας. Οὐκ ἔχει τὸ γενόμενον συγγνώμην, ἐκτός ἐστιν ἀπολογίας. Μηδεὶς δὲ σκανδαλιζέσθω, εἴ τινες καὶ νῦν εἰσιν ἱερόσυλοι· εἰ γὰρ τότε ἦσαν, πολλῷ μᾶλλον νῦν,

---

4. Ἰησ. Να. 7. 1 καὶ 20, 22. Στὸ κείμενο τῆς Π. Διαθήκης ἀναφέρεται ὅτι ὁ Ἄχαρ, ὁ υἱὸς τοῦ Χαρμί, ἤταν ἐκεῖνος ποὺ ἐνοσφίσατο ἀφιερώματα τὰ ὁποῖα καὶ ὁμολογεῖ στὸ στίχο 21 τοῦ αὐτοῦ κεφαλαίου, ἤτοι, ἕναν ὡραῖο μανδύα, διακόσια δίδραχμα (=σίκλους) ἀργυρᾶ καὶ μιὰ ράβδο χρυσῆ, ποὺ ζύγιζε πενήντα δίδραχμα.

ἀπὸ τὴν ἀρχὴ ὁ διάβολος παρεμβλήθηκε ἀνάμεσα στὰ τόσα γενόμενα σημεῖα καὶ θαύματα, μᾶλλον δὲ πῶς καὶ ὁ Ἀνανίας ἀπὸ τὸ διάβολο πωρώθηκε; Παρόμοιο συμβὰν ἔγινε καὶ στὴν Παλαιὰ Διαθήκη, ὅταν ὁ Χαρμί, ἀφοῦ ἔκλεψε τὸ ἀφιέρωμά του, καταστράφηκε[4]· ἀλλ' ὅμως ἔμαθες καὶ ἐκεῖ μὲ πόση αὐστηρότητα διορθώθηκε τὸ πράγμα. Διότι ἡ ἱεροσυλία εἶναι πάρα πολὺ φοβερὸ πράγμα, ἀγαπητέ, καὶ ἄξιο μεγάλης περιφρονήσεως. Οὔτε νὰ πουλήσεις σὲ ἀναγκάσαμε, λέγει, οὔτε ὅταν πούλησες νὰ δώσεις τὰ χρήματα· σὺ προτίμησες ἀπὸ δική σου προαίρεση· γιατί λοιπὸν ἔκλεψες ἀπὸ τὰ ἱερὰ χρήματα; «Γιατί ἄφησες», λέγει, «νὰ κυριεύσει ὁ σατανᾶς τὴν καρδιά σου;».

Καί, ἂν ὁ σατανᾶς ἔκανε αὐτό, γιατί κατηγορεῖται αὐτός; Ἐπειδὴ ἔγινε αἴτιος νὰ δεχθεῖ τὴν ἐνέργεια τοῦ διάβολου καὶ νὰ καταληφθεῖ ἀπ' αὐτόν. Ἔπρεπε, ὅμως, λέγει, νὰ τὸν διορθώσει. Ἀλλὰ δὲν θὰ διορθωνόταν· διότι αὐτὸς ποὺ βλέπει τέτοια καὶ δὲν ὠφελεῖται, πολὺ περισσότερο δὲν θὰ ὠφελοῦνταν κατ' ἄλλο τρόπο. Δὲν ἔπρεπε λοιπὸν νὰ παρασιωπήσουν τὸ γεγονός, ἀλλὰ νὰ τὸν ἀποκόψουν ὡς κάτι σάπιο, γιὰ νὰ μὴ μολυνθεῖ καὶ τὸ ὑπόλοιπο σῶμα. Διότι τώρα μὲν καὶ αὐτὸς ὠφελήθηκε, ἀφοῦ δὲν προχώρησε σὲ παραπέρα κακία, καὶ ἀφοῦ οἱ λοιποὶ ἔγιναν καλύτεροι, ἐνῶ τότε θὰ συνέβαινε τὸ ἀντίθετο. Γι' αὐτὸ πρῶτα ἐλέγχει καὶ ἀποδεικνύει, ὅτι δὲν τοῦ διαφεύγει τὸ γεγονός, καὶ τότε καταδικάζει. Γιατί λοιπόν, λέγει, τὸ ἔκανες αὐτό; ἤθελες νὰ τὰ ἔχεις; Ἔπρεπε νὰ τὰ ἔχεις ἀπὸ τὴν ἀρχὴ καὶ νὰ μὴ τὰ ὑποσχεθεῖς· τώρα ὅμως παίρνοντάς τα μετὰ τὴν ἀφιέρωσή τους, διέπραξες μεγαλύτερη ἱεροσυλία. Διότι, ἐκεῖνος μὲν ποὺ λαμβάνει ἀπὸ τὰ πράγματα τῶν ἄλλων, λαμβάνει ἴσως ἐπειδὴ ἐπιθύμησε τὰ ξένα, σὲ σένα ὅμως ἦταν δυνατὸ νὰ ἔχεις τὰ δικά σου. Γιατί λοιπὸν ἔκανες αὐτὰ ἱερά, καὶ τότε ἔλαβες ἀπὸ αὐτά; Ἀπὸ πολλὴ περιφρόνηση ἔκανες αὐτό. Αὐτὸ ποὺ ἔγινε δὲν συγχωρεῖται καὶ βρίσκεται ἐκτὸς ἀπολογίας. Ἂς μὴ σκανδαλίζεται κανένας, ἐὰν καὶ τώρα μερικοὶ εἶναι ἱερόσυλοι· διότι ἐὰν ἦταν τότε, πολὺ περισσότερο

ὅτε πολλὰ τὰ κακά. Ἀλλ' ἐλέγχωμεν αὐτοὺς ἐπὶ πάντων, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχουσιν. Ὁ Ἰούδας ἱερόσυλος ἦν· ἀλλ' οὐκ ἐσκανδάλισε τοῦτο τοὺς μαθητάς. Ὁρᾷς ὅσα κακὰ ἡ τῶν χρημάτων ἐπιθυμία ποιεῖ;

«Καὶ ἐγένετο», φησί, «φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα». Ἐκεῖνος ἐτιμωρήθη, καὶ ἄλλοι ἐκέρδαναν. Ὥστε οὐχ ἁπλῶς τοῦτο οἰκονομεῖται· καίτοι δὲ σημείων ἄλλων πρότερον γεναμένων, ὅμως οὐκ ἦν φόβος τοιοῦτος. Οὕτως ἀληθές ἐστιν ἐκεῖνο, ὅτι «γινώσκεται Κύριος κρίματα ποιῶν»· οὕτω καὶ ἐπὶ τῆς κιβωτοῦ γέγονεν· «Ὀζᾶν ἐτιμωρήθη, καὶ ἐγένετο τοῖς ἄλλοις φόβος». Ἀλλ' ἐκεῖ μὲν φοβηθεὶς ὁ βασιλεὺς ἀπώσατο τὴν κιβωτόν, ἐνταῦθα δὲ οὗτοι μᾶλλον προσεκτικώτεροι γίνονται. Εἶδες πῶς οὐκ ἐκάλεσεν αὐτὸν ὁ Πέτρος, ἀλλ' ἀνέμεινεν ὥστε εἰσελθεῖν· οὐδὲ τῶν ἄλλων τις ἐτόλμησεν ἐξειπεῖν τὸ γεγονός. Τοῦτο φόβος διδασκάλου, τοῦτο τιμὴ μαθητῶν, τοῦτο ὑπακοή. Τριῶν ὡρῶν διάστημα». Καὶ οὐκ ἔμαθεν ἡ γυνή, οὐδὲ ἐξεῖπέ τις τῶν παρόντων, (καίτοι γε ἱκανὸν ἦν ἐξαχθῆναι), ἀλλ' ἐφοβοῦντο. Τοῦτο γοῦν καὶ θαυμάζων ὁ συγγραφεύς, λέγει ὅτι «μὴ εἰδυῖα τὸ γεγονός, εἰσῆλθεν» καίτοι γε ἀπὸ τούτου ἐνῆν μαθεῖν ὅτι οἶδε τὰ λανθάνοντα. Διὰ τί γάρ, μηδένα ἐρωτήσας, ὑμᾶς ἐρωτᾷ; Ἢ δῆλον ὅτι ὡς εἰδώς; Ἀλλ' ἡ πολλὴ πώρωσις οὐκ εἴασεν αὐτὴν τὸ ἔγκλημα ἀποδύσασθαι, ἀλλὰ μετὰ αὐθαδείας πολλῆς ἀποκρίνεται· ἐνόμιζε γὰρ πρὸς ἄνθρωπον διαλέγεσθαι.

Τὸ δεινὸν τοῦτο, ὅτι ὡς ἐκ μιᾶς βουλῆς ἐπὶ τὴν ἁμαρτίαν ἦλθον, ἢ ὥσπερ ἀπὸ συνθήκης τινός. «Τί ὅτι συνεφωνήθη ὑμῖν», φησί, «πειρᾶσαι τὸ Πνεῦμα τὸ ἅγιον; Ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τὴν θύραν, καὶ ἐξοί-

---

5. Ψαλμ. 9, 17.
6. Β' Βασ. 6, 6-7.

τώρα, πού υπάρχουν πολλά κακά. Αλλ' ας ελέγχουμε αυτούς μπροστά σέ όλους γιά νά φοβηθοῦν καί οἱ ὑπόλοιποι. Ὁ Ἰούδας ἦταν ἱερόσυλος· ἀλλ' αὐτό δέν σκανδάλισε τούς μαθητές. Βλέπεις πόσα κακά προξενεῖ ἡ ἐπιθυμία τῶν χρημάτων;

«Καί φόβος», λέγει, «μεγάλος κατέλαβε ὅλους ὅσοι ἄκουσαν αὐτά». Ἐκεῖνος τιμωρήθηκε καί οἱ ἄλλοι ὠφελήθηκαν. Ὥστε δέν ἐξοικονομεῖται μόνο αὐτό· ἄν καί βέβαια ἔγιναν προηγουμένως καί ἄλλα σημεῖα, ὅμως δέν ὑπῆρξε τέτοιος φόβος. Ἔτσι ἐπαληθεύεται ἐκεῖνο, ὅτι «Καθίσταται ὁλοφάνερο ὅτι ὁ Κύριος κάμνει πάντοτε δίκαιες κρίσεις»[5]. Ἔτσι ἔγινε στήν περίπτωση τῆς Κιβωτοῦ· «Τιμωρήθηκε ὁ Ὀζάν καί φοβήθηκαν ὅλοι οἱ ἄλλοι»[6]. Ἀλλ' ἐκεῖ μέν ἐπειδή φοβήθηκε ὁ βασιλεύς ἀπομάκρυνε τήν κιβωτό, ἐδῶ δέ αὐτοί γίνονται περισσότερο προσεκτικοί. Εἶδες πῶς δέν κάλεσε αὐτόν ὁ Πέτρος, ἀλλ' ἀνέμενε μέχρις ὅτου εἰσέλθει; οὔτε κανένας ἀπό τούς ἄλλους τόλμησε νά ἀναφέρει τό γεγονός. Αὐτό εἶναι σεβασμός τοῦ δασκάλου, αὐτό εἶναι τιμή τῶν μαθητῶν, αὐτό εἶναι ὑπακοή· «διάστημα τριῶν ὡρῶν». Καί δέν πληροφορήθηκε ἡ γυναίκα, οὔτε κανένας ἀπό τούς παρόντες ἀποκάλυψε τίποτα (ἄν καί ἦταν δυνατό βέβαια νά ἀποκαλυφθεῖ), ἀλλά φοβοῦνταν. Τοῦτο λοιπόν θαυμάζοντας πιό πολύ ὁ συγγραφέας, λέγει· «εἰσῆλθε χωρίς νά γνωρίζει τό γεγονός»· ἄν καί βέβαια ἦταν δυνατό νά μάθει ἀπό αὐτό, ὅτι γνωρίζει τά ἄγνωστα καί ἀπαρατήρητα. Γιατί ὅμως αὐτός πού δέν ρώτησε κανένα, ρωτᾶ ἐσᾶς; Δέν εἶναι φανερό, ὅτι ἐρωτᾶ ἐπειδή γνώριζε; Ἀλλ' ἡ πολλή πώρωσι δέν ἄφησε αὐτή νά ἀποβάλει τήν ἐνοχοποίηση, ἀλλ' ἀποκρίνεται μέ πολλή αὐθάδεια· διότι νόμιζε, ὅτι μιλοῦσε πρός κοινό ἄνθρωπο.

Τό φοβερό εἶναι αὐτό, ὅτι μέ κοινή ἀπόφαση ἔφθασαν στήν ἁμαρτία, σάν ἀπό κάποια συμφωνία. «Γιατί ἔγινε συμφωνία μεταξύ σας», λέγει, «νά δοκιμάσετε τό Πνεῦμα τό ἅγιο; Νά, τά πόδια αὐτῶν πού ἔθαψαν τό σύζυγό σου εἶναι κοντά στή θύρα καί θά μεταφέρουν καί ἐσένα»[7]

σουσί σε». Πρότερον αὐτὴν διδάσκει τὸ ἁμάρτημα, καὶ τότε δείκνυσιν ὅτι δικαίως τὰ αὐτὰ πείσεται τῷ ἀνδρί· ἐπειδὴ καὶ τὰ αὐτὰ ἥμαρτε. Καὶ πῶς, φησί, «παραχρῆμα ἔπεσε παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν»; Ὅτι πλησίον εἱστήκει. Οὕτως αὐτοὶ καθ' ἑαυτῶν τὴν τιμωρίαν ἐπεσπάσαντο. Τίς λοιπὸν οὐκ ἂν ἐξεπλάγη; τίς οὐκ ἂν ἔδεισε τὸν Ἀπόστολον; τίς οὐκ ἂν ἐθαύμασε; «Καὶ ἦσαν ὁμοθυμαδόν», φησίν, «ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος». Ἐκ τούτου δῆλον ὅτι οὐκ ἐν οἰκίᾳ, ἀλλά, τὸ ἱερὸν καταλαβόντες, ἐκεῖ διέτριβον· οὔτε μὴν λοιπὸν ἀκαθάρτων ἅπτεσθαι ἐφυλάττοντο, ἀλλ' ἁπλῶς ἥπτοντο τῶν νεκρῶν. Καὶ ὅρα πῶς ἐν μὲν τοῖς οἰκείοις εἰσὶ σφοδροί, ἐν δὲ τοῖς ἀλλοτρίοις οὐ κέχρηνται τῇ δυνάμει. «Μᾶλλον δέ», φησί, «προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν· ὥστε κατὰ τὰς πλατείας τιθέναι τοὺς ἀσθενεῖς ἐπὶ κλινῶν καὶ κραββάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν».

3. Πολλὴ τῶν προσιόντων ἡ πίστις, καὶ μείζων ἢ ἐπὶ τοῦ Χριστοῦ. Πόθεν δὴ τοῦτο γέγονεν; Ἀπὸ τοῦ τὸν Χριστὸν ἀποφήνασθαι καὶ εἰπεῖν· «Ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, ποιήσει, καὶ μείζονα ποιήσει». Μενόντων γὰρ αὐτῶν ἐκεῖ καὶ οὐ περιϊόντων, ἔφερον πάντες ἐπὶ τῶν κλινῶν καὶ κραββάτων οὓς εἶχον ἀσθενεῖς, καὶ πάντοθεν αὐτοῖς συνήγετο τὸ θαῦμα, ἀπὸ τῶν πιστευσάντων, ἀπὸ τῶν θεραπευθέντων, ἀπὸ τοῦ κολασθέντος, ἀπὸ τῆς παρρησίας τῆς πρὸς ἐκείνους, ἀπὸ τῆς ἀρετῆς τῶν οὐχ ἁπλῶς πιστευσάντων· οὐ γὰρ δὴ τῶν σημείων ἦν μόνον τὸ γενόμενον. Εἰ γὰρ καὶ αὐτοὶ μετριάζοντες τούτῳ τὸ πᾶν λογίζονται, λέγοντες ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ ταῦτα ποιεῖν, ἀλλὰ καὶ ὁ βί-

7: Ἰωάν. 14, 12.

ἐκεῖ». Πρῶτα διδάσκει σ' αὐτὴν τὸ ἁμάρτημα καὶ μετὰ ἀποδεικνύει, ὅτι δίκαια θὰ πάθει τὰ ἴδια μὲ τὸν ἄνδρα της, διότι διέπραξε τὰ ἴδια μὲ ἐκεῖνον. Καὶ πῶς, λέγει, «Τὴν ἴδια στιγμὴ ἔπεσε κοντὰ στὰ πόδια τοῦ Πέτρου, καὶ ξεψύχησε»; Διότι στεκόταν πλησίον του. Μὲ τὸν τρόπο αὐτὸν οἱ ἴδιοι ἐπέσυραν ἐναντίον τοῦ ἑαυτοῦ τους τὴν τιμωρία. Ποιὸς λοιπὸν δὲν θὰ ἔνιωθε ἔκπληξη; ποιός δὲν θὰ φοβοῦνταν τὸν Ἀπόστολο; ποιός δὲν θὰ θαύμαζε; «Καὶ συγκεντρώνονταν», λέγει, «ὅλοι μὲ μιὰ ψυχὴ στὴ στοὰ τοῦ Σολομῶντος». Ἀπὸ αὐτό εἶναι φανερὸ, ὅτι δὲν ἦταν σὲ οἰκία, ἀλλ' ἀφοῦ εἰσῆλθαν στὸ ἱερό, διέμειναν ἐκεῖ· οὔτε πλέον φυλάσσονται νὰ μὴ ἐγγίζουν ἀκάθαρτα, ἀλλ' ἁπλῶς ἄγγιζαν τοὺς νεκρούς. Καὶ πρόσεχε πῶς στοὺς μὲν δικούς τους εἶναι αὐστηροί, στοὺς ξένους δὲ δὲν χρησιμοποιοῦν τὴ δύναμη. «Ἀκόμα δὲ περισσότερο προστίθονταν πλήθη ἀνδρῶν καὶ γυναικῶν, ποὺ πίστευαν στὸν Κύριο καὶ αὔξαναν αὐτούς, ὥστε ἔβγαζαν ἀπὸ τὰ σπίτια τους στὶς πλατεῖες τοὺς ἀσθενεῖς καὶ τοὺς ἔθεταν ἐπάνω σὲ κρεββάτια καὶ φορεῖα, ὥστε ὅταν θὰ περνοῦσε ἀπὸ ἐκεῖ ὁ Πέτρος, νὰ πέσει ἔστω καὶ ἡ σκιά του ἐπάνω σὲ κάποιον ἀπὸ τοὺς ἀσθενεῖς».

3. Μεγάλη εἶναι ἡ πίστη τῶν προσερχομένων καὶ μεγαλύτερη παρὰ ἐπὶ τοῦ Χριστοῦ. Ἀπὸ ποῦ λοιπὸν ἔγινε αὐτό; Ἀπὸ τὸν ἴδιο τὸ Χριστὸ ποὺ διακήρυξε καὶ εἶπε· «Ἐκεῖνος ποὺ πιστεύει σ' ἐμένα, τὰ ἔργα ποὺ κάμνω ἐγώ, θὰ μπορεῖ καὶ μεγαλύτερα ἀπὸ αὐτὰ νὰ κάνει»[7]. Διότι ἐνῶ αὐτοὶ ἔμεναν ἐκεῖ καὶ δὲν περιφέρονταν ἄσκοπα, ἔφερναν ὅλοι ἐπάνω στὰ κρεββάτια καὶ τὰ φορεῖα τοὺς ἀσθενεῖς ποὺ εἶχαν, καὶ ἀπὸ παντοῦ ὁδηγοῦσε σ' αὐτοὺς τὸ θαῦμα, ἀπὸ ἐκείνους ποὺ πίστευσαν, ἀπὸ ἐκείνους ποὺ θεραπεύθηκαν, ἀπὸ ἐκείνους ποὺ τιμωρήθηκαν, ἀπὸ τὸ θάρρος τους πρὸς ἐκείνους, ἀπὸ τὴν ἀρετὴ ἐκείνων, ποὺ δὲν πίστεψαν ἁπλῶς· καθόσον βέβαια δὲν ἦταν τὸ γεγονὸς μόνο τῶν σημείων. Διότι, ἐὰν καὶ αὐτοὶ δείχνοντας μετριοφροσύνη σ' αὐτὸν ἀποδίδουν τὸ πᾶν, λέγοντας, ὅτι κάνουν αὐτὰ μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος τοῦ Χριστοῦ, ἀλλὰ

ος καὶ ἡ ἀρετὴ τῶν ἀνδρῶν τοῦτο πεποίηκε. Σκόπει δὲ πῶς ἀριθμὸν τῶν πιστευσάντων οὐ λέγει, ἀφεὶς ἐξ ἑαυτοῦ τὸν ἀκροατὴν συλλογίζεσθαι· οὕτως εἰς πλῆθος ἄπειρον ἐπέτεινε τὰ τῆς πίστεως. Ἐντεῦθεν καὶ ἡ ἀνάστασις μᾶλλον ἐκηρύττετο.

«Οὐδεὶς δὲ αὐτοῖς ἐτόλμα κολλᾶσθαι, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός». Τοῦτο λέγει, δεικνὺς ὅτι οὐκ ἔτι λοιπὸν ἦσαν εὐκαταφρόνητοι, καθάπερ καὶ πρότερον, καὶ ὅτι ἐν βραχεῖ καιρῷ, καὶ μιᾷ ῥοπῇ τοσαῦτα γέγονεν ὑπὸ τοῦ ἁλιέως καὶ ἰδιώτου. Οὐρανὸς οὖν λοιπὸν ἦν ἡ γῆ, καὶ πολιτείας, καὶ παρρησίας, καὶ θαυμάτων, καὶ πάντων ἕνεκεν· καὶ καθάπερ ἄγγελοι οὕτως ἐθαυμάζοντο, πρὸς οὐδὲν ἐπιστρεφόμενοι, οὐ πρὸς γέλωτα, οὐ πρὸς ἀπειλάς, οὐ πρὸς κινδύνους. Οὐ μόνον δὲ διὰ τοῦτο, ἀλλ' ὅτι, σφόδρα φιλάνθρωποι καὶ κηδεμονικοὶ τυγχάνοντες, τοῖς μὲν χρήμασιν ἐβοήθουν, τοῖς δὲ θεραπείᾳ σωμάτων. «Διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου;». Μονονουχὶ ἀπολογεῖται ὁ Πέτρος, μέλλων κολάσειν αὐτόν, καὶ τοὺς ἄλλους παιδεύει· ἐπειδὴ γὰρ σφόδρα φορτικὸν ἔμελλε φαίνεσθαι τὸ γενόμενον, διὰ δὴ τοῦτο καὶ ἐπ' αὐτοῦ τούτου καὶ ἐπὶ τῆς γυναικὸς φοβερὸν ποιεῖ τὸ δικαστήριον. Εἰ δὲ ἀσύγγνωστα ἁμαρτόντας μὴ τοιαύτην δίκην ἀπῄτησεν ἀμφοτέρους, πόση ἐντεῦθεν καταφρόνησις Θεοῦ οὐκ ἂν γέγονεν; Ὅτι δὲ διὰ τοῦτο, δῆλον ἀπὸ τοῦ μὴ εὐθέως ἐπὶ τιμωρίαν ἐλθεῖν, ἀλλὰ δεῖξαι πρῶτον τὴν ἁμαρτίαν. Ὅθεν οὐδεὶς ἐστέναξεν· οὐδεὶς ἀνῴμωξεν, ἀλλὰ πάντες ἐφοβήθησαν. Εἰκότως δέ, τῆς πίστεως αὐτῶν ἐπιτεινομένης, καὶ τὰ σημεῖα πλείω ἐγίνετο, καὶ πολὺς καὶ παρὰ τοῖς οἰκείοις ὁ φόβος ἦν, ἐπειδὴ οὐχ οὕτω τὰ τῶν ἔξωθεν ἡμᾶς θορυβεῖ, ὡς τὰ τῶν οἰκείων. Ἂν οὖν ὦμεν πρὸς ἀλλήλους συγκροτημένοι, οὐδεὶς ἔσται ἡμῖν πολεμῶν· ὥσπερ,

ὅμως καὶ ὁ τρόπος ζωῆς καὶ ἡ ἀρετὴ τῶν ἀνδρῶν φανέρωνε αὐτό. Πρόσεχε δὲ πῶς ἐδῶ δὲν ἀναφέρει ἀριθμὸ αὐτῶν ποὺ πίστεψαν, ἀφήνοντας τὸν ἀκροατὴ νὰ ὑπολογίζει μόνος του· σὲ τόσο μεγάλο πλῆθος ἐπεξετάθηκαν τὰ γεγονότα τῆς πίστεως. Ἀπὸ αὐτὰ καὶ ἡ ἀνάσταση περισσότερο διακηρυσσόταν.

«Κανένας δὲ δὲν τολμοῦσε νὰ προσκολληθεῖ σ' αὐτούς, ἀλλὰ τὸ πολὺ πλῆθος τοὺς ἐκτιμοῦσε πολύ». Αὐτὸ τὸ λέγει, γιὰ νὰ δείξει, ὅτι δὲν ἦταν πλέον εὐκαταφρόνητοι ὅπως καὶ προηγουμένως, καὶ ὅτι σὲ σύντομο καιρὸ καὶ σὲ μιὰ στιγμὴ ἔγιναν τόσα πολλὰ ἀπὸ τὸν ἁλιέα καὶ ἀπλοϊκὸ ἄνθρωπο. Οὐρανὸς λοιπὸν ἦταν πλέον ἡ γῆ, ἐξ αἰτίας τοῦ τρόπου ζωῆς τους, τῆς παρρησίας τους, τῶν θαυμάτων καὶ ὅλων αὐτῶν· καὶ σὰν ἀκριβῶς ἄγγελοι τόσο πολὺ θαυμάζονταν χωρὶς νὰ ὑποχωροῦν μπροστὰ σὲ τίποτε, οὔτε στὸν γέλωτα, οὔτε σὲ ἀπειλές, οὔτε στοὺς κινδύνους. Ὄχι μόνο ἐξ αἰτίας αὐτοῦ, ἀλλ' ἐπειδὴ ἦταν ὑπερβολικὰ φιλάνθρωποι καὶ ἐνδιαφέρονταν γι' αὐτούς, ἄλλους μὲν τοὺς βοηθοῦσαν μὲ χρήματα, ἄλλους δὲ μὲ τὴ θεραπεία τῶν σωμάτων. «Γιατί ἄφησες τὸ σατανὰ νὰ κυριέψει τὴν καρδιά σου;». Εἶναι σὰν ν' ἀπολογεῖται ὁ Πέτρος προτιθέμενος νὰ τιμωρήσει αὐτόν, καὶ τοὺς ἄλλους διδάσκει. Ἀλλ' ἐπειδὴ ἐπρόκειτο νὰ φανεῖ πολὺ αὐστηρὸ τὸ γενόμενο, γι' αὐτὸ λοιπὸν καὶ σ' αὐτὸν τὸν ἴδιο καὶ στὴ γυναίκα του κάμνει τὸ δικαστήριο φοβερό. Ἐὰν δέ, ἐνῶ ἁμάρτησαν ἀσυγχώρητα, δὲν τοὺς τιμωροῦσε ἔτσι καὶ τοὺς δύο, πόση καταφρόνηση τοῦ Θεοῦ δὲν θὰ προέκυπτε ἀπὸ ἐδῶ; Ὅτι δὲ γι' αὐτό, εἶναι φανερὸ ἀπὸ τὸ ὅτι δὲν προχώρησε ἀμέσως στὴν τιμωρία, ἀλλ' ἐπέδειξε πρῶτα τὴν ἁμαρτία. Γι' αὐτὸ κανένας δὲν στέναξε, κανένας δὲν γόγγυσε, ἀλλ' ὅλοι φοβήθηκαν. Δικαιολογημένα δέ, ἐφόσον αὐξανόταν ἡ πίστη αὐτῶν, καὶ τὰ σημεῖα γίνονταν περισσότερα, καὶ πολὺς φόβος ὑπῆρχε καὶ στοὺς ὁμόπιστους, ἐπειδὴ δὲν μᾶς θορυβοῦν τόσο πολὺ τὰ ὅσα συμβαίνουν στοὺς ἔξω, ὅσο τὰ δικά μας. Ἂν λοιπὸν εἴμαστε ὅλοι συνενωμένοι μεταξύ μας, κανένας δὲν θὰ ὑπάρχει ποὺ θὰ μᾶς πο-

ἂν ἀπ' ἀλλήλων διϊστώμεθα, τὸ ἐναντίον πάντες ἡμῖν ἐπιθήσονται.

Ἀπὸ τούτου κἀκεῖνοι λοιπὸν ἐθάρρουν, καὶ μετὰ παρρησίας καὶ εἰς ἀγορὰν ἐνέβαλλον, καὶ ἐν μέσῳ τῶν ἐχθρῶν καὶ ἐκράτουν· καὶ ἐπληροῦτο ἐκεῖνο τὸ εἰρημένον, «Κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου»,⁸ ὃ καὶ μείζονος ἀπόδειξις δυνάμεως ἦν, ὅτι, κατεχόμενοι, δεσμούμενοι, τοιαῦτα ἔπραττον. Εἰ οὖν οἱ μόνον ψευσάμενοι τοιαῦτα ἔπαθον, οἱ καὶ ἐπιορκοῦντες τί οὐ πείσονται; Μᾶλλον δέ, εἰ, ἁπλῶς εἰποῦσα ἡ γυνή, «Ναί, τοσούτου», τοιαύτην ἔδωκε δίκην, καὶ οὐκ ἐξέφυγεν, ἐννοήσατε οἱ ὀμνύοντες καὶ ἐπιορκοῦντες τίνος ἂν εἴητε ἄξιοι κολάσεως; Εὔκαιρον καὶ ἀπὸ τῆς Παλαιᾶς δεῖξαι τὸ χαλεπὸν τῆς ἐπιορκίας τήμερον. «Δρέπανον», φησί, «πετόμενον ἦν, πλάτους πήχεων δέκα».⁹ Τὸ πετόμενον τὴν ταχίστην ἔφοδον τῆς τιμωρίας δηλοῖ τὴν τοῖς ὅρκοις παρεπομένην, τὸ δὲ πήχεων τοῦτο δέκα εἶναι τὸ πλάτος καὶ τὸ μῆκος, τὸ σφοδρὸν σημαίνει καὶ τὸ μέγεθος τῶν κακῶν· τὸ δὲ ἀπ' οὐρανοῦ πέτεσθαι, τὸ ἐκ τοῦ ἄνωθεν δικαστηρίου τὴν ψῆφον φέρεσθαι· τὸ δὲ δρεπανοειδές, τὸ ἄφυκτον τῆς τιμωρίας. Καθάπερ γὰρ δρέπανον, εἰς τράχηλον ἐμπεσόν, οὐκ ἂν καθ' ἑαυτὸ ἀνελκυσθείη, μένει δέ πως ἔτι, καὶ ἀποτεμνομένης τῆς κεφαλῆς, οὕτω καὶ ἡ δίκη τοῖς ὀμνύουσιν ἐπιοῦσα φοβερά τις ἐστι, καὶ οὐκ ἂν ἀποσταίη, μὴ πρότερον ἐργασαμένη τὸ αὐτῆς. Εἰ δὲ διαφεύγομεν ὀμνύοντες, μὴ θαρρῶμεν· ἐπὶ γὰρ κακῷ τῷ ἡμετέρῳ τοῦτο γίνεται. Ἐπεὶ τί νομίζετε; πόσοι μετὰ Ἀνανίαν καὶ Σάπφειραν τὰ αὐτὰ ἐκείνοις ἐτόλμησαν, καὶ οὐ τὰ αὐτὰ ἔπαθον; Καὶ πῶς, φησίν, οὐκ ἔπαθον; Οὐκ ἐπειδὴ συνεχωρήθη αὐτοῖς, ἀλλ' ἐπειδὴ μείζονι τηροῦνται κακῷ.

4. Ὥστε οἱ πολλὰ πταίοντες, μὴ κολαζόμενοι μᾶλλον, ἢ κολαζόμενοι, φοβεῖσθαι καὶ δεδοικέναι ὀφείλουσιν· αὔξεται

---

8. Ψαλμ. 109, 2.
9. Ζαχ. 5, 2.

λεμᾶ ὅπως ἀκριβῶς ἂν διαιρούμαστε μεταξύ μας, θὰ συμβεῖ τὸ ἀντίθετο, ὅλα θὰ μᾶς ἐπιτιθετοῦν.

Ἀπὸ αὐτὸ λοιπὸν καὶ ἐκεῖνοι ἔπαιρναν θάρρος καὶ μὲ παρρησία εἰσέρχονταν καὶ στὴν ἀγορὰ καὶ ἀνάμεσα στοὺς ἐχθροὺς καὶ ἐπικρατοῦσαν· ἐκπληρωνόταν ἐκεῖνο ποὺ ἔχει λεχθεῖ, «Καὶ κατακυρίευε τοὺς ἐχθρούς σου»[8], πρᾶγμα ποὺ ἦταν ἀπόδειξη καὶ μεγαλύτερης δυνάμεως, ὅτι, ἂν καὶ συλλαμβάνονταν καὶ φυλακίζονταν, ἔκαμναν αὐτά. Ἂν λοιπὸν ἐκεῖνοι ποὺ εἶπαν ψέματα ἔπαθαν τέτοια, τί δὲν θὰ πάθουν αὐτοὶ ποὺ γίνονται ἐπίορκοι; Μᾶλλον δέ, ἐὰν ἡ γυναίκα ποὺ εἶπε ἁπλῶς, «Ναὶ γιὰ τόσο ποσό», τόσο πολὺ τιμωρήθηκε καὶ δὲν διέφυγε, σκεφθεῖτε σεῖς ποὺ ὁρκίζεσθε καὶ ποὺ γίνεσθε ἐπίορκοι, ποιᾶς τιμωρίας θὰ εἶστε ἄξιοι; Εἶναι εὐκαιρία ν' ἀποδείξουμε σήμερα καὶ ἀπὸ τὴν Παλαιὰ Διαθήκη τὸ φοβερό τῆς ἐπιορκίας. «Δρεπάνι», λέγει, «ἱπτάμενο μὲ πλάτος δέκα πήχεων»[9]. Τὸ ἱπτάμενο δηλώνει τὴν ταχίστη ἔφοδο τῆς τιμωρίας, ποὺ ἀκολουθεῖ τοὺς ὅρκους, τὸ δὲ πήχεων δέκα, ποὺ εἶναι τὸ πλάτος καὶ τὸ μῆκος, σημαίνει τὸ φοβερὸ καὶ τὸ μέγεθος τῶν κακῶν· τὸ πέταγμα δὲ ἀπὸ τὸν οὐρανό, σημαίνει τὴν προέλευση τῆς ἀποφάσεως ἀπὸ τὸ οὐράνιο δικαστήριο, καὶ τὸ δρεπανοειδές, σημαίνει τὸ ἀναπόφευκτο τῆς τιμωρίας. Διότι, ὅπως ἀκριβῶς τὸ δρεπάνι, ὅταν πέσει στὸν τράχηλο, δὲν θὰ ἀνασυρθεῖ μόνο του, μένει δὲ ἀκόμη λίγο καὶ ὅταν ἀποκοπεῖ ἡ κεφαλή, ἔτσι καὶ ἡ καταδίκη σ' αὐτοὺς ποὺ ὁρκίζονται ἐπέρχεται φοβερὴ καὶ δὲν ἀπομακρύνεται, ἂν προηγουμένως δὲν ἐπιτελέσει τὸ ἔργο της. Ἂν ὅμως διαφεύγουμε τὴν τιμωρία, ὅταν ὁρκιζόμαστε, ἂς μὴ παίρνουμε θάρρος· διότι αὐτὸ γίνεται πρὸς ζημία μας. Διότι τί νομίζετε; Πόσοι μετὰ τὸν Ἀνανία καὶ τὴ Σάπφειρα τόλμησαν τὰ ἴδια μὲ ἐκείνους, καὶ δὲν ἔπαθαν τὰ ἴδια; Καὶ πῶς, λέγει, δὲν ἔπαθαν; Ὄχι ἐπειδὴ συγχωρήθηκαν, ἀλλ' ἐπειδὴ περισσότερο πρόκειται νὰ τιμωρηθοῦν.

4. Ὥστε ἐκεῖνοι ποὺ διαπράττουν πταίσματα πολλά, πρέπει νὰ φοβοῦνται καὶ νὰ τρέμουν περισσότερο ὅταν

γὰρ αὐτοῖς τὰ τῆς τιμωρίας διὰ τῆς ἀτιμωρησίας καὶ τῆς μακροθυμίας τοῦ Θεοῦ. Μὴ τοῦτο τοίνυν ἴδωμεν, ὅτι οὐ κολαζόμεθα, ἀλλ' εἰ μὴ ἡμάρτομεν· εἰ δὲ ἁμαρτάνοντες οὐ κολαζόμεθα, μᾶλλον τρέμειν ὀφείλομεν. Εἰπέ μοι, ἂν τινα δοῦλον ἔχῃς καὶ ἀπειλῇς αὐτῷ μόνον, καὶ οὐ τύπτῃς, πότε μᾶλλον φοβεῖται, πότε φεύγει, πότε δραπετεύει; οὐχ ὅταν ἀπειλῇς μόνον; Ὅθεν καὶ ἀλλήλοις παραινοῦμεν μὴ ἀπειλεῖν συνεχῶς, ὥστε μὴ τῷ φόβῳ μᾶλλον κατασεῖσαι τὴν ψυχήν, ὥστε μὴ σπαράττειν αὐτὸν πλέον τῶν πληγῶν· ἄλλως δὲ καὶ ἐκεῖ μὲν πρόσκαιρος ἡ τιμωρία, ἐνταῦθα δὲ διηνεκής. Μὴ τοίνυν, εἰ μηδεὶς τὰ τοῦ δρεπάνου πάσχει, νῦν τοῦτο ἴδῃς, ἀλλ' ἐκεῖνο ἐννόησον, εἰ τοιαῦτα ποιεῖ· ἐπεὶ πολλὰ γίνεται νῦν, οἷα ἐπὶ τοῦ κατακλυσμοῦ, ἀλλὰ κατακλυσμὸς οὐ γέγονε· γέεννα γὰρ ἠπείληται καὶ τιμωρία. Πολλοὶ ἁμαρτάνουσιν, οἷα τὰ ἐπὶ τῶν Σοδόμων, ἀλλὰ πῦρ οὐκ ἦλθεν ὑετοῦ· πύρινος γὰρ ἡτοίμασται ποταμός. Πολλοὶ τὰ τοῦ Φαραὼ ἐτόλμησαν, ἀλλ' οὐκ ἔπαθον τὰ τοῦ Φαραώ, οὐδὲ κατεποντίσθησαν εἰς Ἐρυθρὰν θάλασσαν· τὸ γὰρ πέλαγος αὐτοὺς μένει τὸ τῆς ἀβύσσου, ἔνθα οὐ μετὰ ἀναισθησίας ἡ τιμωρία, οὐδὲ ἀποπνιγῆναι ἔνι, ἀλλ' ἐπὶ πλέον κολαζομένους, τηγανιζομένους, ἀπαγχονιζομένους ἀναλίσκεσθαι. Πολλοὶ τὰ τῶν Ἰσραηλιτῶν ἐτόλμησαν, ἀλλ' οὐκ ἔφαγον αὐτοὺς ὄφεις· μένει γὰρ αὐτοὺς ὁ σκώληξ ὁ ἀτελεύτητος. Πολλοὶ τὰ τοῦ Γιεζῆ ἐτόλμησαν, ἀλλ' οὐκ ἐλεπρώθησαν· μένει γὰρ αὐτοὺς ἀντὶ τῆς λέπρας τὸ διχοτομηθῆναι, καὶ τεθῆναι μετὰ τῶν ὑποκριτῶν. Πολλοὶ καὶ ὤμοσαν καὶ ἐπιώρκησαν, εἰ δὲ καὶ διέφυγον, μὴ θαρρῶμεν· μένει γὰρ αὐτοὺς ὁ βρυγμὸς τῶν ὀδόντων. Καὶ ἐνταῦθα δὲ τάχα πείσονται, καὶ οὐ φεύξονται, εἰ καὶ μὴ παρὰ πόδας, ἀλλ' ἐφ' ἑτέροις ἁμαρτήμασιν, ἵνα καὶ χαλεπωτέρα ἡ τιμω-

10. Πρβλ. Ἀριθμ. 21, 4-9 καὶ Ἰωάν. 3, 14.
11. Πρβλ. Δ' Βασιλ. 5, 20-27.

δὲν τιμωροῦνται, παρὰ ὅταν τιμωροῦνται· διότι αὐξάνει σ' αὐτοὺς ἡ τιμωρία μὲ τὴν ἀτιμωρησία καὶ τὴν μακροθυμία τοῦ Θεοῦ. Ἄς μὴ προσέξουμε λοιπὸν αὐτό, ὅτι δηλαδὴ δὲν τιμωρούμαστε, ἀλλ' ἐὰν δὲν ἁμαρτήσαμε· ἐὰν δὲ ἁμαρτάνοντας δὲν τιμωρούμαστε, πρέπει περισσότερο νὰ τρέμουμε. Πές μου, ἂν ἔχεις κάποιο δοῦλο, καὶ τὸν ἀπειλεῖς μόνο καὶ δὲν τόν κτυπᾶς, πότε φοβεῖται περισσότερο, πότε φεύγει, πότε δραπετεύει; ὄχι ὅταν τὸν ἀπειλεῖς μόνο; Γι' αὐτό καὶ συμβουλεύουμε ὁ ἕνας τόν ἄλλο νὰ μὴ ἀπειλοῦμε συνέχεια, ὥστε νά μὴ συνταράξουμε περισσότερο τὴν ψυχή, καὶ νὰ μὴ σπαράττουμε αὐτὸν περισσότερο ἀπὸ τὶς πληγές. Ἐξ ἄλλου δὲ καὶ ἐκεῖ μὲν ἡ τιμωρία εἶναι πρόσκαιρη, ἐδῶ δὲ διαρκής. Μὴ λοιπόν παρατηρήσεις αὐτὸ τώρα, ἐὰν κανένας δὲν πάσχει τὰ τοῦ δρεπάνου, ἀλλὰ σκέψου ἐκεῖνο, ἐὰν πράττει τέτοια· ἐπειδὴ πολλὰ γίνονται τώρα, ὅμοια μὲ ἐκεῖνα τοῦ κατακλυσμοῦ, ἀλλὰ κατακλυσμὸς δὲν γίνεται· διότι ἔχει ἀπηληθεῖ γέεννα καὶ τιμωρία. Πολλοὶ διαπράττουν ἁμαρτήματα, ὅμοια μὲ ἐκεῖνα τῶν Σοδόμων, ἀλλὰ δὲν ἔπεσε φωτιὰ σὰν βροχή· διότι ἔχει ἑτοιμασθεῖ πύρινος ποταμός. Πολλοὶ δὲ τόλμησαν τὰ τοῦ Φαραώ, ἀλλὰ δὲν ἔπαθαν τὰ τοῦ Φαραώ, οὔτε καταποντίσθηκαν στὴν Ἐρυθρὰ θάλασσα· διότι ἀναμένει αὐτοὺς τὸ πέλαγος τῆς ἀβύσσου, ὅπου ἡ τιμωρία δὲν συνοδεύεται ἀπὸ τὴν ἀναισθησία, οὔτε εἶναι δυνατὸ νὰ ἀποπνιγοῦν, ἀλλὰ νὰ φθείρονται περισσότερο τιμωρούμενοι, τηγανιζόμενοι, ἀπαγχονιζόμενοι. Πολλοὶ τόλμησαν τὰ τῶν Ἰσραηλιτῶν[10], ἀλλὰ δὲν τοὺς κατέφαγαν τὰ φίδια· διότι ἀναμένει αὐτοὺς τὸ αἰώνιο σκουλήκι. Πολλοὶ τόλμησαν τὰ τοῦ Γιεζῆ[11], ἀλλὰ δὲν ἔγιναν λεπροί· διότι ἀναμένει αὐτοὺς ἀντὶ τῆς λέπρας ὁ διαχωρισμός καὶ ἡ τοποθέτησή τους μαζὶ μὲ τοὺς ὑποκριτές. Πολλοὶ καὶ ὁρκίσθηκαν καὶ ἐπιόρκησαν, ἐὰν δὲ καὶ διέφυγαν τὴν τιμωρία, ἂς μὴ παίρνομε θάρρος· διότι ἀναμένει αὐτοὺς ὁ βρυγμὸς τῶν ὀδόντων. Καὶ ἐδῶ δὲ ἴσως τιμωρηθοῦν καὶ νὰ μὴ διαφύγουν, ἐνδεχομένως ὄχι ἀμέσως, ἀλλὰ γι' ἄλλα ἁμαρτήματα, γιὰ νὰ εἶναι ἡ τιμωρία φοβερώτερη· διότι καὶ

ρία ἤ· ἐπεὶ καὶ ἡμεῖς πολλάκις, ἀφορμὰς λαβόντες ἀπὸ μικρῶν, καὶ ὑπὲρ μεγάλων τὸ πᾶν κενοῦμεν. Ὥστε, ὅταν ἴδῃς τί σοι συμβάν, ἀναμνήσθητί σου τῆς ἁμαρτίας ἐκείνης.

Τοῦτο γὰρ ἐπὶ τῶν υἱῶν τοῦ Ἰακὼβ γέγονε. Μνημονεύετε τῶν ἀδελφῶν τοῦ Ἰωσήφ· ἐπώλησαν τὸν ἀδελφόν, σφάξαι ἐπεχείρησαν (μᾶλλον δὲ καὶ ἔσφαξαν ὅσον τὸ ἐπ' αὐτοῖς) ἠπάτησαν, ἐλύπησαν τὸν γέροντα· οὐδὲν ἔπαθον. Μετὰ πλείονα γοῦν ἔτη περὶ τῶν ἐσχάτων ἐκινδύνευσαν, καὶ τῆς ἁμαρτίας ταύτης ὑπομιμνήσκονται. Καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἄκουε αὐτῶν τί φασι· «Ναί· ἐν ἁμαρτίᾳ γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν». Οὕτω δὴ καὶ σύ, ὅταν τι συμβῇ, εἰπέ· Ναί, ἐν ἁμαρτίᾳ ἐσμέν, ὅτι οὐκ ἠκούσαμεν τοῦ Χριστοῦ, ὅτι ὠμόσαμεν· αἱ πολυορκίαι, καὶ αἱ ἐπιορκίαι ἐπὶ τὴν κεφαλήν μου ἦλθον. Οὐκοῦν ἐξομολόγησαι· καὶ γὰρ κἀκεῖνοι ἐξωμολογήσαντο καὶ ἐσώθησαν. Τί γάρ, εἰ μὴ παραχρῆμα ἔπεισιν ἡ τιμωρία; ἐπεὶ καὶ ὁ Ἀχαὰβ διὰ τοῦ Ναβουθαὶ οὐκ εὐθέως παρὰ τὴν ἁμαρτίαν ἔπαθεν ἅπερ ἔπαθε. Διὰ τί δὲ τοῦτο γίνεται; Δίδωσί σοι προθεσμίαν ὁ Θεός, ὥστε ἀπονίψασθαι· ὅταν δὲ ἐπιμένῃς, ἐπάγει λοιπὸν τὴν τιμωρίαν. Εἴδετε τί ἔπαθον οἱ ψευδόμενοι; Οὐκοῦν ἐννοήσατε τί πείσονται καὶ οἱ ἐπιορκοῦντες· ἐννοήσατε, καὶ ἀπόστητε! Οὐκ ἔστιν ὀμνύντα μὴ ἐπιορκεῖν, καὶ ἑκόντα καὶ ἄκοντα· οὐκ ἔστιν ἐπιορκοῦντα σωθῆναι. Ἀρκεῖ μία ἐπιορκία τὸ πᾶν ἐργάσασθαι, καὶ ὁλόκληρον ἡμῖν τὴν τιμωρίαν ἐπαγαγεῖν.

Διὰ δὴ τοῦτο προσέχωμεν, παρακαλῶ, ἑαυτοῖς, ἵνα, τὴν ἐντεῦθεν κόλασιν διαφυγόντες, τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν χάριτι καὶ οἰκτιρμοῖς τοῦ Μονογενοῦς αὐτοῦ Υἱοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

12. Γεν. 42 καὶ 21.
13. Γ' Βασιλ. 21, 19.

ἐμεῖς πολλὲς φορές, ἀφοῦ λάβαμε ἀφορμὲς ἀπὸ μικρὰ πράγματα, ἐξαντλοῦμε τὸ πᾶν καὶ γιὰ τὰ μεγάλα. Ὥστε, ὅταν δεῖς νὰ σοῦ συμβαίνει κάτι, ἐνθυμήσου τὴν ἁμαρτία ἐκείνη.

Τὸ ἴδιο συνέβηκε καὶ στὰ παιδιὰ τοῦ Ἰακώβ. Θυμηθεῖτε τοὺς ἀδελφοὺς τοῦ Ἰωσήφ· πούλησαν τὸν ἀδελφό τους, ἐπιχείρησαν νὰ τὸν σφάξουν (μᾶλλον δὲ καὶ τὸν ἔσφαξαν, ὅσο ἐξαρτιόταν ἀπ᾽ αὐτούς)· τὸν ἐξαπάτησαν, καταλύπησαν τὸ γέροντα πατέρα τους, καὶ ὅμως καθόλου δὲν τιμωρήθηκαν. Μετὰ ἀπὸ πολλὰ λοιπὸν χρόνια κινδύνεψαν τὸν ἔσχατο κίνδυνο καὶ τότε ἐνθυμοῦνται τὴν ἁμαρτία αὐτή. Καὶ ὅτι δὲν εἶναι εἰκασία αὐτὸ ποὺ λέγω, ἄκουε τί λέγουν αὐτοί· «Ναὶ ἁμαρτήσαμε καὶ εἴμαστε ἔνοχοι γιὰ τὸν ἀδελφό μας»[12]. Ἔτσι λοιπὸν καὶ σύ, ὅταν συμβεῖ κάτι, πές· Ναί, εἴμαστε ἔνοχοι, διότι δὲν ἀκούσαμε τὸ Χριστό, διότι ὁρκισθήκαμε· οἱ πολλοὶ ὅρκοι καὶ οἱ ἐπιορκίες ἔπεσαν ἐπάνω στὸ κεφάλι μου. Λοιπὸν ἐξομολογήσου· διότι καὶ ἐκεῖνοι ἐξομολογήθηκαν καὶ σώθηκαν. Διότι τί σημασία ἔχει, ἂν δὲν ἀκολουθεῖ ἀμέσως ἡ τιμωρία; Καθόσον καὶ ὁ Ἀχαὰβ δὲν ἔπαθε αὐτὰ ποὺ ἔπαθε μὲ τὸν Ναβουθαὶ[13] ἀμέσως μετὰ τὴν ἁμαρτία. Γιατί δὲ γίνεται αὐτό; Σοῦ δίνει προθεσμία ὁ Θεὸς γιὰ νὰ μετανοήσεις· ὅταν ὅμως ἐπιμένεις, ἐπιφέρει πλέον τὴν τιμωρία. Εἴδατε τί ἔπαθαν ἐκεῖνοι ποὺ ψεύδονται. Λοιπόν, σκεφθεῖτε τί θὰ πάθουν καὶ ἐκεῖνοι ποὺ ἐπιορκοῦν· σκεφθεῖτε καὶ ἀποφύγετε αὐτήν. Δὲν εἶναι δυνατὸ ἐκεῖνος ποὺ ὁρκίζεται νὰ μὴ ἐπιορκήσει, εἴτε τὸ θέλει εἴτε δὲν τὸ θέλει· δὲν εἶναι δυνατὸ ἐκεῖνος ποὺ ἐπιορκεῖ νὰ σωθεῖ. Εἶναι ἀρκετὴ μία ἐπιορκία νὰ κάνει τὸ πᾶν καὶ νὰ μᾶς ἐπιφέρει ὁλόκληρη τὴν τιμωρία.

Γι᾽ αὐτὸ λοιπόν, παρακαλῶ, νὰ προσέχουμε τοὺς ἑαυτούς μας, ὥστε, ἀφοῦ διαφύγουμε τὴν ἐδῶ τιμωρία, νὰ ἀξιωθοῦμε τὴ φιλανθρωπία τοῦ Θεοῦ, μὲ τὴ χάρη καὶ τοὺς οἰκτιρμοὺς τοῦ Μονογενῆ Υἱοῦ του, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΓ΄
(Πράξ. 5, 17 - 33)

«Ἀναστὰς δὲ ὁ ἀρχιερεύς, καὶ πάντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς Ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ».

1. Οὐδὲν ἰταμώτερον κακίας, οὐδὲν τολμηρότερον. Πείρᾳ μαθόντες τὴν αὐτῶν ἀνδρείαν ἐξ ὧν ἐπεχείρησαν πρότερον, ὅμως ἐπιχειροῦσι καὶ πάλιν ἐπισυνίστανται. Τί ἐστιν· «Ἀναστὰς δὲ ὁ ἀρχιερεύς, καὶ πάντες οἱ σὺν αὐτῷ»; Διηγέρθη, φησί, κινηθεὶς ἐπὶ τοῖς γενομένοις. «Καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς Ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ». Νῦν σφοδρότερον αὐτοῖς ἐπιτίθενται. Οὐκ εὐθέως δὲ αὐτοὺς ἔκριναν, προσδοκῶντες πάλιν αὐτοὺς πρᾴους ἔσεσθαι. Καὶ πόθεν δῆλον ὅτι σφοδρότερον αὐτοῖς ἐπετέθησαν; Ἀπὸ τοῦ θεῖναι αὐτοὺς εἰς τήρησιν δημοσίαν. Πάλιν περιπίπτουσι κινδύνοις, καὶ πάλιν τῆς παρὰ τοῦ Θεοῦ ἀπολαύουσι ῥοπῆς· καὶ ὅπως, ἄκουε τῶν ἑξῆς· «Ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἠνέῳξε τὰς πύλας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτούς, εἶπε· Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης». Τοῦτο καὶ εἰς ἐκείνων παραμυθίαν γέγονε, καὶ εἰς τούτων ὠφέλειαν καὶ διδασκαλίαν. Καὶ ὅρα ὅπερ ἐπὶ τοῦ Χριστοῦ, τοῦτο καὶ νῦν γινόμενον. Γινόμενα μὲν γὰρ δήπου τὰ θαύματα οὐκ ἀφίησιν αὐτοὺς ἰδεῖν, ἀφ' ὧν δ' ἂν μάθοιεν, ταῦτα κατασκευάζει· οἷον, ἐπὶ τῆς ἀναστάσεως τῆς αὐτοῦ οὐκ ἀφῆκεν αὐτοὺς ἰδεῖν πῶς ἀνέστη (ἀνάξιοι γὰρ τοῦ ταύτην

---

1. Πράξ. 5, 17.

ΟΜΙΛΙΑ ΙΓ΄
(Πράξ. 5, 17 - 33)

«Τότε ἐσηκώθηκε ὁ ἀρχιερέας καὶ ὅλοι ὅσοι ἦταν μαζί του, δηλαδὴ τὸ θρησκευτικὸ κόμμα τῶν Σαδδουκαίων, καὶ γεμάτοι ἀπὸ φθόνο συνέλαβαν τοὺς ἀποστόλους καὶ τοὺς ἔβαλαν ὑπὸ ἐπιτήρηση σὲ δημόσια φυλακή»[1].

1. Δὲν ὑπάρχει τίποτε θρασύτερο οὔτε τολμηρότερο ἀπὸ τὴν κακία. Ἀπὸ πεῖρα ἀφοῦ ἔμαθαν τὴν ἀνδρεία αὐτῶν ἀπὸ ἐκεῖνα ποὺ ἐπιχείρησαν προηγουμένως, παρὰ ταῦτα ὅμως ἐπιχειροῦν ξανὰ καὶ πάλι συγκεντρώνονται ἐναντίον τους. Τί σημαίνει, «Ἀφοῦ σηκώθηκε δὲ ὁ ἀρχιερέας καὶ ὅλοι ὅσοι ἦταν μαζί του»; Παρακινήθηκε σὲ ἐνέργειες, λέγει, καὶ δραστηριοποιήθηκε ἀπὸ τὰ γεγονότα. «Καὶ συνέλαβαν τοὺς ἀποστόλους καὶ τοὺς ἔρριψαν σὲ δημόσια φυλακή». Τώρα ἐπιτίθενται σφοδρότερα ἐναντίον τους. Δὲν τοὺς δίκασαν ὅμως ἀμέσως, ἐπειδὴ ἀνέμεναν αὐτοὺς νὰ γίνουν πάλι πρᾶοι. Καὶ ἀπὸ ποῦ εἶναι φανερό, ὅτι σφοδρότερα ἐπετέθηκαν ἐναντίον τους. Ἀπὸ τὸ ὅτι τοὺς ἔκλεισαν σὲ δημόσια φυλακή. Πάλι περιπίπτουν σὲ κινδύνους, καὶ πάλι ἀπολαμβάνουν τὴν εὔνοια τοῦ Θεοῦ· καὶ πῶς, ἄκουε τὰ ἑξῆς· «Ἄγγελος Κυρίου τὴ νύχτα ἄνοιξε τὶς θύρες τῆς φυλακῆς, καί, ἀφοῦ τοὺς ἔβγαλε ἔξω, εἶπε· πηγαίνετε καὶ ἀφοῦ σταθεῖτε στὸ ναό, διδάσκετε μὲ θάρρος στὸ λαὸ ὅλα τὰ λόγια αὐτῆς τῆς νέας ζωῆς». Τοῦτο ἔγινε καὶ γιὰ παρηγορία ἐκείνων καὶ γιὰ ὠφέλεια καὶ διδασκαλία αὐτῶν. Καὶ *πρόσεχε ἐκεῖνο ποὺ ἔγινε στὴν* περίπτωση *τοῦ Χριστοῦ, αὐτὸ γίνεται καὶ τώρα. Διότι* ὅταν *γίνονται μὲν τὰ θαύματα, δὲν ἀφήνει αὐτοὺς νὰ* δοῦν, *ἐκεῖνα δὲ μὲ τὰ ὁποῖα ἦταν δυνατὸ νὰ μάθουν,* αὐτὰ τοὺς παρέχει· γιὰ παράδειγμα· στὴν περίπτωση τῆς δικῆς του ἀναστάσεως δὲν ἄφησε αὐτοὺς νὰ δοῦν πῶς ἀναστήθηκε (διότι ἦταν ἀνάξιοι νὰ δοῦν αὐτήν), ἀλλ' ἀ-

ἰδεῖν ἦσαν), ἀλλὰ δείκνυσιν ἀφ' ὧν τοῦτο εἰργάσατο· ὁμοίως καὶ ἐπὶ τοῦ οἴνου, τοῦ ἀπὸ τοῦ ὕδατος γενομένου, οὐ βλέπουσιν οἱ ἀνακείμενοι (ἐμέθυον γάρ), καὶ τὴν κρίσιν ἐπιτρέπει ἑτέροις.

Οὕτω δὴ καὶ ἐνταῦθα· ἐξαγομένους μὲν γὰρ αὐτοὺς οὐχ ὁρῶσι, τεκμήρια δέ, ἀφ' ὧν ἠδύναντο καταμαθεῖν τὰ γενόμενα, εἶδον. Τί δήποτε δὲ καὶ κατὰ τὴν νύκτα αὐτοὺς ἐξέβαλεν; Ὅτι οὕτω μᾶλλον ἢ ἐκείνως ἐπιστεύθησαν· ἄλλως τε καὶ ὅτι οὐκ ἂν ἐπὶ τὸ ἐρωτῆσαι ἦλθον· οὔτε μὴν ἑτέρως ἂν καὶ αὐτοὶ ἐπίστευσαν. Οὕτω καὶ ἐπὶ τῶν παλαιῶν γέγονεν, οἷον ἐπὶ τοῦ Ναβουχοδονόσορ· εἶδεν αἰνοῦντας τὸν Θεὸν ἐπὶ τῆς καμίνου τοὺς παῖδας, καὶ τότε εἰς ἔκπληξιν ἦλθε. Δέον τοίνυν καὶ τούτους ἐρωτῆσαι πρῶτον, 'Πῶς ἐξήλθετε;' οἱ δέ, ὡς οὐδενὸς γενομένου, ἐρωτῶσι, λέγοντες· Οὐχὶ παραγγελία παρηγγείλομεν ὑμῖν μὴ λαβεῖν;». Καὶ ὅρα πῶς δι' ἑτέρων μανθάνουσιν ἅπαντα· ὁρῶσι γὰρ κεκλεισμένην τὴν φυλακὴν μετὰ ἀσφαλείας, καὶ τοὺς φύλακας ἑστῶτας πρὸ τῶν θυρῶν. «Ἀκούσαντες δέ, εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερόν, καὶ ἐδίδασκον. Παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον, καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ· καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον ἀχθῆναι αὐτούς. Παραγενόμενοι δὲ οἱ ὑπηρέται, οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ· ἀναστρέψαντες δὲ ἀπήγγειλαν, λέγοντες ὅτι τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ καὶ τοὺς φύλακας ἔξω ἑστῶτας πρὸ τῶν θυρῶν· ἀνοίξαντες δέ, ἔσω οὐδένα εὕρομεν». Διπλῆ ἡ ἀσφάλεια, ὥσπερ ἐπὶ τοῦ τάφου, καὶ ἡ σφραγὶς καὶ οἱ ἄνθρωποι. Ὅρα πῶς ἦσαν θεομάχοι. Ταῦτα ἀνθρώπινα, εἰπέ μοι, τὰ ἐπ' αὐτῶν γενόμενα; Τίς αὐτοὺς ἐξήγαγε τῶν θυρῶν κεκλεισμένων; πῶς ἐξῆλθον, τῶν φυλάκων πρὸ τῶν θυρῶν ἑστώτων; Ὄντως μαινομένων καὶ μεθυόντων τὰ ῥήματα!

ποδεικνύει ἐκεῖνα μὲ τὰ ὁποῖα κατόρθωσε αὐτό. Ὅμοια καὶ στὴν περίπτωση τοῦ κρασιοῦ, ποὺ ἔγινε ἀπὸ τὸ νερό, δὲν βλέπουν οἱ παρακαθήμενοι (διότι μεθοῦσαν), καὶ τὴν κρίση ἐπιτρέπει σὲ ἄλλους.

Ἔτσι λοιπὸν καὶ ἐδῶ· ὅταν δηλαδὴ ἐξέρχονται αὐτοὶ δὲν τοὺς βλέπουν, ἀποδείξεις ὅμως, μὲ τὶς ὁποῖες μποροῦσαν νὰ κατανοήσουν τὰ γενόμενα, εἶδαν. Γιατί δὲ ἔβγαλε αὐτοὺς κατὰ τὴ νύχτα; Διότι ἔτσι πιστεύθηκαν περισσότερο, παρὰ ἀλλιῶς˙ ἄλλωστε οὔτε ἐρώτηση μπόρεσαν νὰ κάνουν˙ οὔτε βέβαια, ἂν συνέβαινε κατ' ἄλλο τρόπο, αὐτοὶ θὰ πίστευαν. Ἔτσι συνέβηκε μὲ τοὺς παλαιούς, ὅπως μὲ τὸν Ναβουχοδονόσορ· εἶδε τὰ παιδιὰ μέσα στὴν κάμινο νὰ ὑμνοῦν τὸ Θεὸ καὶ τότε κυριεύθηκε ἀπὸ ἔκπληξη. Ἔπρεπε λοιπὸν νὰ ρωτήσει πρῶτα καὶ αὐτούς˙ 'πῶς ἐξήλθατε;', αὐτοὶ ὅμως, σὰν νὰ μὴ συνέβηκε τίποτα, ἐρωτοῦν, λέγοντας˙ «Δὲν σᾶς δώσαμε παραγγελία νὰ μὴ διδάσκετε;». Καὶ πρόσεχε, πῶς μὲ ἄλλα μαθαίνουν τὰ πάντα. Διότι βλέπουν τὴ φυλακὴ κλεισμένη μὲ ἀσφάλεια καὶ τοὺς φύλακες νὰ στέκονται μπροστὰ στὶς θύρες. «Ὅταν δὲ ἄκουσαν οἱ Ἀπόστολοι, εἰσῆλθαν πολὺ πρωὶ στὸ ἱερὸ τοῦ ναοῦ καὶ δίδασκαν. Ὅταν ἦλθε στὸν τόπο τῶν συνεδριάσεων ὁ ἀρχιερέας μὲ τὴν ἀκολουθία του, συγκάλεσαν τὸ συνέδριο καὶ ὅλη τὴ γερουσία τῶν Ἰσραηλιτῶν. Καὶ ἀπέστειλαν ἀνθρώπους στὴ φυλακὴ γιὰ νὰ ὁδηγήσουν τοὺς ἀποστόλους ἐνώπιον τοῦ δικαστηρίου τους. Ὅταν ὅμως πῆγαν οἱ ὑπηρέτες δὲν τοὺς βρῆκαν στὴ φυλακή· ἀφοῦ δὲ ἐπέστρεψαν, ἀνάφεραν αὐτὸ στὸ συνέδριο λέγοντας, ὅτι βρήκαμε τὴ φυλακὴ κλεισμένη μὲ κάθε ἀσφάλεια καὶ τοὺς φρουροὺς νὰ στέκονται μπροστὰ στὶς θύρες˙ ὅταν ὅμως τὶς ἀνοίξαμε, δὲν βρήκαμε μέσα κανένα». Διπλὴ ἡ ἀσφάλεια καὶ ἐδῶ, ὅπως ἀκριβῶς ἦταν καὶ στὸν τάφο τοῦ Χριστοῦ, καὶ ἡ σφραγίδα καὶ οἱ ἄνθρωποι. Βλέπε πῶς ἦταν θεομάχοι. Πές μου, αὐτὰ ποὺ ἔγιναν σ' αὐτοὺς εἶναι ἀνθρώπινα; Ποιὸς ἔβγαλε αὐτοὺς ἔξω, ἐνῶ οἱ φύλακες στέκονταν μπροστὰ στὶς θύρες; Πράγματι τὰ λόγια αὐτὰ ἦταν λόγια ἀνθρώπων φρενοβλαβῶν καὶ

Οὓς οὐ κατέσχε φυλακή, καὶ δεσμά, καὶ θύραι κεκλεισμέναι, τούτων προσεδόκησαν περιέσεσθαι, παίδων ἀνοήτων πρᾶγμα παθόντες. Οἱ ὑπηρέται γοῦν αὐτῶν διὰ τοῦτο παραγίνονται, καὶ ὁμολογοῦσι τὸ γεγονός, ἵνα πᾶσαν αὐτοῖς ἀποκλείσωσι πρόφασιν. Ὁρᾷς σημεῖα ἐπὶ σημείοις διάφορα, τὰ μὲν ὑπ' αὐτῶν, τὰ δὲ εἰς αὐτοὺς γενόμενα, ἃ καὶ λαμπρότερα ἦν; Καλῶς οὐδὲ εὐθέως αὐτοῖς ἐμηνύθη, ἀλλὰ πρότερον ἐν ἀπορίᾳ γεγονόσιν, ἵνα, διασκεψάμενοι θείαν εἶναι δύναμιν, οὕτω μάθωσιν ἅπαντα.

«Ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους ὅ τε ἀρχιερεὺς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διηπόρουν περὶ αὐτῶν τί ἂν γένοιτο τοῦτο. Παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς, λέγων ὅτι ἰδοὺ οἱ ἄνδρες, οὓς ἔθεσθε ἐν τῇ φυλακῇ, εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν. Τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις, ἤγαγεν αὐτοὺς οὐ μετὰ βίας· ἐφοβοῦντο γὰρ τὸν λαόν, ἵνα μὴ λιθασθῶσιν». Ὢ τῆς ἀνοίας! Ἐφοβοῦντο, φησίν, τὸν ὄχλον. Τί γὰρ αὐτοὺς ὁ ὄχλος ὠφέλει; Δέον τὸν Θεὸν φοβηθῆναι, τὸν καθάπερ πτηνοὺς ἀεὶ τῶν χειρῶν αὐτοὺς ἐξαρπάζοντα τῶν ἐκείνων, οἱ δὲ μᾶλλον τὸν ὄχλον φοβοῦνται. «Ὁ δὲ ἀρχιερεὺς ἐπηρώτησεν αὐτούς, λέγων· Οὐχὶ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; Καὶ ἰδοὺ ἐπληρώσατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου». Τί οὖν οἱ Ἀπόστολοι; Πάλιν μετ' ἐπιεικείας αὐτοῖς διαλέγονται, καίτοι γε ἐνῆν εἰπεῖν· 'Τίνες γάρ ἐστε ὑμεῖς ἀντιδιατατιόμενοι τῷ Θεῷ;'. Ἀλλὰ τί; Πάλιν ἐν τάξει παραινέσεως καὶ συμβουλῆς, καὶ μετὰ ἐπιεικείας πολλῆς ἀποκρίνονται. «Ἀποκριθεὶς δὲ ὁ Πέτρος καὶ οἱ Ἀπόστολοι εἶπον· Πειθαρχεῖν δεῖ Θεῷ

μεθυσμένων. Αὐτούς ποὺ δὲν κράτησε ἡ φυλακὴ καὶ τὰ δεσμὰ καὶ οἱ κλειστὲς θύρες, αὐτοὺς πίστευαν ὅτι θὰ νικήσουν, ἀφοῦ ἔπαθαν ὅ,τι παθαίνουν τὰ ἀνόητα παιδιά. Διότι οἱ ὑπηρέτες αὐτῶν γι᾿ αὐτὸ προσέρχονται καὶ ὁμολογοῦν τὸ γεγονός, γιὰ νὰ ἀποκλείσουν σ᾿ αὐτοὺς κάθε πρόφαση. Βλέπεις θαύματα διάφορα νὰ γίνονται τὸ ἕνα μετὰ τὸ ἄλλο, ἄλλα μὲν νὰ γίνονται ἀπ᾿ αὐτούς, ἄλλα δὲ σ᾿ αὐτούς, τὰ ὁποῖα ἦταν καὶ λαμπρότερα; Πολὺ καλὰ δὲν ἀποκαλύφθηκε σ᾿ αὐτοὺς ἀμέσως, ἀλλ᾿ ἀφοῦ προηγουμένως βρέθηκαν σὲ ἀπορία, γιὰ νὰ μάθουν τὰ πάντα, ἀφοῦ σκεφθοῦν ὅτι ὑπάρχει θεία δύναμη.

«Ὅταν δὲ ἄκουσαν τὰ λόγια αὐτὰ καὶ ὁ ἀρχιερέας ποὺ προΐστατο τοῦ συνεδρίου καὶ οἱ ἀρχιερεῖς, ἀποροῦσαν γι᾿ αὐτοὺς σκεπτόμενοι πῶς ἦταν δυνατὸ νὰ γίνει αὐτό. Ἀλλ᾿ ἐν τῷ μεταξὺ ἦλθε κάποιος καὶ τοὺς ἀνήγγειλε ὅτι· 'νὰ οἱ ἄνθρωποι ποὺ φυλακίσατε βρίσκονται στὸν ἱερὸ περίβολο τοῦ ναοῦ καὶ διδάσκουν τὸ λαό'. Τότε πῆγε ἐκεῖ ὁ στρατηγὸς τοῦ ἱεροῦ μαζὶ μὲ τοὺς ὑπηρέτες, τοὺς ἔφερε στὸ δικαστήριο, χωρὶς νὰ μεταχειρισθεῖ βία· διότι φοβοῦνταν τὸ λαὸ μήπως τοὺς λιθοβολήσει». Πώ, πὼ ἀνοησία! Φοβοῦνταν, λέγει, τὸν ὄχλο. Διότι σὲ τί ὠφελοῦσε αὐτοὺς ὁ ὄχλος; Ἔπρεπε νὰ φοβηθοῦν τὸ Θεό, ποὺ πάντοτε ἐξαρπάζει αὐτοὺς σὰν πτηνὰ ἀπὸ τὰ χέρια ἐκείνων· αὐτοὶ ὅμως πιὸ πολὺ φοβοῦνταν τὸν ὄχλο. «Ὁ δὲ ἀρχιερέας ρώτησε αὐτοὺς λέγοντας· 'Δὲν σᾶς δώσαμε ρητὴ παραγγελία νὰ μὴ διδάσκετε στὸ ὄνομα αὐτό; Καὶ ὅμως γεμίσατε τὴν Ἱερουσαλὴμ μὲ τὴ διδασκαλία σας καὶ ἐπιζητεῖτε μὲ κακοβουλία νὰ ἐπιρρίψετε ἐπάνω μας τὴν εὐθύνη γιὰ τὸ φόνο τοῦ ἀνθρώπου αὐτοῦ'». Τί ἀπαντοῦν τότε οἱ Ἀπόστολοι; Πάλι μὲ ἐπιείκεια διδάσκουν αὐτούς· ἂν καὶ βέβαια ἦταν δυνατὸ νὰ ποῦν· 'Ποιοὶ εἶστε σεῖς ποὺ διατάσσετε ἀντίθετα πρὸς τὰ τοῦ Θεοῦ;'. Ἀλλὰ τί λέγουν; Πάλι ὑπὸ τύπο παραινέσεως καὶ συμβουλῆς καὶ μὲ ἐπιείκεια πολλὴ ἀπαντοῦν· «Ἀποκρίθηκε ὁ Πέτρος ἐκ μέρους τῶν Ἀποστόλων καὶ εἶπε· Πρέπει νὰ πειθαρχοῦμε μᾶλλον στὸ Θεό, παρὰ στοὺς ἀνθρώ-

μᾶλλον ἢ ἀνθρώποις». Πολλὴ ἡ φιλοσοφία καὶ τοιαύτη, ὅτι ἐντεῦθεν δεικνύουσι καὶ αὐτοὺς μαχομένους τῷ Θεῷ. «Ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν», ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου. Τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ Σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν». Ὃν ὑμεῖς ἀνείλετε, φησίν, ὁ Θεὸς ἤγειρε. Καὶ ὅρα· τῷ Πατρὶ τὸ πᾶν πάλιν ἀνατιθέασιν, ἵνα μὴ δόξῃ ἀλλότριος εἶναι τοῦ Πατρός. «Καὶ ὕψωσε», φησί, «τῇ δεξιᾷ αὐτοῦ». Οὐχ ἁπλῶς τὴν ἀνάστασιν τοῦτο μόνην, ἀλλὰ καὶ τὴν ὕψωσιν τουτέστι τὴν ἀνάληψιν, δηλοῖ. «Τοῦ δοῦναι μετάνοιαν Ἰσραήλ».

2. Ὅρα πάλιν τὸ κέρδος, καὶ ἐν τάξει ἀπολογίας διδασκαλίαν ἀπηρτισμένην. «Καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων». Πολλὴ ἡ παρρησία. Εἶτα, ἀξιόπιστον λοιπὸν τὸν λόγον ποιῶν, ἐπήγαγε· «Καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ». Ὁρᾷς πῶς οὐχὶ μόνον τῇ ἑαυτῶν, ἀλλὰ καὶ τῇ τοῦ Πνεύματος μαρτυρίᾳ κέχρηνται; Καὶ οὐκ εἶπον, Ὃ ἔδωκεν ἡμῖν, ἀλλὰ «τοῖς πειθομένοις», ἅμα μὲν μετριάζοντες, ἅμα δὲ μέγα αὐτὸ δεικνύντες, καὶ δηλοῦντες ὅτι καὶ αὐτοῖς δυνατὸν λαβεῖν. Ὅρα πῶς καὶ δι' ἔργων καὶ διὰ ῥημάτων ἐπαιδεύοντο, καὶ οὐ προσεῖχον, ἵνα δικαία αὐτοῖς ἡ κατάκρισις γένηται· διὰ γάρ τοι τοῦτο καὶ ὁ Θεὸς συνεχώρει ἄγεσθαι αὐτοὺς εἰς δικαστήριον, ἵνα καὶ ἐκεῖνοι παιδεύωνται, εἴ γε μανθάνειν ἐβούλοντο, καὶ οἱ Ἀπόστολοι εἰς παρρησίαν ἀλείφωνται. «Οἱ δὲ ἀκούσαντες διεπρίοντο, καὶ ἐβούλοντο ἀνελεῖν αὐτούς». Ὅρα κακίας ὑπερβολήν! Δέον ἐφ' οἷς ἤκουσαν καταπλαγῆναι, οἱ δὲ

πους». Πολλή ή φιλοσοφία καί τέτοια, μέ τήν όποία άποδεικνύεται ότι αύτοί μάχονται τό Θεό. «Ό Θεός τῶν πατέρων μας άνέστησε έκ νεκρῶν τόν Ίησοῦ, τόν όποῖο σεῖς φονεύσατε, άφοῦ τόν κρεμάσατε έπάνω στό ξύλο τοῦ σταυροῦ. Αύτόν ό Θεός ὕψωσε μέ τή δύναμή του καί τόν ἔκαμε άρχηγό καί σωτήρα γιά νά δώσει μετάνοια καί ἄφεση άμαρτιῶν στούς άπογόνους τοῦ Ίσραήλ». Έκεῖνον πού σεῖς φονεύσατε, λέγει, ό Θεός τόν άνέστησε. Καί πρόσεχε' στόν Πατέρα καί πάλι άνέθεσε τό πᾶν, γιά νά μή φανεῖ ότι εἶναι ξένος τοῦ Πατρός. «Καί τόν άνύψωσε», λέγει, «μέ τή δεξιά του». Αύτό άποδεικνύει ὄχι άπλῶς μόνο τήν άνάσταση, άλλά καί τήν ὕψωση, δηλαδή τήν άνάληψη. «Γιά νά δώσει μετάνοια στούς άπογόνους τοῦ Ίσραήλ».

2. Πρόσεχε πάλι τό κέρδος, καί διδασκαλία όλοκληρωμένη μέ μορφή άπολογίας. «Καί έμεῖς εἴμαστε μάρτυρες τῶν πραγμάτων αύτῶν καί τῆς διδασκαλίας τοῦ Θεοῦ». Μεγάλο τό θάρρος. Ἔπειτα γιά νά κάνει πλέον τό λόγο άξιόπιστο, πρόσθεσε' «Καί τό Πνεῦμα τό ἅγιο, τό όποῖο ἔδωσε ό Θεός σ' έκείνους πού πειθαρχοῦν σ' αύτόν». Βλέπεις πῶς χρησιμοποιοῦν ὄχι μόνο τή δική τους μαρτυρία, άλλά καί τή μαρτυρία τοῦ άγίου Πνεύματος; Καί δέν εἶπαν, 'Αύτό πού ἔδωσε σ' έμᾶς', άλλά «Σέ έκείνους πού πειθαρχοῦν σ' αύτόν», συγχρόνως μετριάζοντας μέν τήν ἔνταση, άποδεικνύοντας δέ αύτό μέγα καί δηλώνοντας, ότι καί αύτοί εἶναι δυνατό νά τό λάβουν. Πρόσεχε, πῶς καί μέ ἔργα καί μέ λόγια διδάσκονταν καί δέν πρόσεχαν, γιά νά γίνει δικαία σ' αύτούς ή κατάκριση. Διότι βέβαια γι' αύτό καί ό Θεός έπέτρεπε σ' αύτούς νά όδηγοῦνται σέ δικαστήριο, νά διδάσκονται καί έκεῖνοι, έάν βέβαια ἤθελαν νά μάθουν, καί οί Άπόστολοι νά άσκοῦνται στό νά ἔχουν παρρησία. «Έκεῖνοι δέ όταν τά ἄκουσαν αύτά ἔτριζαν άπό άγανάκτηση τά δόντια τους καί σκέπτονταν πῶς νά τούς φονεύσουν». Βλέπε ύπερβολή κακίας. Ένῶ ἔπρεπε νά καταπλαγοῦν μέ ὅσα ἄκουσαν, αύτοί δέ κυριεύονται άπό όργή καί σκέπτονται χωρίς λό-

διαπρίονται, καὶ βουλεύονται εἰκῇ ἀνελεῖν. Ἀλλ' ἀναγκαῖον λοιπὸν ἄνωθεν ἰδεῖν τὰ ἀνεγνωσμένα.

«Ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς πύλας τῆς φυλακῆς, καί, ἐξαγαγὼν αὐτούς, εἶπε· Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης». «Ἐξαγαγών»· οὐκ αὐτὸς ἀπάγει αὐτούς, ἀλλ' ἀφίησιν· ὥστε καὶ ταύτῃ αὐτῶν γνωσθῆναι τὸ ἀκατάπληκτον, ὃ καὶ ἔδειξαν νυκτὸς εἰσελθόντες εἰς τὸ ἱερὸν καὶ διδάσκοντες. Εἰ δὲ ἐξέβαλον αὐτοὺς οἱ φύλακες, ὡς ἐκεῖνοι ἐνόμιζον, ἔφυγον ἄν, εἴ γε πεισθέντες ἐξῆλθον· μᾶλλον δέ, εἰ ἐξέβαλον αὐτοὺς ἐκεῖνοι, οὐκ ἂν εἰς τὸ ἱερὸν ἔστησαν, ἀλλ' ἀπέδρασαν ἄν. Τοῦτο δὲ οὐδεὶς οὕτως ἀνόητος, ὥστε μὴ συνιδεῖν. Οὐχὶ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν;», φησί. Εἰ μὲν οὖν καὶ αὐτοὶ ἐπείσθησαν ὑμῖν, καλῶς εὐθύνετε, εἰ δὲ καὶ ἐξ ἐκείνου εἶπον μὴ πεισθήσεσθαι, περιτταὶ αἱ εὐθύναι, περιτταὶ καὶ αἱ παραγγελίαι. Ὅρα ἐγκλημάτων ἀνακολουθίαν, καὶ ὑπερβάλλουσαν ἄνοιαν. Φονικὰς λοιπὸν βούλονται δεῖξαι τὰς προαιρέσεις τῶν Ἰουδαίων, ὡς οὐ δι' ἀλήθειαν ταῦτα ποιούντων, ἀλλ' ὥστε ἀμύνασθαι βουλομένων. Διὰ τοῦτο καὶ οὐδὲ θρασέως αὐτοῖς ἀποκρίνονται οἱ Ἀπόστολοι (διδάσκαλοι γὰρ ἦσαν), καίτοι τίς οὐκ ἄν, τὴν πόλιν ἅπασαν ἀναρτησάμενος, καὶ τοσαύτης ἀπολαύων χάριτος, εἶπεν ἂν δή τι, καὶ ἐφθέγξατο μέγα; Ἀλλ' οὐχ οὗτοι· οὐ γὰρ ὠργίζοντο, ἀλλ' ἠλέουν αὐτούς, καὶ ἐδάκρυον, καὶ ἐσκόπουν ὅπως αὐτοὺς ἀπαλλάξωσι τῆς πλάνης καὶ τοῦ θυμοῦ. Καὶ οὐκ ἔτι λέγουσι πρὸς αὐτούς, «Ὑμεῖς κρίνατε», ἀλλ' ἀποφαίνονται, λέγοντες· «Ὃν ὁ Θεὸς ἤγειρε», διὰ τούτου δηλοῦντες ὅτι κατὰ γνώμην τοῦ Θεοῦ ταῦτά ἐστιν. Οὐκ εἶπον δὲ ὅτι 'οὐκ εἴπομεν ὑ-

2. Πράξ. 4, 19 - 20.

γο νὰ τοὺς φονεύσουν. Ἀλλ' εἶναι ἀνάγκη πλέον νὰ δοῦμε ἀπ' ἀρχῆς τὰ ἀναγνωσθέντα.

«Ἄγγελος Κυρίου τὴ νύχτα ἄνοιξε τὶς θύρες τῆς φυλακῆς καί, ἀφοῦ τοὺς ἔβγαλε ἔξω, εἶπε· πηγαίνετε καὶ σταθῆτε στὸ ναὸ μὲ θάρρος καὶ διδάσκετε δημόσια τὸ λαὸ ὅλα τὰ λόγια τῆς νέας αὐτῆς ζωῆς». «Ἀφοῦ τοὺς ἔβγαλε ἔξω»· δὲν τοὺς βγάζει αὐτός, ἀλλὰ τοὺς ἀφήνει· ὥστε καὶ μὲ τὴν ἐνέργεια αὐτὴ νὰ γίνει γνωστὴ ἡ ἀφοβία αὐτῶν, τὴν ὁποία καὶ ἀπέδειξαν ὅταν νύχτα εἰσῆλθαν στὸ ἱερὸ καὶ δίδασκαν. Ἐὰν δὲ τοὺς ἔβγαζαν ἔξω οἱ φύλακες, ὅπως νόμιζαν ἐκεῖνοι, θὰ διέφευγαν, ἐφόσον βέβαια θὰ πείθονταν νὰ ἐξέλθουν· μᾶλλον δέ, ἂν ἐκεῖνοι τοὺς ἔβγαζαν, δὲν θὰ παρέμειναν στὸ ἱερό, ἀλλὰ θὰ δραπέτευαν. Αὐτό δὲ κανένας δὲν ἦταν τόσο ἀνόητος, ὥστε νὰ μὴ τὸ ἀντιληφθεῖ. «Δὲν σᾶς δώσαμε, λέγει, «ρητὴ παραγγελία;». Ἐὰν λοιπὸν αὐτοὶ πείθηκαν σὲ σᾶς, καλῶς ζητεῖτε εὐθύνες, ἐὰν ὅμως ἀπὸ ἐκεῖνο εἶπαν ὅτι δὲν θὰ πεισθοῦν, περιττὲς οἱ εὐθύνες, περιττὲς καὶ οἱ παραγγελίες. Βλέπε ἀνακολουθία ἐγκλημάτων καὶ ὑπερβολικὴ ἀνοησία. Θέλουν πλέον νὰ δείξουν τὶς διαθέσεις τῶν Ἰουδαίων φονικές, ὅτι δὲν κάμουν αὐτὰ γιὰ χάρη τῆς ἀλήθειας, ἀλλὰ ἐπειδὴ θέλουν ν' ἀμυνθοῦν. Γι' αὐτό καὶ οἱ Ἀπόστολοι δὲν ἀποκρίνονται σ' αὐτοὺς μὲ θράσος (διότι ἦταν διδάσκαλοι), ἂν καὶ βέβαια ποιὸς δὲν θὰ ἔλεγε καὶ δὲν θὰ φώναζε κάτι σπουδαῖο, ἂν θὰ εἶχε μὲ τὸ μέρος του ὅλη τὴν πόλη καὶ ἀπολάμβανε τόση χάρη; Ἀλλὰ δὲν τὸ κάμνουν αὐτὸ αὐτοί, διότι δὲν ὀργίζονταν, ἀλλὰ ἐλεοῦσαν αὐτοὺς καὶ δάκρυζαν καὶ σκέπτονταν πῶς θὰ τοὺς ἀπαλλάξουν ἀπὸ τὴν πλάνη καὶ τὸ θυμό. Καὶ δὲν λέγουν πλέον πρὸς αὐτούς, «Σεῖς κρίνατε», ἀλλὰ διακηρύττουν τὴ γνώμη τους, «Αὐτὸν ὁ Θεὸς τὸν ἀνέστησε», δηλώνοντας μὲ αὐτό, ὅτι αὐτὰ εἶναι σύμφωνα μὲ τὴ γνώμη τοῦ Θεοῦ. Δὲν εἶπαν δέ, ὅτι δὲν σᾶς εἴπαμε καὶ τότε, «Ἐμεῖς δὲν μποροῦμε, αὐτὰ ποὺ εἴδαμε καὶ ἀκούσαμε, νὰ μὴ τὰ κηρύττουμε»;[8] (διότι δὲν εἶναι φιλόδοξοι), ἀλλὰ πάλι τὰ ἴδια λέγουν, τὸ σταυρό, τὴν ἀνάσταση. Καὶ δὲν

μῖν καὶ τότε, «Ἡμεῖς οὐ δυνάμεθα, ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν;», *(οὐ γάρ εἰσι φιλότιμοι), ἀλλὰ πάλιν τὰ αὐτά φασι, τὸν σταυρόν, τὴν ἀνάστασιν. Καὶ οὐ λέγουσι, Διὰ τί ἐσταυρώθη, ὅτι ὑπὲρ ἡμῶν*, *ἀλλ' αἰνίττονται μέν, οὔπω δὲ φανερῶς, τέως αὐτοὺς φοβῆσαι βουλόμενοι. Εἰπέ μοι, ποία ῥητορεία ἐνταῦθα; Οὐδεμία· οὕτω χωρὶς κατασκευῆς τὸ τῆς ζωῆς ἐκήρυττον Εὐαγγέλιον!*

Εἰπὼν δὲ ὅτι «ὕψωσε», λέγει καὶ ἐπὶ τίνι, «ἐπὶ τῷ δοῦναι μετάνοιαν», ἐπάγων, «Τῷ Ἰσραήλ, καὶ ἄφεσιν ἁμαρτιῶν». Ἀλλ' ἀπίθανα ταῦτα τέως ἐδόκει, φασί. Τί λέγεις; καὶ πῶς οὐ πιθανὰ μᾶλλον, οἷς γε οὐκ ἄρχοντες ἀντειπεῖν εἶχον, οὐ πλῆθος, ἀλλ' οἱ μὲν ἐπεστομίζοντο, οἱ δὲ ἐδιδάσκοντο; «Καὶ ἡμεῖς», φησί, «μάρτυρες τῶν ῥημάτων τούτων ἐσμέν». Ποίων; Ὅτι ἄφεσιν, ὅτι μετάνοιαν ἐπηγγείλατο· ἡ μὲν γὰρ ἀνάστασις ἦν λοιπὸν ὡμολογουμένη, ὅτι δὲ ἄφεσιν δίδωσιν ἡμεῖς μαρτυροῦμεν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὃ οὐκ ἂν ἐπῆλθε, μὴ πρότερον τῶν ἁμαρτιῶν λυθεισῶν· ὥστε ἀναμφισβήτητον τεκμήριον τουτό ἐστιν. Ἄφεσιν ἁμαρτημάτων ἀκούεις, ἄθλιε, καὶ ὅτι οὐ δίκην ἀπαιτεῖ, καὶ βούλει ἀνελεῖν; Καὶ πόσης ταῦτα οὐχὶ κακίας; Καίτοι ἢ διελέγξαι ψευδομένους ἐχρῆν, ἢ μὴ δυναμένους, πεισθῆναι· εἰ δὲ μὴ ἐβούλοντο πεσθῆναι, μὴ ἀνελεῖν· τί γὰρ ἦν ἀναιρέσεως ἄξιον; Οἱ δὲ ὑπὸ τοῦ θυμοῦ οὐδὲ συνεῖδον τὸ γεγενημένον. Ὅρα πῶς ἐνταῦθα, μνημονεύσαντες τοῦ τολμήματος περὶ ἀφέσεως διαλέγονται, δεικνύντες ὅτι τὰ μὲν γεγενημένα ἄξια θανάτου, τὰ δὲ διδόμενα ὡς εὐγνώμοσιν ἐδίδοντο. Πῶς ἂν ἄλλως τις ἔπεισεν αὐτούς, ἢ ὡς εὐδοκιμοῦντας εἰπών; Καὶ ὅρα τὴν κακουργίαν· τοὺς Σαδδουκαίους αὐτοῖς ἐφιστῶσιν, οἳ μάλιστα ἤλγουν ἐπὶ τῇ ἀναστάσει. Ἀλλ' οὐδὲν τῆς πονηρίας ἀπώναντο. Ἀλλ' ἴσως ἐρεῖ τις· Καὶ τίς ἄνθρωπος, τοιούτων

λέγουν, 'γιατί σταυρώθηκε; ὅτι σταυρώθηκε γιὰ χάρη μας', ἀλλὰ τὸ ὑπαινίσσονται μέν, ὄχι ἀκόμα ὅμως φανερά, θέλοντας πρῶτα νὰ τοὺς φοβήσουν. Πές μου, ποιὰ ρητορεία ὑπάρχει ἐδῶ; Καμιά· τόσο πολὺ ἀνεπίδεικτα κήρυτταν τὸ Εὐαγγέλιο τῆς Ζωῆς.

Ἀφοῦ δὲ εἶπε ὅτι «τὸν ἀνύψωσε», λέγει καὶ γιὰ ποιὸ λόγο, «Γιὰ νὰ δώσει μετάνοια», προσθέτοντας, «στὸν Ἰσραὴλ «καὶ ἄφεση ἁμαρτιῶν». Ἀλλ' αὐτά, λέγει, φαίνονταν στὴν ἀρχὴ ἀπίστευτα. Τί λέγεις; Καὶ πῶς δὲν εἶναι περισσότερο πιστευτά, ἀφοῦ βέβαια δὲν μποροῦσαν οὔτε ἄρχοντες νὰ φέρουν ἀντίρρηση σ' αὐτούς, οὔτε τὸ πλῆθος, ἀλλὰ οἱ μὲν ἀποστομώνονταν, οἱ δὲ διδάσκονταν; «Καὶ ἐμεῖς», λέγει, «εἴμαστε μάρτυρες τῶν λόγων αὐτῶν». Ποίων λόγων; Ὅτι ὑποσχέθηκε ἄφεση καὶ μετάνοια· διότι ἡ μὲν ἀνάσταση εἶχε πλέον ὁμολογηθεῖ, ὅτι ὅμως δίνει ἄφεση, τὸ μαρτυροῦμε ἐμεῖς καὶ τὸ Πνεῦμα τὸ ἅγιο, τὸ ὁποῖο δὲν θὰ ἐρχόταν, ἂν προηγουμένως δὲν συγχωροῦνταν οἱ ἁμαρτίες· ὥστε αὐτὸ εἶναι ἀπόδειξη ἀναμφισβήτητη. Ἄθλιε, ἀκοῦς ἄφεση ἁμαρτημάτων καὶ ὅτι δὲν ζητεῖ τιμωρία, καὶ θέλεις νὰ φονεύσεις; Καὶ πόση κακία δὲν δείχνουν αὐτά; Ἂν καὶ βέβαια θὰ ἔπρεπε ἢ νὰ τοὺς ἀποδείξουν ὅτι ψεύδονται, ἤ, ἂν δὲν μποροῦσαν νὰ ἀποδείξουν αὐτό, νὰ πεισθοῦν· ἐὰν δὲ πάλι δὲν ἤθελαν νὰ πεισθοῦν, νὰ μὴ τοὺς φονεύσουν. Διότι ποιὸ ἦταν τὸ ἄξιο φόνου; Αὐτοὶ ὅμως κατεχόμενοι ἀπὸ τὸ θυμὸ δὲν κατενόησαν αὐτὸ ποὺ εἶχε γίνει. Πρόσεχε, πῶς ἐδῶ, ἀφοῦ ἀνάφεραν τὸ τόλμημα, διδάσκουν γιὰ ἄφεση, ἀποδεικνύοντας ὅτι ἐκεῖνα μὲν ποὺ εἶχαν γίνει ἦταν ἄξια θανάτου, τὰ δὲ διδόμενα, δίνονταν σὰν σὲ εὐγνώμονες. Πῶς ἀλλοιῶς θὰ μποροῦσε κανεὶς νὰ πείσει αὐτούς, παρὰ παρουσιάζοντάς τους σὰν εὐδοκιμοῦντες; Καὶ πρόσεχε τὴν κακουργία· τοὺς Σαδδουκαίους ἐμφανίζουν μπροστά τους, οἱ ὁποῖοι ταράσσονταν ὑπερβολικὰ μὲ τὴν ἀνάσταση τῶν νεκρῶν. Ἀλλὰ καθόλου δὲν ὠφελήθηκαν ἀπὸ τὴν πονηρία. Ἀλλ' ἴσως πεῖ κάποιος· Καὶ ποιὸς ἄνθρωπος, ἀπολαμβάνοντας τέτοια πράγματα, ποὺ ἀπολάμβαναν οἱ Ἀπόστολοι, δὲν θὰ γινόταν

ἀπολαύων, οἵων οἱ Ἀπόστολοι, οὐκ ἂν μέγας ἐγένετο;». Ἀλλ' ὅρα μοι, πρὶν ἢ ἀπολαῦσαι τῆς χάριτος, πῶς ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ, καὶ ἐλπίζοντες ἐπὶ τὴν ἄνωθεν ῥοπήν. Καὶ σὺ ἐλπίζεις, ἀγαπητέ, βασιλείαν οὐρανῶν, ἀλλ' οὐδὲν ὑπομένεις; καὶ σὺ Πνεῦμα ἔλαβες, ἀλλ' οὐ τοιαῦτα πάσχεις, οὐδὲ κινδυνεύεις; Ἐκεῖνοι δέ, πρὶν ἢ τῶν προτέρων ἀναπνεῦσαι, πάλιν ἐφ' ἕτερα ἤγοντο. Καὶ τοῦτο δὲ αὐτὸ τὸ μὴ τυφωθῆναι, τὸ μὴ κενοδοξῆσαι, πόσον ἐστὶν ἀγαθόν! τὸ μετὰ ἐπιεικείας διαλέγεσθαι πόσον ἐστὶ κέρδος! Οὐ γὰρ δὴ πάντα τῆς χάριτος ἦν, ἀλλὰ καὶ τῆς αὐτῶν σπουδῆς πολλὰ τὰ τεκμήρια· τὸ γὰρ ἐν αὐτοῖς τὰ τῆς χάριτος διαλάμπειν τῆς αὐτῶν ἐπιμελείας ἦν.

3. Ὅρα γοῦν εὐθὺς ἐξ ἀρχῆς πῶς μεμεριμνημένος ὁ Πέτρος ἐστί, πῶς νήφων καὶ ἐγρηγορώς, πῶς οἱ πιστεύσαντες τὰ χρήματα ἔρριψαν. Οὐδὲν ἴδιον εἶχον, ἐν εὐχῇ ἦσαν, ὁμόνοιαν ἐπεδείκνυντο, ἐν νηστείαις διῆγον. Ταῦτα ποίας χάριτος; εἰπέ μοι. Διὰ τοῦτο καὶ δι' αὐτῶν ποιεῖ γενέσθαι τὸν ἔλεγχον τῶν ὑπηρετῶν αὐτῶν, οἵ, καὶ ὥσπερ ἐπὶ τοῦ Χριστοῦ ἔλεγον οἱ πεμφθέντες· «Οὐδέποτε οὕτως ἄνθρωπος ἐλάλησεν ὡς οὗτος ὁ ἄνθρωπος», ἀπήγγειλαν ὑποστρέψαντες ἅπερ εἶδον. Σὺ δέ μοι σκόπει ἐνταῦθα καὶ αὐτῶν τὴν ἐπιείκειαν πῶς εἴκουσι, καὶ τοῦ ἀρχιερέως τὴν πεπλασμένην γνώμην· ἐπιεικῶς γὰρ δῆθεν αὐτοῖς διαλέγεται, ἅτε φοβούμενος, καὶ κωλῦσαι μᾶλλον ἐβούλετο, ἢ ἀνελεῖν, ἐπειδὴ τοῦτο οὐκ ἠδύνατο. Καὶ ὥστε πάντας κινῆσαι, καὶ περὶ τῶν ἐσχάτων αὐτοῖς ἐπικρεμάσαι τὸν κίνδυνον, «βούλεσθε», φησίν, «ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου;». Ἔτι ἄνθρωπος εἶναί σοι δοκεῖ; Οὕτως εἶπε δεικνὺς ὅτι ἀναγκαία ἡ παρακέλευσις γέγονεν αὐτοῖς. Ἀλλ' ὅρα καὶ τὸν Πέτρον, τί φησι. «Τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ Σωτῆρα ὕψωσε τῇ δε-

3. Ἰωάν. 7, 46.

μεγάλος;΄. Ἀλλὰ πρόσεχε, σὲ παρακαλῶ, πρὶν ν' ἀπολαύσουν τὴ χάρη, πῶς ἦταν ἀφοσιωμένοι μὲ ζῆλο ὅλοι μαζὶ στὴν προσευχή, καὶ ἔλπιζαν στὴν οὐράνια βοήθεια. Καὶ σὺ ἐλπίζεις, ἀγαπητέ, τὴ βασιλεία τῶν οὐρανῶν καὶ δὲν δείχνεις καθόλου ὑπομονή; Καὶ σὺ ἔλαβες Πνεῦμα, ἀλλὰ δὲν πάσχεις παρόμοια, οὔτε κινδυνεύεις; Ἐκεῖνοι ὅμως, πρὶν ἀναπνεύσουν ἀπὸ τὰ προηγούμενα, πάλι σὲ ἄλλα ὁδηγοῦνταν. Καὶ αὐτὸ ἀκριβῶς, τὸ ὅτι δὲν ἔγιναν ἐγωϊστές, οὔτε κενόδοξοι, πόσο ἀγαθὸ εἶναι! τὸ νὰ διδάσκουν μὲ ἐπιείκεια, πόσο κέρδος εἶναι! Διότι βέβαια δὲν ἦταν ὅλα ἀποτέλεσμα τῆς χάριτος, ἀλλὰ πολλὲς εἶναι οἱ ἀποδείξεις καὶ τῆς δικῆς τους προσπάθειας. Διότι τὸ νὰ διαλάμπει σ' αὐτοὺς ἡ χάρη, ἦταν ἔργο τῆς δικῆς τους φροντίδας.

3. Πρόσεχε λοιπὸν εὐθὺς ἐξ ἀρχῆς, πῶς μεριμνᾶ ὁ Πέτρος, πῶς εἶναι νηφάλιος καὶ σὲ ἐγρήγορση, πῶς ἐκεῖνοι ποὺ πίστεψαν ἐγκατέλειψαν τὰ χρήματα. Δὲν εἶχαν τίποτε δικό τους, προσεύχονταν, ἐπέδειχναν ὁμόνοια, καὶ νήστευαν. Αὐτά, πές μου, ποιᾶς χάριτος ἀποτέλεσμα ἦταν; Γι' αὐτὸ καὶ μὲ τοὺς ἴδιους τοὺς ὑπηρέτες κάμνει νὰ γίνει ὁ ἔλεγχος αὐτῶν, οἱ ὁποῖοι καὶ ὅταν ἐπέστρεψαν ἀπήγγειλαν αὐτὰ ἀκριβῶς ποὺ εἶδαν, ὅπως ἀκριβῶς καὶ στὴν περίπτωση τοῦ Χριστοῦ ἔλεγαν οἱ ἀποσταλέντες· «Οὐδέποτε ἄνθρωπος δίδαξε ἔτσι, ὅπως ὁ ἄνθρωπος αὐτός»[3]. Σὺ δὲ πρόσεχε ἐδῶ καὶ τὴν ἐπιείκεια αὐτῶν, πῶς ὑποχωροῦν, καὶ τὴν πλανημένη γνώμη τοῦ ἀρχιερέα· διότι δῆθεν συνομιλεῖ μὲ αὐτοὺς μὲ ἐπιείκεια, ἐπειδὴ φοβόταν καὶ ἤθελε μᾶλλον νὰ τοὺς ἐμποδίσει, παρὰ νὰ τοὺς φονεύσει, ἀφοῦ αὐτὸ δὲν ἦταν δυνατό. Καὶ γιὰ νὰ τοὺς παρακινήσει ὅλους καὶ νὰ ἐπισύρει ἐναντίον τους τὸν ἔσχατο κίνδυνο, λέγει· «Θέλετε νὰ ἐπιρρίψετε ἐπάνω μας τὴν εὐθύνη καὶ ἐνοχὴ γιὰ τὸ φόνο τοῦ ἀνθρώπου αὐτοῦ;». Ἀκόμα νομίζεις ὅτι εἶναι ἄνθρωπος; Μίλησε ἔτσι, γιὰ νὰ δείξει, ὅτι ἡ παραγγελία ἔγινε ἀναγκαία σ' αὐτούς. Ἀλλὰ πρόσεχε καὶ τὸν Πέτρο, τί λέγει· «Αὐτὸν ὁ Θεὸς τὸν ἀνύψωσε μὲ τὴ δεξιά του καὶ

ξιᾷ αὐτοῦ, τοῦ δοῦναι μετάνοιαν τῷ Ἰσραήλ, καὶ ἄφεσιν ἁμαρτιῶν». Ἐνταῦθα οὐ μέμνηται τῶν ἐθνῶν, ἵνα μὴ δῷ λαβήν. «Καὶ ἐβούλοντο», φησίν, «ἀνελεῖν αὐτούς». Ὅρα πάλιν τούτους ἐν ἀπορίᾳ, τούτους ἐν ὀδύνῃ· ἐκείνους δὲ ἐν ἀνέσει, καὶ εὐθυμίᾳ, καὶ ἐν τρυφῇ. Οὐχ ἁπλῶς ὠδυνῶντο, ἀλλὰ «διεπρίοντο». Τοῦτό ἐστιν ἄρα τὸ 'κακῶς παθεῖν τὸ κακῶς ποιεῖν', καθάπερ καὶ ἐνταῦθα ἔστιν ἰδεῖν. Ἐν δεσμοῖς ἦσαν οὗτοι, παρειστήκεισαν δικαστηρίῳ, καὶ οἱ δικάζοντες ἦσαν ἐν ἀπορίᾳ, ἐν ἀμηχανίᾳ πολλῇ· καθάπερ γὰρ ὁ τὸν ἀδάμαντα πλήττων, αὐτὸς λαμβάνει τὴν πληγήν, οὕτω δὴ καὶ οὗτοι. Ἀλλ' ἑώρων οὐ μόνον οὐκ ἐμποδιζομένην αὐτῶν τὴν παρρησίαν, ἀλλὰ καὶ μᾶλλον αὐξόμενον τὸ κήρυγμα, καὶ ἀκαταπλήκτως διαλεγομένους αὐτούς, καὶ μὴ παρέχοντας λαβάς.

Μιμησώμεθα τούτους δὴ καὶ ἡμεῖς, ἀγαπητοί, καὶ ἀκατάπληκτοι ἐν πᾶσι γενώμεθα τοῖς δεινοῖς. Οὐκ ἔστι δεινόν τι τῷ φοβουμένῳ τὸν Θεόν, ἀλλ' ἐν τοῖς μὴ φοβουμένοις ἐστὶ τὰ δεινά· ὁ γὰρ τῶν παθῶν δι' ἀρετῆς ἀνώτερος γινόμενος, καὶ ὥσπερ σκιὰν τὰ παρόντα παρατρέχων πράγματα, πῶς ὑπό τινος πείσεται δεινόν; τίνα δὲ φοβηθήσεται; ἢ τί τὰ δεινὰ λογιεῖται; Οὐκοῦν καταφύγωμεν ἐπὶ ταύτην τὴν πέτραν τὴν ἄσειστον. Εἰ πόλιν ἡμῖν τις κατεσκεύαζε, καὶ τεῖχος περιετίθει, μᾶλλον δὲ εἰ ἀπῴκιζεν ἡμᾶς εἰς γῆν, ἔνθα μηδεὶς ἦν ὁ ἐνοχλῶν, καὶ πᾶσαν ἐκεῖ παρεῖχε τὴν ἀφθονίαν, οὐκ ἀφεὶς πρὸς οὐδένα πρᾶγμα ἔχειν, οὐκ ἂν ἡμᾶς ἐν τοσαύτῃ κατέστησεν ἀσφαλείᾳ, ἐν ὅσῃ νῦν ὁ Χριστός. Ἔστω γοῦν, εἰ βούλει, καὶ ἡ πόλις χαλκῆ, τεῖχος πάντοθεν ἔχουσα καρτερὸν καὶ ἀνάλωτον, μηδεὶς αὐτῇ προσκείσθω πολέμιος, ἄφθονον ἐχέτω γῆν καὶ λιπαράν, παρέστω δὲ καὶ ἡ τῶν ἄλλων ἀφθονία πραγμάτων, ἔστωσαν καὶ πολῖται ἥμεροι καὶ προσηνεῖς,

τὸν ἔκαμε ἀρχηγὸ καὶ σωτήρα μας, γιὰ νὰ δώσει μετάνοια καὶ ἄφεση στὸν Ἰσραήλ». Ἐδῶ δὲν ἀναφέρει τὰ ἄλλα ἔθνη, γιὰ νὰ μὴ δώσει ἀφορμὴ γιά κατηγορία. «Καὶ ἤθελαν», λέγει, «νὰ φονεύσουν αὐτούς». Πρόσεχε πάλι αὐτοὺς νὰ ἀποροῦν, καὶ νὰ βρίσκονται σὲ ὀδύνη, ἐκείνους δὲ σὲ ἄνεση, εὐθυμία καὶ τρυφή. Δὲν στενοχωροῦνταν μόνο, ἀλλὰ καὶ «συνταράσσονταν ἀπὸ ἀγανάκτηση». Ἄρα αὐτὸ εἶναι λοιπὸν «τὸ δυστυχῶ καὶ κακοποιῶ», ὅπως ἀκριβῶς καὶ ἐδῶ εἶναι δυνατὸ νὰ ποῦμε. Αὐτοὶ ἦταν δέσμιοι, εἶχαν παρασταθεῖ στὰ δικαστήρια καὶ οἱ δικάζοντες βρίσκονταν σὲ ἀπορία καὶ πολλὺ ἀμηχανία. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ κτυπᾶ τὸ διαμάντι, ὁ ἴδιος δέχεται τὸ κτύπημα, ἔτσι λοιπὸν καὶ αὐτοί· ἀλλ᾿ ἔβλεπαν ὄχι μόνο νὰ μὴ ἐμποδίζεται τὸ θάρρος τους, ἀλλὰ καὶ τὸ κήρυγμα νὰ αὐξάνει περισσότερο, καὶ αὐτοὺς νὰ διδάσκουν χωρὶς φόβο καὶ χωρὶς νὰ δίνουν ἀφορμὲς γιὰ κατηγορία.

Ἂς μιμηθοῦμε λοιπὸν καὶ ἐμεῖς αὐτοὺς ἀγαπητοί, καὶ ἂς εἴμαστε ἀπτόητοι σὲ ὅλα τὰ δεινά. Δὲν ὑπάρχει τίποτε φοβερὸ γιὰ ἐκεῖνον ποὺ φοβᾶται τὸ Θεό, ἀλλὰ τὰ φοβερὰ ὑπάρχουν σ᾿ ἐκείνους ποὺ δὲν φοβοῦνται τὸ Θεό. Διότι αὐτὸς ποὺ γίνεται ἀνώτερος ἀπὸ τὰ πάθη μὲ τὴν ἀρετή, καὶ ποὺ παρατρέχει σὰν σκιά τὰ παρόντα πράγματα, πῶς θὰ πάθει ἀπὸ κάποιον κακό; ποιὸν δὲ θὰ φοβηθεῖ; ἢ σὰν τί θὰ ὑπολογίσει τὰ δεινά; Λοιπὸν ἂς καταφύγουμε σ αὐτὴ τὴ σταθερὴ πέτρα. Ἂν κάποιος κατασκεύαζε γιὰ μᾶς μιὰ πόλη καὶ τὴν περιτριγύριζε μὲ τεῖχος, μᾶλλον δέ, ἂν μᾶς ἐγκαταστοῦσε σὰν ἄποικους σὲ περιοχὴ ὅπου δὲν θὰ ὑπῆρχε κανένας ποὺ νὰ μᾶς ἐνοχλεῖ καὶ μᾶς παρεῖχε ἐκεῖ ὅλη τὴν ἀφθονία, χωρὶς νά ἀφήνει νά ἔχουμε σχέση μὲ κανένα, δὲν θά μᾶς παρεῖχε τόση ἀσφάλεια, ὅση τώρα ὁ Χριστός. Ἂς ὑποθέσουμε λοιπόν, ἂν θέλεις, ὅτι καὶ ἡ πόλη εἶναι χάλκινη, καὶ ἔχει ἀπὸ παντοῦ τεῖχος ἰσχυρὸ καὶ ἀπόρθητο, χωρὶς νὰ ὑπάρχει κανένας ἐχθρὸς σ᾿ αὐτήν, καὶ ὅτι ἔχει ἄφθονη καὶ εὔφορη γῆ, καὶ ὑπάρχει ἀκόμα καὶ ἡ ἀφθονία τῶν ἄλλων πραγμάτων· ἔστω ὅτι εἶναι καὶ οἱ

καὶ μηδεὶς ἐκεῖ φαινέσθω κακοῦργος ἀνήρ, μὴ κλέπτης, μὴ λωποδύτης, μὴ συκοφάντης, μὴ δικαστήριον, ἀλλὰ συναλλάγματα ἁπλῶς, καὶ ταύτην οἰκῶμεν τὴν πόλιν· οὐκ ἦν οὐδὲ οὕτως ἐν ἀσφαλείᾳ ζῆν. Διὰ τί; Ὅτι καὶ πρὸς οἰκέτας, καὶ πρὸς γυναῖκα, καὶ πρὸς παιδία ἀνάγκη διαφέρεσθαι, καὶ πολλῆς ἀθυμίας εἶναι ὑπόθεσιν. Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον· οὐ γὰρ ἦν, οὐκ ἦν τὸ λυποῦν οὐδὲ τὸ παρέχον ἀθυμίαν τινά. Ἀλλὰ τὸ θαυμαστόν, αὐτὰ δὴ τὰ δοκοῦντα παρέχειν ἀθυμίαν, ταῦτα πάσης ἐγίνετο χαρᾶς καὶ εὐφροσύνης αἴτια. Εἰπὲ γάρ μοι, τίνος ἕνεκεν ἔμελλον ἀλύειν ἐκεῖνοι; τίνος δὲ ἕνεκεν δυσχεραίνειν; Βούλει παραγάγωμέν τινα ἐν τῷ μέσῳ; Ἔστω τις ἀπὸ ὑπάτων, πλοῦτον κεκτήσθω πολύν, πόλιν οἰκείτω τὴν βασιλικήν, πράγματα πρὸς μηδένα ἐχέτω, τρυφάτω μόνον, καὶ πρὸς τοῦτο ἀσχολείσθω, ἐν αὐτῇ τῇ τρυφῇ καὶ τοῦ πλούτου καὶ τῆς τιμῆς καὶ τῆς δυναστείας καθήμενος· ἀντεπεξαγάγωμεν αὐτῷ Πέτρον τὸ ἐν δεσμοῖς, εἰ δοκεῖ, τὸν ἐν μυρίοις κακοῖς, καὶ τοῦτον εὑρήσομεν τρυφῶντα μᾶλλον. Ὅταν γὰρ τοσαύτη περιουσία χαρᾶς ᾖ, ὡς ἐν δεσμοῖς ἥδεσθαι, ἐννόησον ὅσον ἐστὶ τὸ μέγεθος τῆς χαρᾶς· καθάπερ γὰρ οἱ ἐπὶ μεγάλης ὄντες ἀρχῆς, ὅσα ἂν προσπέσῃ δεινά, οὐκ αἰσθάνονται, ἀλλ᾽ ἐπιμένουσι τῇ χαρᾷ, οὕτω δὴ καὶ οὗτοι δι᾽ αὐτὰ δὴ ταῦτα μᾶλλον ἔχαιρον. Οὐ γάρ ἐστιν, οὐκ ἔστι λόγῳ παραστῆσαι τὴν ἡδονήν, ὅσην ἔχειν συμβαίνει τοὺς διὰ Χριστόν τι πάσχοντας δεινόν· μᾶλλον γὰρ ἐπὶ τοῖς δεινοῖς χαίρουσιν, ἢ ἐπὶ τοῖς ἀγαθοῖς. Εἴ τις ἐφίλησε τὸν Χριστόν, οἶδεν ὃ λέγω. Ἀλλὰ τί; ἀσφαλείας ἕνεκεν ἔμελλον

πολίτες ἥμεροι καὶ καταδεκτικοί, καὶ κανένας δὲν φαίνεται ἐκεῖ κακοῦργος ἄνθρωπος, οὔτε κλέπτης, οὔτε λωποδύτης, οὔτε συκοφάντης, οὔτε δικαστήριο, ἀλλ' ὑπάρχουν μόνο συναλλαγές, καὶ ὅτι ἐμεῖς κατοικοῦμε αὐτὴν τὴν πόλη· δὲν θὰ ἦταν δυνατό οὔτε ἔτσι νὰ ζοῦμε μὲ ἀσφάλεια. Γιατί; Διότι καὶ μὲ τοὺς ὑπηρέτες, καὶ μὲ τὴ γυναίκα μας καὶ μὲ τὰ παιδιὰ κατ' ἀνάγκη θὰ εἴχαμε διαφορές, καὶ αὐτό θὰ μᾶς προξενοῦσε πολλὴ λύπη. Ἐδῶ ὅμως δὲν ὑπῆρχε τίποτε παρόμοιο· διότι δὲν ὑπῆρχε τίποτε ποὺ νὰ λυπεῖ, οὔτε ποὺ νὰ προξενεῖ κάποια ἀθυμία. Ἀλλὰ τὸ θαυμαστὸ εἶναι ὅτι αὐτὰ ποὺ θεωροῦνταν ὅτι προξενοῦν λύπη, αὐτὰ γίνονταν αἴτια κάθε χαρᾶς καὶ εὐφροσύνης. Διότι πές μου, γιὰ ποιὸ πράγμα ἐπρόκειτο νὰ ἀνησυχοῦν ἐκεῖνοι; γιὰ ποιὸ δὲ νὰ στενοχωροῦνται; Θέλεις νὰ φέρουμε κάποιον σὰν παράδειγμα; Ἔστω κάποιος ἀπὸ τοὺς ὑπάτους, ποὺ ἔχει πλοῦτο πολύ, ποὺ κατοικεῖ σὲ πόλη βασιλική, ποὺ δὲν ἐνοχλεῖ κανένα, ἀλλὰ μόνο κάμνει τρυφηλὴ ζωή, καὶ αὐτὴ εἶναι ἡ ἀπασχόλησή του, καθήμενος σ' αὐτὴν τὴν κορυφὴ καὶ τοῦ πλούτου καὶ τῆς τιμῆς καὶ τῆς ἐξουσίας· ἄς ἀντιπαρατάξουμε σ' αὐτὸν τὸν Πέτρο τὸν φυλακισμένο, ἂν θέλεις, ποὺ ἀντιμετωπίζει ἄπειρα κακά, καὶ θὰ βροῦμε αὐτὸν νὰ νιώθει μεγαλύτερη εὐχαρίστηση. Διότι, ὅταν ὑπάρχει τόσο μεγάλη ἀφθονία χαρᾶς, ὥστε νὰ νιώθει εὐχαρίστηση ἐνῶ εἶναι φυλακισμένος, σκέψου πόσο εἶναι τὸ μέγεθος τῆς χαρᾶς. Διότι ὅπως ἀκριβῶς αὐτοὶ ποὺ βρίσκονται σὲ μεγάλη ἐξουσία, ὅσες συμφορὲς καὶ ἂν συμβοῦν, δὲν τὶς αἰσθάνονται, ἀλλ' ἐξακολουθοῦν νὰ χαίρονται, ἔτσι λοιπὸν καὶ αὐτοὶ γι' αὐτὰ ἀκριβῶς χαίρονταν περισσότερο. Πράγματι δὲν εἶναι δυνατό, δὲν εἶναι δυνατὸ νὰ παραστήσουμε μὲ λόγια τὴν εὐχαρίστηση, ὅση συμβαίνει νὰ νιώθουν ἐκεῖνοι ποὺ πάσχουν κάτι τὸ κακὸ γιὰ τὸ Χριστό. Διότι περισσότερο χαίρονται γιὰ τὰ δεινά, παρὰ γιὰ τὰ ἀγαθά. Ἂν κάποιος ἀγάπησε τὸ Χριστό, γνωρίζει αὐτὸ ποὺ λέγω. Ἀλλὰ τί; συνέβαινε νὰ ἀποφεύγουν τὶς δυσκολίες γιὰ τὴν ἀσφάλειά τους;

τὰ δυσχερῆ φεύγειν; Καὶ τίς, εἰπέ μοι, μυρίον κεκτημένος πλοῦτον, τοσούτους κινδύνους ἠδυνήθη διαφυγεῖν, ἔθνεσι τοσούτοις ὁμιλῶν, ὑπὲρ μεταστάσεως πολιτείας μόνης; Οὗτοι δὲ ὥσπερ ἐξ ἐπιτάγματος βασιλικοῦ πάντα ἤνυον, μᾶλλον δὲ καὶ πολλῷ ῥᾴδιον· οὐ γὰρ οὕτω ἐπίταγμα βασιλικόν, ὡς τὰ ἐκείνων ῥήματα ἅπαντα ἤνυσαν· τὸ γὰρ ἐπίταγμα τὸ βασιλικὸν ἀνάγκῃ ἐπάγεται, οὗτοι δὲ ἑκόντες καὶ προαιρουμένους, καὶ μυρίαν χάριν εἰδότας. Ποῖον ἐπίταγμα βασιλικὸν πάντων ἀποστῆναι τῶν χρημάτων καὶ τῆς ψυχῆς ἔπεισεν ἄν, καὶ καταφρονῆσαι οἰκίας, πατρίδος, συγγενῶν, καὶ τῆς σωτηρίας αὐτῆς; Ἀλλ' αἱ τῶν ἁλιέων καὶ σκηνοποιῶν ἴσχυσαν φωναί· ὥστε καὶ ἐν ἡδονῇ ἦσαν, καὶ δυνατώτεροι καὶ ἰσχυρότεροι πάντων.

Ναί, φησίν, ἐκεῖνοι, ἐπειδὴ τὰ σημεῖα ἐποίουν· οἱ δὲ πιστεύσαντες, εἰπέ μοι, ποῖα σημεῖα ἐποίουν, οἱ τρισχίλιοι, καὶ πεντακισχίλιοι, οἳ καὶ ἐν ἀγαλλιάσει πολλῇ διῆγον; Εἰκότως· ἡ γὰρ πασῶν τῶν ἀθυμιῶν ὑπόθεσις, ἡ τῶν χρημάτων κτῆσις ἀνῄρητο· ἐκείνη γάρ, ἐκείνη καὶ πολέμων, καὶ μάχης, καὶ λύπης, καὶ ἀθυμίας, καὶ πάντων αἰτία τῶν κακῶν ἦν· ἡ τὸν βίον ἐπίπονον ποιοῦσα καὶ λυπηρότερον ἐκείνη ἐστί. Καὶ πλείους εὕροι τις ἂν μᾶλλον ἔχοντας ἀθυμίας ὑποθέσεις τοὺς ἐν πλούτῳ, ἢ τοὺς ἐν πενίᾳ. Εἰ δὲ μὴ δοκεῖ τισιν οὕτως ἔχειν, οὐ παρὰ τὴν τῶν πραγμάτων φύσιν, ἀλλὰ παρὰ τὴν δόξαν αὐτῶν. Εἰ δέ τινα ἔχουσι καὶ ἡδονὴν οἱ ἐν πλούτῳ, οὐδὲν θαυμαστόν· καὶ γὰρ οἱ ψώρας ἀναπεπλησμένοι, ἐν πολλῇ εἰσιν ἡδονῇ· ὅτι γὰρ ἐκείνων οὐδὲν διαφέρουσιν οἱ πλουτοῦντες, ἀλλ' ἡ ψυχὴ τοιαύτη τίς ἐστιν αὐτοῖς, δῆλον ἐκεῖθεν· Ἀνιῶσιν αὐτοὺς φροντίδες, καὶ ὅμως βούλονται αὐταῖς ἐνέχεσθαι διὰ τὴν πρόσκαιρον ἡδονήν· οἱ δὲ τούτων ἀπηλλαγμένοι, ἐν

καὶ ποιός, πές μου, ποὺ ἔχει ἀμέτρητο πλοῦτο, μπόρεσε νὰ διαφύγει τόσους κινδύνους, ἐπισκεπτόμενος τόσα πολλὰ ἔθνη μὲ μόνο σκοπὸ τὴν ἀλλαγὴ τοῦ τρόπου ζωῆς; Αὐτοὶ ὅμως τὰ πάντα ἐκτελοῦσαν σὰν νὰ εἶχαν βασιλικὸ πρόσταγμα, μᾶλλον δὲ καὶ πολὺ εὐκολώτερα. Διότι ποτὲ βασιλικὸ πρόσταγμα δὲν ἐπέτυχε τὰ πάντα τόσο εὔκολα, ὅπως οἱ λόγοι ἐκείνων· καθόσον τὸ βασιλικὸ πρόσταγμα ἐκτελεῖται ἀναγκαστικά, αὐτοὶ ὅμως μὲ τὴ θέλησή τους καὶ τελείως ἐλεύθερα καὶ ἐκφράζοντας ἄπειρη εὐγνωμοσύνη. Ποιὸ βασιλικὸ πρόσταγμα θὰ ἔπειθε τοὺς ἀρχομένους νὰ ἀπαρνηθοῦν ὅλα τὰ ὑπάρχοντά τους καὶ τὴ ζωή τους καὶ νὰ περιφρονήσουν τὶς οἰκίες καὶ τὴν πατρίδα, τοὺς συγγενεῖς καὶ τὴν ἴδια τὴ σωτηρία τους; Ἀλλὰ ὑπερίσχυσαν οἱ λόγοι τῶν ἁλιέων καὶ τῶν σκηνοποιῶν· ὥστε καὶ εὐχαρίστηση ἔνιωθαν καὶ ἦταν δυνατώτεροι καὶ ἰσχυρότεροι ἀπ' ὅλους.

Ναί, λέγει, τὸ κατόρθωσαν αὐτό, ἐπειδὴ ἔκαμναν θαύματα. Πές μου, ὅμως, ἐκεῖνοι ποὺ πίστευσαν, ποιὰ θαύματα ἔκαμναν, οἱ τρεῖς χιλιάδες καὶ οἱ πέντε, ποὺ ζοῦσαν μὲ πολλὴ ἀγαλλίαση; καὶ πολὺ εὔλογα. Διότι ἡ αἰτία κάθε λύπης, ἡ ἀπόκτηση τῶν χρημάτων, εἶχε ἐξαφανισθεῖ· καθόσον ἐκείνη, ἐκείνη εἶναι αἰτία καὶ πολέμων, καὶ μαχῶν, καὶ λύπης καὶ ἀθυμίας, καὶ ὅλων τῶν κακῶν· ἐκείνη εἶναι ποὺ κάμνει τὴ ζωὴ ἐπίπονη καὶ λυπηρότερη. Καὶ θὰ μποροῦσε νὰ βρεῖ κανένας περισσότερες ἀφορμὲς λύπης στοὺς πλούσιους, παρὰ στοὺς φτωχούς. Ἐὰν δὲ μερικοὶ νομίζουν ὅτι τὰ πράγματα δὲν ἔχουν ἔτσι, αὐτὸ ὀφείλεται ὄχι στὴ φύση τῶν πραγμάτων, ἀλλὰ στὴν προσωπική τους γνώμη. Ἐὰν δὲ νιώθουν οἱ πλούσιοι καὶ κάποια εὐχαρίστηση, τίποτε τὸ ἀξιοθαύμαστο· καθόσον καὶ αὐτοὶ ποὺ εἶναι γεμάτοι ἀπὸ ψώρα, νιώθουν πολλὴ εὐχαρίστηση· ὅτι, βέβαια, δὲν διαφέρουν σὲ τίποτε ἀπὸ ἐκείνους οἱ πλούσιοι, ἀλλ' ἡ ψυχή τους εἶναι περίπου τέτοια, εἶναι ὁλοφάνερο. Τοὺς στενοχωροῦν οἱ φροντίδες, καὶ ὅμως θέλουν νὰ ἐμπλέκονται σ' αὐτές, ἐξαιτίας τῆς προσωρινῆς εὐχαριστήσεως· οἱ ἀπαλλαγμένοι ὅμως ἀπὸ

ὑγείᾳ εἰσὶ καὶ ἀθυμίας ἐκτός.

4. Τί ἥδιον; εἰπέ με, τί δὲ ἀσφαλέστερον; ὑπὲρ ἄρτου φροντίζειν ἑνὸς καὶ ἐνδυμάτων, ἢ ὑπὲρ μυρίων καὶ οἰκετῶν καὶ ἐλευθέρων, τὰ καθ' ἑαυτὸν μὴ μεριμνῶντα; Καθάπερ γὰρ οὗτος ὑπὲρ ἑαυτοῦ δέδοικεν, οὕτω καὶ σὺ ὑπὲρ τῶν τῆς σῆς ἐκκρεμαμένων κεφαλῆς. Καὶ τί δήποτε φευκτὸν ἡ πενία δοκεῖ; φησίν. Ἐπειδὴ καὶ τὰ ἄλλα ἀγαθὰ ἀπευκτὰ πολλοῖς τυγχάνει, ἅπερ εἰσὶν οὐ διὰ τὸ ἀπευκτὰ εἶναι φευκτά, ἀλλὰ διὰ τὸ δυσκατόρθωτα. Οὐκοῦν καὶ αὕτη οὐκ ἀπευκτή, ἀλλὰ δυσκατόρθωτος· ὥστε, εἴ γέ τις αὐτὴν ἐνεγκεῖν ἠδύνατο, οὐκ ἂν ἦν ἀπευκτή. Διὰ τί γὰρ οὐκ ἀπηύχοντο αὐτὴν οἱ Ἀπόστολοι; διὰ τί πολλοὶ καὶ αἱροῦνται αὐτήν, καὶ οὐ μόνον οὐκ ἀπεύχονται, ἀλλὰ καὶ ἐπιτρέχουσι; Τὸ γὰρ ὄντως ἀπευκτὸν οὐδὲ αἱρετόν, πλὴν τοῖς μαινομένοις. Εἰ δὲ οἱ φιλόσοφοι τῶν ἀνθρώπων καὶ ὑψηλοὶ ἐπὶ ταύτην ἔρχονται ὡς ἐπί τι χωρίον ἀσφαλὲς καὶ ἄνοσον, οὐδὲν θαυμαστόν, ἐὰν τοῖς ἄλλοις μὴ δοκεῖ· ὁ μὲν γὰρ πλούσιος οὐδὲν ἕτερον εἶναί μοι δοκεῖ, ἀλλ' ἢ πόλις ἀτείχιστος, ἐν πεδίῳ κειμένη, καὶ πολλαχόθεν ἐπισπωμένη τοὺς ἐπιβουλεύοντας, ἡ δὲ πενία φρούριον ἀσφαλές, χαλκῷ περιβεβλημένον πολλῷ, καὶ δύσκολον ἔχον τὴν ἄνοδον. Καὶ μὴν τοὐναντίον, φησίν, ἐστίν· οὗτοι γάρ εἰσιν οἱ εἰς δικαστήριον πολλάκις ἑλκόμενοι, οὗτοί εἰσιν οἱ ἐπηρεαζόμενοι καὶ κακῶς πάσχοντες. Οὐχ οἱ πένητες ἁπλῶς, ἀλλ' οἱ πένητες μέν, βουλόμενοι δὲ πλουτεῖν. Ἐγὼ δὲ οὐ περὶ ἐκείνων φημί, ἀλλὰ περὶ τῶν σπουδαζόντων ἐν πενίᾳ διάγειν. Εἰπὲ γάρ μοι, διὰ τί μηδεὶς τοὺς ἐν ὄρεσιν ἕλκει εἰς δικαστήριον; (καίτοι γε, εἰ ἡ πενία εὐχείρωτον, ἐκείνους

αὐτὲς ἔχουν τὴν ὑγεία τους καὶ εἶναι χωρὶς λύπη.

4. Πές μου, τί εἶναι πιὸ εὐχάριστο; Τί δὲ ἀσφαλέστερο; Τὸ νὰ φροντίζει κανένας γιὰ ἕνα ψωμὶ καὶ γιὰ τὰ ἐνδύματά του ἢ γιὰ πολλὰ καὶ γι' ὑπηρέτες καὶ ἐλευθέρους, χωρὶς νὰ φροντίζει γιὰ τὸν ἑαυτό του; Διότι ὅπως ἀκριβῶς αὐτὸς φοβᾶται γιὰ τὸν ἑαυτό του, ἔτσι καὶ σὺ νὰ φοβᾶσαι γι' ἐκεῖνα ποὺ κρέμονται ἐπάνω ἀπὸ τὸ κεφάλι σου. Καὶ τί τέλος πάντων, λέγει, εἶναι δυνατὸ νὰ κατορθωθεῖ μὲ τὴ φτώχεια; Ἐπειδὴ καὶ τὰ ἄλλα ἀγαθὰ εἶναι ἀκατόρθωτα στοὺς πολλούς, ὄχι γιατὶ εἶναι ἀκατόρθωτα, ἀλλ' ἐπειδὴ εἶναι δυσκολοκατόρθωτα. Λοιπὸν καὶ αὐτὴ δὲν εἶναι ἀκατόρθωτη, ἀλλὰ δυσκολοκατόρθωτη· ὥστε, ἂν κάποιος μποροῦσε νὰ ὑποφέρει αὐτήν, δὲν θὰ ἦταν ἀκατόρθωτη. Διότι, γιατί δὲν ἀπέφευγαν αὐτὴν οἱ Ἀπόστολοι; Γιατί πολλοὶ καὶ προτιμοῦν αὐτήν, καὶ ὄχι μόνο δὲν τὴν ἀποφεύγουν, ἀλλὰ καὶ τὴν ἐπιδιώκουν; Διότι ἐκεῖνο ποὺ εἶναι πράγματι ἀκατόρθωτο δὲν πρέπει καὶ νὰ προτιμᾶται, ἐκτὸς βέβαια ἀπὸ τοὺς παράφρονες. Ἂν δὲ ἀπὸ τοὺς ἀνθρώπους οἱ φιλόσοφοι καὶ οἱ ἀνώτεροι καταφεύγουν πρὸς αὐτὴν σὰν κάποιο μέρος ἀσφαλὲς καὶ ἀβλαβές, δὲν εἶναι καθόλου θαυμαστό, ἂν δὲν φαίνεται στοὺς ἄλλους ὀρθό· διότι ὁ μὲν πλούσιος μοῦ φαίνεται, ὅτι δὲν εἶναι τίποτε ἄλλο, παρὰ πόλη ἀτείχιστη, ποὺ βρίσκεται σὲ πεδιάδα καὶ ποὺ ἀπὸ παντοῦ προσελκύει ἐκείνους ποὺ τὴν ἐπιβουλεύονται, ἐνῶ ἡ φτώχεια εἶναι φρούριο ἀσφαλές, ποὺ περιβάλλεται μὲ πολὺ χαλκό, καὶ εἶναι δυσκολοανάβατο. Καὶ ὅμως, λέγει, συμβαίνει τὸ ἀντίθετο· διότι αὐτοὶ εἶναι ἐκεῖνοι, ποὺ πολλὲς φορὲς σύρονται στὸ δικαστήριο· αὐτοὶ εἶναι ἐκεῖνοι, ποὺ δοκιμάζονται καὶ κακοπαθοῦν. Ὄχι ἐκεῖνοι ποὺ εἶναι ἁπλῶς φτωχοί, ἀλλὰ ποὺ εἶναι μὲν φτωχοί, ἐπιθυμοῦν ὅμως νὰ γίνουν πλούσιοι. Ἐγὼ ὅμως δὲν ὁμιλῶ γιὰ ἐκείνους, ἀλλὰ γιὰ ἐκείνους ποὺ προσπαθοῦν νὰ ζοῦν φτωχοί. Διότι πές μου, γιατί κανένας δὲν σύρει στὸ δικαστήριο αὐτοὺς ποὺ ζοῦν στὰ ὄρη; (ἂν καὶ βέβαια, ἂν ἡ φτώχεια εἶναι εὐκολοκατάβλητη σ' ἐκείνους, περισσότερο ἀπ' ὅλους ἔπρε-

μάλιστα πάντων ἕλκεσθαι ἔδει, ὅσῳ πάντων εἰσὶ πενέστεροι), διὰ τί τοὺς προσαιτοῦντας οὐδεὶς ἕλκει εἰς δικαστήριον; διὰ τί μηδεὶς βιάζεται μηδὲ συκοφαντεῖ; ἆρ' οὐ διότι ἐν ἀσφαλεστέρῳ χωρίῳ μένουσι; Πόσοις τὸ πρᾶγμα καὶ δυσοιώνιστον εἶναι δοκεῖ, ἡ πενία λέγω καὶ τὸ προσαιτεῖν;

Τί οὖν, εἰπέ μοι, καλὸν τὸ ἐπαιτεῖν; Καλόν, ἐὰν ᾖ ὁ παραμυθούμενος καὶ ἐλεῶν, ἐὰν ᾖ ὁ παρέχων· οὕτω βίον ἀπράγμονα καὶ ἀσφαλῆ τοῦτον πᾶς οἶδεν. Ἐγὼ δὲ οὐ τοῦτο παραινῶ, μὴ γένοιτο! ἀλλ' ὥστε μὴ πλούτου ἐφίεσθαι. Εἰπὲ γάρ μοι, τίνας ἂν εἴπω μᾶλλον μακαρίους, τοὺς ἐπιτηδείους πρὸς ἀρετήν, ἢ τοὺς ταύτης πόρρω καθεστηκότας; Εὔδηλον ὅτι τοὺς ἐπιτηδείους. Τίς οὖν ἐπιτήδειος πρὸς τὸ μαθεῖν τι τῶν χρησίμων, καὶ λάμπειν ἐν φιλοσοφίᾳ, οὗτος ἢ ἐκεῖνος; Παντί που δῆλον ὅτι οὗτος. Εἰ δὲ ἀπιστεῖς, μάνθανε· Ἀγέσθω τις ἀπὸ τῆς ἀγορᾶς τῶν προσαιτούντων, καὶ αὐτὸς μὲν ἔστω πηρός, χωλός, κυλλός, ἕτερος δέ τις καλὸς μὲν ἰδεῖν, ἰσχυρὸς τῷ σώματι, πάντοθεν σφριγμῶν, τοῖς χρήμασι περιρρεόμενος, γένος ἐχέτω λαμπρόν, καὶ δυναστείαν μεγάλην· οὐκοῦν ἀγάγωμεν τούτους εἰς τὸ τῆς φιλοσοφίας παιδευτήριον, καὶ ἴδωμεν, τίς αὐτῶν μᾶλλον δέξεται τὰ τῆς διδασκαλίας. Ἔστω γοῦν τὸ πρῶτον παράγγελμα, 'ταπεινὸς ἔσο καὶ μέτριος', (τοῦτο γὰρ ὁ Χριστὸς προσέταξε), τίς μᾶλλον αὐτὸ κατορθῶσαι δυνήσεται, οὗτος ἢ ἐκεῖνος; «Μακάριοι οἱ πενθοῦντες»· τίς μᾶλλον προσέξει τῷ εἰρημένῳ; «Μακάριοι οἱ ταπεινοί»· τίς μᾶλλον ἀκούσεται; «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης»· τίς εὐκόλως ταῦτα καταδέξεται; Καὶ εἰ βούλει, πᾶσιν αὐτοῖς ἐφαρ-

4. Ματθ. 5, 4.
5. Ματθ. 5, 8. 6 καὶ 10.

πε ἐκείνους νὰ σύρουν, ὅσο φτωχότεροι εἶναι ἀπὸ ὅλους), γιατὶ τοὺς ζητιάνους δὲν τοὺς σύρει κανένας στὸ δικαστήριο; γιατί κανένας δὲν τοὺς πιέζει καὶ οὔτε τοὺς συκοφαντεῖ; ἄραγε ὄχι γιατὶ μένουν σὲ ἀσφαλέστερο μέρος; Σὲ πόσους τὸ πράγμα αὐτό, ἐννοῶ ἡ φτώχεια καὶ ἡ ἐπαιτεία, φαίνεται ὅτι εἶναι προμήνυμα κακῶν;

Τί λοιπόν, πές μου, εἶναι καλὸ πράγμα ἡ ἐπαιτεία; Εἶναι καλό, ἂν ὑπάρχει ἐκεῖνος ποὺ παρηγορεῖ καὶ ἐλεεῖ, ἐὰν ὑπάρχει ἐκεῖνος ποὺ χορηγεῖ· ὁ καθένας γνωρίζει ὅτι αὐτὸς ὁ τρόπος ζωῆς εἶναι χωρὶς φροντίδες καὶ ἀσφαλής. Ἐγὼ ὅμως δὲν συμβουλεύω αὐτό, μὴ γένοιτο! ἀλλὰ νὰ μὴ ἐπιθυμεῖτε τὸν πλοῦτο. Διότι πές μου, ποιοὺς θὰ μποροῦσα νὰ χαρακτηρίσω περισσότερο μακάριους, τοὺς ἱκανοὺς γιὰ τὴν ἀρετὴ ἢ αὐτοὺς ποὺ βρίσκονται μακριὰ ἀπ' αὐτήν; Εἶναι φανερὸ ὅτι αὐτοὺς ποὺ εἶναι ἱκανοὶ γιὰ τὴν ἀρετή. Ποιὸς λοιπὸν εἶναι κατάλληλος γιὰ νὰ μάθει κάτι ἀπὸ τὰ χρήσιμα, καὶ νὰ λάμπει ἀπὸ εὐσέβεια, αὐτὸς ἢ ἐκεῖνος; Εἶναι ὁλοφάνερο βέβαια ὅτι αὐτός. Ἐὰν δὲ ἀπιστεῖς, μάθε· Ἂς ὁδηγηθεῖ κάποιος ἀπὸ αὐτοὺς ποὺ ἐπαιτοῦν στὴν ἀγορά, καὶ αὐτὸς μὲν ἂς εἶναι τυφλός, χωλός, στρεβλός, κάποιος ἄλλος δὲ ὡραῖος μὲν στὴν ἐμφάνιση, ἰσχυρὸς στὸ σῶμα, γεμάτος ἀπὸ σφρίγος, μὲ ἄφθονα χρήματα, ποὺ ἔχει καταγωγὴ λαμπρὴ καὶ ἐξουσία μεγάλη· λοιπὸν ἂς τοὺς ὁδηγήσουμε στὸ ἐκπαιδευτήριο τῆς φιλοσοφίας καὶ ἂς δοῦμε, ποιὸς ἀπὸ αὐτοὺς θὰ δεχθεῖ περισσότερο τὴ διδασκαλία. Ἂς εἶναι λοιπὸν τὸ πρῶτο παράγγελμα, 'νὰ εἶσαι ταπεινὸς καὶ μετριοπαθής'[3] (διότι αὐτὸ πρόσταξε ὁ Χριστός), ποιὸς θὰ μπορέσει νὰ κατορθώσει αὐτὸ περισσότερο, αὐτὸς ἢ ἐκεῖνος; «Μακάριοι οἱ πενθοῦντες»[4]· ποιὸς θὰ προσέξει περισσότερο σ' αὐτὸ ποὺ λέχθηκε; «Μακάριοι οἱ ταπεινόφρονες»· ποιὸς θὰ ἀκούσει περισσότερο· «Μακάριοι ὅσοι ἔχουν καρδιὰ καθαρή· μακάριοι ἐκεῖνοι ποὺ σὰν πεινασμένοι καὶ διψασμένοι ποθοῦν τὴ δικαιοσύνη· μακάριοι ἐκεῖνοι ποὺ διώχθηκαν ἐξ αἰτίας τῆς ἀρετῆς τους[5]· ποιὸς θὰ τὰ δεχθεῖ αὐτὰ μὲ εὐκολία; Καὶ ἂν θέλεις, ἂς ἐφαρμόσουμε στοὺς

μόσωμεν ἑκατέρους· οὐχ ὁ μὲν φλεγμαίνει καὶ οἰδεῖ πάντοθεν, ὁ δὲ ταπεινοφρονεῖ ἀεὶ καὶ συνέσταλται διὰ παντός; Εὔδηλον ὅτι. Ἔστι μὲν οὖν δή τι καὶ ἔπος τοιοῦτο τοῖς ἔξωθεν εἰρημένον, «δοῦλος μὲν ἐπίκτητος, σῶμα ἀνάπηρος· πενίην Ἶρος, καὶ φίλος ἀθανάτων». Ἀλλὰ τοῦτο μὲν ὁ πένης, ἡ δὲ τοῦ πλουσίου ψυχὴ πάντων γέμει τῶν κακῶν, ἀπονοίας, κενοδοξίας, ἐπιθυμιῶν μυρίων, ὀργῆς, καὶ θυμοῦ, πλεονεξίας, ἀδικίας, καὶ εἴ τινος ἑτέρου. Ἄρα φανερὸν ὅτι πρὸς φιλοσοφίαν αὕτη ἐπιτηδεία, ἢ ἐκείνη. Πάντως ζητεῖτε μαθεῖν τί μᾶλλον ἥδιον (τοῦτο γὰρ παρὰ πολλοῖς ζητούμενον ὁρῶ, εἴ γε αὕτη ἡδίων ἡ διαγωγή)· καὶ μὴν οὐδὲ ὑπὲρ τούτου ἀμφιβάλλειν χρή· ὁ γὰρ ἐγγὺς τῆς ὑγείας, οὗτος καὶ ἐν ἡδονῇ πολλῇ. Τίς δέ, εἰπέ μοι, πρὸς τὸ προκείμενον, ὅπερ βουλόμεθα, κατορθῶσαι, τὸν νόμον τοῦτον λέγω, ἐπιτήδειος, ὁ πένης ἢ ὁ πλουτῶν; τίς εὐκόλως ὀμεῖται, ὁ πρὸς παῖδας παροξυνόμενος, ὁ πρὸς μυρίους ἔχων συναλλάγματα, ἢ ὁ προσιὼν ὑπὲρ ἄρτου ἢ ἱματίου ἑνός; Οὗτος οὐδὲ ἀνάγκην ὅρκων ἔχει, ἐὰν θέλῃ, ἀλλ' ἀεὶ ἐν ἀπραγμοσύνῃ διάγει· μᾶλλον δὲ ὁ παιδευόμενος μὴ ὀμνύναι, καὶ χρημάτων καταφρονήσει πολλάκις, καὶ πανταχοῦ τῆς ἀρετῆς τὰς ὁδοὺς τεμνομένας ἀπὸ τούτου τοῦ καλοῦ ἴδοι τις ἄν, καὶ πάσας φερούσας πρὸς ἐπιείκειαν, πρὸς χρημάτων ὑπεροψίαν, πρὸς εὐλάβειαν, πρὸς κατάστασιν ψυχῆς, πρὸς κατάνυξιν.

Μὴ δὴ ῥαθυμῶμεν, ἀγαπητοί, ἀλλὰ πάλιν πολλὴν ποιησώμεθα τὴν σπουδήν, οἱ μὲν κατωρθωκότες, ὥστε φυλάξαι τὸ κατορθωθέν, ὥστε μὴ εὐκόλως ἀπορροήν τινα γενέσθαι

6. Βλέπε: Anthologie Grecque. Anthologie Palatini t. V (Livbre VII„ Epigr. 364 - 748) ἐκδ. P. Waltz, Paris 1941, σ. 140, ἐπιγρ. 676: ὅπου τὸ χωρίον ἔχει ὡς ἑξῆς: «Δοῦλος Ἐπίκτητος γενόμην καὶ σῶμα ἀνάπηρος καὶ πενίην Ἶρος καὶ φίλος ἀθάνατοις».
Περὶ Ἴρου: Ὀδύσσεια, στ. 1 - 117.

δύο αὐτοὺς ὅλα αὐτά. Δὲν νιώθει ὁ μὲν ἕνας ταραχὴ καὶ πονεῖ ἀπὸ παντοῦ, ὁ δὲ ἄλλος πάντοτε εἶναι ταπεινόφρων καὶ συνεχῶς συνεσταλμένος; Εἶναι ὁλοφάνερο ὅτι ἔτσι γίνεται. Ὑπάρχει βέβαια καὶ κάποιο παρόμοιο ἀπόφθεγμα ποὺ λέχθηκε ἀπὸ μὴ χριστιανούς· «Δοῦλος μὲν ἐπίκτητος ὑπῆρξα, καὶ κατὰ τὸ σῶμα ἀνάπηρος· κατὰ τὴν πτώχεια Ἶρος καὶ φίλος τῶν ἀθανάτων»[6]. Καὶ τοῦτο μὲν τὸ ἔχει ὁ φτωχός, ἡ δὲ ψυχὴ τοῦ πλουσίου εἶναι γεμάτη ἀπὸ ὅλα τὰ κακά, ἀπὸ παραφροσύνη, ἀπὸ κενοδοξία, ἀπὸ ἄπειρες ἐπιθυμίες, ἀπὸ ὀργὴ καὶ θυμό, ἀπὸ πλεονεξία, ἀπὸ ἀδικία, καὶ ὁποιοδήποτε ἄλλο κακό. Ἄρα εἶναι φανερὸ ὅτι αὐτὴ εἶναι κατάλληλη γιὰ εὐσέβεια, παρὰ ἐκείνη. Ὁπωσδήποτε βέβαια θέλετε νὰ μάθετε, τί εἶναι περισσότερο εὐχάριστο (διότι αὐτὸ βλέπω, ὅτι θέλουν πολλοὶ νὰ μάθουν, ἂν δηλαδὴ αὐτὸς ὁ τρόπος ζωῆς εἶναι περισσότερο εὐχάριστος). Καὶ ὅμως πρέπει οὔτε γι' αὐτὸ νὰ ἀμφιβάλλετε· διότι αὐτὸς ποὺ βρίσκεται κοντὰ στὴν ὑγεία, αὐτὸς νιώθει καὶ πολλὴ εὐχαρίστηση.

Ποιὸς δέ, πές μου, εἶναι ἱκανὸς νὰ κατορθώσει, στὴν προκειμένη περίπτωση, αὐτὸ ποὺ ἐπιθυμοῦμε, ἐννοῶ τὸ νόμο αὐτό, ὁ φτωχὸς ἢ ὁ πλούσιος; ποιὸς ὀργίζεται εὔκολα, αὐτὸς ποὺ παροργίζεται μὲ τοὺς δούλους, αὐτὸς ποὺ ἔχει συναλλαγὲς μὲ ἀναρίθμητους ἀνθρώπους, ἢ ἐκεῖνος ποὺ προσέρχεται νὰ ζητήσει ἕναν ἄρτο ἢ ἕνα ἱμάτιο; Αὐτὸς δὲ δὲν ἔχει ἀνάγκη ἀπὸ ὅρκους, ἂν θέλει, ἀλλὰ πάντοτε ζεῖ μὲ ἀπραγμοσύνη· μᾶλλον δὲ ἐκεῖνος ποὺ ἀσκεῖται νὰ μὴ ὁρκίζεται, καὶ τὰ χρήματα θὰ περιφρονήσει πολλὲς φορές, καὶ παντοῦ εἶναι δυνατὸ νὰ δεῖ κανένας τοὺς δρόμους τῆς ἀρετῆς νὰ διασχίζονται ἀπὸ αὐτὸ τὸ καλό, καὶ ὅλοι νὰ ὁδηγοῦν πρὸς τὴν ἐπιείκεια, πρὸς τὴν περιφρόνηση τῶν χρημάτων, πρὸς τὴν εὐλάβεια, πρὸς τὸν καταρτισμὸ τῆς ψυχῆς, πρὸς τὴν κατάνυξη.

Ἂς μὴ δείχνουμε λοιπὸν ἀδιαφορία, ἀγαπητοί, ἀλλὰ ἂς καταβάλλουμε πολὺ μεγάλη προσπάθεια, αὐτοὶ μὲν ποὺ ἔχουν κατορθώσει κάτι, γιὰ νὰ διαφυλάξουν αὐτὸ ποὺ κατόρθωσαν, γιὰ νὰ μὴ συμβεῖ εὔκολα κάποια ἀπώλεια

καὶ παλίρροιαν εἰς τοὐπίσω, οἱ δὲ ἔτι λειπόμενοι, ὥστε διαναστῆναι, ὥστε σπουδάσαι τὸ λεῖπον πληρῶσαι. Καὶ τέως οἱ κατορθώσαντες τοὺς μήπω δυνηθέντας, καθάπερ ἐν πελάγει νηχομένοις τὰς χεῖρας ἐκτείνοντες, ἐν τῷ λιμένι τῆς ἀνωμοσίας δεχέσθωσαν· λιμὴν γὰρ ὄντως ἀσφαλὴς τὸ μὴ ὀμνύναι· λιμήν, πρὸς τὸ μὴ καταποντίζεσθαι ὑπὸ τῶν προσπιπτόντων πνευμάτων. Κἂν γὰρ ὀργή, κἂν ἐπήρεια, κἂν θυμὸς ὑπερζέσῃ, κἂν ὁτιοῦν, ἡ ψυχὴ ἐν ἀσφαλείᾳ καθέστηκεν, ὥστε οὐδ' ἂν ἐκβάλῃ τι τῶν οὐκ ὀφειλόντων εἰρῆσθαι· οὐ γὰρ εἰς ἀνάγκην κατέστησεν ἑαυτήν, οὐδὲ νόμον. Ὅρα τί διὰ τὸν ὅρκον ἐποίησεν Ἡρώδης· τὴν κεφαλὴν ἀπέτεμε τοῦ Προδρόμου· «διὰ τοὺς ὅρκους» γάρ, φησί, «καὶ τοὺς συνανακειμένους οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι». Τί δι' ὅρκον πέπονθεν ὁ Σαούλ; Ὁ μὲν γὰρ ἐπιώρκησεν, ὁ δὲ Ἡρώδης, καὶ τῆς ἐπιορκίας χεῖρον εἰργάσατο, τὸν φόνον. Πάλιν ὁ Ἰησοῦς διὰ τὸν ὅρκον ἐπὶ τῶν Γαβαωνιτῶν οἷα πέπονθεν ἔγνως· σατανικὴ γὰρ ὄντως ἐστὶ παγὶς τὸ ὀμνύναι.

Διαρρήξωμεν τοίνυν τὰ σχοινία, καὶ ἐν εὐκολίᾳ καταστήσομεν ἑαυτοὺς πάσης φυλακῆς· ἀπαλλαγῶμεν τῆς σατανικῆς παγίδος· φοβηθῶμεν τὴν ἐντολὴν τὴν Δεσποτικήν· εἰς συνήθειαν ἀρίστην ἑαυτοὺς ἐμβάλλωμεν, ἵνα, ὁδῷ προβαίνοντες, καὶ ταύτην καὶ τὰς λοιπὰς ἐντολὰς κατορθώσαντες, τῶν ἐπηγγελμένων ἐπιτύχωμεν ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

7. Μάρκ. 6, 26.
8. Κριτ. 21. 1 - 25.

καὶ ἐπιστροφὴ πρὸς τὰ πίσω, αὐτοὶ δὲ ποὺ ὑστεροῦν ἀκόμα, γιὰ νὰ διεγερθοῦν καὶ νὰ φροντίσουν νὰ συμπληρώσουν αὐτὸ ποὺ τοὺς λείπει. Καὶ πρῶτα αὐτοὶ ποὺ κατόρθωσαν, ἀφοῦ ἐκτείνουν τὰ χέρια πρὸς ἐκείνους, ποὺ δὲν μπόρεσαν ἀκόμη νὰ κατορθώσουν, ὅπως ἀκριβῶς συμβαίνει μὲ ἐκείνους ποὺ κολυμβοῦν στὸ πέλαγος, ἂς τοὺς δεχθοῦν στὸ λιμάνι ποὺ ἀπουσιάζει ὁ ὅρκος· διότι πράγματι τὸ νὰ μὴ ὁρκίζεται κανένας εἶναι λιμάνι ἀσφαλές· λιμάνι γιὰ νὰ μὴ καταποντιζόμαστε ἀπὸ τοὺς ἐφορμοῦντες ἀνέμους. Διότι καὶ ἂν ἀκόμη ὑπάρχει ὀργή, ἢ περιφρόνηση, καὶ ἂν θυμὸς ποὺ κοχλάζει ἢ ὁ,τιδήποτε ἄλλο, ἡ ψυχὴ εἶναι ἐξασφαλισμένη, ὥστε νὰ μὴ ἐκστομίσει κάτι ἀπὸ ἐκεῖνα, ποὺ δὲν πρέπει νὰ λεχθοῦν· διότι δὲν δημιούργησε σ' αὐτὴν ἀνάγκη οὔτε νόμο. Πρόσεχε τί ἔκαμε ὁ Ἡρώδης γιὰ τὸν ὅρκο ποὺ εἶχε δώσει· ἀπέκοψε τὸ κεφάλι τοῦ Προδρόμου· διότι, λέγει, γιὰ τοὺς ὅρκους ποὺ εἶχε βάλει καὶ γι' αὐτοὺς ποὺ κάθονταν μαζί του στὸ τραπέζι, δὲν θέλησε νὰ παραβεῖ τὸν ὅρκο του»[7]. Γιὰ τὸν ὅρκο, τί ἔπαθαν οἱ φυλὲς ἐναντίον τῆς φυλῆς τοῦ Βενιαμίν[8]; Γιὰ τὸν ὅρκο τί ἔπαθε ὁ Σαούλ; Διότι ὁ μὲν ἕνας ἔγινε ἐπίορκος, ὁ δὲ Ἡρώδης διέπραξε κάτι χειρότερο καὶ ἀπὸ τὴν ἐπιορκία, τὸ φόνο. Πάλι γνώρισες ἐκεῖνα ποὺ ἔπαθε ὁ Ἰησοῦς τοῦ Ναυῆ, γιὰ τὸν ὅρκο ἐναντίον τῶν Γαβαωνιτῶν· διότι πράγματι ὁ ὅρκος εἶναι παγίδα σατανική.

Ἂς ἀποκόψουμε λοιπὸν τὰ σχοινιά, καὶ ἂς καταστήσουμε τοὺς ἑαυτούς μας ἐλεύθερους ἀπὸ κάθε δεσμό· ἂς ἀπαλλαγοῦμε ἀπὸ τὴ σατανικὴ παγίδα· ἂς σεβασθοῦμε τὴ δεσποτικὴ ἐντολή· σὲ ἄριστη συνήθεια ἂς ὁδηγήσουμε τοὺς ἑαυτούς μας, ὥστε βαδίζοντας κατ' αὐτὸν τὸν τρόπο, καὶ ἀφοῦ κατορθώσουμε καὶ αὐτὴν καὶ τὶς ὑπόλοιπες ἐντολές, νὰ ἐπιτύχουμε τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθεῖ σὲ ἐκείνους, ποὺ ἀγαποῦν αὐτόν, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε, καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΔ'
(Πράξ. 5, 34 - 6, 7)

«Ἀναστὰς δέ τις ἐν τῷ συνεδρίῳ Φαρισαῖος, ὀνόματι Γαμαλιήλ, νομοδιδάσκαλος, τίμιος παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω βραχύ τι τοὺς Ἀποστόλους γενέσθαι».

1. Οὗτος ὁ Γαμαλιήλ, Παύλου διδάσκαλος ἦν. Καὶ θαυμάσαι ἄξιον πῶς, καὶ τὰς κατὰ νοῦν κρίσεις ἔχων, καὶ νομομαθὴς ὤν, οὐδέπω ἐπίστευσεν. Οὐκ ἔστι δὲ αὐτὸν μεῖναι μὴ πιστεύσαντα δι' ὅλου. Καὶ δῆλον ἐκ τῶν ῥημάτων αὐτοῦ, δι' ὧν συμβουλεύει· «ἐκέλευσε» γάρ, φησίν, «ἔξω βραχύ τι τοὺς Ἀποστόλους ποιῆσαι». Ὅρα τὴν σύνεσιν τῆς δημηγορίας, καὶ πῶς αὐτοὺς εὐθέως εἰς φόβον ἐνέβαλεν. Ὥστε δὲ μὴ ὑποπτευθῆναι αὐτὸν ὡς τὰ ἐκείνων φρονοῦντα, ὡς πρὸς ὁμογνώμονας διαλέγεται, καὶ οὐ πολλῇ τῇ σφοδρότητι κέχρηται, ἀλλ' ὡς ὑπὸ τοῦ θυμοῦ μεθύουσιν, οὕτω φησίν· «Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις τί μέλλετε πράσσειν». Μὴ ἁπλῶς, φησί, μηδὲ ὡς ἔτυχε φέρεσθε. «Πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν, ᾧ προσεκολλήθη ἀριθμὸς ἀνδρῶν ὡς τετρακοσίων· ὃς ἀνῃρέθη· καὶ πάντες, ὅσοι ἐπείθοντο αὐτῷ, διελύθησαν, καὶ ἐγένοντο εἰς οὐδέν». Ἀπὸ παραδειγμάτων αὐτοὺς σωφρονίζει, καὶ τὸν πλείονας ἀποστήσαντα ὕστερον τίθησι παραμυθούμενος αὐτούς. Πρὸ μὲν οὖν τοῦ τὰ παραδείγματα εἰπεῖν λέγει, «Προσέχετε ἑαυτοῖς», ἐπειδὴ δὲ ἔ-

1. Πράξ. 5, 34.

ΟΜΙΛΙΑ ΙΔ΄
(Πράξ. 5, 34 - 6, 7)

«Σηκώθηκε ὅμως μέσα στὸ συνέδριο ἕνας Φαρισαῖος, μὲ τὸ ὄνομα Γαμαλιήλ, διδάσκαλος τοῦ νόμου, ποὺ τιμῶνταν ἀπὸ ὅλο τὸ λαό, καὶ διέταξε νὰ βγάλουν γιὰ λίγο ἔξω ἀπὸ τὴν αἴθουσα τοὺς ἀποστόλους»[1].

1. Αὐτὸς ὁ Γαμαλιὴλ ἦταν διδάσκαλος τοῦ Παύλου. Καὶ εἶναι ἄξιο νὰ ἀπορεῖ κανένας, πῶς, ἂν καὶ εἶχε καὶ τὴν ἱκανότητα νὰ κρίνει καὶ ἦταν νομομαθής, δὲν εἶχε ἀκόμη πιστεύσει. Δὲν εἶναι δυνατὸ δὲ αὐτὸς νὰ ἔμεινε τελείως ἄπιστος. Καὶ γίνεται αὐτὸ φανερὸ ἀπὸ τὰ λόγια του, μὲ τὰ ὁποῖα συμβουλεύει. Διότι, λέγει, «Διέταξε νὰ βγάλουν γιὰ λίγο ἔξω ἀπὸ τὴν αἴθουσα τοὺς Ἀποστόλους». Πρόσεχε τὴ σύνεση τῆς ὁμιλίας του καὶ πῶς τοὺς κάμνει ἀμέσως νὰ φοβηθοῦν. Γιὰ νὰ μὴ τὸν ὑποπτευθοῦν, ὅτι ἔχει τὶς ἴδιες πεποιθήσεις καὶ ἰδέες μὲ ἐκείνους, συζητεῖ σὰν νὰ ἔχει τὴν ἴδια γνώμη, καὶ δὲν χρησιμοποιεῖ μεγάλη αὐστηρότητα στὰ λόγια του, ἀλλὰ ὡσὰν νὰ εἶναι μεθυσμένοι ἀπὸ θυμό, ἔτσι λέγοντας τὰ ἑξῆς· «Ἄνδρες Ἰσραηλῖτες, προσέχετε τοὺς ἑαυτούς σας ἀπὸ αὐτὸ ποὺ σκέπτεσθε νὰ κάνετε στοὺς ἀνθρώπους αὐτούς». Μὴ φέρεσθε, λέγει, ἁπλῶς καὶ ὡς ἔτυχε. «Διότι πρὶν ἀπὸ λίγο καιρό, ἐμφανίσθηκε ὁ Θευδᾶς, ποὺ ἔλεγε γιὰ τὸν ἑαυτό του ὅτι εἶναι κάποιος σπουδαῖος, στὸν ὁποῖο προσκολλήθηκε ἕνας ἀριθμὸς ἀνθρώπων, περίπου τετρακοσίων· αὐτὸς ὅμως φονεύθηκε, καὶ ὅλοι ὅσοι τὸν ἀκολουθοῦσαν διαλύθηκαν καὶ ἐκμηδενίσθηκαν». Μὲ παραδείγματα τοὺς σωφρονίζει, καὶ κατόπιν παρουσιάζει ἐκεῖνον ποὺ ἀπέσπασε πρὸς τὸ μέρος του περισσότερους, παρηγορόντας αὐτούς. Πρὶν δηλαδὴ ἀναφέρει τὰ παραδείγματα, λέγει· «Προσέχετε τοὺς ἑαυτούς», ὅταν δὲ ἀνέφερε τὰ παρα-

δειξεν, ἀποφαίνεται, λέγων· «Καὶ τανῦν λέγω ὑμῖν· Ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων».

«Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησεν ἱκανὸν λαὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες, ὅσοι ἐπείθοντο αὐτῷ, διεσκορπίσθησαν. Καὶ τανῦν λέγω ὑμῖν· Ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων, καὶ ἐάσατε αὐτούς· ὅτι, ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται· εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δυνήσεσθε καταλῦσαι αὐτό». Ὡσεὶ ἔλεγεν· Ἀνάσχεσθε· καὶ ἐὰν ἐξ ἑαυτῶν καὶ οὗτοι συνέστησαν, οὐδὲν κωλύσει καὶ αὐτοὺς καταλυθῆναι'. «Μήποτε καὶ θεομάχοι εὑρεθῆτε». Καὶ διὰ τοῦ ἀδυνάτου καὶ διὰ τοῦ ἀσυμφόρου ἀποτρέπει αὐτούς. Οὐκ εἶπε δὲ ὑπὸ τίνος ἀνηρέθησαν, ἀλλ' ἁπλῶς, ὅτι διελύθησαν, τάχα ὡς παρέλκον. Δι' ὧν δὲ ὑποτίθησι, διδάσκει ὅτι 'εἰ μὲν ἀνθρώπινον τὸ ἔργον, οὐδὲν δεήσει πραγμάτων ὑμῖν, εἰ δὲ θεῖόν ἐστιν, οὐδὲ μετὰ πραγμάτων δυνήσεσθε περιγενέσθαι'. Οὕτω γοῦν καὶ ὁ λόγος συνετὸς ἔδοξεν, ὅτι καὶ ἐπείσθησαν ὥστε μὴ ἀνελεῖν αὐτούς, ἀλλὰ μαστίξαι μόνον· «ἐπείσθησαν γὰρ αὐτῷ», φησί· «καὶ προσκαλεσάμενοι τοὺς Ἀποστόλους, δείραντες παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς». Ὅρα μετὰ πόσα μαστίζονται θαύματα. Καὶ ὅμως πάλιν ἡ διδασκαλία ἐπετείνετο· καὶ γὰρ καὶ ἐν τῷ ἱερῷ ἐδίδασκον. «Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ κατηξιώθησαν ἀτιμασθῆναι, πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν Χριστόν».

Ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους,

δείγματα ἀποφαίνεται, λέγοντας· «Καὶ στὴν περίπτωση λοιπὸν αὐτή, σᾶς συμβουλεύω, ἀπομακρυνθεῖτε ἀπὸ τοὺς ἀνθρώπους αὐτούς».

«Μετὰ ἀπὸ αὐτὸν ἐμφανίσθηκε ὁ Ἰούδας ὁ Γαλιλαῖος, κατὰ τὶς ἡμέρες τῆς ἀπογραφῆς, καὶ παρέσυρε πίσω του πλῆθος· καὶ ἐκεῖνος θανατώθηκε καὶ ὅλοι ὅσοι τὸν ἀκολουθοῦσαν διασκορπίσθηκαν. Καὶ τώρα σᾶς συμβουλεύω λοιπόν, ἀπομακρυνθεῖτε ἀπὸ τοὺς ἀνθρώπους αὐτοὺς καὶ ἀφήσατέ τους ἐλεύθερους· διότι ἂν αὐτά, ποὺ σκέπτονται αὐτοὶ ἢ τὸ ἔργον αὐτὸ ποὺ κάνουν, εἶναι ἀνθρώπινο, θὰ καταστραφεῖ μόνο του, ἐὰν ὅμως εἶναι ἀπὸ τὸ Θεό, δὲν μπορεῖτε νὰ τὸ καταστρέψετε». Σὰν νὰ ἔλεγε· 'συγκρατηθεῖτε· καὶ ἂν καὶ αὐτοὶ ἀπὸ μόνοι τους συγκρότησαν ὁμάδα, τίποτε δὲν θὰ ἐμποδίσει καὶ αὐτοὶ νὰ διαλυθοῦν'. «Μήπως δὲ βρεθεῖτε καὶ θεομάχοι». Καὶ ἀποτρέπει αὐτοὺς προβάλλοντας τὸ ἀδύνατο καὶ τὸ ἀνωφελές. Δὲν εἶπε δὲ ἀπὸ ποιὸν φονεύθηκαν, ἀλλ' ἁπλῶς, ὅτι διαλύθηκαν, θεωρώντας ἴσως αὐτὸ περιττό. Μὲ αὐτὰ δὲ ποὺ ἀναφέρει διδάσκει, ὅτι 'ἐὰν μὲν εἶναι ἀνθρώπινο τὸ ἔργο, δὲν θὰ χρειασθεῖ ἐσεῖς νὰ πράξετε κάτι, ἐὰν ὅμως εἶναι θεϊκό, δὲν θὰ μπορέσετε οὔτε μὲ ἐνέργειες ἐναντίον τους νὰ ὑπερισχύσετε. Ἔτσι λοιπὸν καὶ ὁ λόγος φάνηκε συνετός, καὶ πείσθηκαν, ὥστε νὰ μὴ φονεύσουν αὐτούς, ἀλλὰ μόνο νὰ τοὺς μαστιγώσουν· διότι λέγει, «Πείσθηκαν σ' αὐτόν· καὶ ἀφοῦ προσκάλεσαν τοὺς Ἀποστόλους, τοὺς ἔδειραν, καὶ τοὺς παράγγειλαν, νὰ μὴ διδάσκουν γιὰ τὸ ὄνομα τοῦ Ἰησοῦ, καὶ τοὺς ἀπέλυσαν». Πρόσεχε, μετὰ ἀπὸ πόσα θαύματα μαστιγώνονται. Καὶ ὅμως πάλι ἡ διδασκαλία ἐπεξετεινόταν· διότι καὶ στὴν οἰκία καὶ στὸ ἱερό δίδασκαν. «Οἱ μὲν λοιπὸν Ἀπόστολοι ἔφυγαν ἀπὸ τὸ συνέδριο μὲ χαρὰ μεγάλη, διότι ἀξιώθηκαν νὰ κακοποιηθοῦν γιὰ χάρη τοῦ ὀνόματος τοῦ Χριστοῦ· καὶ δὲν ἔπαυαν κάθε ἡμέρα στὸ ἱερὸ δημόσια, καὶ στὰ σπίτια κατ' ἰδία νὰ διδάσκουν, καὶ νὰ κηρύττουν ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Μεσσίας».

«Κατὰ τὶς ἡμέρες αὐτές, καὶ ἐνῶ οἱ μαθητὲς πληθύνονταν, ἄρχισαν παράπονα τῶν ἑλληνιστῶν καὶ τῶν ἑβραίων,

ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν». Οὐκ ἐν ἐκείναις πάντως λέγει ταῖς ἡμέραις, ἀλλά, ἐπεὶ συνήθεια τοιαύτη ἐστὶ τῇ Γραφῇ, καὶ τὰ μέλλοντα συμβαίνειν ὡς ἐφεξῆς γινόμενα λέγει, διὰ τοῦτο οὕτως εἶπεν. Ἑλληνιστὰς δὲ οἶμαι καλεῖν τοὺς Ἑλληνιστὶ φθεγγομένους· οὗτοι γὰρ Ἑλληνιστὶ διελέγοντο, Ἑβραῖοι ὄντες. Ἰδοὺ καὶ ἄλλος πειρασμός· μᾶλλον δὲ καὶ σύ, εἰ βούλει σκοπεῖν, ὄψει καὶ ἔσωθεν καὶ ἔξωθεν τοὺς πολέμους ὄντας ἐξ ἀρχῆς. «Προσκαλεσάμενοι δέ», φησί, «οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· Οὐκ ἀρεστόν ἐστι καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζας». Καλῶς· τῶν γὰρ ἀναγκαίων τὰ ἀναγκαιότερα προτιμότερα. Ὅρα δὲ πῶς εὐθέως καὶ τούτων πρόνοιαν ποιοῦνται, καὶ τοῦ κηρύγματος οὐκ ἀμελοῦσιν. Ὡς αἰδεσιμώτεροι δὲ ἐκεῖνοι ἦσαν, διὸ καὶ προκρίνονται. «Ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά, πλήρεις Πνεύματος καὶ Σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης. Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους· καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ Πνεύματος ἁγίου» (ἄρα καὶ ἐκεῖνοι πλήρεις πίστεως ἦσαν, οὓς καὶ ἐξελέξαντο, ἵνα μὴ τὰ αὐτὰ γένηται, οἷα ἐπὶ Ἰούδα, οἷα ἐπὶ Ἀνανίου καὶ Σαπφείρας) «καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν Ἀποστόλων· καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. Καὶ ὁ λόγος τοῦ Κυρίου ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν

διότι κατὰ τὴν καθημερινὴ περίθαλψη τῶν φτωχῶν παραμελοῦνταν οἱ χῆρες τους». Δὲν ἐννοεῖ ὁπωσδήποτε τὶς ἡμέρες ἐκεῖνες, ἀλλὰ συνηθίζει ἡ Γραφή, καὶ τὰ μέλλοντα νὰ συμβοῦν νὰ τὰ ἀναφέρει σὰ νὰ συνέβηκαν, καὶ γι' αὐτὸ μίλησε ἔτσι. Ἑλληνιστὲς δὲ νομίζω, ὅτι ὀνομάζει ἐκείνους ποὺ ὁμιλοῦν τὴν ἑλληνικὴ γλώσσα· διότι αὐτοὶ μιλοῦσαν ἑλληνικά, ἂν καὶ ἦταν ἑβραῖοι. Νὰ καὶ ἄλλη δοκιμασία· μᾶλλον δὲ καὶ σύ, ἂν θέλεις νὰ ἐξετάσεις, θὰ διαπιστώσεις ὅτι ἀπὸ τὴν ἀρχὴ οἱ πόλεμοι γίνονται καὶ ἀπὸ μέσα καὶ ἀπὸ ἔξω. «Ἀφοῦ προσκάλεσαν», λέγει, «οἱ δώδεκα ἀπόστολοι τὸ πλῆθος τῶν μαθητῶν εἶπαν· δὲν μᾶς φαίνεται σωστὸ νὰ ἀφήσουμε ἐμεῖς τὴ διδασκαλία τοῦ λόγου τοῦ Θεοῦ καὶ νὰ ὑπηρετοῦμε στὶς τράπεζες τῶν φαγητῶν». Σωστό· διότι ἀπὸ τὰ ἀναγκαῖα τὰ ἀναγκαιότερα εἶναι προτιμότερα. Πρόσεχε δέ, πῶς λαμβάνουν πρόνοια γι' αὐτὰ ἀμέσως, καὶ δὲν παραμελοῦν τὸ κήρυγμα. Ἐφόσον δὲ ἐκεῖνοι ἦταν σεβασμιώτεροι, γι' αὐτὸ καὶ προτιμοῦνται. «Ἐξετάσατε λοιπόν, ἀδελφοί, προσεκτικὰ καὶ ἐκλέξατε ἀπὸ σᾶς τοὺς ἴδιους ἑπτὰ ἄνδρες, ποὺ νὰ ἔχουν ἀπ' ὅλους καλὴ μαρτυρία, γεμάτους ἀπὸ Πνεῦμα καὶ σύνεση, στοὺς ὁποίους θὰ ἀναθέσουμε τὴ φροντίδα αὐτή. Ἐμεῖς δὲ θὰ ἀφοσιωθοῦμε ἀποκλειστικὰ στὴν προσευχὴ καὶ στὴ διακονία τοῦ κηρύγματος. Καὶ ἡ πρόταση αὐτὴ τῶν Ἀποστόλων ἄρεσε σ' ὁλόκληρο τὸ πλῆθος τῶν πιστῶν· καὶ ἐξέλεξαν τὸ Στέφανο, ἄνδρα γεμάτο ἀπὸ πίστη καὶ ἀπὸ Πνεῦμα ἅγιο» (ἄρα καὶ ἐκεῖνοι ἦταν γεμάτοι ἀπὸ πίστη, καὶ τοὺς ὁποίους ἐξέλεξαν, ὥστε νὰ μὴ γίνουν τὰ ἴδια μὲ ἐκεῖνα ποὺ συνέβηκαν στὴν περίπτωση καὶ τοῦ Ἰούδα, καὶ τοῦ Ἀνανία καὶ τῆς Σάπφειρας) «καὶ τὸ Φίλιππο καὶ τὸν Πρόχορο καὶ τὸν Νικάνορα καὶ τὸν Τίμωνα καὶ τὸν Παρμενᾶ καὶ τὸν Νικόλαο, ποὺ ἦταν προσήλυτος ἀπὸ τὴν Ἀντιόχεια, καὶ αὐτοὺς τοὺς παρουσίασαν ἐνώπιον τῶν Ἀποστόλων, καί, ἀφοῦ προσευχήθηκαν αὐτοί, ἔθεσαν τὰ χέρια τους ἐπάνω τους γιὰ νὰ τοὺς μεταδοθεῖ ἡ χάρη τοῦ Θεοῦ. Καὶ τὸ κήρυγμα τοῦ λόγου τοῦ Θεοῦ πρόοδευε καὶ ὁ ἀριθμὸς

ἐν Ἰερουσαλὴμ σφόδρα· πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουε τῇ πίστει». Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. «Ἄνδρες προσέχετε ἑαυτοῖς». Ὅρα δή μοι τὸν Γαμαλιῆλον ἐνταῦθα πῶς μετὰ ἐπιεικείας διαλέγεται, καὶ βραχέα διέξεισι πρὸς αὐτούς, καὶ οὐ λέγει παλαιὰ διηγήματα (καίτοι γε ἔχων) ἀλλὰ νεώτερα, ἃ μάλιστα πρὸς πίστιν ἦσαν ἰσχυρά· διὸ καὶ μετ' ἐπικρύψεως αἰνίττεται, λέγων· «Πρὸ γὰρ τούτων τῶν ἡμερῶν», μονονουχὶ δηλῶν ὡς οὐ πρὸ πολλῶν. Εἰ μὲν οὖν εὐθέως εἶπεν, 'Ἄφετε τοὺς ἄνδρας', καὶ αὐτὸς ἔδοξεν ὕποπτος ἄν, καὶ ὁ λόγος οὕτως οὐκ ἦν ἰσχυρός, μετὰ δὲ τῶν παραδειγμάτων τὴν οἰκείαν ἰσχὺν ἐλάμβανε. Διὰ τοῦτο οὐδὲ ἑνὸς μέμνηται, ἀλλὰ καὶ δευτέρου, καίτοι εἶχεν εἰπεῖν καὶ τρίτον, ἐκ περιουσίας καὶ ἑαυτὸν καλῶς λέγοντα δεικνύς, κἀκείνους ἀπάγων τῆς φονικῆς προαιρέσεως. «Ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων».

2. Ὅρα πῶς τὸ ἦθος ἐπιεικής· καὶ οὔτε μακρὸν τὸν λόγον, ἀλλὰ σύντομον ποιεῖ, οὔτε ἐκείνων μετὰ θυμοῦ μέμνηται. «Καὶ πάντες, ὅσοι ἐπείθοντο αὐτῷ, διεσκορπίσθησαν». Τοῦτο λέγων, οὐδὲν εἰς Χριστὸν βλασφημεῖ, ἀλλ' ὃ βούλεται μάλιστα κατορθοῖ. «Ἐὰν ᾖ», φησίν, «ἐξ ἀνθρώπων, καταλυθήσεται». Ἐνταῦθα καὶ συλλογίζεσθαί μοι αὐτοὺς δοκεῖ, καὶ λέγειν· 'Οὐκοῦν, ἐπεὶ οὐ κατελύθη, οὐκ ἔστιν ἀνθρώπινον'. «Μήποτε καὶ θεομάχοι εὑρεθῆτε». Τοῦτο εἶπε, τῷ ἀδυνάτῳ καὶ ἀσυμφόρῳ καταστέλλων αὐτούς. «Εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δυνήσεσθε». Οὐκ εἶπεν, 'Ἐὰν ᾖ Θεὸς ὁ Χριστὸς' (τὸ γὰρ ἔργον τοῦτο ἐδήλου), οὐδ' ἀπεφήνατο ὅτι οὐκ ἀνθρώπινόν ἐστιν, οὔτε ὅτι θεῖον, ἀλλὰ τῷ μέλλοντι καιρῷ τὴν πίστιν ἐπέτρεψεν, ὥστε πεῖσαι. Καὶ εἰ ἔπεισε, τίνος ἕνεκεν,

τῶν μαθητῶν στὰ Ἱεροσόλυμα πληθυνόταν πάρα πολύ· καὶ πολλοὶ ἀπὸ τοὺς ἱερεῖς τῶν Ἰουδαίων ἀποδέχονταν τὶς ἀλήθειες τῆς πίστεως». Ἀλλ' ἄς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ προαναφερθέντα. «Ἄνδρες Ἰσραηλῖτες, προσέχετε τοὺς ἑαυτούς σας». Πρόσεχε σὲ παρακαλῶ λοιπὸν ἐδῶ τὸν Γαμαλιῆλο μὲ πόση ἐπιείκεια ὁμιλεῖ καὶ μὲ συντομία ἐκθέτει, καὶ δὲν λέγει διηγήσεις ἀπὸ παλαιὰ γεγονότα (ἄν καὶ μποροῦσε), ἀλλὰ γιὰ νεώτερα, ποὺ κατ' ἐξοχὴ ἦταν ἰσχυρὰ γιὰ νὰ γίνουν πιστευτά. Γι' αὐτὸ καὶ συγκαλυμμένα ὑπαινίσσεται, λέγοντας· «Πρὶν ἀπὸ τὶς ἡμέρες αὐτές»· σχεδὸν δηλώνοντας ὅτι αὐτὰ ἔγιναν ὄχι πρὶν ἀπὸ πολλὲς ἡμέρες. Ἐὰν δηλαδὴ ἔλεγε ἀμέσως, 'ἀφήσατε τοὺς ἄντρες', καὶ αὐτὸς θὰ φαινόταν ὕποπτος καὶ ὁ λόγος δὲν θὰ ἦταν τόσο ἰσχυρός, μαζὶ δὲ μὲ τὰ παραδείγματα ἀπέκτησε τὴν ἀπαιτούμενη δύναμη. Γι' αὐτὸ δὲν ἀνέφερε μόνο ἕνα περιστατικό, ἀλλὰ καὶ δεύτερο, καὶ εἶχε τὴν δυνατότητα ν' ἀναφέρει καὶ τρίτο, ἀποδεικνύοντας καὶ τὴν ὑπεροχὴ τοῦ λόγου του, καὶ ἐκείνους ἀποτρέποντας ἀνθρώπους.

2. Πρόσεχε, πῶς ὁ χαρακτήρας τῆς ὁμιλίας του εἶναι ἐπιεικής. Καὶ δὲν μακρυγορεῖ, ἀλλ' ὁμιλεῖ μὲ συντομία καὶ οὔτε ἐκείνους ἐνθυμεῖται μὲ ὀργή. «Καὶ ὅλοι ὅσοι ὑπάκουαν καὶ ἀκολουθοῦσαν αὐτόν, διασκορπίσθηκαν». Λέγοντας αὐτὸ δὲν βλασφημεῖ ἐναντίον τοῦ Χριστοῦ, ἀλλὰ κατορθώνει πρὸ πάντων ἐκεῖνο ποὺ θέλει. «Ἐὰν αὐτὸ ποὺ κάνουν προέρχεται ἀπὸ ἀνθρώπους, θὰ καταστραφεῖ μόνο του». Ἐδῶ μοῦ φαίνεται, ὅτι αὐτοὶ συλλογίζονται καὶ λέγουν. 'Λοιπόν, ἀφοῦ δὲν καταλύθηκε, δὲν εἶναι ἀνθρώπινο'. «Μήπως βρεθεῖτε καὶ θεομάχοι». Εἶπε αὐτὸ γιὰ νὰ τοὺς συγκρατήσει ἀπὸ τὸ ἀκατόρθωτο καὶ ἀνωφελές. «Ἐὰν δὲ προέρχεται ἀπὸ τὸ Θεό, δὲν θὰ μπορέσετε». Δὲν εἶπε, 'ἄν εἶναι Θεὸς ὁ Χριστός' (διότι τὸ ἔργο του αὐτὸ δήλωνε), οὔτε διατύπωσε τὴ γνώμη, ὅτι δὲν εἶναι ἀνθρώπινο, οὔτε ὅτι εἶναι θεϊκό, ἀλλ' ἄφησε τὴν πίστη στὸν μέλλοντα χρόνο, γιὰ νὰ τοὺς πείσει. Καὶ ἐὰν τοὺς

φησίν, ἐμάστιξαν; Τῇ μὲν ἀναμφισβητήτῳ δικαιολογίᾳ ἀντιβλέψαι οὐκ εἶχον, ὅμως δὲ τὸν θυμὸν ἐπλήρουν τὸν οἰκεῖον· ἄλλως δὲ καὶ πάλιν ταύτῃ φοβήσειν προσεδόκησαν. Καὶ τῷ μὴ παρόντων δὲ αὐτῶν ταῦτα λέγειν ἐπεσπάσατο μᾶλλον αὐτούς· καὶ ἡ γλυκύτης δὲ τῶν λόγων καὶ τὸ δίκαιον τῶν λεγομένων ἔπειθε. Μόνον γὰρ οὐχὶ ἐκήρυττε καὶ οὗτος τὸ Εὐαγγέλιον· μᾶλλον δὲ μονονουχὶ τοιαῦτα δικαιολογούμενος πρὸς αὐτοὺς ἀποτείνεται· "Ἐπείσθητε ὅτι οὐκ ἰσχύσατε καταλῦσαι· διὰ τί οὐκ ἐπιστεύσατε;".

Οὕτω μέγα τὸ κήρυγμα, ὅτι καὶ παρὰ τῶν ἐχθρῶν ἡ μαρτυρία. Ἐκεῖ τετρακόσιοι ἀνέστησαν, καὶ μετὰ τοῦτο ἱκανὸς ὄχλος· ὧδε δώδεκα ἦσαν οἱ πρῶτοι. Μὴ οὖν ὑμᾶς πτοείτω τὸ πλῆθος τὸ προσγενόμενον· «ἐὰν γὰρ ᾖ ἐξ ἀνθρώπων τὸ ἔργον τοῦτο, καταλυθήσεται». Εἶχε καὶ Αἰγύπτιον εἰπεῖν ἕτερον, ἀλλὰ περιττὸς λοιπὸν ἦν ὁ λόγος αὐτοῦ. Εἶδες πῶς τῷ φοβερῷ τὸν λόγον κατέκλεισε; Διὸ καὶ οὐκ ἀποφαίνεται ἁπλῶς, ἵνα μὴ δόξῃ ὑπὲρ αὐτῶν λέγειν, ἀλλ' ἀπὸ τῆς τοῦ πράγματος ἐκβάσεως συλλογίζεται. Οὐκ ἐτόλμησε δὲ ἀποφήνασθαι ὅτι οὐκ ἀνθρώπινόν ἐστιν, οὐδὲ ὅτι ἐκ Θεοῦ· ἐπειδή, εἰ εἶπεν ὅτι ἐκ Θεοῦ, ἀντέλεγον ἄν· εἰ δὲ ἐξ ἀνθρώπων, πρόχειροι πάλιν εἰς τὸ ἐπαναστῆναι ἐγίνοντο. Διὰ τοῦτο αὐτοὺς περιμεῖναι τὸ τέλος κελεύει, εἰπών, «Ἀπόστητε». Οἱ δὲ ἀπειλοῦσι πάλιν, εἰδότες μὲν ὅτι οὐδὲν ἀνύουσι, ποιοῦντες δὲ τὸ αὐτῶν· τοιοῦτον γὰρ ἡ κακία, ἀδυνάτοις πολλάκις ἐπιχειρεῖ. «Μετὰ δὲ τοῦτον ἀνέστη Ἰούδας». Ταῦτα, τοῖς τοῦ Ἰωσήπου βιβλίοις ἐγκύψαντες, μαθήσεσθε ἀκριβέστερον· ἐκεῖνος γὰρ τὴν τούτων ἱστορίαν συντάττων ἀκρι-

---

1α. Πρβλ. Πραξ. 21, 38 - 39. καὶ 1, 20, 2 γιὰ τὸ Θευδᾶ.

2. Πρβλ. Ἰωσήπου, Ἰουδ. Ἀρχαιολογία. 1, 18, 1 γιὰ τὸν Ἰούδα καὶ 1, 20, 2 γιὰ τὸ Θωδᾶ.

ἔπεισε, λέγει, γιὰ ποιὸ λόγο τοὺς μαστίγωσαν; Τὴν μὲν ἀμφισβήτητη αὐτὴ δικαιολογία, δὲν μποροῦσαν νὰ ἀντιμετωπίσουν, ἀλλ' ὅμως ἱκανοποιοῦσαν τὸ δικό τους θυμό, ἄλλως τε καὶ πάλι ἀνέμεναν μὲ τὸν τρόπο αὐτὸ ὅτι θὰ τοὺς ἐκφοβίσουν. Καὶ μὲ τὸ νὰ μὴ λέγει αὐτὰ παρουσία αὐτῶν περισσότερο προσήλκυσε αὐτούς· καὶ ἡ γλυκύτητα τῶν λόγων, καὶ τὸ δίκαιο τῶν λεγομένων ἔπειθε αὐτούς. Διότι, ὄχι μόνο καὶ αὐτὸς κήρυττε τὸ Εὐαγγέλιο· μᾶλλον δὲ ἀποτείνεται πρὸς αὐτοὺς προβάλλοντας αὐτὲς τὶς δικαιολογίες· 'Πεισθήκατε, ὅτι δὲν μπορέσατε νὰ τὸ καταλύσετε. Γιατί δὲν πιστέψατε;'.

Τόσο μεγάλο ἦταν τὸ κήρυγμα, ὥστε καὶ ἀπὸ τοὺς ἐχθροὺς νὰ προέρχεται ἡ μαρτυρία. Ἐκεῖ παρουσιάσθηκαν τετρακόσιοι, καὶ μετὰ ἀπὸ αὐτοὺς ἀρκετὸς ὄχλος, ἐδῶ δώδεκα ἦταν οἱ πρῶτοι. Νὰ μὴ σᾶς φοβίζει λοιπὸν τὸ προστιθέμενο πλῆθος. «Διότι ἐὰν τὸ ἔργο αὐτὸ προέρχεται ἀπὸ ἀνθρώπους, θὰ καταστραφεῖ μόνο του». Μποροῦσε νὰ ἀναφέρει καὶ ἄλλο περιστατικὸ ποὺ συνέβηκε μὲ τὸν Αἰγύπτιο[1α], ἀλλ' ἦταν πλέον περιττὰ τὰ λόγια του. Εἶδες πῶς τερμάτισε τὸ λόγο του μὲ φοβερὸ ἐπιχείρημα; Γι' αὐτὸ καὶ δὲν ἐκφράζει ἁπλῶς γνώμη του, γιὰ νὰ μὴ φανεῖ, ὅτι ὁμιλεῖ ὑπὲρ αὐτῶν, ἀλλὰ λογικὰ συμπεραίνει ἀπὸ τὴν ἔκβαση τοῦ πράγματος. Δὲν τόλμησε δὲ νὰ ἐκφράσει τὴ γνώμη, ὅτι δὲν εἶναι ἀνθρώπινο, οὔτε ὅτι εἶναι ἐκ τοῦ Θεοῦ· διότι, ἂν ἔλεγε ὅτι προέρχεται ἐκ τοῦ Θεοῦ, θὰ πρόβαλλαν ἀντιρρήσεις, ἐὰν δὲ ἔλεγε ὅτι προέρχεται ἀπὸ τοὺς ἀνθρώπους, ἦταν ἕτοιμοι πάλι νὰ ἐπαναστατήσουν. Γι' αὐτὸ προτρέπει αὐτοὺς νὰ περιμένουν τὸ ἀποτέλεσμα, λέγοντας, «Ἀπομακρυνθεῖτε». Ἐκεῖνοι δὲ πάλι ἀπειλοῦν, ἐνῶ γνωρίζουν ὅτι τίποτε μὲν δὲν ἐπιτυγχάνουν, πράττουν δὲ τὸ δικό τους· διότι τέτοια εἶναι ἡ κακία· πολλὲς φορὲς ἐπιχειρεῖ ἀδύνατα πράγματα. «Μετὰ ὅμως ἀπ' αὐτὸν ἐμφανίσθηκε ὁ Ἰούδας». Αὐτὰ θὰ τὰ μάθετε ἀκριβέστερα, ἂν μελετήσετε τὰ βιβλία τοῦ Ἰωσήπου· διότι ἐκεῖνος, συγγράφοντας τὴν ἱστορία αὐτῶν, τὴν ἐξιστορεῖ μὲ ἀκρίβεια[2]. Εἶδες πόσο μεγάλο λόγο τόλμησε νὰ πεῖ,

δῶς ἱστορεῖ. Εἶδες ἡλίκον ἐτόλμησεν εἰπεῖν, ὅτι «ἐκ Θεοῦ», ὅτε λοιπὸν ἀπὸ τῶν πραγμάτων τὴν πίστιν ἔλαβεν. Ὄντως πολλὴ ἡ παρρησία, πολὺ τὸ ἀπροσωπόληπτον.

«Ἐπείσθησαν δὲ αὐτῷ», φησί, «καὶ προσκαλεσάμενοι τοὺς Ἀποστόλους, δείραντες ἀπέλυσαν αὐτούς». Ἠδέσθησαν τὴν δόξαν τοῦ ἀνδρός· διὸ καὶ τοῦ ἀνελεῖν μὲν τοὺς Ἀποστόλους ἀφίστανται, μαστίξαντες δὲ μόνον αὐτοὺς ἀπολύουσιν. «Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ κατηξιώθησαν ἀτιμασθῆναι». Πόσων σημείων τοῦτο οὐ θαυμασιώτερον! Οὐδαμοῦ γέγονεν ἐπὶ τῶν παλαιῶν τοῦτο (ἐπεὶ καὶ Ἱερεμίας ἐμαστίχθη διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ τῷ Ἠλίᾳ ἠπείλησαν, καὶ τοῖς ἄλλοις), ἀλλ' ἐνταῦθα καὶ ἀπὸ τούτου, οὐκ ἀπὸ τῶν σημείων μόνον, τὴν δύναμιν ἐπεδείκνυντο τοῦ Θεοῦ. Οὐκ εἶπεν ὅτι οὐκ ἤλγουν, ἀλλ' ὅτι καὶ ἀλγοῦντες ἔχαιρον. Πόθεν δῆλον; Ἐκ τῆς μετὰ ταῦτα παρρησίας· οὕτως ἐνεστήκεσαν ἀεὶ καὶ μετὰ τὰς πληγὰς κηρύττοντες. Διὸ καί, τοῦτο δηλῶν, «ἐν τῷ ἱερῷ», φησί, «καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν τὸν Χριστόν». «Ἐν δὲ ταῖς ἡμέραις ταύταις». Ποίαις ἡμέραις; Ὅτε ταῦτα ἐγίνετο, ὅτε μάστιγες, ὅτε ἀπειλαί, ὅτε ἐπληθύνοντο οἱ μαθηταί, τότε «γογγυσμὸς γίνεται». Ἀπὸ τοῦ πλήθους δὲ τάχα συνέβη· οὐ γάρ ἐστιν ἀκρίβειαν ἐν πλήθει εἶναι.

«Καὶ πολὺς ὄχλος τῶν ἱερέων ὑπήκουε τῇ πίστει». Τοῦτο αἰνιττομένου ἐστὶ καὶ δεικνύντος ὅτι, ἀφ' ὧν ὁ κατὰ Χριστοῦ θάνατος ἐσκευάσθη, πολλοὶ ἀπὸ τούτων πιστεύουσιν. «Ἐγένετο», φησί, «γογγυσμός, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν». Ἄρα καθημερινὴ διακονία ἦν ταῖς χήραις. Καὶ ὅρα πῶς καὶ οὗτος διακονίαν καλεῖ, καὶ οὐ ταχέως ἐλεημοσύνην, ἅμα καὶ τοὺς διδόντας,

---

3. Ἱερεμ. 44, 15 ἑξῆς.

ὅτι «Εἶναι ἐκ Θεοῦ», ὅταν πλέον ἀπὸ τὰ ἴδια τὰ πράγματα ἔλαβε τὴν πίστη. Πράγματι εἶναι πολὺ μεγάλο τὸ θάρρος του, μεγάλη ἡ ἀμεροληψία του.

«Πείσθηκαν», λέγει, σ' αὐτόν, καί, ἀφοῦ προσκάλεσαν τοὺς ἀποστόλους, τοὺς ἔδειραν καὶ τοὺς ἄφησαν ἐλευθέρους». Σεβάσθηκαν τὴ γνώμη τοῦ ἀνδρὸς γι' αὐτὸ καὶ ἀποφεύγουν μὲν νὰ θανατώσουν τοὺς ἀποστόλους, ἀφοῦ δὲ τοὺς μαστίγωσαν μόνο, τοὺς ἀπολύουν. «Οἱ μὲν λοιπὸν ἀπόστολοι ἔφυγαν ἀπὸ τὸ συνέδριο μὲ χαρὰ μεγάλη, διότι ἀξιώθηκαν νὰ κακοποιηθοῦν γιὰ χάρη τοῦ ὀνόματος τοῦ Χριστοῦ». Ἀπὸ πόσα θαύματα αὐτὸ δὲν εἶναι πιὸ ἀξιοθαύμαστο! Πουθενὰ αὐτὸ δὲν ἔγινε στοὺς παλαιούς (διότι καὶ ὁ Ἱρεμίας μαστιγώθηκε γιὰ τὸ λόγο τοῦ Θεοῦ, καὶ τὸν Ἠλία[8] ἀπείλησαν, καὶ τοὺς ἄλλους), ἀλλ' ἐδῶ καὶ ἀπ' αὐτό, καὶ ὄχι μόνο ἀπὸ τὰ θαύματα, ἀποδείκνυαν τὴ δύναμη τοῦ Θεοῦ. Δὲν εἶπε, ὅτι δὲν ὑπέφεραν, ἀλλ' ὅτι, ἂν καὶ ὑπέφεραν, χαίρονταν. Ἀπὸ ποῦ εἶναι φανερό; Ἀπὸ τὸ μετέπειτα θάρρος· διότι ἔτσι ἀντέδρασαν πάντοτε κηρύττοντας καὶ μετὰ ἀπὸ τὰ κτυπήματα. Γι' αὐτὸ καὶ γιὰ νὰ δηλώσει αὐτό, λέγει· «Στὸ ἱερὸ δημόσια καὶ στὰ σπίτια κατ' ἰδία δὲν ἔπαυαν νὰ διδάσκουν καὶ νὰ κηρύττουν ὅτι ὁ Χριστὸς εἶναι ὁ Μεσσίας». Κατὰ τὶς ἡμέρες αὐτές». Ποιὲς ἡμέρες; Ὅταν συνέβαιναν αὐτά, ὅταν μαστιγώνονταν, ὅταν ἀπειλοῦνταν, ὅταν αὐξανόταν ὁ ἀριθμὸς τῶν μαθητῶν, τότε «ἄρχισαν νὰ γογγύζουν». Ἴσως δὲ συνέβηκε αὐτὸ ἀπὸ τὸ πλῆθος, διότι δὲν εἶναι δυνατὸ στὸ πλῆθος νὰ ὑπάρχει ἀκρίβεια καὶ τελειότης.

«Καὶ πολὺ πλῆθος ἀπὸ τοὺς ἱερεῖς τῶν Ἰουδαίων ἀποδεχόταν τὶς ἀλήθειες τῆς πίστεως». Αὐτὸ ἀποτελεῖ ὑπαινιγμό, καὶ δείχνει ὅτι πολλοὶ ἀπ' αὐτοὺς πού μηχανεύθηκαν τὸ θάνατο τοῦ Χριστοῦ, πίστεψαν· «Ἄρχισαν», λέγει, «νὰ γογγύζουν, διότι οἱ χῆρες τους παραμελοῦνταν κατὰ τὴν καθημερινὴ περίθαλψη». Ἄρα καθημερινὴ ἦταν ἡ φροντίδα γιὰ τὶς χῆρες. Καὶ πρόσεχε, πῶς καὶ αὐτὸς τὴν ὀνομάζει διακονία, καὶ ὄχι ἀμέσως ἐλεημοσύνη, ἐξυψώνοντας συγχρόνως καὶ ἐκείνους πού πρόσφερναν καὶ ἐ-

καὶ τοὺς λαμβάνοντας διὰ τούτου ἐπαίρων. Τοῦτο οὐ κακίας ἦν, ἀλλὰ τοῦ πλήθους ἴσως ῥαθυμία. Διὰ τοῦτο καὶ προὔθηκεν αὐτὸ εἰς μέσον (οὐ μικρὸν γὰρ κακὸν ἦν), ἵνα ταχέως καὶ διορθωθῇ. Ὁρᾷς πῶς καὶ ἐν ἀρχῇ τὰ κακὰ οὐχὶ ἔξωθεν μόνον ἦν, ἀλλὰ καὶ ἔσωθεν; Σὺ δὲ μὴ τοῦτο μόνον ἴδῃς, ὅτι διωρθώθη, ἀλλ' ὅτι μέγα κακὸν ἦν. «Ἐπισκέψασθε, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν ἑπτά». Οὐκ οἰκείᾳ γνώμῃ πράττουσιν, ἀλλὰ πρότερον ἀπολογοῦνται τῷ πλήθει· οὕτω καὶ νῦν γίνεσθαι ἔδει. «Οὐκ ἔστι», φησίν, «ἀρεστὸν καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις». Πρῶτον τὸ ἄτοπον τίθησι, δεικνὺς ὡς οὐκ ἐνὸν μετὰ σπουδῆς ἀμφότερα γίνεσθαι· ἐπεί, καὶ ὅτε τὸν Ματθίαν χειροτονεῖν ἔμελλον, πρῶτον τὴν χρείαν δεικνύουσι τοῦ πράγματος, ὅτι τε ἔλιπεν εἷς, καὶ ἔδει γενέσθαι δώδεκα. Καὶ ἐνταῦθα τὴν χρείαν ἐδήλωσαν· καὶ οὔτε πρότερον ἐποίησαν, ἀλλὰ περιέμειναν γενέσθαι τὸν γογγυσμόν, οὔτε μὴν ἠνέσχοντο ἐπὶ πολὺ τοῦτο συμβῆναι.

3. Καὶ ὅρα τὴν κρίσιν αὐτοῖς ἐπιτρέπουσι, καὶ τοὺς πᾶσιν ἀρέσκοντας καὶ ὑπὸ πάντων μαρτυρουμένους ἐκείνους προβάλλονται. Ὅτε μὲν οὖν τὸν Ματθίαν ἔδει προβάλλεσθαι, «δεῖ», ἔλεγον, «τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ τῷ χρόνῳ», ἐνταῦθα δὲ οὐχ οὕτως· οὐ γὰρ τοιοῦτον ἦν τὸ πρᾶγμα. Διὸ καὶ οὐ κλήρῳ αὐτὸ ἐπέτρεψαν, οὔτε πάλιν, δυνάμενοι αὐτοὶ ἐκλέξαι Πνεύματι κινούμενοι, τοῦτο ποιοῦσιν· ἀπὸ τῆς τῶν πολλῶν μαρτυρίας τὸ δοκοῦν μᾶλλον ἱστῶσιν. Ἄλλως δὲ τὸ μὲν ὁρίσαι τὸν ἀριθμόν, καὶ χειροτονῆσαι, καὶ τὸ ἐν χρείᾳ τοιαύτῃ, αὐτῶν ἦν, τὸ δὲ ἑλέσθαι τοὺς ἄνδρας ἐκείνοις ἐπιτρέπουσιν, ἵνα μὴ δόξωσιν αὐτοὶ χαρίζεσθαι· ἐπεὶ καὶ ὁ Θεὸς Μωσῇ ἐπιτρέπει ἑλέσθαι πρεσβυτέρους, οὓς

4. Γ' Βασιλ. 19, 2.

κείνους πού λάβαιναν. Αὐτὸ δὲν ἦταν ἀποτέλεσμα κακίας, ἀλλὰ ἴσως ἀμέλεια τοῦ πλήθους. Γι' αὐτὸ καὶ ἀνέφερε αὐτὸ (διότι δὲν ἦταν μικρὸ κακό), γιὰ νὰ διορθωθεῖ σύντομα. Βλέπεις, πῶς τὰ κακὰ καὶ ἀπ' ἀρχῆς δὲν προέρχονταν μόνο ἀπ' ἔξω, ἀλλὰ καὶ ἀπὸ μέσα; Σὺ ὅμως μὴ παρατηρήσεις μόνο αὐτό, ὅτι διορθώθηκε, ἀλλ' ὅτι ἦταν μεγάλο κακό. «Ἐξετάσατε λοιπὸν προσεκτικά, ἀδελφοί, καὶ ἐκλέξατε ἀπὸ σᾶς τοὺς ἴδιους ἑπτὰ ἄνδρες». Δὲν τὸ κάνουν αὐτὸ ἀπὸ μόνοι τους, ἀλλὰ προηγουμένως ἀπολογοῦνται στὸ πλῆθος. Ἔτσι καὶ σήμερα ἔπρεπε νὰ γίνεται· «Δὲν εἶναι», λέγει, «σωστὸ γιὰ μᾶς νὰ ἀφήσουμε τὸ κήρυγμα τοῦ Θεοῦ καὶ νὰ ὑπηρετοῦμε σὲ τράπεζες φαγητῶν». Πρῶτα παρουσιάζει τὸ ἄτοπο, δείχνοντας, ὅτι δὲν εἶναι δυνατὸ καὶ τὰ δύο νὰ γίνουν μὲ προσοχὴ μεγάλη. Διότι καὶ ὅταν ἐπρόκειτο νὰ χειροτονήσουν τὸν Ματθία, πρῶτα δείχνουν τὴν ἀνάγκη τοῦ πράγματος καὶ ὅτι τοὺς ἔλειπε ἕνας, καὶ ὅτι ἔπρεπε νὰ γίνουν δώδεκα. Καὶ ἐδῶ τὴν ἀνάγκη ἔδειξαν καὶ δὲν ἐνήργησαν προηγουμένως, ἀλλὰ ἀνέμεναν νὰ ἐκδηλωθεῖ ὁ γογγυσμός, οὔτε ὅμως ἀνέχθηκαν γιὰ πολὺ νὰ συμβεῖ αὐτό.

3. Καὶ πρόσεχε τὴν ἐκλογὴ ἐπιτρέπουν σ' αὐτούς, καὶ ἀναδεικνύουν ἐκείνους πού ἦταν σ' ὅλους ἀρεστοὶ καὶ ἀπὸ ὅλους διατυπώνονταν καλὲς μαρτυρίες. Ὅταν λοιπὸν ἐπρόκειτο νὰ ἐκλέξουν τὸν Ματθία, ἔλεγαν, «Πρέπει ἀπὸ τοὺς ἄνδρες πού ἦταν μαζί μας καθόλο τὸ χρόνο πού μᾶς συναναστράφηκε ὁ Κύριος Ἰησοῦς»[4]. Ἐδῶ ὅμως ὄχι ἔτσι· διότι δὲν ἦταν παρόμοια ἡ περίπτωση. Γι' αὐτὸ καὶ δὲν ἔθεσαν αὐτὴν σὲ κλῆρο, οὔτε πάλι, ἂν καὶ βέβαια μποροῦσαν οἱ ἴδιοι νὰ ἐκλέξουν, ἐμπνεόμενοι ἀπὸ τὸ ἅγιο Πνεῦμα, κάνουν αὐτό, ἀλλὰ μᾶλλον ἐνισχύουν τὴ γνώμη τους μὲ τὴ μαρτυρία τῶν πολλῶν. Ἄλλωστε τὸ νὰ ὁρίσουν μὲν τὸν ἀριθμὸ καὶ νὰ χειροτονήσουν γιὰ κάλυψη αὐτῆς τῆς ἀνάγκης, ἦταν δικό τους ἔργο, τὴν ἐκλογὴ ὅμως τῶν ἀνδρῶν ἀναθέτουν σ' ἐκείνους, γιὰ νὰ μὴ φανοῦν ὅτι αὐτοὶ χαρίζονται. Διότι καὶ ὁ Θεὸς ἐπιτρέπει στὸ Μωϋσῆ νὰ ἐκλέξει πρεσβυτέρους, ἐκείνους πού γνω-

οἶδε. Καὶ γὰρ σοφίας πολλῆς δεῖ ἐν ταῖς τοιαύταις οἰκονομίαις. Μὴ γὰρ δὴ νομίσητε, ἐπειδὴ λόγον οὐκ ἐγκεχείρισται, ὅτι οὐ χρείαν ἔχει σοφίας ὁ τοιοῦτος· χρήζει γάρ, καὶ πολλῆς. «Ἡμεῖς δέ», φησί, «τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν». Καὶ ἀρχόμενοι καὶ τελευτῶντες, ἀπολογοῦνται. «Προσκαρτερήσομεν», φασίν· οὕτω γὰρ ἔδει, οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχεν, ἀλλὰ προσκαρτερεῖν. «Καὶ ἤρεσε», φησίν, «ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους». Καὶ τοῦτο τῆς αὐτῶν σοφίας ἄξιον. Πάντες ἐπήνεσαν τὸ λεχθέν· οὕτως ἦν συνετόν.

«Καὶ ἐξελέξαντο», φησί, (πάλιν αὐτοὶ ἐκλέγονται), «Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ Πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα· οὓς ἔστησαν ἐνώπιον τῶν Ἀποστόλων. Καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας». Ἐκ τούτου δῆλον ὅτι ἀφώρισαν αὐτοὺς τοῦ πλήθους, καὶ αὐτοὶ ἕλκουσιν, οὐχ οἱ Ἀπόστολοι ἄγουσιν. Ὅρα πῶς οὐκ ἔστι περιττὸς ὁ συγγραφεύς· οὐ γὰρ λέγει πῶς, ἀλλ' ἁπλῶς ὅτι ἐχειροτονήθησαν διά προσευχῆς· τοῦτο γὰρ ἡ χειροτονία ἐστίν. Ἡ χεὶρ ἐπίκειται τοῦ ἀνδρός, τὸ δὲ πᾶν ὁ Θεὸς ἐργάζεται, καὶ ἡ αὐτοῦ χεὶρ ἐστιν ἡ ἁπτομένη τῆς κεφαλῆς τοῦ χειροτονουμένου, ἐάν, ὡς δεῖ, χειροτονῆται. «Καὶ ὁ λόγος», φησί, «τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν». Οὐχ ἁπλῶς εἶπε τοῦτο, ἀλλ' ἵνα δείξῃ ὅση τῆς ἐλεημοσύνης ἡ ἰσχὺς καὶ τῆς διατάξεως. Καὶ μέλλει λοιπὸν διηγεῖσθαι τὰ κατὰ Στέφανον, διὸ καὶ τὰς αἰτίας αὐτῶν προτίθησι. «Καὶ πολλοί», φησί, «τῶν ἱερέων ὑπήκουον τῇ πίστει». Ἐπειδὴ γὰρ εἶδον τὸν ἄρχοντα καὶ διδάσκαλον ταῦτα ἀποφηνάμενον, ἀπὸ τῶν ἔργων λοιπὸν

5. Πράξ. 1, 21.

ρίζει. Καθόσον χρειάζεται πολλή σύνεση γιά τή ρύθμιση παρόμοιων ὑποθέσεων. Διότι μή νομίσετε, βέβαια, ὅτι, ἐπειδή δέν τοῦ ἀνατίθεται τό κήρυγμα τοῦ λόγου, αὐτός δέν ἔχει ἀνάγκη καί ἀπό σύνεση· διότι χρειάζεται καί μάλιστα πολλή σύνεση. «Ἐμεῖς δέ», λέγει, «θά ἀφοσιωθοῦμε ἀποκλειστικά μέ τήν προσευχή καί τή διακονία τοῦ κηρύγματος». Καί στήν ἀρχή καί στό τέλος ἀπολογοῦνται. «Θά ἀφοσιωθοῦμε», λέγει. Διότι ἔτσι ἔπρεπε, καί ὄχι ἁπλῶς ὡς ἔτυχε, ἀλλά θά ἀφοσιωθοῦμε ἀποκλειστικά μέ τό κήρυγμα. «Καί ἡ πρόταση αὐτή ἄρεσε σ' ὅλο τό πλῆθος τῶν πιστῶν». Καί αὐτό εἶναι ἀντάξιο τῆς σοφίας του. Καί ὅλοι ἐπαίνεσαν αὐτό, πού λέχθηκε· τόσο πολύ συνετό ἦταν.

«Καί ἐξέλεξαν», λέγει (πάλι οἱ ἴδιοι ἐκλέγουν), τόν Στέφανο, ἄνδρα γεμάτο ἀπό πίστη καί ἅγιο Πνεῦμα, καί τόν Φίλιππο καί τόν Πρόχορο καί τόν Νικάνορα καί τόν Τίμωνα καί τόν Παρμενᾶ καί τόν Νικόλαο, πού ἦταν προσήλυτος ἀπό τήν Ἀντιόχεια, τούς ὁποίους παρουσίασαν ἐνώπιον τῶν Ἀποστόλων. Καί ἀφοῦ προσευχήθηκαν, ἔθεσαν ἐπάνω τους τά χέρια τους». Ἀπ' αὐτό εἶναι φανερό, ὅτι ξεχώρισαν αὐτούς ἀπό τό πλῆθος, καί αὐτοί προσελκύουν, δέν ὁδηγοῦν οἱ Ἀπόστολοι. Πρόσεχε πῶς δέν λέγει περιττά ὁ συγγραφέας· διότι δέν λέγει πῶς, ἀλλ' ἁπλῶς ὅτι χειροτονήθηκαν κατόπιν προσευχῆς· διότι αὐτό εἶναι ἡ χειροτονία. Τό χέρι τοποθετεῖται ἐπάνω στόν ἄνδρα, τό ὅλο δέ ἔργο τό ἐπιτελεῖ ὁ Θεός καί τό χέρι αὐτοῦ εἶναι ἐκεῖνο, πού ἀγγίζει τό κεφάλι τοῦ χειροτονουμένου, ἐάν χειροτονεῖται ὅπως πρέπει. «Καί τό κήρυγμα τοῦ λόγου τοῦ Θεοῦ», λέγει, «πρόοδευε, καί πλήθυνε ὁ ἀριθμός τῶν μαθητῶν». Δέν τό εἶπε αὐτό στήν τύχη, ἀλλά γιά νά δείξει πόση εἶναι ἡ δύναμη τῆς ἐλεημοσύνης καί τῆς σωστῆς διευθετήσεως τῶν παγμάτων. Καί πρόκειται στή συνέχεια νά διηγηθεῖ τά σχετικά μέ τόν Στέφανο, γι' αὐτό καί προηγουμένως ἀναφέρει τίς αἰτίες αὐτῶν. «Καί πλῆθος πολύ ἀπό τούς ἱερεῖς ἀποδεχόταν τίς ἀλήθειες τῆς πίστεως». Διότι, ἐπειδή εἶδαν τόν ἀρχηγό καί διδάσκαλό τους νά διδάσκει αὐτά, ἀπό τά ἔργα ἀποκτοῦσαν πλέον πείρα. Καί

τὴν πεῖραν ἐλάμβανον. Καὶ θαυμάσαι ἄξιον πῶς οὐκ ἐσχίσθη τὸ πλῆθος ἐν τῇ αἱρέσει τῶν ἀνδρῶν, πῶς οὐκ ἀπεδοκιμάσθησαν ὑπ' αὐτῶν οἱ Ἀπόστολοι.

Ὁποῖον δὲ ἄρα ἀξίωμα εἶχον οὗτοι, καὶ ποίαν ἐδέξαντο χειροτονίαν, ἀναγκαῖον μαθεῖν. Ἆρα τὴν τῶν διακόνων; Καὶ μὴ τοῦτο ἐν ταῖς Ἐκκλησίαις οὐκ ἔστιν, ἀλλὰ τῶν πρεσβυτέρων ἐστὶν ἡ οἰκονομία, καίτοι οὐδέπω οὐδεὶς ἐπίσκοπος ἦν, ἀλλ' οἱ Ἀπόστολοι μόνον. Ὅθεν οὔτε διακόνων, οὔτε πρεσβυτέρων οἶμαι τὸ ὄνομα εἶναι δῆλον καὶ φανερόν, ἀλλὰ τέως εἰς τοῦτο ἐχειροτονήθησαν. Καὶ οὐχ ἁπλῶς ἐνεχειρίσθησαν, ἀλλ' ἐπεύξαντο αὐτοῖς γενέσθαι δύναμιν. Ὅρα δέ μοι, εἰ ἑπτὰ ἀνδρῶν ἐδέησεν εἰς τοῦτο, τοσαῦτα ἴσως ἐπέρρει χρήματα, τοσούτων χηρῶν πλῆθος ἦν. Ἆρα οὐχ ἁπλῶς αἱ εὐχαὶ ἐγίνοντο, ἀλλὰ μετὰ πολλῆς τῆς σχολῆς· καὶ τοῦτο, ὥσπερ τὸ κήρυγμα, οὕτως ἠνύετο· τὰ γὰρ πλείω ταύταις ἤνυον. Οὕτω τὰ πνευματικὰ ἐπελέγοντο, οὕτω καὶ πρὸς ἀποδημίας ἐστέλλοντο, οὕτως ἐνεχειρίσθησαν οὗτοι τὸν λόγον. Καὶ οὐ λέγει, οὐδὲ ἐπαίρει αὐτούς, ἀλλ' ὅτι τὸ δοθὲν ἀφεῖναι ἔργον οὐκ ἀρεστόν. Οὕτως ἦσαν ἀπὸ Μωσέως παιδευθέντες μὴ πάντα αὐτοὶ μεταχειρίζειν. Διὰ τοῦτο καὶ ὁ Παῦλος, «μόνον τῶν πτωχῶν», φησίν, «ἵνα μνημονεύωμεν». Πῶς δὲ καὶ προῆγον τούτους, μάνθανε· "Ἐνήστευον, προσεκαρτέρουν εὐχῇ". Τοῦτο καὶ νῦν γίνεσθαι ἔδει. Οὐχ ἁπλῶς δὲ πνευματικούς, ἀλλὰ «Πνεύματος πλήρεις καὶ σοφίας» εἶπε, δηλῶν ὅτι μεγάλης φιλοσοφίας ἦν φέρειν κατηγορίας χηρῶν. Τί γὰρ ὄφελος, ὅταν μὴ κλέπτῃ μέν, ἀπολλύῃ δὲ πάντα; ἢ θρασὺς ᾖ καὶ παροξύνηται; Καὶ ταύτῃ δὲ θαυμαστὸς ἦν ὁ Φίλιππος· περὶ γὰρ αὐτοῦ φησι· «Καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ Εὐαγγελιστοῦ, ὄντος ἐκ τῶν ἑπτά,

---

5α. Γαλ. 2, 10

ἀξίζει νὰ θαυμάσει κανένας, πῶς δὲν διασπάσθηκε τὸ πλῆθος κατὰ τὴν ἐκλογὴ τῶν ἀνδρῶν, πῶς δὲν ἀποδοκιμάσθηκαν ἀπ' αὐτοὺς οἱ ἀπόστολοι.

Ποιὸ λοιπὸν ἀξίωμα εἶχαν αὐτοὶ οἱ διάκονοι, καὶ ποιὰ χειροτονία δέχθηκαν, εἶναι ἀνάγκη νὰ μάθουμε. Ἄραγε τὴ χειροτονία τῶν διακόνων; Καὶ ὅμως αὐτὴ δὲν ὑπάρχει στὶς ἐκκλησίες, ἀλλ' ἡ διαχείριση τῶν ναῶν εἶναι ἔργο τῶν πρεσβυτέρων· ἂν καὶ βέβαια κανένας ἐπίσκοπος δὲν ὑπῆρχε ἀκόμα, παρὰ μόνο οἱ ἀπόστολοι. Συνεπῶς νομίζω ὅτι ἡ ὀνομασία αὐτὴ δὲν δηλώνει τοὺς διακόνους, οὔτε τοὺς πρεσβυτέρους, ἀλλὰ κατ' ἀρχὴ γι' αὐτό τό ἔργο χειροτονήθηκαν. Καὶ δὲν ἔθεσαν ἁπλῶς τὰ χέρια τους ἐπάνω τους, ἀλλά εὐχήθηκαν νὰ ἔλθει δύναμη σ' αὐτούς. Πρόσεχε δὲ σὲ παρακαλῶ, ἐάν χρειάσθηκαν σ' αὐτὸ ἑπτὰ ἄνδρες, ἄρα πόσο μεγάλο ἦταν τὸ ποσὸ τῶν χρημάτων ποὺ συγκεντρώθηκε καὶ πόσο μεγάλο τὸ πλῆθος τῶν χηρῶν. Ἑπομένως δὲν γίνονταν στὴν τύχη οἱ προσευχές, ἀλλὰ γίνονταν μὲ πολλὴ προσοχή· καὶ αὐτὸ ὅπως καὶ τὸ κήρυγμα ἔτσι ἐτελεῖτο· διότι τὰ περισσότερα μὲ τίς προσευχὲς τά κατόρθωναν. Καὶ ἔτσι ρυθμίζονταν τὰ πνευματικά, ἔτσι στέλλονταν στὶς περιοδεῖες, ἔτσι παρέδωσαν αὐτοὶ τὸ κήρυγμα τῆς πίστεως. Καὶ δὲν ἐπαινεῖ οὔτε ἐξυψώνει αὐτούς, ἀλλὰ ὅτι δὲν εἶναι ἀρεστὸ νὰ ἀφήσουν τό ἔργο ποὺ τοὺς ἀνατέθηκε. Ἔτσι εἶχαν διδαχθεῖ ἀπὸ τὸν Μωϋσῆ, νὰ μὴ ἀσχολοῦνται οἱ ἴδιοι μὲ ὅλα. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «Νὰ ἐνθυμούμαστε μόνο τοὺς φτωχούς»[5α]. Πῶς δὲ συντελοῦσαν στὴν πρόοδο αὐτῶν, μάθαινε· νήστευαν, ἀφοσιώνονταν στὴν προσευχή. Αὐτὸ ἔπρεπε καὶ τώρα νὰ γίνεται. Ὄχι ἁπλῶς δὲ πνευματικούς, ἀλλ' εἶπε «πλήρεις Πνεύματος καὶ σοφίας», γιὰ νὰ δηλώσει, ὅτι χρειαζόταν μεγάλη εὐσέβεια γιά νὰ ὑποφέρει κανένας τὶς κατηγορίες τῶν χηρῶν. Διότι ποιὸ εἶναι τὸ ὄφελος, ὅταν δὲν κλέπτει μέν, ἀλλὰ καταστρέφει τὰ πάντα; ἢ εἶναι θρασὺς καὶ ὀργίζεται; Καὶ κατὰ τοῦτο ἦταν ἀξιοθαύμαστος ὁ Φίλιππος· διότι λέγει γι' αὐτόν· «Καὶ ἀφοῦ εἰσήλθαμε στὸν οἶκο τοῦ εὐαγγελιστοῦ Φιλίππου

ἐμείναμεν παρ' αὐτῷ». Ὁρᾷς οὐδὲν ἀνθρωπίνως διοικούμενον;

«Καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἰερουσαλήμ». Ἐν Ἱεροσολύμοις ἐπεδίδου τὸ πλῆθος. Τὸ θαυμαστόν, ἔνθα ἐσφάγη ὁ Χριστός, ἐκεῖ ηὔξετο τὸ κήρυγμα. Καὶ οὐ μόνον οὐκ ἐσκανδαλίσθησάν τινες τῶν μαθητῶν ὁρῶντες τοὺς μὲν Ἀποστόλους μαστιζομένους, τοὺς δὲ ἀπειλοῦντας, ἄλλους τὸ Πνεῦμα πειράζοντας, ἑτέρους δὲ γογγύζοντας, ἀλλὰ μάλιστα καὶ προσετίθετο τῶν πιστευσάντων ὁ ἀριθμός· οὕτως ἀπὸ τοῦ περὶ Ἀνανίαν συμβάντος ἐσωφρονίσθησαν, καὶ πλείων ὁ φόβος αὐτοῖς γέγονεν. Ὅρα δέ μοι πῶς ἐπεδίδου τὸ πλῆθος. Μετὰ τοὺς πειρασμούς, τότε ἐπέδωκεν, οὐχὶ πρὸ τούτου. Σκόπει δὲ καὶ πόση φιλανθρωπία τοῦ Θεοῦ· ἐξ ἐκείνων γὰρ τῶν ἀρχιερέων, τῶν πρὸς φόνον τοὺς ὄχλους παροξυνόντων, τῶν τοιαῦτα βοώντων καὶ λεγόντων· «Ἄλλους ἔσωσε, ἑαυτὸν οὐ δύναται σῶσαι», ἐκ τούτων «πολλοί», φησίν, «ὑπήκουον τῇ πίστει».

4. Αὐτοῦ τοίνυν καὶ ἡμεῖς γενώμεθα μιμηταί· προσεδέξατο αὐτούς, καὶ οὐκ ἐξέβαλεν. Οὕτω τοὺς ἐχθροὺς ἀμειβώμεθα τοὺς τὰ μυρία ἡμᾶς ἐργασαμένους δεινά. Ὅπερ ἂν ἔχωμεν ἀγαθόν, αὐτοῖς παρέχωμεν· μὴ παρέλθωμεν αὐτοὺς εὐποιοῦντες· εἰ γὰρ τῷ παθεῖν κακῶς ἐμπλῆσαι δεῖ τὸν θυμὸν αὐτῶν, πολλῷ μᾶλλον τῷ εὐποιῆσαι (τοῦτο γὰρ ἔλαττον ἐκείνου)· οὐκ ἔστι γὰρ ἴσον εὐποιῆσαι ἐχθρόν, καὶ μείζονα θελῆσαι παθεῖν ἢ βούλεσθαι· ἀπὸ τούτου καὶ ἐπ' ἐκεῖνα ἤξομεν. Τοῦτο ἀξίωμα τῶν τοῦ Χριστοῦ μαθητῶν. Ἐσταύρωσαν αὐτὸν ἐλθόντα ἐπὶ εὐεργεσίᾳ τῇ αὐτῶν, τοὺς μαθητὰς αὐτοῦ ἐμάστιξαν, καὶ μετὰ ταῦτα εἰς τὴν αὐτὴν αὐτοὺς ἄγει τοῖς μαθηταῖς τιμήν, ὁμοίως αὐτοῖς μεταδιδοὺς τῶν αὐτοῦ. Μιμηταὶ γενώμεθα, παρακαλῶ, τοῦ Χριστοῦ· κατὰ τοῦτο ἐ-

6. Ματθ. 27, 42.

πού ήταν ένας ἀπὸ τοὺς ἑπτά, ἐμείναμε πλησίον του». Βλέπεις ὅτι τίποτε δὲν ρυθμιζόταν κατ' ἀνθρώπινο τρόπο;

«Καὶ πληθυνόταν πάρα πολὺ ὁ ἀριθμὸς τῶν μαθητῶν στὰ Ἱεροσόλυμα». Στὰ Ἱεροσόλυμα προόδευε τὸ πλῆθος τῶν πιστῶν. Τὸ περίεργο ἦταν ὅτι ἐκεῖ ποὺ σταυρώθηκε ὁ Χριστός, ἐκεῖ αὐξανόταν τὸ κήρυγμα. Καὶ ὄχι μόνο δὲν σκανδαλίσθηκαν μερικοὶ ἀπὸ τοὺς μαθητές, βλέποντας τοὺς μὲν ἀποστόλους νὰ μαστιγώνονται, ἄλλους νὰ ἀπειλοῦν, ἄλλους νὰ πειράζουν τὸ Πνεῦμα, ἄλλους νὰ γογγύζουν· ἀλλὰ πολὺ περισσότερο αὐξανόταν ὁ ἀριθμὸς ἐκείνων, ποὺ πίστεψαν· ἔτσι ἀπὸ τὸ περιστατικὸ τοῦ Ἀνανία σωφρονίσθηκαν καὶ περισσότερος φόβος κατέλαβε αὐτούς. Πρόσεχε δέ, πῶς αὐξανόταν τὸ πλῆθος. Μετὰ τὶς δοκιμασίες τότε αὐξήθηκε, ἀλλ' ὄχι πρὶν ἀπ' αὐτές. Σκέψου δὲ σὲ παρακαλῶ καὶ πόση εἶναι ἡ φιλανθρωπία τοῦ Θεοῦ. Διότι ἀπὸ ἐκείνους τοὺς ἀρχιερεῖς, ποὺ παρότρυναν τοὺς ὄχλους σὲ φόνο, ποὺ κραύγαζαν καὶ ἔλεγαν, «Ἄλλους ἔσωσε, τὸν ἑαυτό του δὲν μπορεῖ νὰ σώσει»· ἀπ' αὐτούς, λέγει, «Πολλοὶ ἀποδέχονταν τὶς ἀλήθειες τῆς πίστεως».

4. Αὐτοῦ λοιπὸν ἂς γίνουμε καὶ ἐμεῖς μιμητές. Δέχθηκε αὐτοὺς καὶ δὲν τοὺς ἔδιωξε. Ἔτσι ἂς ἀμείβουμε τοὺς ἐχθρούς, ποὺ διέπραξαν σὲ μᾶς ἄπειρα κακά. Ὅ,τι ἀγαθὸ καὶ ἂν ἔχουμε, ἂς τὸ δίνουμε σ' αὐτούς· ἂς μὴ παραλείψουμε νὰ εὐεργετοῦμε αὐτούς. Διότι, ἐὰν μὲν χρειάζεται νὰ πάθει κανένας κάποιο κακὸ γιὰ νὰ ἱκανοποιήσει τὸ θυμό τους, πολὺ περισσότερο μὲ τὸ νὰ τοὺς εὐεργετήσει (διότι αὐτὸ εἶναι λογώτερο ἀπὸ ἐκεῖνο)· διότι δὲν εἶναι τὸ ἴδιο τὸ νὰ εὐεργετεῖ κάποιος τὸν ἐχθρό του καὶ νὰ θέλει νὰ πάθει χειρότερα ἀπ' αὐτὰ ποὺ ἐπιθυμεῖ. Ἀπὸ αὐτὸ θὰ ἔλθουμε καὶ σ' ἐκεῖνα. Αὐτὸ εἶναι ἀξίωμα τῶν μαθητῶν τοῦ Χριστοῦ. Σταύρωσαν αὐτόν, ἐνῶ ἦλθε γιὰ νὰ εὐεργετήσει αὐτούς, μαστίγωσαν τοὺς μαθητὲς αὐτοῦ, καὶ μετὰ ἀπὸ αὐτὰ τοὺς τοποθετεῖ στὴν ἴδια τιμὴ μὲ τοὺς μαθητές, μεταδίδοντας σ' αὐτοὺς τὰ ἴδια ἀπὸ τὰ δικά του. Ἂς γινόμαστε, παρακαλῶ, μιμητὲς τοῦ Χρι-

στι μιμήσασθαι αὐτόν· τοῦτο ἴσον ποιεῖ τῷ Θεῷ, τοῦτο μεῖζον ἢ κατὰ ἄνθρωπόν ἐστιν. Ἐχώμεθα τῆς ἐλεημοσύνης· αὕτη παιδαγωγὸς καὶ διδάσκαλος ἐκείνης τῆς φιλοσοφίας ἐστίν. Ὁ μαθὼν ἐλεεῖν τὸν ἐν συμφορᾷ, μαθήσεται καὶ μὴ μνησικακεῖν· ὁ μαθὼν τοῦτο, καὶ ἐχθροὺς εὐεργετεῖν δυνήσεται.

Μάθωμεν κατακλᾶσθαι τοῖς τῶν πλησίον κακοῖς, καὶ μαθησόμεθα καὶ τὰ κακὰ αὐτῶν φέρειν. Αὐτὸν ἐρωτήσωμεν τὸν κακῶς ἡμᾶς διατιθέντα, εἰ μὴ καταγινώσκει ἑαυτοῦ, εἰ μὴ ἐθέλει φιλοσοφεῖν, εἰ μὴ θυμοῦ τὸ πᾶν εἶναί φησιν, εἰ μὴ μικροψυχίας, εἰ μὴ ταλαιπωρίας, εἰ μὴ βούλοιτο τῶν ὑβριζομένων εἶναι καὶ σιγώντων, ἀλλὰ μὴ τῶν ὑβριζόντων καὶ μαινομένων, εἰ μὴ θαυμάσας ἄπεισι τὸ παθόντα. Μὴ δὴ νομίσῃς ὅτι τοῦτο εὐκαταφρονήτους ποιεῖ. Οὐδὲν οὕτως εὐκαταφρονήτους ποιεῖ, ὡς τὸ ὑβρίζειν· οὐδὲν οὕτως αἰδεσίμους, ὡς τὸ ὑβριζομένους φέρειν. Ὁ μὲν γάρ ἐστιν ὑβριστής, ὁ δὲ φιλόσοφος· καὶ ὁ μὲν ἀνθρώπου χείρων, ὁ δὲ ἀγγέλων ἴσος. Κἂν τε γὰρ ἐλάττων ἦν τοῦ ὑβρίζοντος, καὶ οὕτως, εἰ βούλοιτο, δυνατὸς ὑπῆρχεν ἀμύνασθαι. Ἄλλως δὲ καὶ ἐλεεῖται μὲν παρὰ πάντων οὗτος, ἐκεῖνος δὲ μισεῖται. Τί οὖν; οὐκ ἐντεῦθεν ἄρα πολλῷ βελτίων ἔσται οὗτος; Τῷ μὲν γὰρ ὡς μαινομένῳ, τούτῳ δὲ ὡς νοῦν ἔχοντι προσέξουσιν ἅπαντες. Ὅταν οὖν κατηγορῆσαί τινα ὑπό τινος ἀναγκάζῃ, εἰπὲ πρὸς αὐτόν· Οὐ δύναμαι αὐτὸν εἰπεῖν κακῶς· δέδοικα γὰρ μήπως οὐκ ἦν τοιοῦτος. Μάλιστα μὲν ἐν διανοίᾳ μὴ εἴπῃς, ἀλλὰ μηδὲ πρὸς ἄλλον. Μὴ ἐντύχῃς κατὰ τούτου τῷ Θεῷ· ἂν ἴδῃς κακῶς ἀκούοντα, ἄμυνον· εἰπέ, ʽτοῦ πά-

στοῦ· κατὰ τοῦτο εἶναι δυνατὸ νὰ μιμηθοῦμε αὐτόν· αὐτὸ κάμνει αὐτὸν ἴσο μὲ τὸ Θεό, αὐτὸ εἶναι μεγαλύτερο ἀπὸ τὰ ἀνθρώπινα. Ἂς ἐπιδιώκουμε τὴν ἐλεημοσύνη· αὐτὴ εἶναι παιδαγωγὸς καὶ διδάσκαλος τῆς φιλοσοφίας ἐκείνης. Ἐκεῖνος ποὺ ἔμαθε νὰ ἐλεεῖ αὐτὸν ποὺ βρίσκεται σὲ συμφορά, θὰ μάθει καὶ νὰ μὴ μνησικακεῖ· ἐκεῖνος ποὺ ἔμαθε αὐτό, θὰ μπορέσει καὶ τοὺς ἐχθρούς του νὰ εὐεργετεῖ.

Ἂς μάθουμε νὰ δείχνουμε συμπάθεια γιὰ τὰ κακὰ τῶν πλησίον καὶ θὰ μάθουμε νὰ ὑποφέρουμε καὶ τὶς συμφορὲς αὐτῶν. Ἂς ἐρωτήσουμε ἐκεῖνον ποὺ διατίθεται κακῶς ἀπέναντι σὲ μᾶς, ἐὰν δὲν ἐνοχοποιεῖ τὸν ἑαυτό του, ἐὰν δὲν θέλει νὰ φιλοσοφεῖ, ἐὰν δὲν λέγει ὅτι τὸ πᾶν προέρχεται ἀπὸ τὸ θυμό, ἀπὸ τὴν μικροψυχία, ἀπὸ τὴν ταλαιπωρία, ἐὰν δὲν θὰ ἤθελε νὰ εἶναι ἀπὸ ἐκείνους ποὺ ὑβρίζονται καὶ σιωποῦν, καὶ ὄχι ἀπὸ ἐκείνους ποὺ ὑβρίζουν καὶ ὀργίζονται, ἐὰν δὲν ἀπέρχεται ἀφοῦ θαυμάσει τὸν παθόντα. Μὴ νομίσεις λοιπόν, ὅτι τοῦτο δημιουργεῖ ἀνθρώπους εὐκαταφρόνητους, ὅπως τὸ νὰ ὑβρίζει κανένας· τίποτε ἄλλο δὲν δημιουργεῖ τόσο σεβαστοὺς ἀνθρώπους, ὅσο τὸ νὰ ὑπομένουν ὑβριζόμενοι. Διότι ὁ μὲν ἕνας εἶναι ὑβριστής, ὁ δὲ ἄλλος φιλόσοφος· καὶ ὁ μὲν πρῶτος εἶναι χειρότερος κάθε ἀνθρώπου, ὁ δὲ δεύτερος ἴσος μὲ τοὺς ἀγγέλους. Διότι καὶ ἂν εἶναι μικρότερος ἀπὸ ἐκεῖνον ποὺ τὸν ὑβρίζει, ἐν τούτοις, ἐὰν ἤθελε, μποροῦσε νὰ ἀμυνθεῖ σ' αὐτόν. Ἐξ ἄλλου δὲ αὐτὸς μὲν ἐλεεῖται ἀπὸ ὅλους, ἐκεῖνος δὲ μισεῖται. Τί λοιπόν; δὲν θὰ γίνει ἄραγε αὐτὸς ἀπ' αὐτὰ πολὺ καλύτερος; Διότι, ἐκεῖνον μὲν θὰ τὸν προσέξουν ὅλοι σὰν μανιακό, αὐτὸν δὲ σὰν συνετό. Ὅταν λοιπὸν ἀναγκάζεσαι ἀπὸ κάποιον νὰ κατηγορήσεις κάποιον, πὲς πρὸς αὐτόν. Δὲν μπορῶ νὰ κακολογήσω αὐτόν· διότι φοβᾶμαι μήπως δὲν ἦταν τέτοιος. Πρὸ πάντων, μὴ τὸν κακολογήσεις μέσα στὴ σκέψη σου, ἀλλ' οὔτε καὶ πρὸς ἄλλον. Μὴ παρακαλέσεις τὸ Θεὸ νὰ κάνει κακὸ ἐναντίον αὐτοῦ· ἂν δεῖς νὰ κατηγορεῖται, ὑπεράσπισέ τον· πές, 'τὰ λόγια ἐναντίον του εἶναι τοῦ πάθους καὶ ὄχι τοῦ ἀνδρός'.

θους ἐστὶ τὰ ρήματα, οὐ τοῦ ἀνδρός'· εἰπέ, «τῆς ὀργῆς, οὐ τοῦ φίλου· τῆς μανίας, οὐ τῆς ψυχῆς'.

Ταῦτα λογιζώμεθα ἐφ' ἑκάστῳ τῶν ἁμαρτημάτων. Μὴ περιμείνῃς ἀναφθῆναι τὸ πῦρ, ἀλλὰ πρὸ τούτου κάτασχε· μὴ παροξύνῃς τὸ θηρίον, ἀλλὰ μηδὲ παροξυνθῆναι συγχωρήσῃς· οὐκ ἔτι γὰρ κύριος εἶ κατασχεῖν, ἂν ἡ φλὸξ ἀναφθῇ. Τί γὰρ εἶπεν; ἀνόητε καὶ μωρέ; Τίς οὖν ὑπεύθυνος τῷ ρήματι, ὁ ἀκούων, ἢ ὁ λέγων; Ὁ μὲν γάρ, κἂν σφόδρα ᾖ, μωροῦ δόξαν ἔλαβεν, ὁ δέ, κἂν ἀνόητος ᾖ, σοφοῦ καὶ φιλοσόφου. Τίς ἀνόητος, εἰπέ μοι, ὁ ἑτέρῳ προφέρων τὰ οὐκ ὄντα, ἢ ὁ μηδὲ οὕτω κινηθείς; Εἰ γὰρ τὸ μηδὲ κινηθέντα κινεῖσθαι, φιλοσοφίας, τὸ μηδὲ κινοῦντος πλήττεσθαι, πόσης ἀνοίας! Οὔπω λέγω ποῖος ἀπόκειται τιμωρίας τόπος τοῖς τὰ τοιαῦτα ὀνειδίζουσι καὶ βλασφημοῦσι τὸν πλησίον. Ἀλλὰ τί; ἄτιμον καὶ ἐξ ἀτίμων, καὶ εὐτελῆ καὶ ἐξ εὐτελῶν εἶπε; Πάλιν εἰς ἑαυτὸν τὸ ὄνειδος περιέτρεψεν· ὁ μὲν γὰρ τίμιος φανεῖται καὶ αἰδέσιμος, ὁ δὲ εὐτελὴς ὄντως, (τὸ γὰρ τὰ τοιαῦτα εἰς τάξιν ὀνείδους προσφέρειν, γένους εὐτέλειαν λέγω, μικρᾶς ὄντως ψυχῆς), ὁ δὲ μέγας καὶ θαυμαστὸς ἔσται, ἅτε οὐδὲν ἡγούμενος τὸ τοιοῦτον, ἀλλ' οὕτω διακείμενος, ὡς ἄν, εἰ ἤκουεν ὅτι ἔχοι τι τῶν ἄλλων διαφέρον. Ἀλλὰ μοιχὸν καὶ τὰ ἄλλα ἐρεῖ; Ἐνταῦθα καὶ γελᾶν χρή· ὅταν γὰρ τὸ συνειδὸς μὴ βάλληται, οὐδὲ καιρὸν ἂν ἔχοι ὁ θυμός. Ἐννοήσαντας δὲ καὶ τίνα ἐξάγει εἰς μέσον πονηρὰ καὶ μιαρὰ ρήματα, οὐδὲ οὕτως ἀλγεῖν χρή. Ὅπερ γὰρ ἔμελλε μετὰ ταῦτα ἕκαστος μαθήσεσθαι, τοῦτο ἤδη ἐξεκάλυψεν· ἑαυτὸν λοιπὸν ἀ-

Πές, 'εἶναι τῆς ὀργῆς καὶ ὄχι τοῦ φίλου· εἶναι τῆς μανίας καὶ ὄχι τῆς ψυχῆς'.

Αὐτὰ ἂς ἀναλογιζόμαστε σὲ κάθε ἁμάρτημα. Νὰ μὴ περιμένεις νὰ ἀνάψει ἡ φωτιά, ἀλλὰ πρὶν ἀνάψει νὰ τὴν συγκρατήσεις· μὴ ἐρεθίζεις τὸ θηρίο, ἀλλὰ καὶ μὴ τὸ ἀφήνεις νὰ ἐρεθισθεῖ· διότι δὲν θὰ εἶσαι πλέον σὲ θέση νὰ συγκρατήσεις τὴ φλόγα, ἂν ἀνάψει. Διότι τί εἶπε; ἀνόητε καὶ μωρέ; Ποιὸς εἶναι λοιπὸν ὑπεύθυνος γιὰ τὸν κακὸ λόγο, ἐκεῖνος ποὺ τὸν ἀκούει, ἢ ἐκεῖνος ποὺ τὸν λέγει; Διότι ἐκεῖνος μέν, καὶ ἂν ἀκόμα εἶναι ὑπερβολικὰ σοφὸς ἀπέκτησε φήμη ἀνόητου, ὁ δὲ ἄλλος, ἂν καὶ ἀκόμα εἶναι ἀνόητος, ἔλαβε φήμη σοφοῦ καὶ φιλοσόφου. Ποιὸς εἶναι ἀνόητος, πές μου, ἐκεῖνος ποὺ κατηγορεῖ κάποιον γιὰ πράγματα ποὺ δὲν ἔκαμε, ἢ ἐκεῖνος ποὺ οὔτε ἔτσι ἀντέδρασε; Διότι ἂν τὸ ὅτι ἀντιδρᾶ καὶ ὅταν ἀκόμα κατηγορεῖται, εἶναι δεῖγμα φιλοσοφίας, τὸ νὰ ἐξεγείρεται, χωρὶς νὰ προκαλεῖται, πόσον μεγάλης ἀνοησίας δεῖγμα εἶναι; Δὲν λέγω ἀκόμα ποιὸς τόπος τιμωρίας προορίζεται γιὰ ἐκείνους ποὺ ὑβρίζουν μὲ τέτοιες ὕβρεις καὶ βλασφημοῦν τὸν πλησίον. Ἀλλὰ τί; σὲ εἶπε ἄτιμο καὶ προερχόμενο ἀπὸ ἄτιμους, καὶ εὐτελῆ καὶ καταγόμενο ἀπὸ εὐτελεῖς; Πάλι ἔστρεψε τὴν προσβολὴ στὸν ἑαυτό του. Διότι ὁ μὲν τίμιος θὰ φανεῖ καὶ σεβαστός, ἐκεῖνος δὲ πράγματι εὐτελὴς (διότι τὸ νὰ ἀποδίδει κανένας τέτοιες κατηγορίες σὰν προσβολές, ἐννοῶ τὴν εὐτελῆ καταγωγή, εἶναι δεῖγμα μικροψυχίας), ἐκεῖνος δέ, θὰ εἶναι μεγάλος καὶ ἀξιοθαύμαστος, καθόσον δὲν δίνει καμιὰ σημασία σ' αὐτὸ τὸ πράγμα, ἀλλὰ συμπεριφέρεται ἔτσι, ὅπως ἂν ἄκουε ὅτι ἔχει κάτι μὲ τὸ ὁποῖο διαφέρει ἀπὸ τοὺς ἄλλους. Ἀλλὰ θὰ σὲ κατηγορήσει μοιχὸ καὶ ἄλλα παρόμοια; ἐδῶ καὶ νὰ γελᾶς πρέπει· διότι ὅταν δὲν προσβάλλεται ἡ συνείδηση, δὲν μπορεῖ νὰ ἔχει θέση ὁ θυμός. Ἀφοῦ σκεφθοῦμε καὶ ποιὰ πονηρὰ καὶ μιαρὰ λόγια ἐκστομίζουν, οὔτε τότε πρέπει νὰ στενοχωρούμαστε. Διότι ἐκεῖνο ποὺ ἐπρόκειτο νὰ μάθη ὁ καθένας κατόπιν, αὐτὸ ἤδη τὸ φανέρωσε ἐκεῖνος· κατέστησε λοιπὸν τὸν

πιστον πᾶσι κατέστησεν, ἅτε οὐκ εἰδότα συγκαλύπτειν τὰ τοῦ πλησίον κακά, καὶ ἑαυτὸν μᾶλλον ᾔσχυνεν ἢ ἕτερον καὶ πάντα λιμένα προσέχωσε, τὰς εὐθύνας ἐποίησεν ἑαυτῷ φοβερὰς τοῦ μέλλοντος κριτηρίου· οὐ γὰρ οὕτω τοῦτον, ὡς ἐκεῖνον ἀποστραφήσονται πάντες, ἅπερ ἐκκαλύψαι οὐκ ἐχρῆν ἀπαμφιάσαντα.

Σὺ δὲ μηδὲν εἴπῃς ὧν σύνοιδας, ἀλλὰ σίγησον, εἰ βούλει τὴν λαμπρὰν δόξαν λαβεῖν· οὐ γὰρ μόνον ἀνατρέψεις τὰ λεχθέντα, οὐδὲ καλύψεις, ἀλλὰ καὶ ἕτερον ἐργάσῃ καλόν· οὐκέτι ποιήσεις γὰρ κατὰ σαυτοῦ τὴν ψῆφον ἐνεχθῆναι. Ὁ δεῖνά σε κακῶς λέγει; Εἰπὲ σύ· Εἰ πάντα ᾔδει, οὐκ ἂν τοσαῦτα εἶπε μόνον. Ἐθαυμάσατε καὶ ἐξεπλάγητε τὸ λεχθέν; Ἀλλὰ μιμεῖσθαι χρή· διὰ γὰρ τοῦτο πάντα ὑμῖν τὰ ἔξωθεν εἰρημένα λέγομεν, οὐχ ὡς οὐκ ἐχουσῶν μυρία τοιαῦτα τῶν Γραφῶν, ἀλλ' ὡς μᾶλλον ἐντρέψαι δυναμένων τούτων· ἐπεὶ καὶ ἡ Γραφὴ οἶδε πρὸς ἐντροπὴν λέγειν, ὡς, ὅταν λέγῃ· «Οὐχὶ καὶ οἱ ἐθνικοὶ τὸ αὐτὸ ποιοῦσιν;». Ὁ δὲ Προφήτης Ἱερεμίας τοὺς τοῦ Ρηχὰβ υἱοὺς παρήγαγεν εἰς μέσον, τὴν πατρικὴν ἐντολὴν παραβῆναι μὴ καταδεξαμένους. Εἶπον κακῶς οἱ περὶ Μαρίαν τὸν Μωσέα, καὶ τῆς κολάσεως αὐτοὺς εὐθέως ἐξῄτησε, καὶ οὐδὲ ὅσον μαθεῖν τινας, ὅτι ἐκδικίας ἔτυχε, συνεχώρησεν. Ἀλλ' οὐχ ἡμεῖς οὕτως· ἀλλὰ τοῦτο μάλιστα βουλόμεθα πάντας μαθεῖν, ὅτι οὐκ ἀτιμωρητὶ παρῆλθον. Μέχρι τίνος ἀπὸ γῆς πνέομεν; Οὐκ ἔνι μάχην ἐξ ἑνὸς συστῆναι μέρους. Τοὺς μαινομένους ἂν ἐξ ἑκατέρων τῶν μερῶν ἑλκύσῃς, μᾶλλον παροξυνεῖς· ἂν δὲ ἐκ δεξιᾶς ἢ ἐξ ἀριστερᾶς, ἔσβεσας τὸν θυμόν. Ὁ πλήττων, ἂν μὲν ἔχῃ τὸν μὴ δεχόμενον, μᾶλλον ἐπαίρεται, ἂν δὲ εἴκοντα, μᾶλλον ἐκλύε-

7. Ματθ. 5, 47.
8. Ἱερεμ. 42.
9. Ἀριθμ. 12.

ἑαυτό του ἀναξιόπιστο σὲ ὅλους, ἐπειδὴ δὲν γνωρίζει νὰ συγκαλύπτει τὰ παραπτώματα τοῦ πλησίον, καὶ ἔτσι ντρόπιασε περισσότερο τὸν ἑαυτό του, παρὰ τὸν ἄλλο, καὶ κάθε λιμάνι ἔκλεισε καὶ δημιούργησε γιὰ τὸν ἑαυτό του εὐθύνες φοβερὲς γιὰ τὴ μέλλουσα κρίση. Διότι δὲν θὰ ἀποστραφοῦν ὅλοι αὐτὸν τόσο, ὅσο ἐκεῖνον ποὺ φανέρωσε ἐκεῖνα ποὺ δὲν ἔπρεπε νὰ φανερώσει.

Σὺ δὲ νὰ μὴ πεῖς τίποτε ἀπὸ ἐκεῖνα ποὺ γνωρίζεις ἀλλὰ σιώπησε, ἐὰν θέλεις νὰ ἀποκτήσεις καλὴ φήμη. Διότι ὄχι μόνο θὰ ἀνατρέψεις τὰ ὅσα ἔχουν λεχθεῖ, ὄχι μόνο θὰ τὰ καλύψεις, ἀλλὰ θὰ ἐπιτύχεις καὶ ἄλλο καλό· διότι δὲν θὰ ἐπιτρέψεις πλέον νὰ σχηματισθεῖ γνώμη κακὴ ἐναντίον σου. Σὲ κατηγορεῖ ὁ τάδε; Πὲς ἐσύ· '"Αν τὰ γνώριζε ὅλα, δὲν θὰ ἔλεγε τόσα μόνο'. Σᾶς προκάλεσαν θαυμασμὸ καὶ ἔκπληξη τὰ λόγια αὐτά; Ἀλλὰ πρέπει νὰ τὰ μιμεῖσθε· διότι γι' αὐτὸ τὰ λέμε σὲ σᾶς ὅλα, ὅσα ἔχουν λεχθεῖ ἀπὸ τοὺς ἔξω, ὄχι ἐπειδὴ δὲν ἔχουν ἄπειρα τέτοια οἱ Γραφές, ἀλλ' ἐπειδὴ αὐτὰ μποροῦν νὰ κάμουν κάποιον νὰ ἐντραπεῖ περισσότερο· διότι καὶ ἡ Γραφὴ γνωρίζει νὰ λέγει αὐτὰ ποὺ προκαλοῦν ντροπή, ὅπως ὅταν λέγει· «Μήπως καὶ οἱ ἐθνικοὶ δὲν κάνουν τὸ ἴδιο πράγμα;»[7]. Ὁ δὲ προφήτης Ἱερεμίας παρουσίασε ἐνώπιον τοῦ λαοῦ τοὺς υἱοὺς τοῦ Ρηχάβ, ποὺ δὲν δέχθηκαν νὰ παραβοῦν τὴν πατρικὴ ἐντολή[8]. Κακολόγησαν τὸν Μωϋσῆ καὶ οἱ γύρω ἀπὸ τὴν Μαρία[9], καὶ ἐκεῖνος παρακάλεσε καὶ ἀμέσως ἀπαλλάχθηκαν ἀπὸ τὴν τιμωρία, καὶ δὲν ἐπέτρεψε παρὰ μόνο μερικοὶ νὰ μάθουν, ὅτι ἐπέτυχε ἱκανοποίηση. Ἀλλ' ἐμεῖς δὲν ἐνεργοῦμε ἔτσι· ἀλλ' αὐτὸ πρὸ πάντων ἐπιθυμοῦμε ὅλοι νὰ μάθετε, ὅτι δὲν ἔμειναν ἀτιμώρητες οἱ ἀδικίες. Μέχρι πότε θὰ ζοῦμε ἐπάνω στὴ γῆ; Δὲν εἶναι δυνατὸ νὰ συναφθεῖ μάχη ἀπὸ μιὰ παράταξη μόνο. "Αν τοὺς μανιακοὺς σύρεις καὶ ἀπὸ τὶς δύο παρατάξεις, περισσότερο θὰ τοὺς παροργίσεις, ἂν ὅμως τοὺς σύρεις ἀπὸ τὴ δεξιὰ ἢ τὴν ἀριστερή, τότε κατεπραΰνες τὸ θυμό. Ἐκεῖνος ποὺ κτυπᾶ, ἂν μὲν ἔχει ἀπέναντί του ἐκεῖνον ποὺ δὲν δέχεται τὰ κτυπήματα, πιὸ πολὺ ὑπερηφανεύεται, ἂν δὲ

ται, καὶ εἰς αὐτὸν ἡ πληγὴ περιτρέπεται· οὐ γὰρ οὕτως ἐκλύει τὴν δύναμιν τοῦ ἀνταγωνιστοῦ ἄνθρωπος παγκρατιάζειν εἰδώς, ὡς ἄνθρωπος ὑβριζόμενος καὶ μὴ ἀνθυβρίζων· αἰσχυνθεὶς γὰρ ἐκεῖνος λοιπὸν ἄπεισι, καὶ καταγνωσθεὶς πρῶτον μὲν ἐκ τοῦ συνειδότος, δεύτερον δὲ παρὰ τῶν ὁρώντων ἁπάντων. Καὶ παροιμία δὲ τίς ἐστιν, ὅτι δὴ «ὁ τιμῶν ἑαυτὸν τιμᾷ». Ἄρα καὶ ὁ ὑβρίζων ἑαυτὸν ὑβρίζει. Οὐδεὶς ἡμᾶς ἀδικῆσαι δυνήσεται, πάλιν ἐρῶ, ἐὰν μὴ ἡμεῖς ἑαυτούς· οὔτε πένητά μέ τις ἐργάσεται, ἐὰν μὴ ἐγὼ ἐμαυτόν.

Φέρε γὰρ οὕτω σκεψώμεθα· Ἔστω μοι ψυχὴ πενιχρά, καὶ πάντες κενούτωσαν εἰς ἐμὲ τὰ χρήματα· τί τοῦτο; Ἕως ἂν ἐκείνη μὴ μεταβάληται, πάντα μάτην. Ἔστω μοι ψυχὴ μεγάλη, καὶ πάντες λαμβανέτωσαν τὰ χρήματα· τί τοῦτο; Ἕως ἂν ἐκείνην μὴ ποιήσῃς πενιχράν, οὐδὲν βλάβος. Ἔστω μοι βίος ἀκάθαρτος, καὶ πάντες τἀναντία λεγέτωσαν περὶ ἐμοῦ· τί τοῦτο; Κἂν γὰρ λέγωσιν, ἀλλ' οὐχὶ καὶ ἐν διανοίᾳ ταῦτα ψηφίζονται. Πάλιν ἔστω μοι βίος καθαρός, καὶ πάντες τἀναντία λεγέτωσαν· καὶ τί τοῦτο; Ἐν γὰρ τῷ συνειδότι ἑαυτῶν καταγνώσονται· οὐ γὰρ δὴ πεπεισμένοι λέγουσιν· ὥσπερ γὰρ τὰς εὐφημίας οὐ δεῖ προσίεσθαι, οὕτως οὐδὲ τὰς κατηγορίας. Καὶ τί λέγω ταῦτα; Οὐδεὶς ἡμῖν ἐπιβουλεῦσαί ποτε δυνήσεται, οὐδὲ κατηγορίᾳ τινι περιβαλεῖν, ἐὰν βουλώμεθα. Ἴδωμεν δὲ καὶ οὕτως· Ἑλκέτω τις εἰς δικαστήριον, συκοφαντείτω, εἰ βούλει, καὶ τὴν ψυχὴν ἐκφερέτω· καὶ τί τοῦτο, πρὸς μικρὸν παρ' ἀξίαν ταῦτα παθεῖν; Τοῦ-

10. Ἀρχαῖο ἑλληνικὸ ἀγώνισμα πάλης καὶ πυγμαχίας.

ἔχει κάποιον ποὺ ὑποχωρεῖ στὰ κτυπήματα περισσότερο παραλύει, καὶ τὸ κτύπημά του καταλήγει στὸν ἴδιο. Διότι δὲν παραλύει τὴ δύναμη τοῦ ἀνταγωνιστοῦ τόσο ὁ ἄνθρωπος ποὺ γνωρίζει νὰ ἀγωνίζεται στὸ παγκράτιο[19], ὅσο ὁ ἄνθρωπος, ποὺ ὑβρίζεται καὶ δὲν ἀνταποδίδει τὶς ὕβρεις· διότι ἀφοῦ καταισχύνθηκε ἐκεῖνος ἀπέρχεται κατόπιν, καὶ ἀφοῦ ἐνοχοποιήθηκε πρῶτα μὲν ἀπὸ τὴν συνείδηση, δεύτερον δέ, ἀπὸ ὅλους ἐκείνους, οἱ ὁποῖοι ἔβλεπαν. Ὑπάρχει δὲ καὶ κάποια παροιμία, ὅτι, «ἐκεῖνος ποὺ τιμᾶ, τὸν ἑαυτό του τιμᾶ». Ἄρα καὶ ἐκεῖνος ποὺ βρίζει, τὸν ἑαυτό του βρίζει. Κανένας δὲν θὰ μπορέσει νὰ μᾶς ἀδικήσει, πάλι θὰ πῶ, ἐὰν ἐμεῖς δὲν ἀδικήσουμε τοὺς ἑαυτούς μας· οὔτε κανένας θὰ μὲ κάνει φτωχό, ἐὰν ἐγὼ δὲν κάμω τὸν ἑαυτό μου.

Ἐμπρὸς λοιπὸν ἂς κάνουμε τὴν ἑξῆς σκέψη. Ἂς ὑποθέσουμε ὅτι ἡ ψυχή μου εἶναι φτωχική, καὶ ὅλοι προσφέρουν σ' ἐμένα τὰ χρήματα· τί ἐξυπηρετεῖ τοῦτο; Ἐφ' ὅσον ἐκείνη δὲν μεταβάλλεται, ὅλα εἶναι μάταια. Ἔστω ὅτι εἶναι ἡ ψυχή μου μεγάλη, καὶ ὅλοι λαμβάνουν τὰ χρήματα· σὲ τί βλάπτει αὐτό; Ἐφόσον ἐκείνη δὲν τὴν κάνεις φτωχική, καμία βλάβη δὲν ὑπάρχει. Ἔστω ὅτι εἶναι ἡ ζωή μου ἀκάθαρτη καὶ ὅλοι λέγουν τὰ ἀντίθετα γιὰ μένα· τί ὠφελεῖ αὐτό; διότι καὶ ἂν λέγουν αὐτά, ὅμως δὲν τὰ ἀποδέχονται στὴ σκέψη τους. Πάλι ἔστω ὅτι εἶναι ἡ ζωή μου καθαρή, καὶ ὅλοι λέγουν τὰ ἀντίθετα· καὶ τί μὲ αὐτό; διότι στὴ συνείδησή τους θὰ ἐνοχοποιήσουν τοὺς ἑαυτούς τους· καθόσον δὲν τὰ λέγουν αὐτὰ ἐπειδὴ τὰ πιστεύουν. Διότι ὅπως ἀκριβῶς δὲν πρέπει κανένας νὰ ἀποδέχεται τοὺς ἐπαίνους, ἔτσι δὲν πρέπει νὰ ἀποδέχεται καὶ τὶς κατηγορίες. Καὶ γιατί λέγω αὐτά; Κανένας ποτὲ δὲν θὰ μπορέσει νὰ μᾶς ἐπιβουλευθεῖ, οὔτε νὰ μᾶς ἐπιρρίψει κάποια κατηγορία, ἐὰν θέλουμε. Ἂς τὸ ἐξετάσουμε δὲ καὶ ὡς ἑξῆς· ἔστω ὅτι σὲ σύρει κάποιος σὲ δικαστήριο, ἔστω ὅτι σὲ συκοφαντεῖ, ἐὰν θέλεις, καὶ τὴν ψυχή σου σοῦ ἀφαιρεῖ· καὶ τί εἶναι αὐτό, τὸ νὰ πάθεις γιὰ λίγο αὐτά, χωρὶς νὰ ἀξίζει νὰ τὰ πάθεις; Αὐτὸ λοιπὸν τὸ ἴδιο, λέγει, εἶναι κα-

το μὲν οὖν αὐτὸ κακόν, φησίν. Αὐτὸ μὲν οὖν τοῦτο καλὸν τὸ μὴ κατ' ἀξίαν παθεῖν. 'Αλλὰ τί; κατ' ἀξίαν ἔδει; Εἴπω τι πάλιν· Φιλόσοφός τις τῶν ἔξωθεν ὡς ἤκουσεν ὅτι ὁ δεῖνα ἀπέθανε, καί τις εἶπεν αὐτῷ τῶν μαθητῶν· 'Οἴμοι! ὅτι ἀδίκως'· ἐκεῖνος ἐπιστραφείς, 'ἀλλὰ τί, ἔφη, δικαίως ἤθελες;'. Καὶ 'Ιωάννης δὲ οὐχὶ ἀδίκως ἀπέθανε; Τίνα οὖν μᾶλλον ἐλεεῖς, τὸν δικαίως ἀποθανόντα, ἢ τὸν οὐχ οὕτως; οὐχὶ τοῦτον μὲν ταλανίζεις, ἐκεῖνον δὲ καὶ θαυμάζεις; Τί οὖν ἠδίκηται ἄνθρωπος καὶ ἀπ' αὐτοῦ τοῦ θανάτου κερδάνας μεγάλα, οὐ μόνον οὐδὲν βλαβείς; Εἰ μὲν γὰρ ἀθάνατον ὄντα θνητὸν ἐποίει, ἴσως ἂν βλάβη ἦν, εἰ δὲ θνητὸν ὄντα, καὶ ἀπὸ τῆς φύσεως μικρὸν ὕστερον τὸν θάνατον ἐκδέχεσθαι μέλλοντα, ἔσπευσεν οὗτος μετὰ δόξης τοῦτον ἐπαγαγεῖν, τί βλάβος; Ἔστω ἡμῖν ἡ ψυχὴ ῥυθμιζομένη καλῶς, καὶ βλάβος οὐδὲν ἔσται ἔξωθεν. 'Αλλ' οὐκ εἶ ἐν δόξῃ; Καὶ τί τοῦτο; Ὅπερ γὰρ ἐπὶ τῶν χρημάτων ἐστί, τοῦτο καὶ ἐπὶ τῆς δόξης· ἂν γὰρ ὦ μεγαλοπρεπής, οὐ δεήσομαι οὐδενός, ἂν δὲ κενόδοξος, ὅσῳ ἂν ἐπιτύχω, τοσούτῳ μείζονος δεήσομαι. Τότε δὲ μάλιστα λαμπρὸς ἔσομαι, καὶ μείζονος ἀπολαύσομαι δόξης, εἰ καταφρονήσω δόξης.

Ταῦτα οὖν εἰδότες, καὶ χάριν ἔχωμεν τῷ τοιαύτην ἡμῖν χαρισαμένῳ ζωὴν Χριστῷ τῷ Θεῷ ἡμῶν, καὶ μετίωμεν αὐτὴν εἰς δόξαν αὐτοῦ, ὅτι αὐτῷ πρέπει ἡ δόξα σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ ἁγίῳ αὐτοῦ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

κό. Αὐτὸ λοιπὸν τὸ ἴδιο εἶναι καλό, τὸ νὰ τὸ πάθεις, χωρὶς νὰ ἀξίζει νὰ τὸ πάθεις. Ἀλλὰ γιατί; ἔπρεπε νὰ τὸ πάθει, ἀξίζοντάς το; Θὰ πῶ πάλι κάτι ἄλλο· κάποιος φιλόσοφος, μὴ χριστιανός, ὅταν ἄκουσε, ὅτι ὁ τάδε πέθανε καὶ κάποιος ἀπὸ τοὺς μαθητὲς εἶπε σ' αὐτόν, "Ἀλλοίμονον, πέθανε ἄδικα', ἐκεῖνος, ἀφοῦ στράφηκε πρὸς αὐτόν, λέγει· 'ἀλλὰ τί, δίκαια ἤθελες νὰ πεθάνει;'. Καὶ ὁ Ἰωάννης δὲ δὲν πέθανε ἄδικα; Ποιὸν λοιπὸν περισσότερο εὐσπλαχνίζεσαι; ἐκεῖνον ποὺ πέθανε δίκαια, ἢ ἐκεῖνον ποὺ πέθανε ἄδικα; Μήπως δὲν θεωρεῖς αὐτὸν μὲν δυστυχῆ, ἐκεῖνον δὲ καὶ τὸν θαυμάζεις; Τί λοιπόν, ἔχει ἀδικηθεῖ ὁ ἄνθρωπος, ὁ ὁποῖος καὶ ἀπ' αὐτὸν τὸ θάνατο ἔχει κερδίσει ἀρκετά, χωρὶς νὰ πάθει καμιὰ βλάβη; διότι, ἐὰν ἕναν ποὺ εἶναι ἀθάνατος, τὸν ἔκαμνε θνητό, ἴσως νὰ ὑπῆρχε κάποια βλάβη· ἐὰν δὲ ἕναν, ποὺ εἶναι θνητός, καὶ ἐπρόκειτο λίγο μετὰ ἐκ φύσεως νὰ δεχθεῖ τὸ θάνατο, ἔσπευσε αὐτὸς μὲ δόξα νὰ ἐπιφέρει αὐτόν, ποιὰ εἶναι ἡ βλάβη; Ἂς ρυθμίζεται ἡ ψυχή μας καλὰ καὶ ἀπ' ἔξω δὲν θὰ προξενηθεῖ καμιὰ βλάβη. Ἀλλὰ δὲν εἶσαι ἔνδοξος; Καὶ τί μὲ αὐτό; Διότι ἐκεῖνο ἀκριβῶς ποὺ συμβαίνει μὲ τὰ χρήματα, τὸ ἴδιο συμβαίνει καὶ μὲ τὴ δόξα. Διότι ἂν εἶμαι μεγαλοπρεπής, δὲν θὰ ἔχω καμιὰ ἀνάγκη, ἂν ὅμως εἶμαι κενόδοξος, ὅσο περισσότερα ἐπιτύχω, τόσο μεγαλύτερη ἀνάγκη θὰ ἔχω. Τότε δὲ θὰ εἶμαι πολὺ περισσότερο λαμπρός, καὶ θὰ ἀπολαύσω μεγαλύτερη δόξα, ἐὰν περιφρονήσω τὴ δόξα.

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς εὐγνωμονοῦμε τὸ Χριστό, τὸ Θεὸ μας, ποὺ μᾶς χάρισε τέτοια ζωή, καὶ ἂς ρυθμίζουμε αὐτὴν πρὸς δόξα αὐτοῦ, διότι σ' αὐτὸν πρέπει ἡ δόξα μαζὶ μὲ τὸν ἄναρχο Πατέρα καὶ τὸ Ἅγιο Πνεῦμα, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΕ΄
(Πράξ. 6, 8 - 7, 5)

«Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ».

1. Ὅρα πῶς καὶ ἐν τοῖς ἑπτὰ ἦν τις πρόκριτος καὶ τὰ πρωτεῖα εἶχεν· εἰ γὰρ καὶ ἡ χειροτονία κοινή, ἀλλ' ὅμως οὗτος ἐπεσπάσατο χάριν πλείονα. Πρὸ τούτου δὲ οὐκ ἐποίει σημεῖα, ἀλλ' ὅτε δῆλος γέγονεν, ἵνα δειχθῇ ὅτι οὐκ ἀρκεῖ μόνη ἡ χάρις, ἀλλὰ δεῖ καὶ τῆς χειροτονίας· ὥστε προσθήκη Πνεύματος ἐγένετο. Εἰ δὲ καὶ πρὸ τούτου πλήρεις Πνεύματος ἦσαν, ἀλλὰ τοῦ ἀπὸ τοῦ λουτροῦ. «Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς». Πάλιν ἀνάστασιν τὸν παροξυσμὸν αὐτῶν λέγει καὶ τὴν ὀργήν. Ὅρα καὶ ἐνταῦθα πολὺ τὸ πλῆθος· μᾶλλον δὲ πῶς ἕτερον τῆς κατηγορίας τὸ σχῆμα. Ἐπειδὴ γὰρ ἐκώλυσεν αὐτοὺς Γαμαλιῆλος μηδὲν ὑπὲρ ἐκείνου ἐγκαλεῖν, ἑτέραν κατηγορίαν εἰσάγουσιν. «Ἀνέστησαν δέ τινες», φησί, «τῶν ἐκ τῆς συναγωγῆς, τῆς λεγομένης Λιβερτίνων καὶ Κυρηναίων καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ· καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ Πνεύματι, ᾧ ἐλάλει. Τότε ὑπέβαλον ἄνδρας, λέγοντας ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωσῆν καὶ τὸν Θεόν». Ἵνα τὴν κατηγορίαν συστήσωσι, «κατὰ τοῦ Θεοῦ», φησί, «καὶ κατὰ Μωσέως λαλεῖ». Διὰ τοῦτο καὶ συνεζήτουν, ἵνα ἀναγκά-

---

1. Πράξ. 6, 8.
1α. Λιβερτῖνοι λέγονταν τὰ παιδιὰ τῶν ἀπελευθερωθέντων δούλων τῶν Ρωμαίων· οἱ ἀπελεύθεροι.

ΟΜΙΛΙΑ ΙΕ΄
(Πράξ. 6, 8 - 7, 5)

«Ὁ Στέφανος δὲ γεμάτος πίστη καὶ δύναμη, ἔκαμνε τέρατα καὶ θαύματα μεγάλα μεταξὺ τοῦ λαοῦ»[1].

1. Πρόσεχε, πῶς καὶ ἀνάμεσα στοὺς ἑπτὰ ἦταν κάποιος ποὺ διακρινόταν καὶ κατεῖχε τὰ πρωτεῖα· διότι, ἂν καὶ ἡ χειροτονία ἦταν κοινή, ἐν τούτοις αὐτὸς ἀπέσπασε περισσότερη χάρη. Προηγουμένως δέ, δὲν ἔκανε θαύματα, ἀλλ' ὅταν ἔγινε φανερὸς μὲ τὴ χειροτονία, γιὰ νὰ ἀποδειχθεῖ, τι δὲν ἀρκεῖ μόνη ἡ χάρη, ἀλλ' ὅτι εἶναι ἀπαραίτητη καὶ ἡ χειροτονία· ὥστε ἔγινε προσθήκη Πνεύματος. Ἂν καὶ ἦταν δὲ πλήρεις Πνεύματος καὶ πρὸ τῆς χειροτονίας, ἦταν ὅμως πλήρεις ἀπὸ τὸ Πνεῦμα ἐκεῖνο, ποὺ ἔλαβαν ἀπὸ τὸ λουτρὸ τοῦ βαπτίσματος. «Σηκώθηκαν δὲ μερικοὶ ἀπὸ τὴ συναγωγή». Πάλι ἀνάσταση ὀνομάζει τὸν ἐρεθισμὸ καὶ τὴν ὀργὴ αὐτῶν. Βλέπε ὅτι καὶ ἐδῶ πολὺ εἶναι τὸ πλῆθος· μᾶλλον δὲ καὶ ἄλλη ἡ μορφὴ τῆς κατηγορίας. Διότι, ἐπειδὴ ἐμπόδισε αὐτοὺς ὁ Γαμαλιῆλος νὰ μὴ τοὺς κατηγορήσουν καθόλου γιὰ ἐκεῖνο τὸ περιστατικό, παρουσιάζουν ἄλλη κατηγορία. «Σηκώθηκαν δὲ μερικοί», λέγει, «ἀπὸ τὴ συναγωγὴ ποὺ λεγόταν τῶν Λιβερτίνων[1α] καὶ τῶν Κυρηναίων καὶ τῶν Ἀλεξανδρέων, καὶ ἐκείνων, ποὺ κατάγονταν ἀπὸ τὴν Κιλικία καὶ Ἀσία, γιὰ νὰ συζητήσουν μὲ τὸ Στέφανο· καὶ δὲν μποροῦσαν νὰ ἀντισταθοῦν καὶ νὰ ἀντιμετωπίσουν τὴ σοφία καὶ τὸ Πνεῦμα, μὲ τὸ φωτισμὸ τοῦ ὁποίου μιλοῦσε. Τότε ὑποκίνησαν κρυφὰ ἀνθρώπους, νὰ ποῦν, 'ὅτι ἔχομε ἀκούσει αὐτὸν νὰ λέγει λόγια βλάσφημα κατὰ τοῦ Μωϋσέως καὶ τοῦ Θεοῦ'. Γιὰ νὰ στηρίξουν τὴν κατηγορία, λέγει, ὅτι «ὁμιλεῖ κατὰ τοῦ Μωϋσέως καὶ τοῦ Θεοῦ». Γι' αὐτὸ καὶ συζητοῦσαν γιὰ νὰ ἀναγκάσουν αὐτὸν νὰ πεῖ

σωσιν αὐτόν τι εἰπεῖν. Ὁ δὲ γυμνότερον λοιπὸν διελέγετο, καὶ τὴν παῦλαν ἴσως ἔλεγε τοῦ νόμου μόνον, ἢ οὐκ ἔλεγε μέν, ᾐνίττετο δέ· ἐπεί, εἰ ἔλεγε φενερῶς, οὐκ ἔδει τῶν ὑποβλητῶν ἀνδρῶν, οὐδὲ τῶν ψευδομαρτύρων. Διάφοροι δὲ αἱ συναγωγαὶ ἦσαν Λιβερτίνων καὶ Κυρηναίων. Ἀλλὰ Κυρηναῖοι μὲν οἱ ἐπέκεινα Ἀλεξαδρείας εἰσίν, (οἳ καὶ ἐκεῖ κατὰ τὰ ἔθνη εἶχον συναγωγάς· ἴσως δὲ καὶ ἐκεῖ ἔμενον, ἵνα μὴ ἀναγκάζωνται συνεχῶς ἀποδημεῖν), Λιβερτῖνοι δὲ οἱ Ρωμαίων ἀπελεύθεροι οὕτω καλοῦνται. Ὥσπερ δὲ ᾤκουν ἐκεῖ πολλοὶ ξένοι, οὕτω καὶ συναγωγὰς εἶχον, ἔνθα ἔδει τὸν νόμον ἀναγινώσκεσθαι καὶ εὐχὰς γίνεσθαι.

Σὺ δέ μοι σκόπει πῶς καὶ οὗτος ἀναγκαζόμενος διδάσκειν ἐπιχειρεῖ, κἀκεῖνοι πάλιν διὰ τὰ σημεῖα εἰς φθόνον οὐ μόνον κινοῦνται, ἀλλά, ἐπεὶ καὶ λόγῳ ἐκράτει, καὶ ἀφόρητος ἦν αὐτοῖς, ψευδομάρτυρας συνιστῶσιν· οὐκ ἐβούλοντο γὰρ ἁπλῶς ἀναιρεῖν, ἀλλὰ μετὰ ψήφου, ἵνα καὶ τὴν δόξαν αὐτῶν βλάψωσι· καί, ἐκείνους ἀφέντες, ἐπὶ τούτους ἔρχονται, ὡς ταύτῃ καταπληξόμενοι κἀκείνους· οἳ καὶ οὐκ εἶπον ὅτι 'λαλεῖν', ἀλλ' «οὐ παύεται λαλῶν», αὔξοντες τὴν κατηγορίαν. «Συνεκίνησάν τε τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς, καὶ ἐπιστάντες συνήρπασαν αὐτόν, καὶ ἤγαγον εἰς τὸ συνέδριον, ἔστησάν τε μάρτυρας ψευδεῖς, λέγοντας· Ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα βλάσφημα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου»· («οὐ παύεται», φασίν, ὡς ἔργον αὐτοῦ ποιουμένου διὰ τούτου δηλοῦντες)· «ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς». «Ἰησοῦς», φασίν, «ὁ Γαζωραῖος», καὶ ὀνειδιστι-

κάτι. Ἐκεῖνος δὲ πιὸ ἀπερίφραστα συζητοῦσε πλέον, καὶ ἴσως ἀνέφερε μόνο τὸ τέλος τῆς ἰσχύος τοῦ νόμου, ἢ δὲν τὴν ἀνέφερε μέν, ἀλλὰ τὴν ὑπαινισσόταν· διότι, ἐὰν ἔλεγε φανερά, δὲν εἶχε ἀνάγκη οὔτε τῶν συκοφαντῶν ἐκείνων ἀνδρῶν, οὔτε τῶν ψευδομαρτύρων. Ὑπῆρχαν δὲ διάφορες συναγωγές, τῶν Λιβερτίνων καὶ τῶν Κυριναίων. Ἀλλὰ Κυρηναῖοι μὲν εἶναι ἐκεῖνοι ποὺ ζοῦσαν μακριὰ ἀπὸ τὴν Ἀλεξάνδρεια (οἱ ὁποῖοι καὶ ἐκεῖ κατὰ τὰ ἔθνη εἶχαν συναγωγές· ἴσως δὲ καὶ διέμεναν ἐκεῖ, γιὰ νὰ μὴ ἀναγκάζονται συνεχῶς νὰ ἀποδημοῦν), Λιβερτῖνοι δὲ λέγονται οἱ υἱοὶ ἀπελευθερωθέντων δούλων τῶν Ρωμαίων. Ὅπως δὲ κατοικοῦσαν ἐκεῖ πολλοὶ ξένοι, ἔτσι εἶχαν καὶ συναγωγές, ὅπου ἔπρεπε νὰ ἀναγιγνώσκεται ὁ νόμος καὶ νὰ γίνονται οἱ προσευχές.

Σὺ ὅμως φέρε στὴ σκέψη σου, σὲ παρακαλῶ, πῶς καὶ αὐτός, ἀναγκαζόμενος, ἐπιχειρεῖ νὰ διδάσκει, καὶ ἐκεῖνοι, πάλι, λόγω τῶν θαυμάτων, ὄχι μόνο παρακινοῦνται ἀπὸ φθόνο, ἀλλὰ καὶ ἐπειδὴ ὑπερεῖχε κατὰ τὸ λόγο, καὶ δὲν ἦταν δυνατὸ νὰ τὸν ἀνεχθοῦν, παρουσιάζουν ψευδομάρτυρες. Διότι δὲν ἤθελαν ἁπλῶς νὰ τὸν φονεύσουν, ἀλλὰ καὶ μὲ ψῆφο, γιὰ νὰ βλάψουν καὶ τὴν φήμη αὐτῶν· καὶ ἀφοῦ τοὺς ἀποστόλους ἄφησαν, ἔρχονται πρὸς αὐτούς, ὥστε ἔτσι νὰ τρομάξουν καὶ ἐκείνους· οἱ ψευδομάρτυρες δὲ δὲν εἶπαν, ὅτι 'ὁμιλεῖ', ἀλλά, ὅτι «δὲν παύει νὰ ὁμιλεῖ», ἐπαυξάνοντας τὴν κατηγορία. «Ἐξήγειραν καὶ τὸ λαὸ καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς, καὶ ὅρμησαν ἐπάνω του, τὸν ἅρπαξαν καὶ τὸν ἔφεραν στὸ συνέδριο, καὶ παρουσίασαν ψευδομάρτυρες, οἱ ὁποῖοι ἔλεγαν· Αὐτὸς ὁ ἄνθρωπος δὲν παύει νὰ λέγει λόγους βλάσφημους κατὰ τοῦ ἁγίου αὐτοῦ τόπου καὶ τοῦ νόμου»· («Δὲν παύει», λέγουν, γιὰ νὰ δηλώσουν ὅτι αὐτὸ τὸ κάμνει σὰν ἔργο)· (Διότι τὸν ἀκούσαμε νὰ λέγει, ὅτι ὁ Ἰησοῦς ὁ Ναζωραῖος, αὐτὸς θὰ καταστρέψει τὸ ναὸ αὐτό, καὶ ὅτι θὰ ἀλλάξει τὰ ἔθιμά μας, ποὺ μᾶς παρέδωσε ὁ Μωϋσῆς». «Ἰησοῦς», λέγουν, «ὁ Ναζωραῖος» καὶ περιφρονητικά, «ὅτι θὰ καταστρέψει τὸ ναὸ αὐ-

κῶς, «καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη». Τοῦτο, καὶ τοῦ Χριστοῦ κατηγοροῦντες, ἔλεγον· «Ὁ καταλύων τὸν ναὸν τοῦ Θεοῦ»· πολλὴ γὰρ ἦν αὐτοῖς ἡ εὐλάβεια περί τε τὸν ναόν, ἅτε καὶ μετοικεῖν βουλομένοις, περί τε τὸ ὄνομα Μωϋσέως. Καὶ ὅρα πῶς διπλῆ ἡ κατηγορία. «Καταλύσει», φασί, «τὸν τόπον, καὶ ἀλλάξει τὰ ἔθη»· οὐ μόνον δὲ διπλῆ, ἀλλὰ καὶ πικρά, καὶ κινδύνων γέμουσα.

«Καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου». Οὕτως ἔστι καὶ ἐν ἐλάττονι ὄντας βαθμῷ λάμπειν. Τί γάρ, εἰπέ μοι, τῶν Ἀποστόλων οὗτος ἔλαττον ἔσχεν; οὐχὶ σημεῖα εἰργάσατο; οὐ πολλὴν ἐπεδείξατο τὴν παρρησίαν; «Εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου», φησί. Τοῦτο ἄρα ἡ χάρις ἦν, τοῦτο καὶ ἡ δόξα Μωϋσέως ἦν. Ἐπίχαριν δὲ αὐτὸν δοκεῖ μοι ποιῆσαι τὸν Θεόν, τάχα ἐπεὶ ἔμελλέ τινα ἐρεῖν, καὶ ἵνα εὐθέως τῇ προσόψει καταπλήξῃ αὐτούς· (ἔστι γάρ, ἔστι καὶ πρόσωπα, χάριτος γέμοντα πνευματικῆς, ἐπέραστα τοῖς ποθοῦσιν εἶναι καὶ αἰδέσιμα τοῖς μισοῦσι καὶ φοβερά)· ἢ καὶ ὡς αἰτίαν τοῦτο εἶπε, δι' ἣν ἠνέσχοντο τῆς δημηγορίας αὐτοῦ. Τί δαὶ ὁ ἀρχιερεύς; «Εἰ ἄρα», φησί, «ταῦτα οὕτως ἔχει;». Ὁρᾷς πῶς μετὰ ἐπιεικείας ἡ ἐρώτησις, καὶ οὐδὲν τέως φορτικὸν ἔχουσα; Διὰ τοῦτο καὶ αὐτὸς ἀπὸ προσηνείας ἄρχεται τῶν ῥημάτων, καί φησιν· «Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε· Ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραάμ, ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαρράν». Εὐθέως ἐκ τοῦ προοιμίου τὴν δόξαν αὐτῶν ἀναιρεῖ, καὶ κατασκευάζει δι' ὧν φησιν ἀνυπόπτως ὅτι τε οὐδέν ἐστιν ὁ ναὸς δήπου αὐτός, οὐδὲ τὰ ἔθη, καὶ ὅτι οὐ περιέσονται τοῦ κηρύγματος, καὶ ὅτι

2. Ματθ. 27, 40.

τό, καὶ ὅτι θὰ ἀλλάξει τὰ ἔθιμα». Αὐτό ἔλεγαν καὶ ὅταν κατηγοροῦσαν τὸ Χριστό. «Σὺ ποὺ θὰ γκρέμιζες τὸ ναό τοῦ Θεοῦ»· διότι ἦταν πολὺ μεγάλη ἡ εὐλάβειά τους καὶ γιὰ τὸ ναό, ἐφ' ὅσον ἤθελαν νὰ μετοικήσουν ἐκεῖ, καὶ γιὰ τὸ ὄνομα τοῦ Μωϋσέως. Καὶ πρόσεχε πῶς εἶναι διπλὴ ἡ κατηγορία. «Θὰ καταστρέψει» λέγουν, «τὸ ναό αὐτό, καὶ θὰ ἀλλάξει τὰ ἔθιμα». Ὄχι μόνο δὲ διπλή, ἀλλὰ καὶ πικρὴ καὶ γεμάτη ἀπὸ κινδύνους.

«Καὶ ὅταν τὸν κοίταξαν ὅλοι, ὅσοι κάθονταν στὸ συνέδριο, εἶδαν τὸ πρόσωπό του νὰ εἶναι σὰν πρόσωπο ἀγγέλου». Τόσο πολὺ ἦταν δυνατό, καὶ ἐκεῖνοι ποὺ βρίσκονταν σὲ μικρότερο βαθμό, νὰ λάμπουν. Διότι σὲ τί, πές μου, ἦταν κατώτερος αὐτὸς ἀπὸ τοὺς Ἀποστόλους; Δὲν ἔκανε θαύματα; δὲν ἔδειξε μεγάλο θάρρος; «Εἶδαν τὸ πρόσωπό του νὰ εἶναι σὰν πρόσωπο ἀγγέλου», λέγει. Ἄρα αὐτὸ ἦταν ἡ χάρη, αὐτὸ ἦταν καὶ ἡ δόξα τοῦ Μωϋσέως. Μοῦ φαίνεται δὲ ὅτι ὁ Θεὸς τὸν γέμισε ἀπὸ χάρη, ἴσως γιατὶ ἐπρόκειτο νὰ πεῖ μερικοὺς λόγους, καὶ γιὰ νὰ καταπλήξει ἀμέσως αὐτοὺς μὲ τὸ θαῦμα τοῦ προσώπου του (διότι ὑπάρχουν, ὑπάρχουν πρόσωπα γεμάτα μὲ πνευματικὴ χάρη, ποὺ εἶναι ἀξιαγάπητα σ' αὐτοὺς ποὺ τ' ἀγαποῦν, καὶ σεβαστὰ καὶ φοβερὰ σ' αὐτούς ποὺ τὰ μισοῦν), ἢ καὶ σὰν αἰτία τὸ εἶπε αὐτὸ ὁ συγγραφέας, γιὰ τὴν ὁποία ἀνέχθηκαν τὴν ὁμιλία του. Τί λοιπὸν εἶπεν ὁ ἀρχιερέας; «Εἶναι, πράγματι αὐτὰ ἔτσι, ὅπως λέγουν οἱ μάρτυρες;». Βλέπεις, πῶς ἡ ἐρώτηση ἔγινε μὲ ἠπιότητα καὶ δὲν εἶχε στὴν ἀρχὴ τίποτα τὸ ἐνοχλητικό; Γι' αὐτὸ καὶ αὐτὸς ἀρχίζει τὴν ὁμιλία του μὲ ἤρεμο τρόπο, καὶ λέγει· «Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε· Ὁ ἔνδοξος Θεός, φανερώθηκε στὸν πατέρα μας Ἀβραάμ, ὅταν βρισκόταν στὴ Μεσοποταμία, προτοῦ κατοικήσει στὴ Χαρράν». Ἀμέσως δὲ ἀπὸ τὸ προοίμιο ἀνατρέπει τὴν γνώμη αὐτῶν, καὶ μὲ τὰ ὅσα λέγει, ἀνυποψίαστα γιὰ τοὺς ἀκροατές, ἀποδεικνύει ὅτι καὶ ὁ ἴδιος ὁ ναὸς δὲν εἶναι τίποτα, οὔτε τὰ ἔθιμα, καὶ ὅτι δὲν θὰ γίνουν αὐτοὶ ἐμπόδιο στὸ κήρυγμα, καὶ

ἐξ ἀμηχάνων ἀεὶ ὁ Θεὸς πάντα ποιεῖ καὶ κατασκευάζει. Ὅρα γοῦν διὰ τούτων ὑφαινομένην τὴν δημηγορίαν καὶ ἀποδεικνύουσαν ὅτι, πολλῆς ἀπολαύσαντες ἀεὶ φιλανθρωπίας, τοῖς ἐναντίοις τὸν εὐεργέτην ἠμείψαντο, καὶ ὅτι ἀδυνάτοις ἐπιχειροῦσιν. «Ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραάμ, καὶ εἶπε πρὸς αὐτόν· Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω».

2. Καὶ ναὸς οὐκ ἦν, καὶ θυσία οὐκ ἦν, καὶ θείας ὄψεως ἠξίωτο Ἀβραάμ, καὶ προγόνους Πέρσας εἶχε, καὶ ἐν ἀλλοτρίᾳ γῇ ἦν. Καὶ τί δήποτε ἀρχόμενος τὸν Θεὸν τῆς δόξης Θεὸν ἐκάλεσεν; Ἐπειδὴ τοὺς ἀτίμους ἐνδόξους πεποίηκε, καὶ ἵνα διδάξῃ ὅτι, εἰ ἐκείνους ἐδόξασε, πολλῷ μᾶλλον αὐτούς. Ὁρᾷς πῶς αὐτοὺς ἀπάγει τῶν σωματικῶν, καὶ ἀπὸ τοῦ τόπου πρῶτον, ἐπειδὴ περὶ τόπου ὁ λόγος ἦν; «Ὁ Θεὸς τῆς δόξης». Εἰ δόξης Θεός, εὔδηλον ὅτι οὐ δεῖται τῆς παρ' ἡμῶν δόξης, οὐδὲ τῆς διὰ τοῦ ναοῦ· αὐτὸς γάρ ἐστιν ἡ τῆς δόξης πηγή. Μὴ τοίνυν νομίσητε ταύτῃ δοξάζειν αὐτόν. Καὶ πῶς, φησίν, ἡ Γραφὴ τοῦτο λέγει περὶ τοῦ πατρὸς Ἀβραάμ; Ὅτι οὐκ ἔστι πρὸς τὰ μὴ σφόδρα ἀναγκαῖα περιττή· ὃ μὲν γὰρ ἦν χρήσιμον μαθεῖν, τοῦτο μόνον ἡμᾶς ἐδίδαξεν, ὅτι ἀπὸ τῆς ὄψεως τοῦ υἱοῦ συνεξῆλθεν αὐτῷ, τὸ δὲ πλέον τούτου παρέλιπεν ἀδιήγητον διὰ τὸ θᾶττον ἀποθανεῖν μετὰ τὸ κατοικῆσαι αὐτὸν ἐν Χαρράν. «Ἔξελθε ἐκ τῆς συγγενείας σου». Ἐνταῦθα δείκνυσιν ὅτι οὐκ εἰσὶν οὗτοι τέκνα Ἀβραάμ. Πῶς; Ὅτι ἐκεῖνος πειθήνιος ἦν, οὗτοι δὲ ἀπειθεῖς· μᾶλλον δέ, ἐξ ὧν ποιεῖ κελευόμενος, μανθάνομεν ὅτι ἐκεῖνος μὲν τοὺς πόνους ὑπέμεινεν, οὗτοι δὲ τοὺς καρποὺς δρέπονται, καὶ ὅτι πάντες οἱ πρόγονοι ἐν κακουχίᾳ. «Καὶ ἐξελθὼν ἐκ γῆς Χαλδαίων, κατῴκησεν ἐν Χαρράν· κἀκεῖθεν μετὰ τὸ

2α. Γεν. 11, 31-32.

ὅτι ὁ Θεός πάντοτε ἀπὸ τὰ ἀδύνατα δημιουργεῖ καὶ κατασκευάζει τὰ πάντα. Πρόσεχε λοιπὸν ὅτι μὲ αὐτὰ δημιουργεῖ τὴ δημηγορία καὶ ἀποδεικνύει, ὅτι ἐνῶ πάντοτε ἀπόλαυσαν πολλὴ φιλανθρωπία, ἀντάμειψαν τὸν εὐεργέτη τους μὲ τὰ ἀντίθετα, καὶ ἀκόμη, ὅτι ἐπιχειροῦν ἀκατόρθωτα. «Ὁ ἔνδοξος Θεὸς φανερώθηκε στὸν Πατέρα μας Ἀβραάμ, καὶ εἶπε σ᾽ αὐτόν· φύγε ἀπὸ τὴν πατρίδα σου καὶ ἔλα σὲ χώρα, ποὺ θὰ σοῦ δείξω».

2. Καὶ ναὸς δὲν ὑπῆρχε, καὶ θυσία δὲν γινόταν, καὶ θείας ἐμφανίσεως ἀξιώθηκε ὁ Ἀβραὰμ καὶ Πέρσες προγόνους εἶχε καὶ σὲ ξένη γῆ βρισκόταν. Καὶ γιατί τέλος πάντων, ἀρχίζοντας τὴν ὁμιλία του, ὀνόμασε τὸ Θεό, Θεὸ τῆς δόξας; Ἐπειδὴ ἔκαμε τοὺς περιφρονημένους ἐνδοξους, καὶ γιὰ νὰ διδάξει, ὅτι ἐὰν δόξασε ἐκείνους, πολὺ περισσότερο θὰ δοξάσει αὐτούς. Βλέπεις πῶς τοὺς ἀπομακρύνει ἀπὸ τὰ σωματικὰ καὶ πρῶτα ἀπὸ τὸν τόπο, ἐφ᾽ ὅσον ὁ λόγος ἦταν γι᾽ αὐτόν; «Ὁ Θεὸς τῆς δόξας». Ἐὰν εἶναι ὁ Θεὸς τῆς δόξας, εἶναι φανερό, ὅτι δὲν χρειάζεται τὴ δική μας δόξα, οὔτε ἐκείνη ποὺ προέρχεται ἀπὸ τὸ ναό· διότι αὐτὸς εἶναι ἡ πηγὴ τῆς δόξας. Μὴ νομίσετε λοιπὸν ὅτι μὲ τὸν τρόπο αὐτὸ θὰ τὸν δοξάσετε. Καὶ πῶς, λέγει, τὸ λέγει αὐτό, ἡ Γραφὴ γιὰ τὸν Πατέρα Ἀβραάμ; Διότι δὲν περιτολογεῖ γιὰ πράγματα ποὺ δὲν εἶναι πάρα πολὺ ἀναγκαῖα· διότι ἐκεῖνο μὲν ποὺ ἦταν χρήσιμο νὰ μάθουμε, αὐτὸ μόνο μᾶς δίδαξε, ὅτι βλέποντας ὁ πατέρας τὸν υἱό του Ἀβραάμ, ἔφυγε μαζὶ μὲ αὐτόν, τὸ δὲ ἐπὶ πλέον αὐτοῦ παρέλειψε νὰ τὸ διηγηθεῖ, διότι σύντομα πέθανε μετὰ τὴν ἐγκατάστασή του στὴ Χαρράν. «Φύγε ἀπὸ τοὺς συγγενεῖς σου». Ἐδῶ ἀποδεικνύει ὅτι αὐτὰ δὲν ἦταν παιδιὰ τοῦ Ἀβραάμ. Πῶς; Διότι ἐκεῖνος ἦταν ὑπάκουος, ἐνῶ αὐτοὶ ἀνυπάκουοι· μᾶλλον δέ, μὲ ἐκεῖνα ποὺ πράττει, διατασσόμενος ἀπὸ τὸ Θεό, μαθαίνομε ὅτι ἐκεῖνος μὲν ὑπέμεινε τοὺς κόπους, αὐτοὶ δὲ ἀπολαμβάνουν τοὺς καρπούς, καὶ ὅτι ὅλοι οἱ πρόγονοι ὑποβλήθηκαν σὲ κακουχίες. «Καὶ ἀφοῦ ὁ Ἀβραὰμ ἀναχώρησε ἀπὸ τὴ γῆ τῶν Χαλδαίων, κατοίκησε στὴ Χαρράν· καὶ ἀπ᾽ ἐκεῖ μετὰ

ἀποθανεῖν τὸν πατέρα αὐτοῦ μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην, εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε· καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ οὐδὲ βῆμα ποδός». Ὅρα πῶς αὐτοὺς ἀπὸ τῆς γῆς ἀνάγει· οὐ γὰρ εἶπε, 'Δώσει', ἀλλ' «οὐκ ἔδωκε», δηλῶν ὅτι πάντα παρ' ἐκείνου καὶ οὐδὲν παρ' αὐτῶν· ἦλθε γάρ, καὶ συγγένειαν ἀφεὶς καὶ πατρίδα. Διὰ τί οὖν οὐκ ἔδωκεν; Ὅτι τύπος ἦν ἑτέρας γῆς, καὶ ἐπηγγείλατο δοῦναι αὐτὴν αὐτῷ. Ὁρᾷς ὅτι οὐχ ἁπλῶς πάλιν τὸν λόγον ἀναλαμβάνει; «Οὐκ ἔδωκεν αὐτῷ», φησί. «Καὶ ἐπηγγείλατο καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν, οὐκ ὄντος αὐτῷ τέκνου». Πάλιν τὸ δυνατὸν ἐντεῦθεν δείκνυται τοῦ Θεοῦ καὶ τὸ ἐξ ἀμηχάνων πάντα ποιεῖν· τὸν γὰρ ἐν Περσίδι καὶ τοσοῦτον ἀπέχοντα, τοῦτον ἔφησε κύριον τῆς Παλαιστίνης ποιήσειν. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Ἀτενίσαντες εἰς αὐτόν», φησίν, «εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου». Πόθεν ἡ χάρις τῷ Στεφάνῳ ἐπήνθει; ἆρ' οὐκ ἀπὸ τῆς πίστεως; Εὔδηλον ὅτι· ἐμαρτύρησε γὰρ αὐτῷ ἄνω ὅτι πλήρης πίστεως ἦν. Ἔστι δὲ χάριν ἔχειν καὶ οὐκ ἐν ἰάσεσι· διὸ καὶ ὁ Ἀπόστολος, «ᾧ μὲν χάρις δίδοται», φησίν, «ἰαμάτων, ἄλλῳ δὲ λόγος σοφίας». Ἐνταῦθα δέ μοι δοκεῖ καὶ ἐπίχαριν αὐτὸν εἶναι αἰνίττεσθαι τῷ λέγειν, «Εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου», ὃ καὶ Βαρνάβας μαρτυρεῖται. Ὅθεν τοὺς ἀπλάστους τε καὶ ἀπονήρους μάλιστα ἴσμεν θαυμαζομένους, καὶ τούτους μᾶλλον ἐπιχάριτας ὄντας. «Τότε ὑπέβαλον ἄνδρας, λέγοντας ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα». Ἐπὶ μὲν τῶν Ἀποστόλων ἔλεγον ὅτι τὴν ἀνάστασιν κατήγγελλον, καὶ

3. Α' Κορινθ. 12, 9. 8.

τὸ θάνατο τοῦ πατέρα του, μετέφερε αὐτὸν ὁ Θεὸς νὰ κατοικήσει στὴ γῆ αὐτὴ ποὺ κατοικεῖτε σεῖς τώρα. Καὶ δὲν ἔδωσε σ' αὐτὸν κληρονομία στὴ γῆ αὐτή, οὔτε βῆμα ποδιοῦ». Πρόσεχε πῶς ἀπομακρύνει αὐτοὺς ἀπὸ τὴ γῆ· διότι δὲν εἶπε, 'θὰ δώσει', ἀλλ' ὅτι «δὲν ἔδωσε», δηλώνοντας ὅτι τὰ πάντα προῆλθαν ἀπὸ ἐκεῖνον καὶ τίποτε ἀπὸ αὐτούς. Διότι ἦλθε, ἀφοῦ ἐγκατέλειψε καὶ τοὺς συγγενεῖς του καὶ τὴν πατρίδα. Γιατί λοιπὸν «δὲν ἔδωσε»; Διότι ἦταν πρότυπο ἄλλης γῆς, καὶ ὑποσχέθηκε νὰ δώσει αὐτὴν σ' αὐτόν. Βλέπεις ὅτι δὲν ἐπαναλαμβάνει τὸ λόγο ἄσκοπα; «Δὲν ἔδωσε σ' αὐτόν», λέγει. «Καὶ ὑποσχέθηκε ὁ Θεὸς ὅτι θὰ δώσει τὴ χώρα αὐτὴ σ' αὐτὸν καὶ στοὺς ἀπογόνους του μετὰ ἀπὸ αὐτόν, ἂν καὶ δὲν εἶχε αὐτὸς παιδί». Πάλι ἀπ' ἐδῶ ἀποδεικνύεται ἡ δύναμη τοῦ Θεοῦ νὰ δημιουργεῖ τὰ πάντα καὶ ἀπὸ τὰ ἀδύνατα. Διότι αὐτόν, ποὺ ἦταν στὴν περσικὴ χώρα καὶ βρισκόταν σὲ τόσο μακρινὴ ἀπόσταση, αὐτὸν εἶπε ὅτι θὰ τὸν καταστήσει κύριο τῆς Παλαιστίνης. 'Αλλ' ἂς δοῦμε ἀπ' ἀρχῆς τὰ προαναφερθέντα.

«Ὅταν κοίταξαν αὐτὸν ὅλοι, ὅσοι κάθονταν στὸ συνέδριο, εἶδαν τὸ πρόσωπό του νὰ ἀστράπτει σὰν πρόσωπο ἀγγέλου». Ἀπὸ ποῦ ἀνθοῦσε ἡ χάρη στὸ Στέφανο; ἄραγε δὲν προερχόταν ἀπὸ τὴν πίστη; Αὐτὸ εἶναι ὁλοφάνερο· διότι ὁ Λουκᾶς ἐπιβεβαίωσε παραπάνω γι' αὐτόν, ὅτι ἦταν γεμάτος ἀπὸ πίστη. Εἶναι δὲ δυνατὸ νὰ ἔχει κάποιος χάρη, καὶ χωρὶς τὴ θεραπεία ἀρρώστων· γι' αὐτὸ καὶ ὁ Ἀπόστολος λέγει· «Διότι σὲ ἄλλον μὲν δίνονται χαρίσματα θεραπείας ἀσθενειῶν, σὲ ἄλλον δὲ λόγος σοφίας»[3]· ἐδῶ δὲ μοῦ φαίνεται ὑπαινίσσεται, ὅτι αὐτὸς εἶχε ἐπὶ πλέον χάρη μὲ τὸ νὰ λέγει, «Εἶδαν τὸ πρόσωπό του σὰν πρόσωπο ἀγγέλου», τὸ ὁποῖο μαρτυρεῖται καὶ γιὰ τὸν Βαρνάβα. Ἐπομένως γνωρίζουμε, ὅτι καὶ οἱ ἀπροσποίητοι καὶ οἱ ἀπονήρευτοι θαυμάζονται πολὺ περισσότερο, καὶ ὅτι αὐτοὶ εἶναι περισσότερο γεμάτοι ἀπὸ χάρη. «Τότε παρουσίασαν ἀνθρώπους ποὺ ἔλεγαν, ὅτι ἔχουμε ἀκούσει αὐτὸν νὰ λέγει λόγια βλάσφημα». Γιὰ μὲν τοὺς Ἀποστό-

ὅτι πολὺς ὄχλος ἐπέρρει, ἐνταῦθα δὲ ὅτι ἐθεραπεύοντο. Ὢ τῆς ἀνοίας! ὑπὲρ ὧν εὐχαριστεῖν ἔδει, ὑπὲρ τούτων ἐμέμφοντο, καὶ τοὺς διὰ τῶν ἔργων κρατοῦντας προσεδόκων κρατήσειν διὰ τῶν λόγων, (ὅπερ καὶ ἐπὶ τοῦ Χριστοῦ ἐποίουν), καὶ ἀεὶ εἰς λόγους αὐτοὺς ἐνέβαλλον· ἁρπάσαι γὰρ αὐτοὺς ἁπλῶς ᾐσχύνοντο, οὐδὲν ἔχοντες ἐγκαλεῖν. Καὶ ὅρα πῶς οὐδὲ αὐτοὶ οἱ δικάζοντες μαρτυροῦσιν (ἠλέγχθησαν γὰρ ἄν), ἀλλ' ἁπλῶς ἑτέρους μισθοῦνται, ἵνα μὴ δόξῃ ἐπηρείας εἶναι τὸ πρᾶγμα. Τὸ αὐτὸ γεγονὸς ἴδοι τις ἂν καὶ ἐπὶ τοῦ Χριστοῦ·

Εἶδες τοῦ κηρύγματος τὴν δύναμιν, καὶ πῶς οὐχὶ μαστιζομένων μόνον, ἀλλὰ καὶ λιθαζομένων κρατεῖ, οὐδὲ εἰς δικαστήριον ἀγομένων, ἀλλὰ καὶ ἐλαυνομένων πάντοθεν; Ἐντεῦθεν, καὶ ψευδομαρτυρούντων αὐτῶν, οὐ μόνον οὐκ ἐκράτουν, ἀλλ' οὐδὲ ἀντιστῆναι ἴσχυον, καίτοι σφόδρα ἀναίσχυντοι ὄντες· οὕτως αὐτοὺς κατὰ κράτος εἷλε, καὶ ταῦτα πολλὰ πράττοντας ἀπίθανα (ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ), οἳ καὶ πάντα πρὸς θάνατον ἔπραττον τὸν αὐτοῦ, ὡς λοιπὸν δῆλον γενέσθαι πᾶσιν ὅτι οὐκ ἦν ἀνθρωπίνη ἡ μάχη, ἀλλὰ Θεοῦ πρὸς ἀνθρώπους. Σκόπει δὲ καὶ τί φασιν οἱ συστάντες ψευδομάρτυρες ὑπὸ τῶν φονικῶς συναρπασάντων αὐτὸν εἰς τὸ συνέδριον. «Ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωσῆν καὶ τὸν Θεόν». Ὦ ἀναίσχυντοι! πράγματα ποιεῖτε βλάσφημα εἰς τὸν Θεόν, καὶ οὐ φροντίζετε, καὶ Μωσέως φροντίζειν προσποιεῖσθε; Διὰ τοῦτο πρόσκειται Μωσῆς, ἐπειδὴ τὰ τοῦ Θεοῦ οὐ σφόδρα αὐτοῖς ἔμελε, καὶ ἄνω καὶ κάτω Μωσέως μέμνηται, «ὁ Μωσῆς», λέγοντες, «οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς», τὸ εὐρίπιστον τοῦ ὄχλου ἀνερεθίζοντες. Καίτοι πῶς ἄνθρωπος βλάσφημος ἂν περιεγένετο; πῶς δὲ καὶ

---

4. Πράξ. 7, 40.

λους ἔλεγαν, ὅτι κήρυτταν τὴν ἀνάσταση καὶ ὅτι πολὺ πλῆθος συνέρρεε, ἐδῶ δέ, ὅτι θεραπεύονταν ἀπὸ ἀσθένειες. Πώ, πὼ ἀνοησία! Γιὰ ἐκεῖνα ποὺ ἔπρεπε νὰ εὐχαριστοῦν, γιὰ ἐκεῖνα κατηγοροῦσαν, καὶ ἐκείνους ποὺ ὑπερεῖχαν μὲ τὰ ἔργα, νόμιζαν ὅτι θὰ ὑπερβάλλουν μὲ τὰ λόγια (πράγμα ποὺ ἔκαμναν καὶ γιὰ τὸ Χριστό), καὶ πάντοτε κατέφευγαν σὲ λόγους· διότι ντρέπονταν νὰ ἁρπάξουν αὐτοὺς χωρὶς λόγο, μὴ ἔχοντας νὰ τοὺς κατηγορήσουν γιὰ τίποτα. Καὶ πρόσεχε πῶς οὔτε οἱ ἴδιοι οἱ δικάζοντες διατυπώνουν μαρτυρία (διότι θὰ ἐλέγχονταν), ἀλλὰ μόνο πληρώνουν ἄλλους, γιὰ νὰ μὴ φανεῖ ὅτι ἡ πράξη τους ἦταν ἀποτέλεσμα ἐπηρεασμοῦ. Τὸ ἴδιο γεγονὸς μπορεῖ νὰ δεῖ κανένας ὅτι ἔγινε καὶ ἐπὶ τοῦ Χριστοῦ.

Εἶδες τὴ δύναμη τοῦ κηρύγματος, καὶ πῶς ἐπικρατεῖ, ὄχι μόνο ὅταν οἱ κηρύσσοντες μαστιγώνονται, ἀλλὰ καὶ ὅταν διώκονται ἀπὸ παντοῦ; Ἀπὸ τότε, καὶ ἐνῶ αὐτοὶ κατέθεταν ψευδεῖς μαρτυρίες, ὄχι μόνο δὲν ἐπικρατοῦσαν, ἀλλ' οὔτε νὰ ἀντικρούσουν δὲν μποροῦσαν, ἂν καὶ βέβαια ἦταν ὑπερβολικὰ ἀναίσχυντοι· τόσο πολὺ κατέβαλε αὐτούς, καὶ ὅλα αὐτά, ἐνῶ αὐτοὶ ἔπρατταν πολλὰ ἀπίθανα (ὅπως καὶ στὴν περίπτωση τοῦ Χριστοῦ) καὶ ὅλα τὰ ἔπρατταν γιὰ τὸ θάνατο αὐτοῦ, γιὰ νὰ γίνει στὸ ἑξῆς φανερὸ σὲ ὅλους ὅτι ἡ μάχη δὲν ἦταν ἀνθρώπινη, ἀλλὰ τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους. Ἐξέτασε δὲ καὶ τί λέγουν οἱ ψευδομάρτυρες, ποὺ ὁρίσθηκαν ἀπὸ ἐκείνους ποὺ μὲ φονικὴ πρόθεση ἅρπαξαν αὐτὸν στὸ συνέδριο. «Ἔχομε ἀκούσει αὐτὸν νὰ λέγει βλάσφημα λόγια κατὰ τοῦ Μωϋσέως καὶ τοῦ Θεοῦ». Πώ, πὼ ἀναισχυντία! κάμνετε πράγματα βλάσφημα στὸ Θεὸ καὶ δὲν φροντίζετε γι' Αὐτόν, καὶ προσποιεῖσθε ὅτι φροντίζετε γιὰ τὸν Μωϋσῆ; Γι' αὐτὸ προστίθεται ὁ Μωϋσῆς, ἐπειδὴ δὲν ἐνδιέφεραν πολὺ αὐτοὺς τὰ τοῦ Θεοῦ, καὶ συνέχεια ἀναφέρουν τὸν Μωϋσῆ λέγοντας, «Ὁ Μωϋσῆς αὐτός, ποὺ μᾶς ἔβγαλε ἀπὸ τὴ γῆ τῆς Αἰγύπτου»[4], ἐρεθίζοντας ἔτσι τὸ εὐμετάβλητο τοῦ ὄχλου. Ἂν καὶ βέβαια πῶς ἦταν δυνατὸ ἄνθρωπος βλάσφημος νὰ ὑπερισχύσει; πῶς δὲ αὐτός, ποὺ ἦταν τόσο

ὁ οὕτω βλάσφημος σημεῖα ἐποίει τοιαῦτα ἐν τῷ λαῷ; Ἀλλὰ τοιοῦτον ἡ βασκανία, ἔκφρονας τοὺς ἁλόντας ποιοῦσα, ὡς μηδὲ ἃ φθέγγονται συνορᾶν. «Ἀκηκόαμεν αὐτοῦ», φασί, «λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωσῆν καὶ τὸν Θεόν», καὶ πάλιν· «Οὗτος ὁ ἄνθρωπος οὐ παύεται ῥήματα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου καὶ τοῦ νόμου», καὶ μετὰ προσθήκης· «Ἃ παρέδωκεν ἡμῖν Μωσῆς»· οὐκέτι ὁ Θεός.

3. Ὁρᾷς πῶς ἐπὶ ἀνατροπῇ πολιτείας καὶ ἀσεβείας αὐτοῦ κατηγοροῦσιν; Ὅτι δὲ οὐκ ἦν τοῦ τοιούτου τοιαῦτα λέγειν καὶ θρασέως, παντί που δῆλον· οὕτως ἥμερος καὶ ἀπὸ τοῦ προσώπου ἦν. Ἔνθα μὲν οὖν οὐκ ἐσυκοφαντοῦντο, οὐδὲν τοιοῦτόν φησιν ἡ Γραφή, ἐπεὶ δὲ τὸ πᾶν ἐνταῦθα συκοφαντία ἐστίν, εἰκότως αὐτὴν διορθοῦται ὁ Θεὸς καὶ δι' αὐτῆς τῆς ὄψεως. Ἄρα οἱ Ἀπόστολοι οὐκ ἐσυκοφαντοῦντο, ἀλλ' ἐκωλύοντο· οὗτος δὲ συκοφαντεῖται· διά τοι τοῦτο καὶ πρὸ πάντων ἡ ὄψις ἀπολογεῖται. Τάχα τοῦτο καὶ τὸν ἱερέα ἐνέτρεψεν. Εἰπὼν δὲ ὅτι «ἐπηγγείλατο», δείκνυσι τὴν ἐπαγγελίαν πρὸ τοῦ τόπου γεγενημένην, πρὸ τῆς περιτομῆς, πρὸ θυσίας, πρὸ τοῦ ναοῦ· καὶ ὅτι οὐ κατ' ἀξίαν οὗτοι ἔλαβον οὐδὲ περιτομὴν οὐδὲ νόμον, ἀλλὰ τῆς ὑπακοῆς μόνης μισθὸς ἦν ἡ γῆ (ἀλλ' οὐδέ, τῆς περιτομῆς δοθείσης, ἡ ἐπαγγελία πληροῦται), καὶ ὅτι τύποι ἦσαν, καὶ τὸ τὴν πατρίδα ἀφεῖναι, τοῦ Θεοῦ κελεύσαντος, καὶ συγγένειαν (ἐκείνη γὰρ πατρός, ἔνθα ἂν ἡγεῖται Θεός), καὶ τὸ κληρονομίαν ἐνταῦθα μὴ λαβεῖν· καὶ ὅτι, εἴ τις ἀκριβῶς ἐξετάζοι, Πέρσαι εἰσὶν οἱ Ἰουδαῖοι· καὶ ὅτι χωρὶς σημείων πείθεσθαι δεῖ τῷ Θεῷ λέγοντι, κἂν δεινά τινα συμβαίνῃ· ἐπεὶ καὶ ὁ πατριάρχης, καὶ τὸν τάφον καταλιπὼν τὸν πατρῷον καὶ πάντα, ἐπείθετο τῷ Θεῷ. Εἰ δὲ ὁ τούτου πατὴρ οὐκ ἐκοινώνησεν αὐτῷ τῆς ἐπὶ

πολὺ βλάσφημος, ἔκαμνε τέτοια θαύματα στὸ λαό; Ἀλλὰ τέτοιο πράγμα εἶναι ὁ φθόνος· κάμνει παράφρονες ἐκείνους ποὺ καταλαμβάνει, ὥστε νὰ μὴ κατανοοῦν οὔτε ὅσα λέγουν. «Ἔχουμε ἀκούσει», λέγουν, «νὰ λέγει λόγια βλάσφημα κατὰ τοῦ Μωϋσέως καὶ τοῦ Θεοῦ», καὶ πάλι· «Αὐτὸς ὁ ἄνθρωπος δὲν παύει νὰ λέγει βλάσφημα λόγια κατὰ τοῦ ἁγίου αὐτοῦ τόπου, καὶ κατὰ τοῦ νόμου», καὶ μὲ τὴν προσθήκη, «αὐτὰ ποὺ μᾶς παρέδωσε ὁ Μωϋσῆς»· ὄχι πιὰ ὁ Θεός.

3. Βλέπεις πῶς κατηγοροῦν αὐτὸν γι' ἀνατροπὴ τῆς πολιτείας καὶ γι' ἀσέβεια; Ὅτι δὲ δὲν ἦταν συνηθισμένο σ' αὐτὸν τὸν ἄνθρωπο νὰ λέγει τέτοια λόγια καὶ μὲ θρασύτητα, εἶναι στὸν καθένα βέβαια φανερό· ἦταν τόσο ἥμερος καὶ στὸ πρόσωπό του. Ἐκεῖ λοιπόν, ὅπου δὲν συκοφαντοῦνταν, δὲν λέγει κάτι τέτοιο ἡ Γραφή, ἐπειδὴ δὲ τὸ πᾶν ἐδῶ εἶναι συκοφαντία, ὁ Θεὸς μὲ κατάλληλο τρόπο διορθώνει αὐτὴν καὶ μὲ τὴν ἴδια τὴν ὄψη. Ἄρα οἱ ἀπόστολοι δὲν συκοφαντοῦνταν, ἀλλ' ἐμποδίζονται· αὐτὸς ὅμως συκοφαντεῖται. Ἴσως αὐτὸ ἔκανε τὸν ἱερέα νὰ ἐντραπεῖ. Ὅταν δὲ εἶπε ὅτι «ὑποσχέθηκε», δείχνει, ὅτι ἡ ὑπόσχεση εἶχε δοθεῖ πρὶν ἀπὸ τὸν καθορισμὸ τοῦ τόπου τῆς ἐγκαταστάσεώς του, πρὶν ἀπὸ τὴν περιτομή, πρὶν ἀπὸ τὴ θυσία, πρὶν ἀπὸ τὴν ἀνέγερση τοῦ ναοῦ, καὶ ὅτι αὐτοὶ δὲν ἔλαβαν κατὰ τὴν ἀξία τους, οὔτε τὴν περιτομή, οὔτε τὸ νόμο, ἀλλὰ ὅτι ἡ γῆ ἦταν ἡ μόνη ἀμοιβὴ τῆς ὑπακοῆς τους (ἀλλ' οὔτε ὅταν δόθηκε ἡ περιτομὴ ἐκπληρώνεται ἡ ἐπαγγελία), καὶ ὅτι αὐτὰ ἦταν τύποι, καὶ τὸ νὰ ἀφήσει τὴν πατρίδα του, μόλις διέταξε ὁ Θεός, καὶ τοὺς συγγενεῖς (διότι πατρίδα εἶναι ἐκείνη, ὅπου θὰ ὁδηγεῖ ὁ Θεός), καὶ τὸ νὰ μὴ λάβει ἐδῶ κληρονομία· καὶ ὅτι, ἐὰν κανένας ἤθελε ἐξετάσει μὲ προσοχή, Πέρσες εἶναι οἱ Ἰουδαῖοι· καὶ ὅτι χωρὶς θαύματα πρέπει νὰ πείθεται κανένας στὸ Θεό, ὅταν ὁμιλεῖ, ἀκόμη καὶ ἂν συμβαίνουν φοβερὰ πράγματα· διότι καὶ ὁ πατριάρχης ἐγκαταλείποντας καὶ τὸν πατρικὸ τάφο καὶ ὅλα, πείθονταν στὸ Θεό. Ἂν δὲ ὁ πατέρας του δὲν συμμετεῖχε στὴν

Παλαιστίνην ἀποδημίας τῷ ἄπιστος εἶναι πολλῷ μᾶλλον τὰ παιδία οὐ κοινωνήσουσι, κἂν ἐπὶ πολὺ ἔλθωσι τῆς ὁδοῦ,, τὴν τοῦ πατρὸς μὴ ζηλώσαντα ἀρετήν.

«Καὶ ἐπηγγείλατο αὐτὴν δοῦναι αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ», φησί, «μετ' αὐτόν». Πολλὴ ἐνταῦθα καὶ τοῦ Θεοῦ ἡ φιλανθρωπία δείκνυται, καὶ τοῦ Ἀβραὰμ ἡ πίστις· τὸ γάρ, «οὐκ ὄντος αὐτῷ τέκνου», πείθεσθαι, τοῦτο δείκνυσι καὶ τὴν ὑπακοὴν καὶ τὴν πίστιν, καίτοι γε τὰ γενόμενα τοὐναντίον ἐδείκνυ· οἷον, μετὰ τὸ ἐλθεῖν οὐκ εἶχε βῆμα ποδός, παῖδα οὐκ εἶχεν, ἅπερ ἐναντία ἦν τῇ πίστει. Ταῦτα δὴ κατανοοῦντες καὶ ἡμεῖς, ἅπερ ἂν ἐπαγγέλληται ὁ Θεός, δεχώμεθα, κἂν που ἐναντία ᾖ τὰ γινόμενα, καίτοι ἐφ' ἡμῶν οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφόδρα ἀκόλουθα· ἔνθα μὲν γὰρ ἂν ὦσιν ὑποσχέσεις, ὅταν τὰ ἐναντία γένηται, ἐναντία ἐστὶν ὄντως, ἐφ' ἡμῶν δὲ τοὐναντίον· ἐνταῦθα μὲν θλῖψιν εἶπεν, ἐκεῖ δὲ ἄνεσιν. Τί συγχέομεν τοὺς καιρούς; τί τὰ ἄνω κάτω ποιοῦμεν; Θλίβῃ, εἰπέ μοι, ὅτι ἐν πενίᾳ διάγεις, καὶ θορυβῇ διὰ τοῦτο; Μὴ θορυβοῦ· θορύβου γὰρ ἄξιον, εἰ ἐκεῖ μέλλοις θλίβεσθαι· αὕτη γὰρ ἡ θλῖψις, ἀνέσεως αἰτία. «Ἡ ἀσθένεια αὕτη», φησίν, «οὐκ ἔστι πρὸς θάνατον». Ἐκείνη ἡ θλῖψις, κόλασις· αὕτη, παιδεία καὶ διόρθωσις. Ἀγών ἐστιν ὁ παρὼν καιρός, οὐκοῦν τοῦ πυκτεύειν χρεία· πόλεμός ἐστι καὶ μάχη. Οὐδεὶς ἐν πολέμῳ ζητεῖ ἄνεσιν, οὐδεὶς ἐν πολέμῳ ζητεῖ τρυφήν, οὐδεὶς ὑπὲρ χρημάτων μεριμνᾷ, ὑπὲρ γυναικὸς οὐδεὶς φροντίζει, ἀλλ' εἰς ἓν ὁρᾷ μόνον, ὅπως περιγένοιτο τῶν ἐχθρῶν. Τοῦτο καὶ ἡμεῖς ποιῶμεν· καὶ ἂν περιγενώμεθα καὶ ἐπανέλθωμεν μετὰ τροπαίων, πάντα ἡμῖν ὁ Θεὸς δώσει. Τοῦτο μόνον ἡμῖν σπουδαζέσθω, πῶς περιγενώμεθα τοῦ διαβόλου· μᾶλλον δὲ οὐ τῆς ἡμετέρας τὸ πρᾶγμα σπουδῆς, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτός ἐστι τὸ πᾶν. Ἐν ἡμῖν σπουδαζέσθω,

5. Ἰωάν. 11, 4.

ἀποδημία του στὴν Παλαιστίνη γιὰ τὸν λόγο ὅτι ἦταν ἄπιστος, πολὺ περισσότερο δὲν θὰ συμμετάσχουν τὰ παιδιά του, ἀκόμη καὶ ἂν διανύσουν μεγάλο μέρος τοῦ δρόμου (ἐφόσον δὲν μιμήθηκαν τὴν ἀρετὴ τοῦ πατέρα τους).

«Καὶ ὑποσχέθηκε ὁ Θεός», λέγει, «νὰ δώσει τὴ χώρα αὐτὴ σ' αὐτὸν καὶ στοὺς ἀπογόνους του, μετὰ ἀπ' αὐτόν». Μεγάλη ἀποδεικνύεται ἐδῶ καὶ τοῦ Θεοῦ ἡ φιλανθρωπία, καὶ τοῦ Ἀβραὰμ ἡ πίστη. Διότι, τὸ νὰ ὑπακούει «ἂν καὶ δὲν εἶχε αὐτὸς παιδί», αὐτὸ ἀποδεικνύει καὶ τὴν ὑπακοὴ καὶ τὴν πίστη· ἂν καὶ τὰ γεγονότα βέβαια ἔδειχναν τὸ ἀντίθετο· ὅπως, μετὰ τὴν ἄφιξή του δὲν εἶχε οὔτε ἕνα βῆμα γῆς, παιδὶ δὲν εἶχε, πράγματα ποὺ ἦταν ἀντίθετα πρὸς τὴν πίστη. Αὐτὰ λοιπὸν σκεπτόμενοι καὶ ἐμεῖς, ἐκεῖνα ἀκριβῶς ποὺ ὑπόσχεται ὁ Θεός, νὰ τὰ δεχόμαστε ἀκόμη καὶ ἂν τὰ γεγονότα εἶναι ἀντίθετα, ἂν καὶ δὲν εἶναι σὲ μᾶς ἀντίθετα, ἀλλὰ πάρα πολὺ σύμφωνα. Διότι ὅπου μὲν δίνονται ὑποσχέσεις, ὅταν συμβαίνουν τὰ ἀντίθετα, εἶναι πράγματι ἀντίθετα, ἀλλὰ σὲ μᾶς συμβαίνει τὸ ἀντίθετο· ἐδῶ μὲν εἶπε θλίψη θὰ ἔχουμε, ἐκεῖ δὲ ἄνεση. Γιατὶ συγχέομε τὰ πράγματα; γιατί τὰ κάμνουμε ἄνω κάτω; Πές μου, θλίβεσαι γιατί ζεῖς μέσα στὴ φτώχεια καὶ θορυβεῖσαι γι' αὐτό; Μὴ θορυβεῖσαι· καθόσον αὐτὴ ἡ θλίψη εἶναι αἰτία ἀνέσεως· «Αὐτὴ ἡ ἀσθένεια», λέγει, «δὲν θὰ ὁδηγήσει σὲ θάνατο»[3]. Ἐκείνη ἡ θλίψη εἶναι κόλαση, αὐτὴ εἶναι ἐκπαίδευση καὶ διόρθωση. Ὁ τωρινὸς καιρὸς εἶναι ἀγώνας, καὶ εἶναι λοιπὸν ἀνάγκη νὰ ἀγωνιζόμαστε· πόλεμος εἶναι καὶ μάχη. Στὸν πόλεμο κανένας δὲν ζητεῖ ἄνεση, κανένας δὲν ζητεῖ καλοπέραση, κανένας δὲν φροντίζει γιὰ χρήματα, κανένας δὲν φροντίζει γιὰ τὴ σύζυγο, ἀλλὰ σ' ἕνα μόνο ἀποβλέπει, πῶς νὰ ὑπερνικήσει τοὺς ἐχθρούς. Αὐτὸ ἂς κάμνουμε καὶ ἐμεῖς καὶ ἂν ὑπερισχύσουμε καὶ ἐπιστρέψουμε μὲ τρόπαια, ὅλα θὰ μᾶς τὰ δώσει ὁ Θεός. Αὐτὸ μόνο ἂς προσπαθοῦμε, πῶς θὰ ὑπερισχύσουμε τοῦ διαβόλου· μᾶλλον δὲ τὸ πράγμα δὲν εἶναι τῆς δικῆς μας προσπάθειας, ἀλλὰ τὸ πᾶν ἐξαρτᾶται ἀπὸ τὴ χάρη τοῦ Θεοῦ. Μία ἂς εἶναι ἡ

ὅπως ἐπισπασώμεθα αὐτοῦ τὴν χάριν, ὅπως ἑλκύσωμεν πρὸς ἑαυτοὺς τὴν ῥοπὴν ἐκείνην. «Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;», φησίν. Ἓν μόνον σπουδάζωμεν, ὅπως οὗτος ἡμῖν μὴ ἐχθρὸς γένηται, ὅπως ἡμᾶς μὴ ἀποστραφῇ.

4. Οὐ τὸ θλίβεσθαι κακόν, ἀλλὰ τὸ ἁμαρτάνειν κακόν. Ἡ χαλεπὴ θλῖψις τοῦτό ἐστι, κἂν ἐν τρυφῇ διάγωμεν· οὐ λέγω ἐν τῷ μέλλοντι, ἀλλὰ καὶ ἐν τῷ παρόντι· πῶς γὰρ οἴει τὸ συνειδὸς ἡμῶν δάκνεσθαι; ποίας βασάνου οὐκ εἶναι χεῖρον; Ἐβουλόμην μετὰ ἀκριβείας ἐρωτῆσαι τοὺς ἐν τοῖς κακοῖς ζῶντας, εἰ μηδέποτε εἰς ἔννοιαν ἔρχονται τῶν οἰκείων ἁμαρτημάτων, εἰ μὴ τρέμουσιν, εἰ μὴ δεδοίκασιν, εἰ μὴ ὀδυνῶνται, εἰς μὴ μακαρίζουσι τοὺς ἐν νηστείᾳ, τοὺς ἐν ὄρεσι, τοὺς ἐν φιλοσοφίᾳ ζῶντας. Βούλει ἄνεσιν εὑρεῖν ἐκεῖ; Θλίβηθι ἐνταῦθα διὰ τὸν Χριστόν· οὐδὲν ταύτης τῆς ἀνέσεως ἴσον. Ἔχαιρον οἱ Ἀπόστολοι μαστιζόμενοι. Παῦλος τοῦτο παραινεῖ, λέγων, «Χαίρετε ἐν Κυρίῳ». Καὶ πῶς ἔνι χαίρειν, φησίν, ἔνθα δεσμά, ἔνθα βάσανοι, ἔνθα δικαστήρια; Μάλιστα ἐνταῦθα χαίρεν ἔνι. Πῶς δὲ ἔνι χαίρειν, ἔνθα ταῦτα, μάνθανε. Ὁ μηδὲν ἑαυτῷ συνειδὼς μέγα πως ἡσθήσεται, ὥστε, ὅσῳ ἂν εἴπῃς τὴν θλῖψιν, τοσούτῳ λέγεις τὴν ἡδονήν· εἰπὲ γάρ μοι, ὁ μυρία τραύματα λαβὼν στρατιώτης καὶ ἐπανιὼν ἆρ' οὐχὶ μετὰ πολλῆς ἐπανήξει τῆς ἡδονῆς, (παρρησίας ὑπόθεσιν ἔχων τὰ τραύματα), λαμπρότητός τε καὶ εὐδοκιμήσεως; Καὶ σύ, ἂν δυνηθῇς ῥῆξαι τὴν φωνὴν ἐκείνην, ἣν Παῦλος, ὅτι «τὰ στίγματα τοῦ Ἰησοῦ βαστάζω», δυνήσῃ μέγας γενέσθαι καὶ λαμπρὸς καὶ εὐδόκιμος. Ἀλλ' οὐκ ἔστι διωγμός; Στῆθι πρὸς δόξαν κἂν εἴπῃ τις ἐναντίον τι, μὴ φοβη-

---

6. Ρωμ. 8, 31.
6α. Φιλ. 4, 4.
7. Γαλ. 6, 17.

δική μας φροντίδα, πῶς θὰ ἀποσπάσουμε τὴ χάρη αὐτοῦ, πῶς θὰ προσελκύσουμε πρὸς τοὺς ἑαυτούς μας τὴ βοήθεια ἐκείνη. Διότι λέγει· «Ἐὰν ὁ Θεὸς εἶναι μαζί μας, ποιὸς θὰ εἶναι ἐναντίον μας;»[6]. Ἕνα μόνο ἃς προσπαθοῦμε, πῶς Αὐτὸς νὰ μὴ γίνει ἐχθρός μας, πῶς νὰ μὴ μᾶς ἀποστραφεῖ.

4. Δὲν εἶναι κακὸ τὸ νὰ θλίβεται κάποιος, ἀλλὰ κακὸ εἶναι νὰ ἁμαρτάνει. Αὐτὸ εἶναι ἡ φοβερὴ θλίψη, καὶ ἂν ἀκόμη ζοῦμε μὲ καλοπέραση· δὲν ἀναφέρομαι στὸ μέλλον, ἀλλὰ καὶ στὸ παρόν. Πῶς λοιπὸν νομίζεις ὅτι ἐλέγχεται ἡ συνείδησή μας; ἀπὸ ποιὸ βάσανο δὲν εἶναι χειρότερη; Θὰ ἤθελα νὰ ἐρωτήσω μὲ πολλὴ προσοχή, ἐκείνους ποὺ ζοῦν μέσα στὰ κακά, ἐὰν δὲν ἔχουν σκεφθεῖ ποτὲ τὰ δικά τους ἁμαρτήματα, ἐὰν δὲν τρέμουν, ἐὰν δὲν φοβοῦνται, ἐὰν δὲν πονοῦν, ἐὰν δὲν μακαρίζουν ἐκείνους ποὺ ζοῦν μὲ νηστεία, ἐκείνους ποὺ ζοῦν στὰ ὄρη, ἐκείνους ποὺ ζοῦν εὐσεβὴ ζωή. Θέλεις νὰ βρεῖς ἄνεση στὴν ἄλλη ζωή; τότε νὰ ἀνεχθεῖς τὶς θλίψεις ἐδῶ, γιὰ τὸ Χριστό· τίποτε δὲν εἶναι ὅμοιο μὲ αὐτὴ τὴν ἄνεση. Χαίρονταν οἱ ἀπόστολοι ὅταν μαστιγώνονταν. Αὐτὸ καὶ ὁ Παῦλος συμβουλεύει, λέγοντας, «Χαίρετε ἐν Κυρίῳ»[6α]. Καὶ πῶς εἶναι δυνατό, λέγει, νὰ χαίρεται κανένας, ὅπου ὑπάρχουν φυλακίσεις, ὅπου βάσανα, ὅπου δικαστήρια; Πρὸ πάντων ἐδῶ εἶναι δυνατὸ νὰ χαίρεται κανένας. Ἄκουε δὲ πῶς εἶναι δυνατὸ νὰ χαίρεται κανένας ὅπου ὑπάρχουν ὅλα αὐτά. Ἐκεῖνος ποὺ δὲν ἐνοχλεῖται ἀπὸ τὴ συνείδησή του, θὰ αἰσθάνεται μεγάλη εὐχαρίστηση, ὥστε, ὅσο ὁμιλεῖς γιὰ τὴ θλίψη, τόσο ἀναφέρεις τὴν ἡδονή. Διότι, πές μου, ὁ στρατιώτης ποὺ ἔλαβε ἀμέτρητα τραύματα καὶ ἐπιστρέφει, ἄραγε δὲν θὰ ἐπιστρέψει μὲ πολλὴ εὐχαρίστηση (ἔχοντας ἀπόδειξη τῆς τόλμης του τὰ τραύματά του), μὲ λαμπρότητα καὶ μὲ ὑπόληψη; Καὶ ἐσύ, ἂν μπορέσεις νὰ ἀναφωνήσεις ἐκεῖνο, ποὺ εἶπε ὁ Παῦλος, ὅτι «Ἐγὼ βαστάζω στὸ σῶμα μου τὰ σημάδια τῶν πληγῶν τοῦ Ἰησοῦ»[7], θὰ μπορέσεις νὰ γίνεις μεγάλος καὶ λαμπρὸς καὶ μὲ ὑπόληψη. Ἀλλὰ δὲν ὑπάρχει διωγμός; Τοποθετήσου ἀπέναντι

θῆς ἀκοῦσαι κακῶς διὰ Χριστόν· στῆθι πρὸς τύφου τυραννίδα, στῆθι πρὸς θυμοῦ μάχην, στῆθι πρὸς ἐπιθυμίας βάσανον. Καὶ ταῦτα στίγματά ἐστι, καὶ αὗται βάσανοι· εἰπὲ γάρ μοι, τί τὸ δεινότατον τῶν βασάνων; ἆρ' οὐχ ὅτι ἡ ψυχὴ ἀλγεῖ καὶ καίεται; Ἐκεῖ μὲν γὰρ κἂν τὸ σῶμα μερίζεται, ἐνταῦθα δὲ τὸ πᾶν αὐτῆς ἐστι. Περὶ αὐτὴν ἡ ὀδύνη, ὅταν ὀργίζηται, ὅταν βασκαίνῃ, ὅταν τι τοιοῦτον ποιῇ, μᾶλλον δέ, ὅταν πάσχῃ· οὐ γὰρ ποιεῖν τοῦτό ἐστιν, ἀλλὰ πάσχειν, τὸ ὀργίζεσθαι, τὸ φθόνον ἔχειν· διὰ τοῦτο καὶ πάθη καλεῖται ψυχῆς, καὶ τραύματα, καὶ ὠτειλαί. Ὄντως γὰρ πάθος ἐστί, καὶ πάθους χαλεπώτερον.

Ἐννοήσατε οἱ ὀργιζόμενοι ὅτι πάθει ταῦτα ποιεῖτε· οὐκοῦν ὁ μὴ ὀργιζόμενος οὐ πάσχει. Ὁρᾷς ὅτι ὁ ὑβριζόμενος οὐ πάσχει, ἀλλ' ὁ ὑβρίζων, ὅπερ ἔφην καὶ ἤδη; Ὅτι γὰρ πάσχει δῆλον μὲν καὶ ἀπὸ τοῦ πάθος καλεῖσθαι τὸ τοιοῦτον, δῆλον δὲ καὶ ἐκ τοῦ σώματος· ταῦτα γὰρ ἀπὸ ὀργῆς τίκτεται τὰ πάθη, ἀμβλυωπία, παραπληξία, καὶ μυρία ἕτερα. Ἀλλὰ τὸν παῖδα ὕβρισε, φησίν, ἀλλὰ τὸν οἰκέτην. Μὴ νομίσῃς εἶναι ἀσθένειαν τὸ μὴ καὶ αὐτὸς τοῦτο ποιῆσαι· εἰπὲ γάρ μοι, καλῶς γέγονεν; Οὐκ οἶμαι εἰπεῖν· οὐκοῦν μὴ ποιήσῃς τὸ μὴ καλῶς γινόμενον. Οἶδα οἷαι ἐν τοῖς τοιούτοις αἱ ὀργαὶ τίκτονται. Τί οὖν, ἂν καταφρονῇ, φησίν, ἂν πάλιν εἴπῃ; Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον (πραότητι ὀργὴ λύεται), προσελθὼν ἐγκάλεσον· ὑπὲρ μὲν γὰρ τῶν εἰς ἡμᾶς οὐδὲ τοῦτο ποιεῖν χρή, ὑπὲρ δὲ τῶν ἄλλων καὶ ἀνάγκη τοῦτο δὴ ποιεῖν. Μὴ ἰδίαν ὕβριν νομίσῃς τὸ τὸν παῖδα ὑβρισθῆναι· κἂν

στὴ δόξα· καὶ ἂν κάποιος πεῖ κάτι ἀντίθετο, μὴ φοβηθεῖς νὰ κατηγορηθεῖς γιὰ τὸ Χριστό· στάσου ἀπέναντι τῆς τυραννίας τῆς ὑπεροψίας, στάσου ἀπέναντι τῆς μάχης τοῦ θυμοῦ· στάσου ἀπέναντι στὴ βασανιστικὴ ἐπιθυμία. Καὶ αὐτὰ εἶναι στίγματα καὶ αὐτὰ εἶναι βάσανα· διότι πές μου, ποιὸ εἶναι τὸ πιὸ χειρότερο ἀπὸ τὰ βάσανα; ἄραγε δὲν εἶναι, ὅταν ἡ ψυχὴ ὑποφέρει καὶ καίεται; διότι ἐκεῖ μὲν τὸ σῶμα ὑποφέρει, ἐδῶ δὲ τὸ πᾶν τὸ ὑποφέρει ἡ ψυχή. Γι' αὐτὴν εἶναι ἡ ὀδύνη, ὅταν ὀργίζεται, ὅταν φθονεῖ, ὅταν κάμνει κάτι παρόμοιο, μᾶλλον δὲ ὅταν πάσχει. Διότι αὐτὸ δὲν εἶναι πράξη, ἀλλὰ πάθος, τὸ νὰ ὀργίζεται κανένας, τὸ νὰ ἔχει φθόνο· γι' αὐτὸ καὶ καλοῦνται πάθη τῆς ψυχῆς, καὶ τραύματα καὶ ἀνοιχτὲς πληγές. Πράγματι εἶναι πάθος καὶ χειρότερο ἀπὸ τὸ πάθος.

Σκεφθῆτε οἱ ὀργιζόμενοι ὅτι ἀπὸ πάθος κάμνετε ὅλα αὐτά· λοιπὸν ἐκεῖνος ποὺ δὲν ὀργίζεται, δὲν πάσχει. Βλέπεις, ὅτι δὲν πάσχει ἐκεῖνος ποὺ ὑβρίζεται, ἀλλ' ἐκεῖνος ποὺ ὑβρίζει, ὅπως ἀκριβῶς προανέφερα; Διότι τὸ ὅτι πάσχει, εἶναι μὲν φανερὸ καὶ ἀπὸ τὸ ὅτι αὐτὸ λέγεται πάθος, γίνεται δὲ φανερὸ καὶ ἀπὸ τὸ σῶμα· Καθόσον αὐτὰ τὰ πάθη γεννιῶνται ἀπὸ τὴν ὀργή, ἡ ἀμβλυωπία, ἡ παραλυσία καὶ ἀμέτρητα ἄλλα. Ἀλλ' ἔβρισε τὸν υἱό μου, λέγει, ἀλλ' ἔβρισε τὸ δοῦλο μου. Μὴ νομίσεις ὅτι εἶναι ἀδυναμία, τὸ νὰ μὴ κάμνεις καὶ σὺ τὸ ἴδιο· διότι πές μου, ἦταν καλὸ αὐτὸ ποὺ ἔγινε; Δὲν νομίζω ὅτι θὰ συμφωνήσεις· λοιπὸν μὴ κάμνεις ἐκεῖνο ποὺ δὲν εἶναι καλὸ νὰ γίνεται. Γνωρίζω στὶς περιπτώσεις αὐτὲς τί λογῆς ὀργὲς προκαλοῦνται. Τί λοιπόν, λέγει, ἂν ἀδιαφορεῖ, ἂν τὸ ἐπαναλάβει καὶ πάλι; Νὰ τὸν ἐλέγξεις, νὰ τὸν ἐπιτιμήσεις, νὰ τὸν παρακαλέσεις (ἡ ὀργὴ καταπαύεται μὲ τὴν πραότητα), πήγαινε νὰ ἐλέγξεις καὶ κατάγγειλέ τον. Διότι γιὰ ἐκεῖνα ποὺ ἀφοροῦν ἐμᾶς δὲν πρέπει οὔτε αὐτὸ νὰ τὸ κάμνουμε, γιὰ ἐκεῖνα δὲ ποὺ ἀφοροῦν στοὺς ἄλλους, εἶναι βέβαια ἀνάγκη νὰ τὸ κάμνουμε καὶ αὐτό. Μὴ θεωρήσεις τὴν ὕβρη τοῦ υἱοῦ σου, σὰν δική σου ὕβρη· καὶ ἂν ἀκόμη ὑποφέρεις γιὰ

ἀλγῇς ὑπὲρ ἐκείνου, μὴ ὡς αὐτὸς ὑβρισθείς· οὐ γάρ, ἐπειδὴ ὁ παῖς κακῶς ἔπαθεν, ὑβρίσθης σύ, ἀλλ' ὁ ποιήσας κακῶς. Σβέσον τὴν μάχαιραν τὴν ὀξεῖαν, ἐν τῇ θήκῃ κείσθω. Ἂν ἔχωμεν αὐτὴν γυμνήν, πολλάκις καὶ οὐκ ὄντος καιροῦ χρησόμεθα, ἐφελκόμενοι ὑπ' αὐτῆς· ἂν δὲ ᾖ κεκρυμμένη, κἂν χρεία γένηται, σβεσθήσεται ἡ ὀργή. Ὑπὲρ αὐτοῦ οὐ βούλεται ἡμᾶς ὀργίζεσθαι ὁ Χριστὸς (ἄκουσον γὰρ τί φησι πρὸς τὸν Πέτρον· «Ἀπόστρεψον τὴν μάχαιράν σου εἰς τὴν θήκην), καὶ σὺ ὑπὲρ παιδὸς ὀργίζῃ; Δίδαξον καὶ τὸν παῖδα φιλοσοφεῖν, εἰπὲ αὐτῷ τὰ τοῦ Δεσπότου παθήματα, μίμησαί σου τὸν Διδάσκαλον. Ὅτε ἔμελλον καὶ αὐτοὶ ἀτιμάζεσθαι, οὐκ εἶπεν ὅτι 'ἐκδικήσω', ἀλλὰ τί; «Ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν». Οὐκοῦν φέρετε γενναίως· οὐ γὰρ ἐμοῦ βελτίους ὑμεῖς.

Ταῦτα καὶ σὺ πρὸς τὸν υἱὸν καὶ τὸν παῖδα εἰπέ· 'Οὐκ εἶ τοῦ δεσπότου σου βελτίων'. Ἀλλὰ χῆρας εἶναι δοκεῖ τὰ ῥήματα τῆς φιλοσοφίας. Οἴμοι, ὅτι λόγῳ παραστῆσαι οὐκ ἔνι, ὡς ὑπὸ τῆς πείρας αὐτῆς διδαχθῆναι ἔνεστι! Καὶ ἵνα μάθῃς, ἐν μέσῳ δύο ἑστὼς δαμαχομένων, γενοῦ τῆς μερίδος τῶν ἀδικουμένων, καὶ μὴ τῶν ἀδικούντων, ἂν μὴ παρὰ σαυτῷ τὰ νικητήρια ἴδῃς, ἂν μὴ λαμπροὺς λάβῃς στεφάνους. Ὅρα πῶς ὑβρίζεται ὁ Θεός, καὶ πῶς ἀποκρίνεται πράως καὶ ἡμέρως. «Ποῦ ἐστι», φησίν, «Ἄβελ ὁ ἀδελφός σου;». Καὶ τί ἐκεῖνος; «Μὴ φύλαξ ἐγώ εἰμι τοῦ ἀδελφοῦ μου;». Τί αὐθαδέστερον τούτου; κἂν παρά γε υἱοῦ ἤκουσεν ἄν τις; εἰ γὰρ παρὰ ἀδελφοῦ, οὐχ ὕβριν ἂν ἡγήσατο τὸ πρᾶγμα; Ἀλλ' ὁ Θεὸς πάλιν ἡμέρως ἀποκρίνεται· «Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου», φησί, «βοᾷ πρός με». Ἀλλ' ὁ Θεὸς ἀνώτερός ἐστιν ὀργῆς, φησίν. Ἀλλὰ διὰ τοῦτο κατῆλθεν ὁ τοῦ Θεοῦ Υἱός, ἵνα σὲ θεὸν ποιήσῃ, κατὰ δύναμιν τὴν ἀνθρωπίνην. Ἀλλ'

8. Ματθ. 26, 52.
9. Ἰωάν. 15, 20.
10. Γεν. 4, 9.
11. Γεν. 4, 10.

ἐκεῖνον, ὄχι σὰν νὰ βρίσθηκες ὁ ἴδιος· διότι δὲν βρίσθηκες σύ, ἐπειδὴ ὁ υἱός σου προσβλήθηκε, ἀλλὰ ἐκεῖνος ποὺ τὸν πρόσβαλε. Συγκράτησε τὸ κοφτερὸ μαχαίρι σου, καὶ τοποθέτησέ το στὴν θήκη του. Ἂν τὸ ἔχομε γυμνό, πολλὲς φορὲς καὶ χωρὶς νὰ ὑπάρχει ἀφορμὴ θὰ τὸ χρησιμοποιήσουμε, παρασυρόμενοι ἀπ' αὐτό· ἂν δὲ εἶναι κρυμμένο, καὶ ὅταν παρουσιασθεῖ ἀνάγκη, θὰ σβησθεῖ ἡ ὀργή. Ὁ Χριστὸς δὲν θέλει νὰ ὀργιζόμαστε γιὰ πράγματα ποὺ ἀφοροῦν ἐμᾶς (διότι ἄκουσε τί λέγει στὸν Πέτρο· «Θέσε τὸ μαχαίρι σου στὴ θήκη του»)[8], καὶ σὺ ὀργίζεσαι γιὰ τὸν υἱό σου; δίδαξε τὸν υἱό σου νὰ φιλοσοφεῖ. Πές του τὰ παθήματα τοῦ Κυρίου μας, μιμήσου τὸν Διδάσκαλο. Ὅταν ἐπρόκειτο καὶ οἱ ἴδιοι νὰ ὑποστοῦν ἀτιμώσεις, δὲν εἶπε ὅτι 'θὰ ἐκδικηθῶ', ἀλλὰ τί; «Ἐμένα ἔδιωξαν, καὶ σᾶς θὰ σᾶς διώξουν»[9]. Λοιπὸν ὑπομένετε μὲ γενναιότητα· διότι σεῖς δὲν εἶστε ἀνώτεροι ἀπὸ ἐμένα.

Αὐτὰ καὶ ἐσὺ νὰ πεῖς στὸν υἱό σου καὶ στὸ δοῦλο σου· 'Δὲν εἶναι ἀνώτερος ἀπὸ τὸν Κύριο'. Ἀλλὰ τὰ λόγια τῆς φιλοσοφίας φαίνονται ὅτι εἶναι λόγια χήρας. Ἀλλοίμονο, διότι δὲν μπορεῖ νὰ παραστήσει κανένας μὲ λόγια, ὅσο εἶναι δυνατὸ νὰ διδαχθεῖ ἀπὸ τὴν ἴδια τὴν πείρα. Καὶ γιὰ νὰ μάθεις, ὅταν βρίσκεσαι ἀνάμεσα σὲ δύο ἀντιμαχόμενους, νὰ ταχθεῖς μὲ τὴν μερίδα τῶν ἀδικουμένων, καὶ ὄχι τῶν ἀδικούντων, ὅταν δὲν δεῖς τὴ νίκη μὲ τὸ μέρος σου, ὅταν δὲν λάβεις λαμπροὺς στεφάνους. Πρόσεχε, πῶς βρίζεται ὁ Θεός, καὶ πῶς ἀποκρίνεται μὲ πραότητα καὶ ἡμερότητα. «Ποῦ εἶναι», λέγει, «Ἄβελ, ὁ ἀδελφός σου;». Καὶ τί ἀπαντᾶ ἐκεῖνος; «Μήπως εἶμαι ἐγὼ φύλακας τοῦ ἀδελφοῦ μου;»[10]. Τί αὐθαδέστερο ὑπάρχει ἀπ' αὐτό; θὰ μποροῦσε κανένας νὰ ἀκούσει αὐτὸ ἔστω καὶ ἀπὸ τὸν υἱό του; διότι ἐὰν τὸ ἄκουε ἀπὸ τὸν ἀδελφό του, δὲν θὰ τὸ θεωροῦσε ὕβρη; Ἀλλ' ὁ Θεὸς ἀποκρίνεται καὶ πάλι μὲ ἡμερότητα· «Ἡ φωνὴ τοῦ αἵματος τοῦ ἀδελφοῦ σου κράζει πρὸς ἐμένα ἀπὸ τὸ ἔδαφος»[11]. Ἀλλ' ὁ Θεός, λέγει, εἶναι ἀνώτερος τῆς ὀργῆς. Ἀλλὰ γι' αὐτὸ κατῆλθε ὁ Υἱὸς τοῦ Θεοῦ, γιὰ νὰ σὲ κάνει θεὸ κατὰ τὴν

οὐ δύναμαι, φησίν, ἄνθρωπος ὤν. Οὐκοῦν φέρε ἀνθρώπους σοι παραγάγωμεν. Καὶ μήν με νομίσῃς Παῦλον ἐρεῖν μηδὲ Πέτρον, ἀλλά τινας τῶν ἐλαττόνων καὶ σφόδρα κατωτέρω. Τὸ παιδάριον Ἠλεὶ τὴν Ἄνναν ὕβρισε, λέγον· «Περιελοῦ τὸν οἶνόν σου». Τί τούτου ὑβριστικώτερον; Τί οὖν ἐκείνη; «Γυνὴ ἐν σκληρᾷ ἡμέρᾳ ἐγώ εἰμι». Οὐδὲν ὄντως θλίψεως ἴσον· φιλοσοφίας μήτηρ ἐστίν. Ἡ αὐτὴ δὲ αὕτη, καὶ τὴν ἀντίζηλον αὐτῆς ἔχουσα, οὐχ ὕβρισεν αὐτήν, ἀλλὰ τί; Πρὸς τὸν Θεὸν καταφεύγει, καὶ εὐχομένη οὐδὲ μέμνηται αὐτῆς, οὐδὲ λέγει· 'Επειδὴ ὀνειδίζει με ἡ δεῖνα, ἐπάμυνόν μοι'· οὕτω φιλόσοφος ἦν ἡ γυνὴ (αἰσχυνθῶμεν οἱ ἄνδρες), καίτοι ἴστε ὅτι ζήλου ἴσον οὐδέν.

5. Ὁ τελώνης, ὑβρισθεὶς παρὰ τοῦ Φαρισαίου, οὐκ ἀνύβρισε, (καίτοι γε, εἰ ἐβούλετο, ἠδύνατο), ἀλλὰ φιλοσόφως ἤνεγκε, λέγων· «Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ». Ὁ Μεμφιβοσθαί, ὑπὸ τοῦ δούλου κατηγορηθεὶς καὶ συκοφαντηθείς, οὐδὲν οὔτε εἶπεν, οὔτε ἔπραξεν εἰς αὐτόν τι πονηρόν, οὐδὲ ἐπὶ τοῦ βασιλέως αὐτοῦ. Βούλει καὶ πόρνης ἀκοῦσαι φιλοσοφίαν; Ἄκουσον τοῦ Χριστοῦ λέγοντος, ἡνίκα ταῖς θριξὶν αὐτῆς τοὺς πόδας ἀπέμασσε· «Τελῶναι καὶ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν». Εἶδες αὐτὴν ἑστῶσαν καὶ δακρύουσαν καὶ τὰ οἰκεῖα ἁμαρτήματα ἀπολουομένην; Ὅρα πῶς καὶ πρὸς τὸν Φαρισαῖον οὐκ ὠργίσθη ὀνειδιζομένη· εἰ ἤδει γάρ, φησίν, ὅτι ἁμαρτωλός ἐστιν αὕτη ἡ γυνή, οὐκ ἂν εἴασεν αὐτήν. Καὶ οὐκ εἶπε πρὸς αὐτόν· 'Τί γάρ; εἰπέ μοι· σὺ καθαρὸς ἀπὸ ἁμαρτημάτων εἶ;' ἀλλὰ πλέον ἔπασχε, πλέον ὠδύρετο, καὶ θερμότερα τὰ δάκρυα ἠφίει. Εἰ δὲ γυναῖκες καὶ τελῶναι καὶ πόρναι φιλοσοφοῦσι, καὶ ταῦτα πρὸ τῆς χά-

12. Α΄ Βασιλ. 1, 14.
13. Α΄ Βασιλ. 1, 15.
14. Β΄ Βασιλ. 16, 1 καὶ 19, 24 - 30.
15. Λουκᾶ 7, 38.
16. Ματθ. 21, 31.
17. Λουκᾶ 7, 39.

ἀνθρώπινη δύναμη. Ἀλλὰ δὲν μπορῶ, λέγει, ἐπειδὴ εἶμαι ἄνθρωπος. Λοιπὸν ἐμπρός νὰ σοῦ παρουσιάσουμε ἀνθρώπους. Καὶ μὴ νομίσεις ὅτι θὰ ἀναφέρω τὸν Παῦλο, οὔτε τὸν Πέτρο, ἀλλὰ μερικοὺς ἀπὸ τοὺς ἀσήμαντους καὶ τοὺς πάρα πολὺ κατώτερους. Ὁ δοῦλος τοῦ Ἠλεὶ ἔβρισε τὴν Ἄννα, λέγοντας· «Ἀπόβαλε τὸν οἶνο ἀπὸ μέσα σου»[12]. Τί ὑπάρχει ὑβριστικώτερο ἀπ' αὐτό; Τί ἀπάντησε λοιπὸν ἐκείνη; «Ὄχι, δὲν εἶμαι μεθυσμένη, ἀλλ' εἶμαι μιὰ γυναίκα δυστυχισμένη»[13]. Πράγματι τίποτε δὲν μπορεῖ νὰ ἐξισωθεῖ μὲ τὴ θλίψη· αὐτὴ εἶναι ἡ μητέρα τῆς εὐσέβειας. Αὐτὴ δὲ ἡ ἴδια δὲν ἔβρισε αὐτήν, ἂν καὶ εἶχε τὴν ἀντίζηλό της· ἀλλὰ τί ἔκανε; Καταφεύγει στὸ Θεό, καὶ προσευχόμενη δὲν θυμᾶται καθόλου αὐτήν, οὔτε λέγει· 'ἐπειδὴ μὲ προσβάλλει ἡ τάδε, ὑπεράσπισέ με'. τόσο εὐσεβὴς ἦταν ἡ γυναίκα (ἂς ντραποῦμε ἐμεῖς οἱ ἄνδρες), ἂν καὶ βέβαια γνωρίζετε, ὅτι τίποτε δὲν εἶναι ἴσο μὲ τὸ ζῆλο.

5. Ὁ τελώνης ἂν καὶ βρίσθηκε ἀπὸ τὸν Φαρισαῖο, δὲν ἀνταπέδωσε τὴν ὕβρη (ἂν καὶ βέβαια μποροῦσε, ἂν ἤθελε), ἀλλ' ὑπέμεινε μαρτυρικά, λέγοντας· «εὐσπλαχνίσου με τὸν ἁμαρτωλό». Ὁ Μεμφιβολισθαὶ ὅταν κατηγορήθηκε καὶ συκοφαντήθηκε ἀπὸ τὸ δοῦλο, οὔτε εἶπε, οὔτε ἔκανε κανένα κακὸ σ' αὐτόν, οὔτε ἐνώπιον τοῦ βασιλέως[14]. Θέλεις δὲ νὰ μάθεις καὶ τὴν εὐσέβεια τῆς πόρνης; Ἄκουσε τὸ Χριστὸ ποὺ λέγει, ὅταν ἐκείνη μὲ τὰ μαλλιὰ τῆς κεφαλῆς της σφούγγιζε τὰ πόδια του[15]· «οἱ τελῶνες καὶ οἱ πόρνες σᾶς προλαβαίνουν στὴ βασιλεία τοῦ Θεοῦ»[16]. Εἶδες αὐτὴν νὰ στέκεται καὶ νὰ δακρύζει καὶ νὰ λούζει τὰ ἁμαρτήματά της; Βλέπε πῶς καὶ πρὸς τὸ Φαρισαῖο δὲν ὀργίσθηκε, ἂν καὶ βριζόταν· διότι λέγει, 'ἂν γνώριζε ὅτι εἶναι ἁμαρτωλὴ ἡ γυναίκα αὐτή, δὲν θὰ τὴν ἄφηνε'[17]. Καὶ δὲν εἶπε πρὸς αὐτόν· 'Τί λοιπόν; πές μου· σὺ εἶσαι καθαρὸς ἀπὸ ἁμαρτήματα'; ἀλλὰ περισσότερο ἔπασχε, περισσότερο ἔκλαιγε καὶ θερμότερα τὰ δάκρυα ἄφηνε νὰ τρέχουν. Ἐὰν δὲ γυναῖκες καὶ τελῶνες καὶ πόρνες δείχνουν τέτοια εὐσέβεια καὶ ὅλα αὐτὰ πρὶν ἀπὸ τὶ θεῖα χά-

ριτος, τίνος ἐσόμεθα ἡμεῖς ἄξιοι συγγνώμης, μετὰ τὴν τοσαύτην χάριν θηρίων μᾶλλον ἐκπολεμούμενοι, δάκνοντες καὶ λακτίζοντες; Οὐδὲν αἰσχρότερον θυμοῦ, οὐδὲν ἀτιμότερον, οὐδὲν δεινότερον, οὐδὲν ἀηδέστερον, οὐδὲν βλαβερώτερον.

Ταῦτα λέγω, οὐχ ἵνα πρὸς ἄνδρας ὦμεν ἥμεροι μόνον, ἀλλά, κἂν γυνὴ λάλος ᾖ, ἵνα φέρῃς· ἔστω σοι παλαίστρα καὶ γυμνάσιον ἡ γυνή. Πῶς γὰρ οὐκ ἄτοπον, γυμνάσια μὲν ἀναδέχεσθαι οὐδὲν κέρδος ἔχοντα, ἔνθα θλίβομεν τὸ σῶμα, γυμνάσια δὲ μὴ ποιεῖν οἴκαδε, καὶ πρὸ τῶν ἀγώνων στέφανον ἡμῖν παρέχοντα; Ὑβρίζει ἡ γυνή; Μὴ γένῃ σὺ γυνή· γυναικῶδες γὰρ τὸ ὑβρίζειν· νόσος ἐστὶ ψυχῆς, ἐλάττωμά ἐστι. Μὴ νομίσῃς ἀνάξιόν σου εἶναι, ὅταν ἡ γυνὴ ὑβρίσῃ. Ἀνάξιον, ὅταν σὺ μὲν ὑβρίζῃς, ἐκείνη δὲ φιλοσοφῇ· τότε ἀσχημονεῖς, τότε ὑβρίσθης· ἂν δὲ ὑβρισθείς, ἐνέγκῃς, τῆς ἰσχύος τῆς σῆς πολλὴ ἡ ἐπίδειξις. Οὐ τὰς γυναῖκας ἐνάγων εἰς ὕβρεις, ταῦτα λέγω, μὴ γένοιτο! ἀλλ' εἴ που καὶ συμβαίη κατὰ σατανικὴν περίστασιν, ἵνα φέρητε. Ἀνδρῶν ἐστι τὸ φέρειν τῶν ἰσχυρῶν τοὺς ἀσθενεῖς. Κἂν οἰκέτης ἀντείπῃ, φιλοσόφησον σύ· μή, τί ἐκεῖνος ἄξιός ἐστιν ἀκοῦσαι, εἴπῃς ἢ πράξῃς, ἀλλὰ τί δεῖ σε καὶ ποιῆσαι καὶ εἰπεῖν. Μηδέποτε, κόρην ὑβρίζων, αἰσχρὸν ῥῆμα ἐκβάλῃς· μηδέποτε οἰκέτην μιαρὸν εἴπῃς. Ἐκεῖνος οὐχ ὑβρίσθη, ἀλλὰ σύ. Οὐκ ἔστιν ἐν ἑαυτῷ εἶναι τὸν ὀργιζόμενον, ὥσπερ οὐδὲ πέλαγος κυμαινόμενον, ἢ πηγὴν μένειν καθαράν, βορβόρου ποθὲν ἐμπεσόντος αὐτῇ· οὕτω πάντα ἀναμίξ, μᾶλλον δὲ οὕτω πάντα ἄνω καὶ κάτω γίνεται. Κἂν τυπτήσῃς, κἂν διαρρήξῃς τὸν χιτωνίσκον, σὺ μείζονα τὴν βλάβην ὑπέμεινας· ἐκείνῳ μὲν γὰρ περὶ τὸ σῶμα καὶ περὶ τὴν ἐσθῆτα ἡ πληγή, σοὶ δὲ περὶ τὴν ψυχήν.

ρη, ποιᾶς συγγνώμης θὰ εἴμαστε ἐμεῖς ἄξιοι, ὅταν μετὰ ἀπὸ τόσο μεγάλη θεία χάρη πολεμοῦμε μὲ ὅλες μας τὶς δυνάμεις, δαγκώνοντας καὶ λακτίζοντας; Τίποτε δὲν ὑπάρχει αἰσχρότερο τοῦ θυμοῦ, τίποτε ἀναξιότερο, τίποτε φοβερότερο, τίποτε ἀηδέστερο, τίποτε βλαβερώτερο.

Αὐτὰ τὰ λέγω, ὄχι γιὰ νὰ εἴμαστε ἥμεροι μόνο πρὸς ἄνδρες, ἀλλά, καὶ ἂν ἀκόμα ἡ γυναίκα εἶναι φλύαρη, νὰ τὴν ὑποφέρεις· ἂς εἶναι γιὰ σένα ἡ γυναίκα παλαίστρα καὶ γυμναστήριο. Διότι πῶς δὲν εἶναι παράλογο, νὰ δεχόμαστε μὲν νὰ κάμνουμε γυμνάσια, ποὺ δὲν ἀποδίδουν κανένα κέρδος, καὶ ὅπου καταπονοῦμε τὸ σῶμα, καὶ νὰ μὴ κάμνουμε γυμνάσια στὴν οἰκία, καὶ ποὺ πρὶν ἀπὸ τοὺς ἀγῶνες μᾶς παρέχουν στέφανο; Βρίζει ἡ γυναίκα; Νὰ μὴ γίνεσαι καὶ σὺ γυναίκα· διότι τὸ νὰ βρίζει κανένας εἶναι γυναικεῖο γνώρισμα· εἶναι ἀρρώστια τῆς ψυχῆς, εἶναι ἐλάττωμα. Μὴ νομίσεις ὅτι εἶναι ἀνάξιο γιὰ σένα, ὅταν ἡ γυναίκα βρίζει. Ἀνάξιο εἶναι ὅταν, σὺ μὲν βρίζεις, ἐκείνη δὲ ζεῖ μὲ εὐσέβεια· τότε κάμνεις ἀσχήμιες, τότε βρίζεσαι· ἂν δὲ ὑπομείνεις τὴν ὕβρη, αὐτὸ εἶναι ἀπόδειξη τῆς μεγάλης δυνάμεώς σου. Δὲν τὰ λέγω αὐτὰ γιὰ νὰ προτρέψω τὶς γυναῖκες σὲ ὕβρεις· μὴ γένοιτο! Ἀλλ' ἂν κάπου συμβεῖ αὐτό, κατὰ σατανικὴ σύμπτωση, νὰ τὴν ὑπομένετε. Γνώρισμα τῶν ἰσχυρῶν ἀνδρῶν εἶναι νὰ ὑπομένουν τοὺς ἀσθενεῖς. Καὶ ἂν δοῦλος σὲ ἀντιμιλήσει, σὺ δεῖξε καρτερικότητα· νὰ μὴ πεῖς ἢ πράξεις κάτι ποὺ ἐκεῖνος εἶναι ἄξιος ν' ἀκούσει, ἀλλὰ τί πρέπει σὺ νὰ πράξεις καὶ νὰ πεῖς. Ποτὲ νὰ μὴ βγάλεις λόγο αἰσχρό, βρίζοντας κόρη, ποτὲ νὰ μὴ πεῖς δοῦλο μιαρό. Δὲν βρίσθηκε ἐκεῖνος, ἀλλ' ἐσύ. Δὲν εἶναι δυνατὸ ὁ ὀργιζόμενος νὰ γνωρίζει τί κάνει, ὅπως ἀκριβῶς οὔτε κυματῶδες πέλαγος ἢ πηγὴ νὰ μένει καθαρή, ὅταν πέσει μέσα σ' αὐτὴν ἀπὸ κάπου βοῦρκος· τόσο πολὺ τὰ πάντα ἀνακατεύονται, μᾶλλον τόσο πολὺ γίνονται ὅλα ἄνω κάτω. Καὶ ἂν χτυπήσεις κάποιον, καὶ ἂν σχίσεις τὸ χιτώνα, σὺ ἔπαθες μεγαλύτερη βλάβη· διότι τὸ κτύπημα γιὰ ἐκεῖνον μὲν εἶναι στὸ σῶμα καὶ τὸ ἔνδυμα, γιὰ σένα δὲ εἶναι στὴν ψυχή. Τὴν ψυχὴ

'Εκείνην διέτεμες, ἐκείνην ἔτρωσας, τὸν ἡνίοχον ἔβαλες ἀπὸ τῶν ἵππων κάτω, ὕπτιον σύρεσθαι παρεσκεύασας· καὶ ταυτὸν γίνεται, οἷον, ἐὰν ἡνίοχος ἑτέρῳ ὀργιζόμενος ἕλοιτ' ἂν σύρεσθαι.

Κἂν ἐπιπλήττῃς, κἂν νουθετῇς, κἂν ὁτιοῦν ποιῇς, ὀργῆς χωρὶς καὶ θυμοῦ· εἰ γὰρ ὁ ἐπιπλήττων ἰατρὸς ἐστι τοῦ ἁμαρτάνοντος, πῶς ἂν δύναιτο θεραπεῦσαι ἕτερον, ἑαυτὸν πρότερον κακώσας, ἑαυτὸν μὴ θεραπεύων; Εἴ τις, εἰπέ μοι, ἰατρὸς πορεύοιτο ἕτερον θεραπεύειν, πρότερον τὴν χεῖρα τραυματίσας τὴν ἑαυτοῦ, πρότερον τοὺς ὀφθαλμοὺς πηρώσας, οὕτω ποιεῖται ἐκείνου τὴν ἰατρείαν; Οὐχί, φησίν. Οὕτω καὶ σὺ κἂν ἐπιπλήττῃς, κἂν νουθετῇς, καθαρὰ βλεπέτωσάν σου οἱ ὀφθαλμοί. Μὴ θολώσῃς τὸν νοῦν, ἐπεὶ πῶς ἡ θεραπεία γενήσεται; Οὐκ ἔστιν ἐν τῇ αὐτῇ γαλήνῃ εἶναι ἀόργητον ὄντα καὶ ὀργιζόμενον. Τί, τὸν διδάσκαλον ἀπὸ τοῦ θρόνου καταστρέψας, οὕτω διαλέγῃ τῷ χαμαὶ κειμένῳ; Οὐχ ὁρᾷς τοὺς δικάζοντας, οἵ, ὅταν μέλλωσι κρίνειν, καθέζονται ἐπὶ τοῦ θρόνου, καὶ ἐν σχήματι τῷ προσήκοντι; Οὕτω καὶ σὺ ποίησον· κόσμησον τὴν ψυχὴν ἐσθῆτι δικαστικῇ, (αὕτη δέ ἐστιν ἡ ἐπιείκεια), καὶ τότε ἐπὶ τοῦ θρόνου δικαστὴς κάθισον. 'Αλλ' οὐ φοβηθήσεται, φησί. Μᾶλλον φοβηθήσεται. Τότε, κἂν δίκαια λέγῃς, τῷ θυμῷ λογιεῖται ὁ οἰκέτης· ἂν δὲ μετὰ ἐπιεικείας, ἑαυτοῦ καταγνώσεται, τὸ δὲ προηγούμενον, ἀποδέξεταί σε ὁ Θεός, καὶ οὕτω δυνήσῃ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

κατέκοψες, ἐκείνην πλήγωσες, τὸν ἱππέα ἔρριξες κάτω ἀπὸ τοὺς ἵππους, τὸν ἔκανες νὰ σύρεται ὕπτιος· καὶ γίνεται τὸ ἴδιο μὲ ἐκεῖνο, ποὺ γίνεται ὅταν ὁ ἱππέας ὀργιζόμενος ἐναντίον ἄλλου θὰ προτιμοῦσε νὰ σύρεται.

Καὶ ὅταν ἐπιπλήττεις καὶ ὅταν νουθετεῖς, καὶ ὅταν ὁ,τιδήποτε κάμνεις, νὰ τὸ κάμνεις χωρὶς ὀργὴ καὶ θυμό· διότι, ἐὰν ἐκεῖνος ποὺ ἐπιπλήττει εἶναι ἰατρὸς τοῦ ἁμαρτάνοντος, πῶς θὰ μποροῦσε νὰ θεραπεύσει ἄλλον, ἐφόσον προηγουμένως ἔβλαψε τὸν ἑαυτό του, ἐφόσον δὲν θεραπεύει τὸν ἑαυτό του; Πές μου, ἂν κάποιος ἰατρὸς πρόκειται νὰ μεταβεῖ νὰ θεραπεύσει ἄλλον, ἀφοῦ προηγουμένως τραυμάτισε τὸ χέρι του, τύφλωσε τοὺς ὀφθαλμούς, ἔτσι θὰ θεραπεύσει ἐκεῖνον; Ὄχι, λέγει. Ἔτσι καὶ σύ, εἴτε ἐπιπλήττεις, εἴτε νουθετεῖς, ἂς βλέπουν τὰ μάτια σου καθαρά. Μὴ θολώσεις τὸ νοῦ, διότι πῶς θὰ γίνει ἡ θεραπεία; Δὲν εἶναι δυνατὸ νὰ βρίσκονται στὴν ἴδια ἠρεμία ὁ μὴ ὀργιζόμενος καὶ ὁ ὀργιζόμενος. Γιατὶ ἀφοῦ ἀνέτρεψες τὸ δάσκαλο ἀπὸ τὴν ἕδρα, διαλέγεσαι ἔτσι μὲ ἐκεῖνον, ποὺ βρίσκεται πεσμένος στὸ ἔδαφος; Δὲν βλέπεις τοὺς δικαστές, πού, ὅταν πρόκειται νὰ κρίνουν, κάθονται ἐπάνω στὴν ἕδρα καὶ μὲ τὸ κατάλληλο ἔνδυμα; Ἔτσι καὶ σὺ νὰ κάνεις· νὰ κοσμίσεις τὴν ψυχή σου μὲ δικαστικὴ ἐνδυμασία (αὐτὴ δὲ εἶναι ἡ ἐπιείκεια), καὶ τότε νὰ καθίσεις ἐπάνω στὴν ἕδρα σὰν δικαστής. Ἀλλὰ δὲν θὰ φοβηθεῖ, λέγει. Θὰ φοβηθεῖ, καὶ πολὺ μάλιστα. Τότε καὶ ἂν λέγεις δίκαια, ὁ δοῦλος θὰ ἀποδώσει τοὺς λόγους στὸ θυμό· ἂν δὲ μὲ ἐπιείκεια, θὰ καταδικάσει τὸν ἑαυτό του· τὸ δὲ κυριώτερο, θὰ σὲ ἀποδεχθεῖ ὁ Θεός, καὶ ἔτσι θὰ μπορέσεις νὰ ἐπιτύχεις τὰ αἰώνια ἀγαθὰ μὲ τὴ χάρη καὶ εὐσπλαχνία, καὶ φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο μαζὶ μὲ τὸν Πατέρα συγχρόνως καὶ μὲ τὸ ἅγιο Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΣΤ΄

(Πραξ. 7, 6 - 34)

«Ἐλάλησε δὲ οὕτως ὁ Θεός, λέγων ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτό, καὶ κακώσουσι ἔτη τετρακόσια· καὶ τὸ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ, εἶπεν ὁ Θεός· καὶ μετὰ ταῦτα ἐξελεύσονται, καὶ λατρεύσουσί μοι ἐν τῷ τόπῳ τούτῳ».

1. Ὅρα πρὸ πόσων ἐτῶν ἡ ἐπαγγελία καὶ ὁ τῆς ἐπαγγελίας τρόπος, καὶ οὐδαμοῦ θυσία, οὐδαμοῦ περιτομή. Ἐνταῦθα δείκνυσιν ὅτι αὐτὸς αὐτοὺς ἠφίει κακῶς πάσχειν, καὶ ὅτι οὐκ ἀτιμωρητὶ ταῦτα ἔσται. «Τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ, εἶπεν ὁ Θεός». Ὁρᾷς; ὁ ἐπαγγειλάμενος, ὁ δοὺς τὴν γῆν, πρότερον τὰ κακὰ συγχωρεῖ· οὕτω καὶ νῦν, εἰ καὶ βασιλείαν ἐπηγγείλατο, ἀλλ' ἀφίησιν ἐγγυμνάζεσθαι τοῖς πειρασμοῖς. Εἰ ἐνταῦθα μετὰ τετρακόσια ἔτη ἡ ἐλευθερία, τί θαυμαστόν, ἐπὶ τῆς βασιλείας εἰς τὸ αὐτὸ γίνεται; Ὅμως γοῦν ἐποίησε, καὶ οὐκ ἴσχυσεν ὁ χρόνος ὡς ψευδῆ ἐλέγξαι τὸν λόγον, καίτοι οὐ τὴν τυχοῦσαν δουλείαν ὑπέμειναν. Οὐ μὴν οὐδὲ μέχρι τῆς τιμωρίας τῆς ἐκείνων ἔστη, ἀλλὰ καὶ αὐτοῖς χρηστὰ ἐπαγγέλλεται. Ἐμοὶ δὲ δοκεῖ διὰ τούτων αὐτοὺς καὶ ἀναμιμνήσκειν τῆς εὐεργεσίας, ἧς ἔτυχον.

«Καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς, καὶ οὕτως ἐγέννησε τὸν Ἰσαάκ». Ἐνταῦθα λοιπὸν καθυφίησι. «Καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ· καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας. Καὶ οἱ πατριάρχαι, ζη-

---

1. Πράξ. 7, 6 - 7 καὶ Γεν. 15, 13.
2. Γέν. 17, 9 - 14. 21, 2 - 4.
3. Γέν. 25, 20 - 26.
4. Γέν. 35, 22 - 26.

ΟΜΙΛΙΑ ΙΣΤ΄
(Πραξ. 7, 6 - 34)

«Εἶπε δὲ ὁ Θεὸς τὰ ἑξῆς, οἱ ἀπόγονοί του θὰ εἶναι σὰν πάροικοι σὲ ξένη χώρα, τῆς ὁποίας οἱ κάτοικοι θὰ τοὺς ὑποδουλώσουν καὶ θὰ τοὺς κακομεταχειρισθοῦν τετρακόσια χρόνια· καὶ τὸ ἔθνος, στὸ ὁποῖο θὰ γίνουν δοῦλοι, θὰ τὸ κρίνω ἐγώ, εἶπε ὁ Θεός, καὶ ὕστερα θὰ βγοῦν καὶ θὰ μὲ λατρεύσουν στὸν τόπο αὐτό»[1].

1. Βλέπε πρὶν ἀπὸ πόσα χρόνια εἶναι ἡ ὑπόσχεση καὶ ὁ τρόπος τῆς ὑποσχέσεως, καὶ πουθενὰ δὲν ἀναφέρεται θυσία, πουθενὰ περιτομή. Ἐδῶ δείχνει, ὅτι ὁ ἴδιος ὁ Θεὸς ἐπέτρεψε αὐτοὺς νὰ ὑποφέρουν, καὶ ὅτι δὲν θὰ συμβοῦν αὐτὰ χωρὶς τιμωρία. «Τὸ δὲ ἔθνος στὸ ὁποῖο θὰ ὑποδουλωθοῦν οἱ ἀπόγονοι τοῦ Ἀβραάμ, θὰ τὸ κρίνω ἐγώ, εἶπε ὁ Θεός». Βλέπεις; ἐκεῖνος ποὺ ὑποσχέθηκε, καὶ ποὺ ἔδωσε τὴ γῆ, προηγουμένως ἐπιτρέπει τὰ κακά· ἔτσι καὶ τώρα, ἂν καὶ ὑποσχέθηκε τὴ βασιλεία, ἀφήνει ὅμως νὰ ἀσκούμαστε μὲ τὶς δοκιμασίες. Ἐὰν ἐδῶ μετὰ τετρακόσια ἔτη ὑπάρχει ἐλευθερία, τί τὸ ἀξιοθαύμαστο, ἂν γίνεται τὸ ἴδιο καὶ στὴ βασιλεία; Ὅμως τὸ πραγματοποίησε βέβαια καὶ δὲν κατώρθωσε ὁ χρόνος νὰ ἀποδείξει τὸ λόγο του ψεύτικο, ἂν καὶ δὲν ὑπέμειναν τυχαία δουλεία. Ἀλλ' ὅμως δὲν σταμάτησε τὴν ὑπόσχεσή του μέχρι τὴν τιμωρία ἐκείνων, ἀλλὰ καὶ στοὺς ἴδιους τοὺς Ἰσραηλίτες ὑπόσχεται ἀγαθά. Ἐγὼ δὲ νομίζω, ὅτι μὲ αὐτοὺς τοὺς λόγους ὑπενθυμίζει σ' αὐτοὺς τὴν εὐεργεσία ποὺ ἔτυχαν.

«Καὶ ἔδωσε ὁ Θεὸς στὸν Ἀβραὰμ διαθήκη τῆς περιτομῆς καὶ ἔτσι γέννησε τὸν Ἰσαάκ[2]. Ἐδῶ πλέον ὑποχωρεῖ. «Καὶ τὸν περιέτεμε τὴν ὀγδόη ἡμέρα ἀπὸ τῆς γεννήσεώς του[2] καὶ ὁ Ἰσαὰκ γέννησε τὸν Ἰακώβ[3], καὶ ὁ Ἰακὼβ τοὺς δώδεκα πατριάρχες[4]. Καὶ οἱ πατριάρχες

λώσαντες τὸν Ἰωσήφ, ἀπέδοντο εἰς Αἴγυπτον». Τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονε· καὶ γὰρ αὐτοῦ τύπος ὁ Ἰωσήφ· διὸ καὶ αἰνιττόμενος, τὴν ἱστορίαν δι' ὅλου ἐπέξεισιν· οὐδὲν γὰρ ἔχοντες ἐγκαλεῖν, ἀλλ' ἐλθόντα ἐπὶ τροφὴν τὴν αὐτῶν κακῶς διέθηκαν. Καὶ ὅρα ὅτι καὶ ἐνταῦθα πάλιν ἐπαγγελία μακρά, καὶ ὅμως τέλος λαμβάνει. «Καὶ ἦν ὁ Θεὸς μετ' αὐτοῦ»· τοῦτο καὶ ὑπὲρ αὐτῶν. «Καὶ ἐξείλετο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ». Ἐνταῦθα δείκνυσιν ὅτι οὐκ εἰδότες συνέπραττον τῇ προφητείᾳ, καὶ ὅτι αὐτοὶ αἴτιοι ἐγίνοντο, καὶ τὰ κακὰ εἰς αὐτοὺς περιετρέπετο. «Καὶ ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἔναντι Φαραὼ βασιλέως Αἰγύπτου».. Χάριν ἔδωκε, καὶ ταῦτα ἐπὶ βαρβάρου ἀνδρός, τῷ δούλῳ καὶ αἰχμαλώτῳ, ὃν οἱ μὲν ἀδελφοὶ ἀπέδοντο, ἐκεῖνος δὲ ἐτίμησεν. «Ἐγένετο δὲ λιμὸς ἐφ' ὅλην τὴν γῆν Αἰγύπτου καὶ Χαναάν, καὶ θλῖψις μεγάλη, καὶ οὐχ εὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν. Ἀκούσας δὲ Ἰακὼβ ὄντα σῖτα ἐν Αἰγύπτῳ, ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον. Καὶ ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ». Κατῆλθον ὠνησόμενοι, καὶ ἐκείνου ἐν χρείᾳ κατέστησαν. Τί οὖν αὐτός; Οὐ μέχρι τούτου τὴν φιλανθρωπίαν ἐπεδείξατο, ἀλλὰ καὶ τῷ Φαραὼ ἐγνώρισε, καὶ αὐτοὺς κατήγαγε.

«Καὶ φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος τοῦ Ἰωσήφ. Ἀποστείλας δὲ Ἰωσήφ, μετεκαλέσατο τὸν πατέρα αὐτοῦ Ἰακώβ, καὶ πᾶσαν τὴν συγγένειαν ἐν ἑβδομήκοντα καὶ πέντε ψυχαῖς. Κατέβη δὲ Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς καὶ οἱ πατέρες ἡμῶν. Καὶ μετετέθησαν εἰς Συχέμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι, ὃ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀρ-

5. Γέν. 37, 11-36.
6. Γέν. 41, 37-46.
7. Γέν. 42, 6-45, 5.
8. Γέν. 45. 15-46, 27.

ἐπειδὴ φθόνησαν τὸν Ἰωσήφ, τὸν πούλησαν σὰν δοῦλο στὴν Αἴγυπτο»[5]. Αὐτὸ συνέβηκε καὶ στὴν περίπτωση τοῦ Χριστοῦ· διότι ὁ Ἰωσὴφ ἦταν τύπος αὐτοῦ· γι' αὐτὸ καὶ ὑπονοώντας αὐτό, διηγεῖται μέχρι τέλος τὴν ἱστορία τοῦ Ἰωσήφ· διότι ἐνῶ δὲν εἶχαν καμιὰ κατηγορία ἐναντίον του, ὅταν ὅμως ἦλθε γιὰ νὰ τοὺς φέρει τροφή, τὸν συμπεριφέρθηκαν ἄσχημα. Καὶ πρόσεχε ὅτι καὶ ἐδῶ πάλι δίνεται ὑπόσχεση μακροχρόνια, καὶ ὅμως παίρνει τέλος. Καὶ ἦταν ὁ Θεὸς μαζί του». Αὐτὸ ἦταν καὶ ὑπὲρ αὐτῶν. «Καὶ ἐλευθέρωσε αὐτὸν ὁ Θεὸς ἀπὸ ὅλες τὶς θλίψεις του». Ἐδῶ ἀποδεικνύει, ὅτι χωρὶς νὰ γνωρίζουν συνέβαλλαν στὴν ἐκπλήρωση τῆς προφητείας καὶ ὅτι οἱ ἴδιοι ἔγιναν αἴτιοι, καὶ τὰ κακὰ στράφηκαν ἐναντίον τους. «Καὶ ἔδωσε σ' αὐτὸν χάρη καὶ σοφία ἐνώπιον τοῦ βασιλέως τῆς Αἰγύπτου»[6]. Ἔδωσε χάρη, καὶ μάλιστα στὴν περίπτωση ἄνδρα βαρβάρου, σ' ἕνα δοῦλο καὶ αἰχμάλωτο, τὸν ὁποῖο, οἱ μὲν ἀδελφοὶ τὸν πούλησαν, ἐκεῖνος δὲ τὸν τίμησε. «Καὶ ἔγινε πείνα σ' ὅλη τὴν Αἴγυπτο καὶ τὴ Χαναὰν καὶ θλίψη μεγάλη, καὶ δὲν εὕρισκαν οἱ πρόγονοί μας τρόφιμα γιὰ τὸν ἑαυτό τους καὶ γιὰ τὰ ποίμνιά τους. Ὅταν δὲ ἄκουσε ὁ Ἰακώβ, ὅτι ὑπῆρχαν σιτάρια στὴν Αἴγυπτο, ἔστειλε ἐκεῖ γιὰ πρώτη φορὰ τοὺς προπάτορές μας. Καὶ κατὰ τὴ δεύτερη φορά, ἀναγνωρίσθηκε ὁ Ἰωσὴφ ἀπὸ τοὺς ἀδελφούς του»[7]. Κατέβηκαν γιὰ νὰ ἀγοράσουν τρόφιμα, καὶ βρέθηκαν στὴν ἀνάγκη τοῦ Ἰωσήφ. Τί λοιπὸν ἔκανε αὐτός; Δὲν ἔδειξε τὴ φιλανθρωπία του μέχρι τοῦ σημείου αὐτοῦ, ἀλλὰ καὶ μὲ τὸν Φαραὼ τοὺς γνώρισε, καὶ αὐτοὺς τοὺς ἴδιους μετέφερε ἐκεῖ.

«Καὶ ἔγινε στὸ Φαραὼ ἡ γνωριμία ὅλης τῆς οἰκογένειας τοῦ Ἰωσήφ. Ἀφοῦ δὲ ἔστειλε ὁ Ἰωσὴφ προσκάλεσε πλησίον του τὸν πατέρα του Ἰακώβ, καὶ ὅλη τὴν οἰκογένειά του, ἀποτελούμενη ἀπὸ ἑβδομήντα πέντε ἄτομα[8]. Κατέβηκε δὲ ὁ Ἰακὼβ στὴν Αἴγυπτο καὶ πέθανε ἐκεῖ αὐτὸς καὶ οἱ προπάτορές μας. Καὶ μεταφέρθηκαν τὰ ὀστᾶ του στὴ Συχέμ, καὶ τοποθετήθηκαν σὲ μνῆμα, ποὺ ἀγόρασε ὁ Ἀβραάμ, μὲ ἀντίτιμο σὲ ἀργυρὰ νομίσματα ἀπὸ τοὺς υἱοὺς

γυρίου παρὰ τῶν υἱῶν Ἐμμὼρ τοῦ Συχέμ. Καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας, ἧς ὤμοσεν ὁ Θεὸς τῷ Ἀβραάμ, ηὔξησεν ὁ λαός, καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ, ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ». Πάλιν ἄλλη ἀνελπιστία· πρώτη μὲν ὁ λιμός, δευτέρα τὸ ἐμπεσεῖν εἰς χεῖρας τοῦ ἀδελφοῦ, καὶ τρίτη τὸ ἀναιρεῖσθαι ψῆφον δοθῆναι ὑπὸ τοῦ βασιλέως, καὶ ὅμως διεσώθησαν τούτων ἁπάντων. Εἶτα, τὸ εὐμήχανον δεικνὺς τοῦ Θεοῦ, φησίν· «Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς, καὶ ἦν ἀστεῖος τῷ Θεῷ». Εἰ ἐκεῖνο θαυμαστόν, ὅτι ὑπὸ ἀδελφῶν ἐπράθη, ἀλλὰ τοῦτο θαυμαστότερον, ὅτι βασιλεὺς ἔτρεφεν αὐτόν, τὸν μέλλοντα καθαιρεῖν αὐτοῦ τὴν ἀρχήν, αὐτὸς ὁ μέλλων ἀπόλλυσθαι. Ὁρᾷς πανταχοῦ τῶν νεκρῶν σχεδὸν διατυπουμένην τὴν ἀνάστασιν; Καίτοι οὐκ ἔστιν ἴσον αὐτόν τι τὸν Θεὸν ποιεῖν καὶ ἀπὸ προαιρέσεως ἀνθρωπίνης τι γενέσθαι. Ταῦτα γοῦν οὐκ ἀπὸ προαιρέσεως ἀνθρωπίνης ἦν. «Καὶ ἦν δυνατὸς ἐν λόγῳ καὶ ἔργῳ». Τοῦτο εἶπε, κἀκεῖνον σωτῆρα καὶ τούτους περὶ τὸν εὐεργέτην ἀγνώμονας δεικνύς. Καθάπερ οὖν τότε ὑπὸ τοῦ κακῶς παθόντος, τοῦ Ἰωσήφ, ἐσώθησαν, οὕτω καὶ νῦν ὑπὸ τοῦ κακῶς παθόντος ἐσώθησαν, τοῦ Μωϋσέως λέγω· τί γάρ, εἰ μὴ ἀνεῖλον αὐτὸν τῷ πράγματι; Τῷ λόγῳ ἀνεῖλον, ὥσπερ κἀκεῖνοι. Καὶ ἐκεῖνοι μὲν ἐκ τῆς αὐτῶν εἰς ἀλλοδαπὴν καὶ ξένην ἀπέδοντο, οὗτοι δὲ ἐκ τῆς ἀλλοτρίας εἰς ἀλλοτρίαν φυγαδεύουσι, καὶ ἐκεῖ μὲν τροφὴν ἀποφέροντα, ἐνταῦθα δὲ συμβουλεύοντα δι' ὧν ἔσονται μετὰ Θεοῦ. Οὕτως ἀληθὲς καὶ ἐκ τῶν νῦν οἰκονομουμένων ἐκεῖνο τὸ ὑπὸ τοῦ Γαμαλιὴλ εἰρημένον, ὅτι «ἐὰν ᾖ ἐκ τοῦ Θεοῦ, οὐ δύνασθε

9. Γέν. 47, 27 - 50, 13.
10. Γέν. 47, 27 καὶ Ἔξ. 1, 7. Δευτ. 10, 22 κ.ἀ.
11. Ἔξ. 2, 2.

τοῦ 'Εμμὼρ τοῦ Συχεμίτη[9]. Καθὼς δὲ πλησίαζε ὁ χρόνος κατὰ τὸν ὁποῖο ἐπρόκειτο νὰ πραγματοποιηθεῖ ἡ ὑπόσχεση, ποὺ μὲ ὅρκο διεβεβαίωσε ὁ Θεὸς στὸν 'Αβραάμ, αὐξήθηκε σὲ δύναμη ὁ λαὸς καὶ πλήθυνε σὲ ἀριθμὸ στὴν Αἴγυπτο[10], μέχρις ὅτου ἐμφανίσθηκε ἄλλος βασιλιάς, ποὺ δὲν γνώριζε τὸν 'Ιωσήφ». Ἄλλο πάλι ἀνέλπιστο· πρῶτα μὲν ἦταν ἡ πείνα, δεύτερο δὲ τὸ ὅτι ἔπεσαν στὰ χέρια τοῦ ἀδελφοῦ τους, καὶ τρίτο, τὸ ὅτι, ἐνῶ εἶχε ἀποφασισθεῖ ἀπὸ τὸν βασιλιὰ νὰ θανατωθοῦν, καὶ ὅμως διασώθηκαν ἀπὸ ὅλα αὐτά. Ἔπειτα, γιὰ νὰ δείξει τὴ δυνατότητα ἐξευρέσεως τρόπων ὑπὸ τοῦ Θεοῦ, λέγει· «Κατὰ τὸν καιρὸ δὲ αὐτὸν γεννήθηκε ὁ Μωϋσῆς[11] καὶ ἦταν ὡραῖος καὶ χαριτωμένος ἐνώπιον τοῦ Θεοῦ». Ἂν ἐκεῖνο εἶναι ἀξιοθαύμαστο, ὅτι πουλήθηκε ἀπὸ τοὺς ἀδελφούς του, αὐτὸ ὅμως εἶναι ἀξιοθαυμαστότερο, τὸ ὅτι ὁ βασιλιὰς ἔτρεφε αὐτόν, ποὺ ἐπρόκειτο νὰ καταλύσει τὴν ἐξουσία του, ὁ ἴδιος ποὺ ἐπρόκειτο νὰ καταστραφεῖ. Βλέπεις ὅτι παντοῦ σχεδὸν προεικονίζεται ἡ ἀνάσταση τῶν νεκρῶν; Ἂν καὶ δὲν εἶναι ὅμοιο τὸ νὰ κάμνει κάτι ὁ ἴδιος, καὶ τὸ νὰ γίνεται κάτι ἀπὸ τὴν ἀνθρώπινη βούληση. Αὐτὰ βέβαια δὲν ἦταν ἔργα ἀνθρώπινης βουλήσεως. «Καὶ ἦταν δυνατὸς τόσο στοὺς λόγους, ὅσο καὶ στὰ ἔργα». Αὐτὸ τὸ εἶπε, γιὰ ν' ἀποδείξει καὶ ἐκεῖνον σὰν σωτήρα καὶ αὐτοὺς σὰν ἀγνώμονες πρὸς τὸν εὐεργέτη τους. Ὅπως ἀκριβῶς λοιπὸν τότε σώθηκαν ἀπὸ τὸν κακοπαθήσαντα 'Ιωσήφ, ἔτσι καὶ τώρα λέγω· σώθηκαν ἀπὸ τὸν κακοπαθήσαντα Μωϋσῆ, διότι τί καὶ ἂν δὲν φόνευσαν αὐτὸν στὴν πράξη; μὲ τὸ λόγο τὸν θανάτωσαν, ὅπως καὶ ἐκεῖνοι. Καὶ ἐκεῖνοι μὲν ἀπὸ τὴ δική τους χώρα πούλησαν τὸν 'Ιωσὴφ σὲ ξένη καὶ ἀλλόφυλη χώρα, αὐτοὶ δέ, ἀπὸ τὴν ξένη ἐκδιώκουν τὸ Μωϋσῆ σὲ ἄλλη ξένη χώρα καὶ ἐκεῖ μέν, νὰ τοὺς προσφέρει τροφή, ἐδῶ δέ, νὰ τοὺς συμβουλεύει ἐκεῖνα ποὺ θὰ τοὺς ἔκαναν νὰ εἶναι μαζὶ μὲ τὸ Θεό. Ἔτσι ἀποδεικνύεται, μὲ τὰ ὅσα συμβαίνουν τώρα, ἀληθινὸ καὶ ἐκεῖνο ποὺ ἔχει λεχθεῖ ἀπὸ τὸ Γαμαλιήλ, ὅτι «δὲν μπορεῖτε νὰ καταστρέψετε αὐτό, ἐὰν εἶναι ἐκ τοῦ

καταλῦσαι αὐτό». Σὺ δέ, τοὺς ἐπιβουλευομένους τῶν ἐπιβουλευόντων αἰτίους σωτηρίας γινομένους μανθάνων, ἐκπλάγηθι τοῦ Θεοῦ τὸ εὐμήχανον καὶ τὴν σύνεσιν· εἰ μὴ γὰρ ἐκεῖνοι ἐπεβουλεύθησαν, οὐκ ἂν οὗτοι ἐσώζοντο. Λιμὸς ἦν, καὶ οὐκ ἀνάλωσεν αὐτούς. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ δι' ἐκείνου ἐσώθησαν τοῦ προσδοκηθέντος ἀπολωλέναι. Πρόσταγμα βασιλικόν, καὶ οὐκ ἠφάνισεν αὐτούς, ἀλλὰ τότε μᾶλλον ηὔξετο τὸ πλῆθος, ὅτε ἐκεῖνος ἀπέθανεν ὁ εἰδὼς αὐτούς. Τὸν Σωτῆρα αὐτῶν ἠβουλήθησαν ἀνελεῖν, καὶ οὐδὲ οὕτως ἴσχυσαν.

2. Ὁρᾷς ὅτι, δι' ὧν ὁ διάβολος ἐπεχείρει καταλύειν τὴν ἐπαγγελίαν τοῦ Θεοῦ, διὰ τούτων ηὔξετο; Τοῦτο καὶ αὐτοὺς ἥρμοστε τότε εἰπεῖν, ὅτι εὐμήχανός ἐστιν ὁ Θεὸς καὶ ἀναγαγεῖν ἡμᾶς δυνατὸς ἐντεῦθεν· τὸ γὰρ εὐμήχανον τοῦ Θεοῦ μάλιστα τοῦτο ἦν, ὅτι καὶ ἐν τῇ ἀποστροφῇ ηὔξετο τὸ ἔθνος, δουλούμενον, καὶ κακούμενον, καὶ ἀναιρούμενον. Τὸ μέγα τῆς ἐπαγγελίας τοῦτό ἐστιν· εἰ γὰρ ἐπὶ τῆς αὐτῶν ηὔξετο, οὐχ οὕτω θαυμαστὸν ἦν. Καὶ οὐδὲ μικρὸν χρόνον ἐπὶ τῆς ἀλλοτρίας ἦσαν, ἀλλὰ τετρακόσια ἔτη. Ἐντεῦθεν μανθάνομεν ὡς φιλοσοφίαν ἐπεδείξαντο μεγάλην· καὶ γὰρ οὐχ ὡς δεσπόται δούλοις αὐτοῖς ἐχρῶντο, ἀλλ' ὡς ἐχθροὶ καὶ τύραννοι. Διὸ καὶ προεῖπον ὅτι ἐν ἐλευθερίᾳ ἔσονται μεγάλῃ· τοῦτο γάρ ἐστι τὸ «λατρεύουσί μοι», καὶ ὅτι ἐνταῦθα ἐπανελεύσονται, καὶ οὐκ ἀτιμωρητί. Καὶ ὅρα πῶς δοκεῖ μέν τι χαρίζεσθαι τῇ περιτομῇ, οὐδὲν δὲ δίδωσιν· εἴ γε ἡ μὲν ἐπαγγελία πρὸ ταύτης, αὕτη δὲ μετὰ ταῦτα.

«Καὶ οἱ πατριάρχαι», φησί, «ζηλώσαντες». Ἔνθα οὐ βλάπτει, χαρίζεται αὐτοῖς. Πατριάρχας δέ φησι τοὺς προγόνους, ἐπειδὴ καὶ ἐν τούτοις μέγα ἐφρόνουν· ἄλλως δὲ καὶ δείκνυσιν ὅτι οἱ ἅγιοι οὐχὶ ἐκτὸς ἦσαν θλίψεως, ἀλλά, καὶ ἐν αὐταῖς ὄντες μέσαις ταῖς θλίψεσι, βοηθείας ἐτύγχανον.

12. Πράξ. 5, 30.
13. Ἔξ. 1, 10-14.

Θεοῦ»[12]. Σὺ δὲ ἀφοῦ μάθεις ὅτι ἐκεῖνοι ποὺ παθαίνουν κακὰ γίνονται αἴτιοι σωτηρίας αὐτῶν ποὺ σκέπτονται καὶ διαπράττουν κακά, θαύμαζε τὴν ἐπινοητικότητα καὶ τὴ σύνεση τοῦ Θεοῦ· διότι, ἂν ἐκεῖνοι δὲν πάθαιναν κακά, αὐτοὶ δὲν θὰ σώζονταν. Πείνα ἦταν καὶ δὲν τοὺς ἐξαφάνισε. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ σώθηκαν ἀπὸ ἐκεῖνον, ποὺ ἔλπισαν ὅτι εἶχε χαθεῖ. Βασιλικὸ διάταγμα ἐκδόθηκε καὶ δὲν τοὺς ἐξαφάνισε, ἀλλὰ τότε περισσότερο αὐξανόταν τὸ πλῆθος, ὅταν πέθανε ἐκεῖνος ποὺ τοὺς γνώριζε. Τὸ Σωτῆρα τους θέλησαν νὰ θανατώσουν, καὶ οὔτε ἔτσι μπόρεσαν.

2. Βλέπεις, ὅτι μὲ ἐκεῖνα ποὺ ὁ διάβολος ἐπιχειροῦσε νὰ καταλύσει τὴν ὑπόσχεση τοῦ Θεοῦ, μὲ ἐκεῖνα αὐξανόταν; Αὐτὸ ἔπρεπε τότε καὶ αὐτοὶ νὰ ποῦν, ὅτι ὁ Θεὸς εἶναι ἐφευρετικὸς καὶ μπορεῖ νὰ μᾶς βγάλει ἀπ' ἐδῶ». Διότι ἡ ἐφευρετικότητα τοῦ Θεοῦ σ' αὐτὸ πρὸ πάντων συνίστατο, στὸ ὅτι καὶ κατὰ τὴν παραμονή του σὲ ἄλλη χώρα, τὸ ἔθνος αὐξανόταν, παρ' ὅτι εἶχε δουλεῖες, κακοποιήσεις καὶ θανάτους. Αὐτὸ ἄλλωστε εἶναι τὸ σημαντικὸ τῆς ὑποσχέσεως. Διότι ἂν αὐξανόταν στὴ δική του χώρα, δὲν θὰ ἦταν τόσο πολὺ ἄξιο ἀπορίας. Καὶ οὔτε ἦταν λίγο καιρὸ σὲ ξένη χώρα, ἀλλὰ τετρακόσια χρόνια. Ἀπὸ ἐδῶ μαθαίνομε ὅτι ἔδειξαν μεγάλη ὑπομονή. Διότι δὲν τοὺς μεταχειρίζονταν οἱ Αἰγύπτιοι ὅπως οἱ κύριοι τοὺς δούλους, ἀλλὰ σὰν ἐχθροὶ καὶ τύραννοι[13]. Γι' αὐτὸ καὶ προεῖπε, ὅτι θὰ βρεθοῦν σὲ ἐλευθερία μεγάλη· διότι αὐτὸ σημαίνει τό, «Θὰ μὲ λατρεύσουν» καὶ ὅτι θὰ ἐπανέλθουν στὴ χώρα τους καὶ ὄχι χωρὶς τιμωρίες. Καὶ πρόσεχε, πῶς φαίνεται μὲν ὅτι τοὺς κάνει χάρη μὲ τὴν περιτομή, ἀλλὰ δὲν τοὺς δίνει τίποτε· διότι, ἐὰν μὲν ἡ ὑπόσχεση δόθηκε πρὶν ἀπ' αὐτήν, αὐτὴ δόθηκε μεταγενέστερα.

«Καὶ οἱ πατριάρχες», λέγει, «ἐπειδὴ φθόνησαν τὸν Ἰωσήφ». Ὅπου δὲν βλάπτει, τοὺς φέρεται κατὰ τρόπο εὐχάριστο. Πατριάρχες δὲ λέγει τοὺς προγόνους, ἐπειδὴ καὶ γι' αὐτοὺς καυχῶνταν. Ἐξ ἄλλου δὲ δείχνει ὅτι οἱ ἅγιοι δὲν ἦταν χωρὶς θλίψεις, ἀλλὰ καὶ ὅταν ἦταν μέσα

Οἱ δὲ οὐ μόνον οὐκ ἔλυον, ἀλλὰ καὶ συνέπραττον τοῖς θλίβουσιν, ὀφείλοντες μᾶλλον αὐτὰς διακόπτειν. Ὥσπερ οὖν οὗτοι τὸν Ἰωσὴφ ἐνδοξότερον ἐποίησαν ἀποδόμενοι, οὕτως ὁ βασιλεὺς τὸν Μωϋσῆν κελεύσας ἀναιρεῖσθαι τὰ παιδία· εἰ μὴ γὰρ ἐκέλευσεν, οὐκ ἂν τοῦτο ἐγίνετο. Καὶ σκόπει Θεοῦ κηδεμονίαν. Ἐκεῖνος φυγαδεύει τὸν Μωϋσῆν· ὁ δὲ οὐ κωλύει, τὸ μέλλον οἰκονομῶν, ἵνα ἐκεῖ τῆς ὄψεως τύχῃ, ἄξιος γενόμενος. Οὕτω καὶ τὸν δοῦλον τὸν πραθέντα ποιεῖ ἐκεῖ βασιλέα, ἔνθα ἐνομίζετο δοῦλος εἶναι. Ὥσπερ δὲ οὗτος ἐκεῖ βασιλεύει, ἔνθα αὐτὸν ἐπώλησαν, οὕτω καὶ ὁ Χριστὸς ἐν τῷ θανάτῳ τὴν δύναμιν ἐπιδείκνυται. Τοῦτο οὐχὶ τιμῆς μόνον ἦν, ἀλλὰ καὶ τοῦ θαρρεῖν τῇ οἰκείᾳ δυνάμει. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον καὶ ὅλον τὸν οἶκον αὐτοῦ». Ὅρα διὰ λιμὸν οἷα κατασκευάζει. «Ἐν ἑβδομήκοντα καὶ πέντε ψυχαῖς κατέβη», φησίν, «Ἰακὼβ εἰς Αἴγυπτον. Καὶ ἐτελεύτησεν αὐτὸς καὶ οἱ πατέρες ἡμῶν. Καὶ μετετέθησαν εἰς Συχέμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι, ὃ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὼρ τοῦ Συχέμ». Δείκνυσιν ὅτι οὐδὲ μέχρι ταφῆς κύριοι ἦσαν. «Καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας, ἧς ὤμοσεν ὁ Θεὸς τῷ Ἀβραάμ, ηὔξησεν ὁ λαός, καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ, ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ». Ὅρα ὅτι οὐδὲ ἐν τοῖς τοσούτοις ἔτεσιν αὐτοὺς αὔξει, ἀλλ' ὅτε ἔμελλεν ἐγγίζειν τὸ τέλος, καίτοι ἤδη τετρακόσια ἔτη ἦν παρελθόντα καὶ πλείονα ἐν Αἰγύπτῳ. Τὸ γοῦν θαυμαστὸν τοῦτό ἐστιν. «Οὗτος», φησί, «κατασοφισάμενος τὸ γένος ἡμῶν,

---

14. Ἐξ. 2, 11 - 3, 22 κ.ἑ.
15. Ψαλμ. 104, 21 καὶ
16. Γέν. 46, 6 - 27.
17. Γέν. 23, 16 - 20.
18. Ἐξ. 1, 8 - 10.

στὶς θλίψεις, βοηθοῦνταν ἀπὸ τὸ Θεό. Αὐτοὶ δὲ ὄχι μόνο δὲν κατέπαυαν τὶς θλίψεις, ἀλλὰ καὶ συνέπρατταν μὲ τοὺς θλίβοντες, ἐνῶ ὄφειλαν μᾶλλον νὰ διακόπτουν αὐτές. Ὅπως λοιπὸν αὐτοί, ὅταν πούλησαν τὸν Ἰωσήφ, τὸν ἔκαναν ἐνδοξότερο, ἔτσι καὶ ὁ βασιλιὰς ἔκανε τὸν Μωϋσῆ[14], ἀφοῦ διέταξε νὰ θανατώνονται τὰ παιδιά· διότι, ἐὰν δὲν διέτασσε, δὲν θὰ συνέβαινε αὐτό. Καὶ πρόσεξε τὴν πρόνοια τοῦ Θεοῦ. Ἐκεῖνος ἀναγκάζει σὲ φυγὴ τὸν Μωϋσῆ, ὁ δὲ Θεός, δὲν παρεμβάλλει ἐμπόδια σ' αὐτό, ἐξοικονομώντας τὸ μέλλον κατὰ τέτοιο τρόπο, ὥστε ὁ Μωϋσῆς καὶ ἐκεῖ νὰ ἀξιωθεῖ νὰ δεῖ τὸ Θεό. Ἔτσι καὶ τὸν πωληθέντα δοῦλο, τὸν κάμνει βασιλιὰ ἐκεῖ, ἐνῶ νομιζόταν ὅτι εἶναι δοῦλος. Ὅπως λοιπὸν αὐτὸς βασιλεύει ἐκεῖ, ὅπου τὸν πούλησαν, ἔτσι καὶ ὁ Χριστὸς στὸ θάνατο δείχνει τὴ δύναμή του. Αὐτὸ ἦταν δεῖγμα ὄχι μόνο τιμῆς, ἀλλὰ καὶ τῆς πεποιθήσεώς του στὴ δική του δύναμη.

Ἀλλ' ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ προαναφερθέντα. «Καὶ ἐγκατέστησε αὐτὸν ὁ Φαραὼ ἡγεμόνα σὲ ὅλη τὴν Αἴγυπτο καὶ σ' ὁλόκληρο τὸν οἶκο του»[15]. Βλέπε τί πράγματα προετοιμάζει γιὰ τὴν πεῖνα. «Μὲ ἑβδομήντα πέντε ἄτομα»[16], λέγει, «κατέβηκε ὁ Ἰακὼβ στὴν Αἴγυπτο καὶ πέθανε ἐκεῖ αὐτὸς καὶ οἱ προπάτορές μας. Καὶ μεταφέρθηκαν τὰ ὀστᾶ τους στὴ Συχὲμ καὶ τοποθετήθηκαν στὸ μνῆμα, ποὺ ἀγόρασε ὁ Ἀβραὰμ μὲ ἀντίτιμο ἀργυρῶν νομισμάτων ἀπὸ τοὺς υἱοὺς Ἐμμώρ, τοῦ Συχεμίτη»[17]. Δείχνει, ὅτι οὔτε μέχρι τὴν ταφὴ ἦταν κύριοι. «Καθὼς δὲ πλησίαζε ὁ χρόνος ἐκπληρώσεως τῆς ὑποσχέσεως, τὴν ὁποία μὲ ὅρκο διαβεβαίωσε ὁ Θεὸς στὸν Ἀβραάμ, αὐξήθηκε σὲ δύναμη ὁ λαὸς καὶ πληθύνθηκε σὲ ἀριθμὸ στὴν Αἴγυπτο, μέχρις ὅτου ἐμφανίσθηκε ἄλλος βασιλιάς, ποὺ δὲν γνώριζε τὸν Ἰωσήφ»[18]. Πρόσεχε, ὅτι οὔτε μέσα στὰ χρόνια αὐτὰ αὐξάνει αὐτούς, ἀλλ' ὅταν ἐπρόκειτο νὰ πλησιάσει τὸ τέλος, ἂν καὶ βέβαια εἶχαν πιὰ περάσει τετρακόσια καὶ πλέον χρόνια στὴν Αἴγυπτο. Τὸ ἀξιοθαύμαστο λοιπὸν εἶναι αὐτό. «Αὐτὸς ὁ νέος βασιλιάς», λέγει, «ἀφοῦ φέρθηκε μὲ δολιότητα καὶ πανουργία, ζήτησε νὰ

ἐκάκωσε τοὺς πατέρας ἡμῶν τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη αὐτῶν εἰς τὸ μὴ ζωογονεῖσθαι». «Κατασοφισάμενος» εἶπεν, αἰνιττόμενος τὴν λάθρα ἀναίρεσιν· οὐ γὰρ ἐβούλετο φανερῶς αὐτοὺς ἀναιρεῖν· διὸ καὶ ἐπήγαγε, τοῦτο δηλῶν· «Ποιεῖν ἔκθετα τὰ βρέφη». «Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς, καὶ ἦν ἀστεῖος τῷ Θεῷ». Τοῦτο τὸ θαυμαστόν, ὅτι, ὁ προστάτης μέλλων ἔσεσθαι, οὐδὲ μετὰ ταῦτα οὐδὲ πρὸ τούτου, ἀλλ' ἐν αὐτῷ μέσῳ τῷ θυμῷ τίκτεται. «Καὶ ἀνατρέφεται μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρός». Ὅτε τοίνυν τὰ ἀνθρώπινα ἀπηλπίσθη καὶ ἔρριψαν αὐτόν, τότε τοῦ Θεοῦ ἡ οἰκονομία ἐδείχθη διαλάμπουσα. «Ἐκτεθέντα δὲ αὐτὸν ἀνείλετο ἡ θυγάτηρ Φαραώ, καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν». Οὐδαμοῦ ναός, οὐδαμοῦ θυσία, τοσούτων οἰκονομιῶν γενομένων. Καὶ ἀνετράφη ἐν οἴκῳ βαρβαρικῷ. «Καὶ ἐπαιδεύθη Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων· ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἔργοις». Ἐμοὶ θαυμάζειν ἐπέρχεται, πῶς τεσσαράκοντα ἔτη ἦν ἐκεῖ, καὶ οὐχ ἑάλω ἐκ τῆς περιτομῆς· μᾶλλον δέ, πῶς, ἐν ἀσφαλείᾳ ὄντες, τὰ αὐτῶν παρορῶσι καὶ οὗτος καὶ ὁ Ἰωσήφ, ἵνα καὶ ἑτέρους σώσωσιν.

«Ὡς δὲ ἐπληροῦτο αὐτῷ τεσσαρακονταετὴς χρόνος, ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ. Καὶ ἰδών τινα ἀδικούμενον ἠμύνατο, καὶ ἐποίησεν ἐκδίκησιν τῷ καταπονουμένῳ, πατάξας τὸν Αἰγύπτιον. Ἐνόμιζε δὲ συνιέναι τοὺς ἀδελφοὺς αὐτοῦ ὅτι ὁ Θεὸς διὰ χειρὸς αὐτοῦ δίδωσιν αὐτοῖς σωτηρίαν· οἱ δὲ οὐ συνῆκαν». Ὅρα πῶς τέως οὐ δοκεῖ φορτικός, ἀλλὰ τοσαῦτα δημηγορεῖ, καὶ ἀκούειν ἀνέχονται· οὕτως αὐτοὺς τῇ τοῦ προσώπου χάριτι εἷλεν. «Ἐνόμιζε», φησί, «συνιέναι τοὺς ἀδελ-

19. Ἔξ. 1, 15-22.
20. Ἔξ. 2, 1-2 ἑξ.
21. Ἔξ. 2, 11-12.

βλάψει τὸ γένος μας, κακοποίησε τοὺς πατέρες μας καὶ τοὺς ἐξανάγκαζε νὰ ἐκθέτουν τὰ βρέφη τους, ὥστε νὰ μὴ διατηροῦνται αὐτὰ ζωντανά»[19]. «Κατασοφισάμενος», εἶπε, ὑπονοώντας τὴν κρυφὴ θανάτωση· διότι δὲν ἤθελε φανερὰ νὰ τοὺς θανατώνουν· γι' αὐτὸ καὶ πρόσθεσε αὐτό, γιὰ νὰ δηλώσει αὐτό, ὅτι «ἐξανάγκασε αὐτοὺς νὰ ἐκθέτουν τὰ βρέφη τους». «Κατὰ τὸν καιρὸ δὲ αὐτὸ γεννήθηκε ὁ Μωϋσῆς, καὶ ἦταν ὡραῖος καὶ χαριτωμένος ἐνώπιον τοῦ Θεοῦ»[20]. Αὐτὸ εἶναι τὸ ἀξιοθαύμαστο, ὅτι ἐκεῖνος ποὺ ἐπρόκειτο νὰ γίνει προστάτης, οὔτε μετά, οὔτε πρίν, ἀλλὰ κατὰ τὴ διάρκεια τοῦ θυμοῦ τοῦ Φαραὼ γεννιέται. «Καὶ ἀνατρέφεται ἐπὶ τρεῖς μῆνες κρυφὰ μέσα στὸ σπίτι τοῦ πατρός του». Ὅταν λοιπὸν τὰ ἀνθρώπινα ἀπέλπισαν καὶ ἀπεγοήτευσαν αὐτόν, τότε ἡ οἰκονομία τοῦ Θεοῦ φάνηκε νὰ διαλάμπει. «Ὅταν δὲ τὸν ἔρριψαν ἔκθετο, διέσωσε αὐτὸν ἡ θυγατέρα τοῦ Φαραώ, καὶ τὸν ἀνέθρεψε σὰν δικό της παιδί». Πουθενὰ δὲν ὑπῆρχε ναός, πουθενὰ δὲν γινόταν θυσία, τὴ στιγμὴ ποὺ τόσα θέματα διευθετοῦνταν. Καὶ ἀνατράφηκε σὲ βαρβαρικὴ οἰκία. «Καὶ ἐκπαιδεύτηκε ὁ Μωϋσῆς μὲ ὅλη τὴ σοφία τῶν Αἰγυπτίων· ἦταν δὲ δυνατὸς τόσο στὰ λόγια, ὅσο καὶ στὰ ἔργα». Μοῦ ἔρχεται νὰ ἀπορήσω, πῶς ἦταν ἐκεῖ σαράντα χρόνια καὶ δὲν συνελήφθηκε ἀπὸ τὴν περιτομή· μᾶλλον δὲ πῶς, ἐνῶ ἦταν ἀσφαλισμένος, παραβλέπουν τὰ δικά τους συμφέροντα καὶ αὐτὸς καὶ ὁ Ἰωσήφ, γιὰ νὰ σώσουν καὶ ἄλλους.

«Ὅταν δὲ αὐτὸς ἔγινε σαράντα χρόνων ἐπιθύμησε νὰ ἐπισκεφθεῖ τοὺς ἀδελφούς του, τοὺς ἀπογόνους τοῦ Ἰσραήλ. Καὶ ὅταν εἶδε κάποιον ἰσραηλίτη νὰ ἀδικεῖται, τὸν ὑπερασπίσθηκε καὶ πῆρε ἐκδίκηση γιὰ τὸν καταπιεζόμενο ὁμοεθνή του, φονεύοντας τὸν Αἰγύπτιο. Νόμιζε δὲ ὅτι οἱ ἀδελφοί του θὰ καταλάβαιναν ὅτι θὰ τοὺς σώσει ὁ Θεὸς μὲ τὴ δύναμή του ἀπὸ τὴν καταπίεση τῶν Αἰγυπτίων, αὐτοὶ ὅμως δὲν τὸ κατάλαβαν»[21]. Πρόσεχε πῶς κατὰ πρῶτο δὲν εἶναι ἐνοχλητικός, ἀλλὰ τόσα μόνο λέγει, ὥστε νὰ μποροῦν νὰ τὸν ἀκούουν· τόσο πολὺ συνάρπαζε αὐτοὺς μὲ τὴ χάρη τοῦ προσώπου του. «Νόμιζε», λέγει, «ὅτι θὰ

φούς»· καίτοι διὰ τῶν ἔργων ἡ προστασία ἐγένετο, καὶ οὐκ ἦν συνέσεως ἐνταῦθα χρεία, ἀλλ' ὅμως οὐδὲ οὕτως συνίεσαν. Ὁρᾷς πῶς μετὰ ἐπιεικείας διαλέγεται, καὶ πῶς δείξας τὸν θυμὸν ἐπ' ἐκείνου, δείκνυσι τὸ ἥμερον ἐπὶ τούτου; «Τῇ τε ἐπιούσῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις, καὶ συνήλασεν αὐτοὺς εἰς εἰρήνην, εἰπών· Ἄνδρες, ἀδελφοί ἐστε, ἵνα τί ἀδικεῖτε ἀλλήλους; Ὁ δὲ ἀδικῶν τὸν πλησίον ἀπώσατο αὐτόν, εἰπών· Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; Μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον;». Ἀπὸ τῆς αὐτῆς γνώμης τὰ αὐτὰ καὶ πρὸς τὸν Χριστὸν φαίνονται λέγοντες· «Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα». Οὕτως ἔθος ἀεὶ ποιεῖν Ἰουδαίοις καὶ εὐεργετουμένοις. Εἶδες ἄνοιαν; τὸν μέλλοντα σώζειν αὐτοὺς διαβάλλουσι δι' ὧν φασιν· «Ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον». «Καὶ ἔφυγε Μωϋσῆς ἐν τῷ λόγῳ τούτῳ· καὶ ἐγένετο πάροικος ἐν γῇ Μαδιάμ, οὗ ἐγέννησεν υἱοὺς δύο». Φεύγει, καὶ οὐδὲ ἡ φυγὴ ἔσβεσε τὴν οἰκονομίαν, ὥσπερ οὖν οὐδὲ ὁ θάνατος. «Καὶ πληρωθέντων ἐτῶν τεσσαράκοντα, ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ ὄρους Σινᾶ ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς βάτου».

3. Ὁρᾷς πῶς οὐδὲ χρόνῳ διακόπτεται ἡ οἰκονομία; ὅτε γὰρ φυγὰς ἦν, ὅτε ξένος, ὅτε πολὺν χρόνον ἐπὶ τῆς ἀλλοτρίας πεποίηκεν, ὡς καὶ παῖδας ποιῆσαι δύο, ὅτε οὐκέτι προσεδόκησεν διαστρέφειν, τότε ἄγγελος αὐτῷ ἐπιφαίνεται. Τὸν Υἱὸν τοῦ Θεοῦ ἄγγελον καλεῖ, καθάπερ καὶ ἄνθρωπον. Καὶ ποῦ φαίνεται; Ἐν τῇ ἐρήμῳ, οὐκ ἐν ναῷ. Ὁρᾷς πόσα γίνεται θαύματα, καὶ οὐδαμοῦ ναός, οὐδαμοῦ θυσία; Καὶ οὐδὲ

22. Ἐξ. 2, 13-15.
23. Ἰωάν. 19, 15.
24. Ἐξ. 2, 14-22.
25. Ἐξ. 3, 2.

τὸν καταλάβαιναν οἱ ἀδελφοί του». Ἂν καὶ βέβαια ἡ προστασία ἔγινε μὲ ἔργα, καὶ δὲν χρειαζόταν ἐδῶ γιὰ τὴ διαπίστωση αὐτὴ σοφία, ἀλλ' ὅμως οὔτε ἔτσι τὸ ἀντιλήφθηκαν. Βλέπεις πῶς ὁμιλεῖ μὲ ἐπιείκεια καὶ πῶς, ἐνῶ ἐκεῖ ἔδειξε τὸ θυμό του ἐναντίον ἐκείνου, στὴν περίπτωση αὐτὴ δείχνει τὴν ἡμερότητά του; «Κατὰ τὴν ἐπόμενη ἡμέρα παρουσιάσθηκε ξαφνικὰ στοὺς ὁμοεθνεῖς του, ὅταν δύο ἀπ' αὐτοὺς φιλονεικοῦσαν μεταξύ τους, καὶ προσπάθησε νὰ τοὺς εἰρηνεύσει, λέγοντας· «Ἄνδρες, εἶστε μεταξύ σας ἀδέλφια, γιατί ἀδικεῖτε ὁ ἕνας τὸν ἄλλο; Ἀλλ' ἐκεῖνος ποὺ ἀδικοῦσε τὸν πλησίον του, τόν ἔσπρωξε καὶ εἶπε· Ποιὸς σὲ διόρισε ἄρχοντα καὶ δικαστή μας; Μήπως θέλεις νὰ φονεύσεις καὶ ἐμένα μὲ τὸν ἴδιο τρόπο ποὺ φόνευσες χθὲς τὸν Αἰγύπτιο;»[22]. Ἀπὸ τὴν ἴδια σκέψη φαίνονται νὰ λέγουν τὰ ἴδια καὶ πρὸς τὸν Χριστό· «Δὲν ἔχομε βασιλέα, παρὰ μόνο τὸν Καίσαρα»[23]. Ἔτσι συνήθιζαν οἱ Ἰουδαῖοι νὰ κάνουν πάντοτε καὶ ὅταν εὐεργετοῦνταν. Εἶδες ἀνοησία; ἐκεῖνον ποὺ ἐπρόκειτο νὰ τοὺς σώσει, τὸν διαβάλλουν μὲ αὐτὰ ποὺ λέγουν· «Ὅπως φόνευσες χθὲς τὸν Αἰγύπτιο». «Καὶ ὁ Μωϋσῆς ἔφυγε ἐξ αἰτίας τοῦ λόγου αὐτοῦ καὶ ἐγκαταστάθηκε σὰν ξένος στὴ γῆ Μαδιάμ, ὅπου γέννησε δύο παιδιά»[24]. Φεύγει, καὶ οὔτε ἡ φυγὴ ἔπαυσε τὸ σχέδιο τῆς πρόνοιας τοῦ Θεοῦ, ὅπως βέβαια οὔτε ὁ θάνατος. «Καὶ ὅταν συμπληρώθηκαν ἄλλα σαράντα χρόνια ἐμφανίσθηκε σ' αὐτόν, στὴν ἔρημο τοῦ ὄρους Σινᾶ, ἄγγελος Κυρίου σὰν φλόγα πύρινη μέσα ἀπὸ μιὰ βάτο»[25].

3. Βλέπεις πῶς οὔτε μὲ τὸ πέρασμα τοῦ χρόνου διακόπτεται τὸ σχέδιο τοῦ Θεοῦ; διότι ὅταν ἦταν φυγάς, ὅταν ἦταν ξένος, ὅταν πολὺ χρόνο ἔκανε στὴ ξένη χώρα, ὥστε καὶ δυὸ παιδιὰ ν' ἀποκτήσει, καὶ δὲν περίμενε πλέον νὰ ἐπιστρέψει, τότε ἐμφανίζεται σ' αὐτὸν ἄγγελος. Τὸν υἱὸ τοῦ Θεοῦ ὀνομάζει ἄγγελο, ὅπως καὶ ἄνθρωπο. Καὶ ποῦ ἐμφανίζεται; στὴν ἔρημο, ὄχι στὸ ναό. Βλέπεις πόσα θαύματα γίνονται, καὶ πουθενὰ δὲν ὑπάρχει ναός, πουθενὰ θυσία; Καὶ ὄχι ἁπλῶς στὴν ἔρημο, ἀλλὰ στὴ βάτο.

ἐνταῦθα ἐν τῇ ἐρήμῳ ἁπλῶς, ἀλλ' ἐν τῇ βάτῳ. «Ὁ δὲ Μωϋσῆς ἰδὼν ἐθαύμασε τὸ ὅραμα· προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι, ἐγένετο φωνὴ Κυρίου» (ἰδοὺ καὶ φωνῆς ἠξιώθη)· «Ἐγὼ ὁ Θεὸς τῶν πατέρων σου, ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ». Οὐ μόνον ἐνταῦθα δείκνυσιν ὅτι ὁ ὀφθεὶς αὐτῷ ἄγγελος ἦν ὁ μεγάλης βουλῆς Ἄγγελος, ἀλλὰ δείκνυσι καὶ τὴν φιλανθρωπίαν ὅσην ποιεῖται ὁ Θεὸς διὰ τῆς ἐπιφανείας. «Ἔντρομος δὲ γενόμενος Μωϋσῆς, οὐκ ἐτόλμα κατανοῆσαι. Εἶπε δὲ αὐτῷ ὁ Κύριος· Λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστίν». Οὐδαμοῦ ναός, καὶ ὁ τόπος τῇ ἐπιφανείᾳ καὶ ἐνεργείᾳ τοῦ Χριστοῦ. Πολλῷ θαυμασιώτερον τοῦτο τοῦ τόπου ἐν τοῖς Ἁγίοις τῶν ἁγίων· ἐκεῖ γὰρ οὐδαμοῦ ἐφάνη οὕτως ὁ Θεός, οὐδαμοῦ οὕτως ἔντρομος γέγονε Μωϋσῆς. Εἶδες τὴν φιλανθρωπίαν; Ὅρα λοιπὸν καὶ τὴν κηδεμονίαν.

«Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου», φησί, «τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην ἐξελέσθαι αὐτούς. Καὶ νῦν δεῦρο, ἀποστείλω σε εἰς Αἴγυπτον». Ὅρα πῶς δείκνυσιν ὅτι καὶ δι' εὐεργεσιῶν, καὶ διὰ κολάσεων, καὶ διὰ θαυμάτων ἐπήγετο αὐτούς· οἱ δὲ οἱ αὐτοὶ ἦσαν. Οὕτως ἐντεῦθεν μανθάνομεν ὅτι πανταχοῦ πάρεστιν ὁ Θεός. Ταῦτα ἀκούοντες, καὶ ἡμεῖς ἐν ταῖς θλίψεσι πρὸς αὐτὸν καταφεύγωμεν· «καὶ τοῦ στεναγμοῦ γὰρ αὐτῶν», φησίν, «ἤκουσα». Οὐχ ἁπλῶς εἶπεν, «Ἤκουσα», ἀλλὰ «διὰ τὰς συμφοράς». Εἰ δέ τις λέγοι· 'Καὶ τίνος ἕνεκεν αὐτοὺς εἴασε κακωθῆναι οὕτως;' ἀκουέτω ὅτι μάλιστα μὲν οὖν παντὶ δικαίῳ αἱ κακώσεις αἴτιαι μισθῶν γίνονται, ἢ καὶ διὰ τοῦτο αὐτοὺς ἀφῆκε κακοῦσθαι, ἵνα τὴν αὐτοῦ δύναμιν καὶ ἐντεῦθεν δείξῃ διαλάμπουσαν, κἀκείνους δι' ὧν ἐκακοῦντο εἰς πάντα παιδεύσῃ φιλοσοφεῖν. Ὅρα γοῦν, ὅτε ἦσαν ἐν τῇ ἐρήμῳ, οὐ

26. Ἔξ. 3, 6.
27. Ἡσ. 9, 6.
28. Ἔξ. 3, 5.
29. Ἔξ. 3, 7 - 8.

«Ὁ δὲ Μωϋσῆς, ὅταν εἶδε τὸ πρωτοφανὲς αὐτὸ θέαμα τῆς βάτου, ἔμεινε κατάπληκτος· ἐνῶ δὲ προχώρησε γιὰ νὰ δεῖ καὶ νὰ ἀντιληφθεῖ τὸ γινόμενο, ἀκούστηκε φωνὴ Κυρίου (Νά, ἀξιώθηκε ν' ἀκούσει καὶ τὴ φωνὴ τοῦ Θεοῦ). «Ἐγὼ εἶμαι ὁ Θεὸς τῶν πατέρων σου, ὁ Θεὸς τοῦ Ἀβραάμ, καὶ ὁ Θεὸς τοῦ Ἰσαάκ, καὶ ὁ Θεὸς τοῦ Ἰακώβ»[26]. Ἐδῶ δείχνει, ὅτι ὄχι μόνο ὁ ἄγγελος ποὺ ἐμφανίσθηκε σ' αὐτόν, ἦταν ὁ ἄγγελος[27] τῆς μεγάλης βουλῆς, ἀλλὰ δείχνει καὶ πόση φιλανθρωπία δείχνει ὁ Θεὸς μὲ τὴν ἐμφάνισή του. «Ἀλλ' ὁ Μωϋσῆς τρομαγμένος δὲν μποροῦσε νὰ κατανοήσει αὐτὸ ποὺ ἔβλεπε. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Κύριος· Λύσε καὶ βγάλε τὰ ὑποδήματά σου, διότι ὁ τόπος ὅπου στέκεσαι εἶναι γῆ ἁγία»[28]. Πουθενὰ δὲν ὑπῆρχε ναὸς καὶ ὁ τόπος ἔγινε ἅγιος μὲ τὴν ἐμφάνιση καὶ ἐνέργεια τοῦ Χριστοῦ. Αὐτὸ εἶναι πολὺ πιὸ θαυμάσιο ἀπὸ τὸν τόπο ποὺ εἶναι στὰ Ἅγια τῶν Ἁγίων· διότι ἐκεῖ ποτὲ δὲν ἐμφανίσθηκε ἔτσι ὁ Θεός, πουθενὰ δὲν τρόμαξε τόσο πολὺ ὁ Μωϋσῆς. Εἶδες τὴ φιλανθρωπία; βλέπε πλέον καὶ τὴ μέριμνά του.

«Παρατηρώντας, εἶδα τὴν καταπίεση τοῦ λαοῦ μου», λέγει, «ποὺ βρίσκεται στὴν Αἴγυπτο καὶ ἄκουσα τὸ στεναγμό του καὶ κατέβηκα γιὰ νὰ τοὺς ἐλευθερώσω. Καὶ τώρα ἔλα, θὰ σὲ στείλω στὴν Αἴγυπτο»[29]. Πρόσεχε πῶς δείχνει, ὅτι μὲ εὐεργεσίες καὶ τιμωρίες, καὶ μὲ θαύματα τοὺς ὁδηγοῦσε· αὐτοὶ ὅμως ἦταν οἱ ἴδιοι. Ἔτσι ἀπὸ ἐδῶ μαθαίνομε, ὅτι παντοῦ ὑπάρχει ὁ Θεός. Ἀκούοντας αὐτά, ἂς καταφεύγουμε καὶ ἐμεῖς πρὸς αὐτόν, ὅταν βρισκόμαστε μέσα στὶς θλίψεις· διότι, λέγει, «ἄκουσα καὶ τὸ στεναγμό τους». Δὲν εἶπε ἁπλῶς, «ἄκουσα», ἀλλὰ «γιὰ τὶς συμφορές». Ἐὰν δὲ κάποιος ἤθελε πεῖ 'καὶ γιὰ ποιὸ λόγο ἄφησε αὐτοὺς νὰ κακοπαθήσουν ἔτσι;' ἂς ἀκούσει, ὅτι σὲ κάθε δίκαιο, πρὸ πάντων οἱ κακοπαθήσεις γίνονται αἰτίες ἀμοιβῶν, ἢ ὅτι γι' αὐτὸ ἄφησε αὐτοὺς νὰ κακοπάθουν, γιὰ νὰ δείξει, ὅτι ἀπὸ τὶς κακοπαθήσεις διαλάμπει ἡ δύναμή του, καὶ νὰ συνηθίσει ἐκείνους, μὲ τὰ ὅσα κακοπάθησαν, σὲ ὅλα νὰ φιλοσοφοῦν. Πρόσεχε λοιπόν, ὅ-

μόνον ἐλιπάνθησαν, ἐπαχύνθησαν, ἐπλατύνθησαν, ἀλλὰ καὶ ἐγκατέλιπον τὸν Θεόν· πανταχοῦ γὰρ ἡ ἄνεσις, ἀγαπητέ, κακόν. Διὰ τοῦτο καὶ ἐξ ἀρχῆς τῷ Ἀδὰμ ἔλεγεν· «Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου». Ἵνα τοίνυν, ἐκ τῆς πολλῆς κακώσεως εἰς ἄνεσιν ἐλθόντες, μὴ ὑβρίσωσι, θλίβεσθαι αὐτοὺς συγχωρεῖ· μέγα γὰρ ἡ θλῖψις ἀγαθόν. Καὶ ὅτι ἀγαθόν, ἄκουε τοῦ Δαυὶδ λέγοντος· «Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με». Εἰ δὲ τοῖς μεγάλοις καὶ θαυμαστοῖς ἀνδράσι μέγα ἡ θλῖψις, πολλῷ μᾶλλον ἡμῖν. Εἰ βούλεσθε δέ, καὶ αὐτὴν ἐφ᾽ ἑαυτῆς τὴν θλῖψιν ἐξετάσωμεν.

Ἔστω τις χαίρων σφόδρα καὶ γεγηθὼς καὶ διαχεόμενος· τί ἀσχημονέστερον, τί ἀνοητότερον τούτου; Ἔστω τις ἀλγῶν καὶ ἀθυμῶν, τί τούτου φιλοσοφώτερον; Διὰ τοῦτο καὶ ὁ σοφὸς παραινεῖ, λέγων· «Κρεῖττον εἰς οἰκίαν πένθους εἰσελθεῖν, ἢ εἰς οἰκίαν γέλωτος». Τάχα καὶ διαμωκᾶσθε τὰ λεγόμενα. Πλὴν ἴδωμεν, οἷος ἦν ὁ Ἀδὰμ ἐν παραδείσῳ, καὶ οἷος μετὰ ταῦτα ἦν· οἷος ἦν ὁ Κάιν πρὸ τούτου, καὶ οἷος ἦν μετὰ ταῦτα. Οὐχ ἕστηκεν ἐπὶ τῆς οἰκείας ἕδρας ἡ ψυχή, ἀλλ᾽ ὥσπερ ὑπό τινος πνεύματος αἴρεται τῆς ἡδονῆς καὶ κουφίζεται, οὐδὲν ἔχουσα βέβαιον· καὶ γὰρ καὶ πρὸς ἐπαγγελίας ἐστὶν εὔκολος, καὶ πρὸς ὑποσχέσεις πρόχειρος, καὶ πολὺς ὁ σάλος τῶν λογισμῶν. Ἐντεῦθεν ἄκαιρος γέλως, φαιδρότης, οὐκ ἔχουσα λόγον, ρημάτων ὕθλος πολὺς καὶ περιττός. Καὶ τί λέγω τοὺς ἄλλους; Τῶν ἁγίων ἕνα προχειρισώμεθα, καὶ ἴδωμεν τίς μὲν ἦν ἐν ἡδονῇ ζῶν, τίς δὲ πάλιν ἐν ἀθυμίᾳ. Βούλεσθε οὖν τὸν Δαυὶδ ἴδωμεν; Ὅτε τοίνυν οὗτος ἐν ἡδονῇ ἦν καὶ ἐν χαρᾷ ἀπὸ τῶν πολλῶν τροπαίων, ἀπὸ τῆς νίκης, ἀπὸ τῶν στεφάνων, ἀπὸ τῆς τρυφῆς, ἀπὸ τοῦ θαρρεῖν, ὅρα οἷα καὶ εἶπε καὶ ἔπραξεν· «Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ

30. Γέν. 3, 19.
31. Ψαλμ. 118, 71.
32. Ἐκκλ. 7, 3.

ταν ήταν στὴν ἔρημο, ὄχι μόνο λιπάνθηκαν, παχύνθηκαν, καὶ πλατύνθηκαν, ἀλλὰ καὶ ἐγκατέλειψαν τὸ Θεό· διότι παντοῦ ἡ ἄνεση, ἀγαπητέ, εἶναι κακό. Γι' αὐτὸ καὶ ἀπὸ τὴν ἀρχὴ ἔλεγε στὸν Ἀδάμ· «Μὲ τὸν ἱδρώτα τοῦ προσώπου σου θὰ τρώγεις τὸν ἄρτο σου»[30]. Γιὰ νὰ μὴ δείξουν ἀλαζονεία λοιπόν, ὅταν μετὰ ἀπὸ τὶς πολλὲς κακοπαθήσεις περιέλθουν σὲ ἄνεση, ἐπιτρέπει αὐτοὺς νὰ θλίβονται, διότι ἡ θλίψη εἶναι μεγάλο ἀγαθό. Καὶ ὅτι εἶναι ἀγαθό, ἄκουε τὸν Δαυὶδ ποὺ λέγει· «Εἶναι καλὸ γιὰ μένα τὸ ὅτι μὲ ταπείνωσες»[31]. Ἐὰν δὲ στοὺς μεγάλους καὶ σπουδαίους ἄνδρες εἶναι ἡ θλίψη σπουδαῖο πράγμα, πολὺ περισσότερο σὲ μᾶς. Ἂν δὲ θέλετε, ἂς ἐξετάσουμε καὶ τὴν θλίψη αὐτὴ καθ' ἑαυτή.

Ἔστω ὅτι κάποιος χαίρεται ὑπερβολικὰ καὶ ἀγάλλεται καὶ γίνεται διαχυτικός· τί πιὸ ἄσχημο καὶ τί πιὸ ἀνόητο ὑπάρχει ἀπ' αὐτό; Ἔστω ὅτι κάποιος ὑποφέρει καὶ θλίβεται· τί φιλοσοφώτερο ὑπάρχει ἀπ' αὐτό; Γι' αὐτὸ καὶ ὁ σοφὸς συμβουλεύει λέγοντας· «Εἶναι προτιμώτερο νὰ εἰσέλθεις σὲ οἰκία πένθους, παρὰ σὲ οἰκία γέλωτα»[32]. Ἴσως καὶ νὰ χλευάζετε τὰ λεγόμενα, πλὴν ὅμως ἂς δοῦμε ποιὸς ἦταν ὁ Ἀδὰμ στὸν παράδεισο, καὶ ποιὸς ἦταν στὴ συνέχεια· ποιὸς ἦταν ὁ Κάϊν προηγουμένως, καὶ ποιὸς ἦταν μετὰ ταῦτα. Δὲν στέκεται στὴ θέση της ἡ ψυχή, ἀλλ' ὑψώνεται σὰν ἀπὸ κάποιο ἄνεμο, ἀπὸ τὴν ἡδονὴ καὶ γίνεται ἐλαφριά, χωρὶς νὰ ἔχει τίποτε τὸ σταθερό. Διότι καὶ σὲ ὑποσχέσεις εἶναι εὔκολη καὶ πρόθυμη καὶ μεγάλη ἡ ἀστάθεια τῶν σκέψεών της. Ἀπὸ αὐτὴ τὴ θέση της προέρχονται ἄσκοπα γέλια, παράλογη φαιδρότητα, μωρολογία μεγάλη καὶ περιττή. Καὶ γιατί νὰ ἀναφέρω τοὺς ἄλλους; Ἀπὸ τοὺς ἁγίους ἂς λάβουμε ἕνα παράδειγμα, καὶ ἂς δοῦμε, ποιὸς μὲν ἦταν, ὅταν ἀπολαμβάνει τὴν ἡδονή, ποιὸς δὲ πάλι, ὅταν βρισκόταν σὲ στενοχώρια. Θέλετε λοιπὸν νὰ δοῦμε τὸν Δαυίδ; Ὅταν λοιπὸν αὐτὸς βρισκόταν σὲ κατάσταση ἡδονῆς καὶ χαρᾶς ἀπὸ τὰ πολλὰ τρόπαια, ἀπὸ τὶς νίκες, ἀπὸ τοὺς στεφάνους, ἀπὸ τὴν τροφή, ἀπὸ τὸ θάρρος, βλέπε, τί εἶπε καὶ ἔπραξε· «Ἐγὼ

σαλευθῶ εἰς τὸν αἰῶνα». Ἐπειδὴ δὲ ἐν θλίψει γέγονεν, ἄκουσον τί λέγει· «Καὶ ἐὰν εἴπῃ μοι· Οὐ τεθέληκά σε, ἰδοὺ ἐγώ, ποιείτω μοι τὸν ἀρεστὸν ἐνώπιον αὐτοῦ». Τί τούτων φιλοσοφώτερον τῶν ῥημάτων; Ὅ,τι ἂν ᾖ τῷ Θεῷ, φησί, φίλον, ταύτῃ ἔστω. Καὶ πάλιν τῷ Σαοὺλ ἔλεγεν· «Εἰ δὲ Κύριος ἐπισείει σε ἐπ' ἐμέ, ὀσφρανθείη ἡ θυσία σου». Καὶ τότε μὲν ἐν θλίψει ὤν, καὶ ἐχθρῶν ἐφείδετο, μετὰ δὲ ταῦτα οὐδὲ φίλων, οὐδὲ τῶν ἠδικηκότων οὐδέν. Πάλιν ὁ Ἰακώβ, ὅτε θλίψει γέγονεν, ἔλεγεν· «Ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι». Καὶ ὁ τοῦ Νῶε υἱὸς πρὸς μὲν τούτου οὐδὲν τοιοῦτον ἐποίησεν, ἐπειδὴ δὲ ἐθάρρησεν ὑπὲρ τῆς σωτηρίας, ἀκούεις οἷος γέγονεν ὑβριστής. Καὶ ὁ Ἐζεκίας, ὅτε μὲν ἦν ἐν θλίψει, ὅρα οἷα ἐποίει ὑπὲρ τῆς σωτηρίας, (σάκκον γὰρ περιεβάλλετο, καὶ εἰς γῆν ἐκάθισεν), ἐπειδὴ δὲ γέγονεν ἐν ἡδονῇ, ἔπεσεν ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ.

Διὰ τοῦτο καὶ Μωϋσῆς παραινεῖ, λέγων· «Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθείς, μνήσθητι Κυρίου τοῦ Θεοῦ σου»· ἀπόκρημνος γάρ ἐστιν ὁ τόπος ὁ τῆς τρυφῆς, καὶ λήθην τοῦ Θεοῦ ἐμποιεῖ. Ὅτε ἐθλίβοντο οἱ Ἰσραηλῖται, πολλῷ πλείους ἐγίνοντο· ἐπειδὴ δὲ αὐτοὺς εἴασε, τότε πάντες ἀπώλοντο. Καὶ τί λέγω ἀπὸ τῶν παλαιῶν τὰ παραδείγματα; Ἴδωμεν ἀφ' ἡμῶν, εἰ δοκεῖ. Ἡμῶν ὅταν ἐν εὐπραγίᾳ ὦσιν οἱ πλείους, τετυφωμένοι γίνονται, πᾶσιν ἐχθροί, ὀργίλοι τῆς ἐξουσίας παρούσης· ἀφαιρεθείσης δέ, ἥμεροι, ταπεινοί, πρᾶοι, τῆς οἰκείας φύσεως εἰς ἔννοιαν ἔρχονται. Καὶ ὅτι οὕτως ἔχει, δείκνυσι

---

33. Ψαλμ. 29, 7.
34. Β' Βασιλ. 15, 26.
35. Πλατ. Κρίτων, 2.
36. Α' Βασιλ. 26, 19.
37. Γέν. 28, 20.
38. Ἠσ. 38 - 39.
39. Δευτ. 6, 11 - 12.

δὲ εἶπα, ὅταν βρισκόμουν σὲ κατάσταση εὐημερίας, ὅτι ποτὲ δὲν θὰ σαλευθῶ στὸν αἰώνα»[23]. Ὅταν δὲ βρέθηκε σὲ κατάσταση θλίψεων, ἄκουσε τί λέγει· «Καὶ ἂν ὅμως μοῦ πεῖ· Δὲν εὐαρεστοῦμε σὲ σένα, τότε ἐγὼ θὰ πῶ· Νὰ ἐγὼ εἶμαι ἕτοιμος. Ἂς κάνει ὁ Θεὸς γιὰ μένα ὅ,τι εἶναι καλὸ ἐνώπιόν του»[24]. Τί ὑπάρχει φιλοσοφώτερο ἀπ' αὐτὰ τὰ λόγια; Ὅ,τι εἶναι στὸ Θεὸ ἀρεστό, λέγει, ἂς γίνει ἔτσι[25]. Καὶ πάλι στὸ Σαοὺλ ἔλεγε· «Ἐὰν ὁ Κύριος σὲ ἐξήγειρε ἐναντίον μου, ἂς κατευνασθεῖ αὐτὸς μὲ προσφορὰ θυσίας»[26]. Καὶ τότε μὲν βρισκόταν σὲ θλίψεις καὶ προφυλασσόταν ἀπὸ τοὺς ἐχθρούς, κατόπιν ὅμως δὲν ὑπελόγιζε οὔτε τοὺς φίλους, οὔτε ἐκείνους ποὺ δὲν τὸν ἀδίκησαν σὲ τίποτε. Πάλι δὲ ὁ Ἰακώβ, ὅταν βρισκόταν σὲ θλίψεις, ἔλεγε· «Ἐὰν εἶναι ὁ Θεὸς μαζί μου καὶ μὲ φυλάττει σὲ ὅλο μου τὸ ταξίδι, θὰ μοῦ δώσει τροφὴ γιὰ νὰ φάγω καὶ ἐνδύματα γιὰ νὰ ἐνδυθῶ»[27]. Καὶ ὁ Υἱὸς τοῦ Νῶε πρὶν μὲν ἀπὸ αὐτὸ δὲν ἔκαμε κάτι παρόμοιο, ὅταν ὅμως ἔλαβε θάρρος γιὰ τὴ σωτηρία του, γνωρίζεις πόσο αὐθάδης ἔγινε. Καὶ ὁ Ἐζεκίας, ὅταν μὲν βρισκόταν σὲ θλίψεις, βλέπε τί ἔκανε γιὰ τὴ σωτηρία του· δηλαδὴ περιτυλίχθηκε μὲ σάκκο καὶ κάθισε στὴ γῆ· ὅταν δὲ βρέθηκε σὲ κατάσταση καλοπέρασης, ἔπεσε ἀπὸ τὸν ἐγωϊσμό του[28].

Γι' αὐτὸ καὶ ὁ Μωϋσῆς συμβουλεύει, λέγοντας· «Ὅταν τρώγεις, καὶ ὅταν πίνεις καὶ ὅταν χορταίνεις, πάντοτε νὰ θυμᾶσαι τὸν Κύριο τὸ Θεό σου»[29]. Διότι ὁ τόπος τῆς τρυφῆς εἶναι ἀπόκρημνος καὶ συντελεῖ στὸ νὰ λησμονεῖται ὁ Θεός. Ὅταν θλίβονταν οἱ Ἰσραηλῖτες, γίνονται πολὺ περισσότεροι, ὅταν ὅμως ἄφησε αὐτούς, τότε ὅλοι χάθηκαν. Καὶ γιατί ἀναφέρω τὰ παραδείγματα ἀπὸ τοὺς παλιούς; Ἂς δοῦμε ἀπὸ μᾶς τοὺς ἴδιους, ἂν νομίζετε. Ὅταν οἱ περισσότεροι ἀπὸ μᾶς εὐτυχοῦν, γίνονται ἀλαζόνες, ἐχθροὶ σὲ ὅλους, ὀργίλοι τῆς παρούσας καταστάσεως. Ὅταν ὅμως τοὺς ἀφαιρεθεῖ ἡ εὐτυχία, τότε γίνονται ἥμεροι, ταπεινοί, πρᾶοι καὶ ἀντιλαμβάνονται τὴν ἴδια τους τὴ φύση. Καὶ ὅτι ἔτσι ἔχει τὸ πράγμα, τὸ δείχνει καὶ

καὶ ὁ Δαυίδ, λέγων· «Ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος· ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν». Ταῦτα δή μοι εἴρηται, ἵνα μὴ ἐκ παντὸς τρόπου τὴν χαρὰν ζητῶμεν. Καὶ πῶς, φησίν, ὁ Παῦλος λέγει, «Χαίρετε πάντοτε»; Οὐχ ἁπλῶς εἶπε, «Χαίρετε», ἀλλὰ προσέθηκεν, «Ἐν Κυρίῳ».

4. Αὕτη μεγίστη χαρά· τοιαύτην καὶ οἱ Ἀπόστολοι ἔχαιρον. Χαρά, κέρδος φέρουσα, ἡ ἀπὸ δεσμωτηρίων, ἡ ἀπὸ μαστίγων, ἡ ἀπὸ διωγμῶν, ἡ ἀπὸ τοῦ κακῶς ἀκούειν, ἡ ἀπὸ τῶν λυπηρῶν πάντως ἔχουσα τὴν ἀρχὴν καὶ τὴν ῥίζαν καὶ τὴν ὑπόθεσιν· ὅθεν καὶ εἰς χρηστὸν ἀπαντᾷ τέλος. Ἡ δὲ τοῦ κόσμου τοὐναντίον, ἄρχεται μὲν ἀπὸ τῶν ἡδέων, τελευτᾷ δὲ εἰς τὰ λυπηρά. Οὐδὲ ἐγὼ κωλύω χαίρειν κατὰ Κύριον, ἀλλὰ καὶ σφόδρα παραινῶ. Ἐμαστίζοντο οἱ Ἀπόστολοι, καὶ ἔχαιρον· ἐδέδεντο, καὶ εὐχαρίστουν· ἐλιθάζοντο, καὶ ἐκήρυττον. Ταύτην καὶ ἐγὼ βούλομαι τὴν χαράν· ἀπ' οὐδενὸς σωματικοῦ τὴν ἀρχὴν ἔχει, ἀλλ' ἀπὸ πραγμάτων πνευματικῶν. Οὐκ ἔστι τὸν κατὰ κόσμον χαίροντα ὁμοῦ καὶ κατὰ Θεὸν χαίρειν· πᾶς γὰρ ὁ κατὰ κόσμον χαίρων, ἐπὶ πλούτῳ χαίρει, ἐπὶ τρυφῇ, ἐπὶ δόξῃ καὶ δυναστείᾳ, ἐπὶ ἀλαζονείᾳ· ὁ δὲ κατὰ Θεόν, ἐπὶ ἀτιμίᾳ τῇ δι' αὐτόν, ἐπὶ πενίᾳ, ἐπὶ ἀκτημοσύνῃ, ἐπὶ νηστείᾳ, ἐπὶ ταπεινοφροσύνῃ. Ὁρᾷς ὅτι ἐναντίαι αἱ ὑποθέσεις; Ὅσοι ἔξω χαρᾶς εἰσιν ἐνταῦθα καὶ λύπης· καὶ ὅσοι ἔξω λύπης ἐνταῦθα καὶ ἡδονῆς. Καὶ ὄντως ταῦτά ἐστι τὰ ποιοῦντα ἀληθῆ χαράν, ἐπεὶ ἐκεῖνα ὄνομα μόνον ἔχει χαρᾶς, τὸ δὲ πᾶν ἐν λύπῃ κεῖται. Πόσην ἀνίαν ὁ ἀλαζὼν ἔχει! πῶς διακόπτεται ἐν αὐτῷ

40. Ψαλμ. 72, 6-7.
41. Φιλιππ. 4, 4.

ὁ Δαυίδ, λέγοντας· «Τοὺς κυρίευσε τελείως ἡ ὑπερηφάνειά τους. Θὰ φυτρώσει σὰν φυτὸ ἀπὸ τὴν καρδιά τους ἡ ἀδικία τους»[40]. Αὐτὰ λοιπὸν ἔχουν λεχθεῖ ἀπὸ μένα, γιὰ νὰ μὴ ἐπιδιώκουμε μὲ κάθε τρόπο τὴ χαρά. Καὶ πῶς, λέγει, ὁ Παῦλος, λέγει, «Χαίρετε πάντοτε»; Δὲν εἶπε ἁπλῶς χαίρετε, ἀλλὰ πρόσθεσε, «ἐν Κυρίῳ»[41].

4. Αὐτὴ εἶναι ἡ μεγίστη χαρά· τέτοια ἦταν καὶ ἡ χαρὰ τῶν Ἀποστόλων· χαρά, ποὺ ἀποφέρει ψυχικὸ κέρδος, χαρὰ ἀπὸ τὰ δεσμωτήρια, χαρὰ ἀπὸ τὰ μαστίγια, ἀπὸ τοὺς διωγμούς, ἀπὸ τὶς κακολογίες, χαρὰ ποὺ ἀπὸ τὶς θλίψεις γενικὰ ἔχει τὴν ἀρχή, τὴ ρίζα καὶ τὴν ἀφορμή· γι' αὐτὸ καὶ καταλήγει σὲ καλὸ τέλος. Ἀντίθετα ἡ χαρὰ τοῦ κόσμου ἀρχίζει μὲν ἀπὸ τὰ εὐχάριστα, καταλήγει ὅμως στὰ δυσάρεστα. Οὔτε ἐγὼ ἐμποδίζω νὰ χαίρεσθε τὴ χαρὰ τοῦ Κυρίου, καὶ πάρα πολὺ σᾶς συμβουλεύω. Μαστιγώνονταν οἱ Ἀπόστολοι, καὶ χαίρονταν· δένονταν καὶ εὐχαριστοῦσαν· λιθοβολοῦνταν καὶ κήρυτταν. Αὐτὴ καὶ ἐγὼ τὴ χαρὰ θέλω· ἀπὸ κανένα σωματικὸ δὲν ἔχει τὴν ἀρχή της, ἀλλὰ ἀπὸ πνευματικὰ πράγματα. Δὲν εἶναι δυνατὸ ἐκεῖνος ποὺ χαίρεται κατὰ τὴν συνήθεια τοῦ κόσμου αὐτοῦ, νὰ χαίρεται συγχρόνως καὶ κατὰ τὴ χαρὰ τοῦ Θεοῦ· διότι ὁ καθένας ποὺ χαίρεται κατὰ τὴ συνήθεια τῆς χαρᾶς τοῦ κόσμου, χαίρεται γιὰ τὸν πλοῦτο, γιὰ τὶς ἀπολαύσεις τῆς ζωῆς, γιὰ δόξα καὶ ἐξουσία, καὶ ἀπὸ ἀλαζονεία· ἐκεῖνος ὅμως ποὺ χαίρεται τὴ χαρὰ ποὺ τοῦ δίνει ἡ ἕνωσή του μὲ τὸ Θεό, χαίρεται γιὰ τὴν προσβολὴ ποὺ παθαίνει γι' αὐτόν, γιὰ τὴν φτώχεια του, γιὰ τὴν ἀκτημοσύνη του, γιὰ τὴν νηστεία, γιὰ τὴν ταπεινοφροσύνη. Βλέπεις, ὅτι αἱ ὑποθέσεις εἶναι ἀντίθετες; Ὅσοι ἐδῶ εἶναι ἐκτὸς τῆς χαρᾶς τοῦ κόσμου τούτου, εἶναι καὶ ἐκτὸς τῆς κατὰ Θεὸ λύπης, καὶ ὅσοι ἐδῶ στὸν κόσμο αὐτό, εἶναι ἐκτὸς λύπης, εἶναι καὶ ἐκτὸς ἡδονῆς. Καὶ πράγματι αὐτὰ εἶναι ἐκεῖνα ποὺ παρέχουν τὴν ἀληθινὴ χαρά, ἐφ' ὅσον ἐκεῖνα, ποὺ εἶπε παραπάνω, κατ' ὄνομα μόνο παρέχουν χαρά, ἐνῶ ἐξ ὁλοκλήρου βρίσκονται σὲ λύπη. Πόση παραφροσύνη ἔχει ὁ ἀλαζόνας; Πῶς ἐνῶ ἀλαζονεύεται, προξε-

τῷ ἀλαζονεύεσθαι, μυρίας ἑαυτῷ μηχανώμενος ὕβρεις, πολὺ τὸ μῖσος, μεγάλην τὴν ἀπέχθειαν, πολὺν τὸν φθόνον, πολλὴν τὴν βασκανίαν! κἂν γὰρ παρὰ τῶν μειζόνων ὑβρισθῇ, ἀλγεῖ κἂν μὴ πάντων κατεξαναστῇ, δάκνεται. Ὁ δὲ ταπεινὸς ἐν πολλῇ ἐστι τῇ ἡδονῇ, παρ᾿ οὐδενὸς προσδοκῶν τιμήν· ἂν μὲν οὖν τιμηθῇ, ἥσθη, ἂν δὲ μὴ τιμηθῇ, οὐκ ἤλγησεν, ἀλλ᾿ ἀγαπᾷ, ὅτι οὐκ ἐτιμήθη. Ἆρ᾿ οὖν ἐκ τοῦ μὴ ζητεῖν τιμὴν καὶ τιμᾶσθαι, πολλὴ ἡ ἡδονή. Ἐκεῖ δὲ τοὐναντίον, καὶ ζητεῖ τιμήν, καὶ οὐ τιμᾶται. Οὐχ ὁμοίως δὲ ἥδεται τιμὴν ὁ ζητῶν καὶ ὁ μὴ ζητῶν. Οὗτος, ὅσον ἂν λάβῃ, οὐδὲν ἡγεῖται εἰληφέναι· ἐκεῖνος, κἂν τὸ μικρὸν δῷς, ὡς τὸ πᾶν εἰληφὼς δέχεται. Πάλιν ὁ τρυφῶν μυρία πράγματα ἔχει, κἂν ἐξ εὐκολίας καὶ ὥσπερ ἀπὸ πηγῶν αὐτῷ τὰ τῶν προσόδων ἐπιρρέῃ, τὰ ἀπὸ τῆς τρυφῆς δεινὰ δέδοικε, καὶ τὸ ἄδηλον τοῦ μέλλοντος· οὗτος δὲ ἀεὶ ἐν ἀσφαλείᾳ ἐστὶ καὶ ἐν ἡδονῇ, ἐθίσας ἑαυτὸν ἐν λιτότητι διαίτης. Οὐ γὰρ οὕτως ἑαυτὸν ταλανίζει, ὅτι μὴ μετέχει τραπέζης πολυτελοῦς, ὡς τρυφᾷ τὸ τοῦ μέλλοντος ἄδηλον μὴ δεδοικώς. Τὰ δὲ ἐκ τῆς τρυφῆς ὅσα δεινά, οὐδεὶς ἀγνοεῖ· ἀναγκαῖον δὲ καὶ νῦν εἰπεῖν.

Διπλοῦς ὁ πόλεμος, τοῦ σώματος, λέγω, καὶ τῆς ψυχῆς, διπλοῦς ὁ χειμών, διπλᾶ τὰ νοσήματα· καὶ οὐ τοῦτο μόνον, ἀλλ᾿ ὅτι καὶ ἀνίατα, καὶ μεγάλας φέρουσι ταῦτα τὰς συμφοράς. Ἀλλ᾿ οὐχ ἡ εὐτέλεια τοιοῦτον, ἀλλὰ διπλῆ ἡ ὑγεία, διπλᾶ τὰ ἀγαθά. «Ὕπνος ὑγείας», φησίν, «ἐν ἐντέρῳ μετρίῳ». Πανταχοῦ γὰρ τὸ μὲν σύμμετρον ποθεινόν, τὸ δὲ ἄμετρον οὐκέτι. Ὅρα γάρ. Σπινθῆρι μικρῷ πολὺν ξύλων ἐπίθες φορυτόν, καὶ οὐκέτι πῦρ τὸ λάμπον, ἀλλὰ καπνὸν ὄψει σφόδρα ἀηδῆ· ἀνδρὶ λίαν ἰσχυρῷ καὶ μεγάλῳ φορτίον ἐπίθες τὸ τὴν ἰ-

42. Σοφ. Σειρὰχ 31 (34), 20.
43. Πρβλ. Τὸ «πᾶν μέτρον ἄριστον» τῶν ἀρχαίων Ἑλλήνων.

νώντας στὸν ἑαυτό του ὕβρεις ἄπειρες, μῖσος πολύ, ἀπέχθεια μεγάλη, φθόνο πολύ, ζηλοφθονία πολλή! διότι, καὶ ἂν τώρα ὑποστεῖ ταπεινώσεις ἀπὸ τοὺς ἀνωτέρους του, πονεῖ, ἂν δὲ δὲν ἐξεγερθεῖ ἐναντίον ὅλων, ὑποφέρει. Ὁ ταπεινὸς ὅμως βρίσκεται σὲ μεγάλη εὐχαρίστηση, ἐφόσον δὲν ἀναμένει ἀπὸ κανένα τιμή· καὶ ἂν λοιπὸν τιμηθεῖ, εὐχαριστεῖται, ἂν δὲ δὲν τιμηθεῖ, δὲν λυπᾶται, ἀλλ' εἶναι εὐχαριστημένος, διότι δὲν τιμήθηκε. Ἄρα λοιπὸν μεγάλη εἶναι ἡ εὐχαρίστηση, ὅταν κάποιος τιμᾶται χωρὶς νὰ ἐπιδιώκει τιμή. Ἐκεῖ δὲ ἀντίθετα, καὶ ἐπιζητεῖ τιμὴ καὶ δὲν τιμᾶται. Δὲν εὐχαριστεῖται ὅμοια ἐκεῖνος ποὺ ἐπιζητεῖ τιμή, καὶ ἐκεῖνος, ποὺ δὲν ἐπιζητεῖ. Αὐτός, ὅσο καὶ ἂν λάβει, νομίζει ὅτι δὲν ἔχει λάβει τίποτε, ἐκεῖνος δέ, καὶ ἂν τοῦ δώσεις λίγο, τὸ δέχεται σὰν νὰ ἔχει λάβει τὸ πᾶν. Πάλι, ἐκεῖνος ποὺ ζεῖ μέσα στὶς ἀπολαύσεις, ἔχει ἄπειρα πράγματα, καὶ ἀκόμα ἂν μὲ εὐκολία καὶ σὰν ἀπὸ πηγὲς συρρέουν σ' αὐτὸν τὰ εἰσοδήματα, φοβᾶται τὰ κακὰ ποὺ προέρχονται ἀπὸ τὴν μαλθακὴ ζωὴ καὶ τὸ ἄγνωστο τοῦ μέλλοντος, ἐνῶ αὐτὸς πάντοτε βρίσκεται σὲ ἀσφάλεια καὶ εἶναι εὐχαριστημένος, διότι συνήθισε τὸν ἑαυτό του μὲ λιτὴ διατροφή. Διότι δὲν λυπᾶται, ἐπειδὴ δὲν μετέχει σὲ πολυτελὴ τραπέζια, ὅπως εὐχαριστεῖται, μὲ τὸ νὰ μὴ φοβᾶται τὸ ἄγνωστο τοῦ μέλλοντος. Πόσα δὲ εἶναι τὰ δεινὰ τῆς μαλθακῆς ζωῆς, κανένας δὲν τὸ ἀγνοεῖ· εἶναι δὲ ἀνάγκη καὶ τώρα νὰ τὰ ἀναφέρουμε.

Εἶναι διπλὸς ὁ πόλεμος τοῦ σώματος, ἐννοῶ, καὶ τῆς ψυχῆς· εἶναι διπλὸς ὁ χειμώνας, διπλὰ τὰ νοσήματα· καὶ ὄχι μόνο αὐτό, ἀλλ' ὅτι εἶναι καὶ ἀθεράπευτα, καὶ φέρουν αὐτὰ μεγάλες συμφορές. Ἀλλὰ ἡ λιτότητα δὲν εἶναι τέτοια, ἀλλὰ εἶναι διπλὴ ἡ ὑγεία, διπλὰ καὶ τὰ ἀγαθά· «Ὑγιεινὸς ὕπνος», λέγει, «γίνεται μὲ μέτρια γεμάτο στομάχι»[42]. Διότι παντοῦ ἡ μὲν συμμετρία εἶναι ἐπιθυμητή, τὸ δὲ ἄμετρο ὄχι[43]. Πρόσεχε δηλαδή. Σὲ σπινθήρα μικρὸ τοποθέτησε πολλὰ φρύγανα ἀπὸ ξύλα, καὶ δὲν θὰ δεῖς πλέον τὴ φωτιὰ νὰ λάμπει, ἀλλὰ καπνὸ πολὺ ἄσχημο· σὲ ἄνδρα πολὺ ἰσχυρὸ καὶ μεγάλο τοποθέτησε φορτίο ποὺ νὰ

σχὺν ὑπερβαῖνον, καὶ ὄψει μετὰ τοῦ φορτίου χαμαὶ κείμενον καὶ ἐρριμμένον· πολὺν τὸν φόρτον ἔμβαλε τῷ πλοίῳ, καὶ χαλεπὸν εἰργάσω τὸ ναυάγιον. Τοιοῦτο δή τι καὶ ἡ τρυφή ἐστι· καθάπερ γὰρ ἐπὶ τῶν ὑπεράντλων πλοίων πολὺς ὁ θόρυβος τῶν ναυτῶν, τοῦ κυβερνήτου, τοῦ πρωρέως, τῶν ἐπιβατῶν, τὰ μὲν ἄνωθεν ῥιπτούντων εἰς τὸ πέλαγος, τὰ δὲ κάτωθεν, οὕτω δὴ καὶ ἐνταῦθα, τὰ μὲν ἄνωθεν ἐμοῦντες, τὰ δὲ κάτωθεν, καὶ ἑαυτοὺς διαφθείροντες, ἀπόλλυνται. Καὶ τὸ τὸ δὴ πάντων αἰσχρότερον, ὅτι αὐτὸ τὸ στόμα τὴν χρῆσιν ἀναλαμβάνει τῶν ὄπισθεν μορίων, καὶ γίνεται ἐκείνων ἀτιμότερον.

Εἰ δὲ ἐν τῷ στόματι τοσαύτη ἀσχημοσύνη, ἐννόησον ἐν τῇ ψυχῇ· καὶ γὰρ ἐκεῖ πάντα γνόφος, πάντα θύελλα, πάντα σκότος, πολλὴ τῶν λογισμῶν σύγχυσις, πιεζομένων, θλιβομένων, τῆς ψυχῆς αὐτῆς τὴν ἐπήρειαν βοώσης. Ἐντεῦθεν καὶ αὐτοὶ οἱ γαστριζόμενοι ἀλλήλους αἰτιῶνται, δυσχεραίνουσι, σπεύδουσι τὴν ἔνδον ἀπορρίψασθαι κόπρον. Ὅμως καὶ μετὰ τὸ ῥιφῆναι, οὐδὲ οὕτως ὁ σάλος παύεται, ἀλλὰ καὶ πυρετοὶ ἐντεῦθεν καὶ νόσοι.

Ναί, φησί, νοσοῦσι καὶ ἀσχημονοῦσι· λόγος εἰκῇ ταῦτα διεξών, καὶ νόσους καταλέγων· νοσῶ γὰρ ἐγώ, καὶ σπῶμαι ἐγώ, καὶ ἀσχημονῶ ἐγώ, ὁ μὴ ἔχων φαγεῖν· τούτους δὲ τοὺς τρυφῶντας ἔστιν εὐπαθοῦντας ἰδεῖν, σφριγῶντας, χαίροντας, φερομένους ἐφ᾽ ἵππων. Οἴμοι! θρήνων γὰρ ἄξια ταῦτα τὰ ῥήματα. Τοὺς δὲ ποδαλγοῦντας, τοὺς ἐπὶ δίφρων φερομένους τοὺς καταδεσμουμένους, πόθεν ὁρῶμεν; εἰπέ μοι. Καὶ εἰ μὴ τὸ πρᾶγμα ὕβριν ἐνόμιζον, καὶ ὀνειδιστικῶς με ταῦτα λέγειν ἡγοῦντο, ἤδη ἂν καὶ ὀνομαστὶ παρήγαγον αὐτούς. Ἀλλ᾽ εἰσί τινες, οἳ καὶ ὑγιαίνουσι, φησίν. Ἐπειδὴ μὴ μόνον

ὑπερβαίνει τὶς δυνάμεις του καὶ θὰ δεῖς αὐτὸν νὰ πέφτει κάτω μαζὶ μὲ τὸ φορτίο· πολὺ φορτίο τοποθέτησε σὲ πλοῖο καὶ θὰ προκαλέσει φοβερὸ ναυάγιο. Κάτι παρόμοιο λοιπὸν εἶναι καὶ ἡ μαλθακὴ ζωή· διότι ὅπως στὰ ὑπερφορτωμένα καὶ θαλασσοδαρμένα πλοῖα εἶναι μεγάλος ὁ θόρυβος τῶν ναυτῶν, τοῦ κυβερνήτη, τοῦ πρωρέα, τῶν ἐπιβατῶν, οἱ ὁποῖοι ρίχνουν στὸ πέλαγος, ἄλλα μὲν ἀπὸ πάνω, ἄλλα δὲ ἀπὸ κάτω, ἔτσι λοιπὸν καὶ ἐδῶ, ἄλλα μὲν ἐξεμώντας ἀπὸ πάνω, ἄλλα δὲ ἐκβάλλοντας ἀπὸ κάτω, καὶ τοὺς ἑαυτούς τους βλάπτοντας χάνονται. Καὶ τὸ χειρότερο μάλιστα ὅλων εἶναι, ὅτι τὸ ἴδιο τὸ στόμα ἀναλαμβάνει τὸ ἔργο τῶν ὀπισθίων μερῶν τοῦ σώματος, καὶ γίνεται ἀτιμότερο ἀπὸ ἐκεῖνα.

Ἂν δὲ στὸ στόμα ὑπάρχει τόση ἀσχήμια, σκέψου πόση στὴν ψυχή. Διότι ἐκεῖ τὰ πάντα εἶναι σκοτεινά, τὰ πάντα θύελλα, τὰ πάντα σκοτάδι, μεγάλη σύγχυση σκέψεων, ποὺ πιέζονται καὶ θλίβονται, ἀφοῦ ἡ ἴδια ἡ ψυχὴ κραυγάζει γιὰ τὶς ἀπρέπειες αὐτές. Γι' αὐτὸ καὶ ἐκεῖνοι ποὺ τρώγουν ὑπερβολικά, ἀλληλοκατηγοροῦνται, δυσφοροῦν καὶ σπεύδουν νὰ ἀποβάλουν τὴν κοπριὰ ποὺ ὑπάρχει μέσα τους. Ὅμως καὶ μετὰ τὴν ἀποβολή, οὔτε τότε παύει ἡ ἐσωτερικὴ ταραχή, ἀλλὰ ἐπακολουθοῦν καὶ πυρετοὶ καὶ νόσοι.

Ναί, λέγει, νοσοῦν καὶ ἀσχημονοῦν· ὁ λόγος ἄσκοπα τὰ διηγεῖται αὐτά, καὶ μᾶς ἀναφέρει τὶς ἀσθένειες· διότι ἀσθενῶ ἐγώ, καὶ σπαράσω ἐγώ, καὶ ἀσχημονῶ ἐγώ, ποὺ δὲν ἔχω νὰ φάγω, ἀλλ' αὐτούς, ποὺ ζοῦν τρυφηλὴ ζωή, εἶναι δυνατὸ νὰ δεῖς νὰ εὐφραίνονται, νὰ εἶναι ἀκμαῖοι, νὰ χαίρονται, νὰ μεταφέρονται ἐπάνω σὲ ἵππους. Ἀλλοίμονο! διότι τὰ λόγια αὐτὰ εἶναι ἀξιοθρήνητα. Ἐκεῖνοι δὲ ποὺ ὑποφέρουν ἀπὸ πόνους τῶν ποδιῶν, ποὺ φέρονται ἐπάνω σὲ ἀναπηρικὸ κάθισμα, ποὺ εἶναι δεμένοι, ἀπὸ ποῦ βλέπομε νὰ προέρχονται; πές μου; Καὶ ἂν δὲν νόμιζαν αὐτὸ προσβολὴ καὶ δὲν μὲ θεωροῦσαν ὅτι τὰ λέγω αὐτὰ χλευαστικά, θὰ μποροῦσα ν' ἀναφέρω ὀνομαστικὰ αὐτούς. Ἀλλ' ὑπάρχουν, λέγει, μερικοὶ ποὺ ὑγιαίνουν.

τρυφῇ προσανέχουσιν, ἀλλὰ καὶ πόνοις· ἐπεὶ δός μοι ἄνθρωπον διὰ παντὸς πιαινόμενον, ἀνενέργητον κείμενον, μηδὲν πονοῦντα, ἰδεῖν ὑγιαίνοντα. Ἀλλ' οὐκ ἂν εὕροις· κἂν γὰρ μυρίων ἰατρῶν πλῆθος συνέλθῃ, ἐξελεῖν αὐτὸν οὐ μὴ δυνηθῇ τῶν νοσημάτων, διηνεκῶς γαστριζόμενον· οὐδὲ γὰρ ἔχει τὸ πρᾶγμα φύσιν. Ἐγὼ δὲ καὶ ἰατρικὸν ὑμῖν ἐρῶ λόγον· Τῶν εἰς τὴν γαστέρα καταβαλλομένων οὐ τὸ πᾶν γίνεται τροφή· ἐπεὶ μηδὲ ἐν αὐτῇ τῇ τῆς τροφῆς φύσει τὸ πᾶν ἐστι τρόφιμον, ἀλλ' ἔστι τὸ μὲν αὐτῆς εἰς διαχώρησιν μεριζόμενον, τὸ δὲ εἰς τροφήν. Ἂν μὲν οὖν σύμμετρα δοὺς τέλεον κατεργασθῇ, τοῦτο γίνεται, καὶ τὴν οἰκείαν ἔλαβε χώραν, καὶ τὸ μὲν ὑγιὲς καὶ χρηστὸν εἰς τὸν οἰκεῖον ἀνέδραμε τόπον, τὸ δὲ περιττὸν καὶ ἄχρηστον ὑπεξῆλθε καὶ ἐξεχώρησεν· ἂν δὲ πλῆθος, καὶ ὅσον αὐτοῦ τρόφιμον, καὶ τοῦτο γίνεται βλαβερόν.

Ὡς ἐπὶ ὑποδείγματος δὲ τοιοῦτον ἐρῶ, ἵνα σαφέστερον, ὃ λέγω, ὑμῖν γένηται· Τοῦ σίτου τὸ μέν ἐστι σεμίδαλις, τὸ δὲ ἄλευρον, τὸ δὲ πίτυρον· ἂν μὲν οὖν ἡ μύλη λάβῃ ἃ δύναται ἀλεῖν, ἀπέκρινε ταῦτα πάντα, ἂν δὲ πλέον ἐπιβάλῃς, πάντα συγκέχυται. Πάλιν ὁ οἶνος ἂν τῆς προσηκούσης κατεργασίας τύχῃ, καὶ τῆς τῶν ὡρῶν κράσεως, πρότερον μὲν πάντα ὁμοῦ γίνεται, μετὰ δὲ ταῦτα τὸ μὲν αὐτοῦ εἰς τρύγα ὑφιζάνει, τὸ δὲ εἰς ἀφρὸν ἀνατρέχει, τὸ δὲ μένει ἀπόλαυσις τῶν μετεχόντων, καὶ τοῦτό ἐστι τὸ χρηστόν, καὶ οὐκ ἄν ποτε ταχέως τοῦτο τραπείη· πρότερον δὲ οὔτε οἶνός ἐστιν, οὔτε τρύξ, πάντων μιχθέντων. Τοῦτο καὶ ἐπὶ τῆς θαλάττης ἴδοι τις ἄν, ὅταν

Αὐτὸ συμβαίνει ἐπειδὴ δὲν ἐπιδίδονται μόνο στὴν τρυφή, ἀλλὰ καὶ στοὺς κόπους. Διότι δεῖξε μου ἕναν ἄνθρωπο, ποὺ συνεχῶς παχαίνει, ποὺ βρίσκεται σὲ ἀδράνεια, ποὺ δὲν ὑποβάλλεται σὲ κόπους καὶ νὰ εἶναι ὑγιής. Ἀλλὰ δὲν εἶναι δυνατὸ νὰ βρεῖς. Διότι καὶ ἂν συγκεντρωθεῖ πλῆθος ἰατρῶν, δὲν θὰ μπορέσει νὰ ἀπαλλάξει αὐτὸν ἀπὸ τὰ νοσήματα, ὅταν αὐτὸς τρώγει ὑπερβολικά· διότι τὸ φαινόμενο αὐτὸ δὲν εἶναι φυσιολογικό. Ἐγὼ δὲ θὰ σᾶς πῶ καὶ κάτι ποὺ ἔχει σχέση μὲ τὴν ἰατρική. Ἀπ' ὅλα ἐκεῖνα ποὺ εἰσάγονται στὴν κοιλιά, δὲν γίνονται ὅλα τροφή· ἀφοῦ οὔτε στὴν ἴδια τὴ φύση τῆς τροφῆς τὸ κάθε τι εἶναι θρεπτικό, ἀλλ' ἄλλο μὲν μέρος ἀπ' αὐτὴν χωρίζεται γι' ἀπομάκρυνση, ἄλλο δὲ παραμένει γιὰ τροφή. Ἂν λοιπὸν δώσεις κανονικὴ ποσότητα τροφῆς στὴν κοιλιά σου καὶ τὴν ἐπεξεργασθεῖ κατὰ τρόπο τέλειο, τότε συμβαίνει τὸ ἑξῆς, αὐτὴ μὲν λαμβάνει τὴν κατάλληλη θέση της, καὶ τὸ μὲν ὑγιεινὸ καὶ χρήσιμο στοιχεῖο της μεταβαίνει στὸ δικό του χῶρο, τὸ δὲ περιττὸ καὶ ἄχρηστο ἀποχωρίζεται καὶ ἐξέρχεται· ἂν ὅμως εἰσάγεις ἄφθονη ποσότητα τροφῆς, καὶ ἐκεῖνο ἀπ' αὐτὴ ποὺ εἶναι θρεπτικό, καὶ αὐτὸ γίνεται βλαβερό.

Καὶ γιὰ νὰ γίνει σαφέστερο αὐτὸ ποὺ σᾶς λέγω, θὰ σᾶς ἀναφέρω ἕνα παρόμοιο παράδειγμα. Ἀπὸ τὸ σιτάρι, ἕνα μέρος εἶναι σεμιδάλι, ἕνα ἀλεύρι καὶ ἕνα πίτυρα. Ἂν λοιπὸν ὁ μύλος περιλάβει, ὅσα μπορεῖ ν' ἀλέσει, τὰ διαχωρίζει ὅλα αὐτά, ἂν ὅμως βάλεις περισσότερη ποσότητα, ὅλα συγχέονται. Πάλι, ἂν τὸ κρασὶ λάβει τὴν κανονικὴ κατεργασία καὶ στὸν κατάλληλο καιρὸ τὴ ζύμωσή του, στὴν ἀρχὴ παρουσιάζονται ὅλα μαζὶ τὰ στοιχεῖα του, ὕστερα ὅμως ἕνα μέρος του κατακάθεται στὸν πυθμένα, τὸ ἄλλο ἀνέρχεται στὴν ἐπιφάνεια σὰν ἀφρός, καὶ τὸ ὑπόλοιπο ἀπομένει γιὰ τὴν ἀπόλαυση ἐκείνων ποὺ τὸ ἐπεξεργάστηκαν, καὶ αὐτὸ εἶναι τὸ χρήσιμο καὶ δὲν μπορεῖ αὐτὸ γρήγορα νὰ μεταβληθεῖ· στὴν ἀρχὴ ὅμως οὔτε κρασὶ εἶναι, οὔτε κατακάθια, ὅλα εἶναι ἀνάμικτα. Αὐτὸ μπορεῖ κανένας νὰ τὸ παρατηρήσει καὶ στὴ θάλασσα,

ὑπερβολὴ χειμῶνος γένηται. Καθάπερ οὖν τότε τοὺς ἰχθύας ὁρῶμεν νεκροὺς ἐπιπλέοντας τοὺς ὑπὸ τοῦ ψύχους εἰς τὸν βυθὸν δοῦναι μὴ δυνηθέντας, οὕτω δὴ καὶ ἐφ' ἡμῶν γίνεται· ὅταν γὰρ πολὺς ἄνωθεν ἐπιρρεύσῃ τῆς λαιμαργίας ὁ ὑετός, πάντα ἀνακινήσας, νεκροὺς ἐπιπλέειν ποιεῖ τοὺς λογισμοὺς τοὺς τέως ὑγιαίνοντας, καὶ ἐν ἡμῖν ἠρεμοῦντας.

Ἐπεὶ οὖν ἐκ τοσούτων ὑποδειγμάτων ἡμῖν ἀποδέδεικται πολλὴ ἡ βλάβη, παυσώμεθα μακαρίζοντες τούτους, ἐφ' οἷς ταλανίζειν ἐχρῆν, δακρύοντες δὲ αὐτούς, ἐφ' οἷς μακαρίζειν ἔδει, καὶ τὴν αὐτάρκειαν ἀγαπῶμεν. Ἢ οὐκ ἀκούετε καὶ ἰατρῶν λεγόντων ὅτι ἔνδεια μήτηρ ὑγείας; Ἐγὼ δὲ οὐχὶ τῆς σωματικῆς ὑγείας μητέρα τὴν ἔνδειαν εἶναι, ἀλλὰ καὶ τῆς ψυχικῆς λέγω. Ταῦτα καὶ Παῦλος βοᾷ, ὁ ὄντως ἰατρός, «ἔχοντες», λέγων, «διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα». Πειθώμεθα τοίνυν αὐτῷ, ἵνα ὑγιαίνοντες πράττωμεν, ἃ δεῖ ποιεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

44. Α' Τιμοθ. 6, 8.

ὅταν ὑπάρχει μεγάλη τρικυμία. Ὅπως ἀκριβῶς λοιπὸν τότε βλέπουμε τὰ ψάρια νὰ ἐπιπλέουν νεκρά, διότι δὲν μπόρεσαν νὰ κατεβοῦν στὸ βυθὸ λόγω τοῦ ψύχους, ἔτσι συμβαίνει καὶ μὲ μᾶς. Διότι ὅταν ἀπὸ πάνω πέσει ἀσυγκράτητη ἡ βροχὴ τῆς λαιμαργίας, ὅλα τὰ διαταράζει, κάμνει τοὺς λογισμοὺς νὰ ἐπιπλέουν νεκροί, ἐνῶ μέχρι τότε ἦταν ὑγιεῖς καὶ σὲ ἠρεμία μέσα μας.

Ἀφοῦ λοιπὸν μὲ τὰ τόσα παραδείγματα ἀποδείχθηκε σὲ μᾶς ὅτι εἶναι μεγάλη ἡ βλάβη, ἂς παύσομε νὰ μακαρίζομε αὐτοὺς γιὰ ὅλα ἐκεῖνα ποὺ ἔπρεπε νὰ τοὺς θεωροῦμε δυστυχεῖς, νὰ θρηνοῦμε δὲ γι' αὐτοὺς γιὰ ἐκείνα ποὺ θὰ ἔπρεπε νὰ τοὺς μακαρίζουμε, καὶ ἂς ἀγαποῦμε τὴν αὐτάρκεια. Ἢ δὲν ἀκοῦτε καὶ τοὺς ἰατροὺς ποὺ λέγουν, ὅτι ἡ στέρηση εἶναι μητέρα τῆς ὑγείας; Ἐγὼ δὲ λέγω ὅτι ἡ στέρηση εἶναι μητέρα ὄχι μόνο τῆς σωματικῆς ὑγείας, ἀλλὰ καὶ τῆς ψυχικῆς. Αὐτὰ καὶ ὁ Παῦλος βροντοφωνάζει, ὁ πραγματικὸς ἰατρός, λέγοντας· «Ὅταν δὲ ἔχομε τροφὲς καὶ ἐνδύματα ἂς ἀρκούμαστε σ' αὐτά»[44]. Ἂς ὑπακούομε λοιπὸν σ' αὐτὸν γιὰ νὰ πράττομε, ἔχοντας τὴν ὑγεία μας, αὐτὰ ποὺ πρέπει στὸ ὄνομα τοῦ Χριστοῦ τοῦ Κυρίου μας, μαζὶ μὲ τὸ ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΖ΄
(Πραξ. 7, 35-53)

«Τοῦτον τὸν Μωϋσῆν, ὃν ἠρνήσαντο, εἰπόντες· τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ λυτρωτὴν ἀπέστειλε σὺν χειρὶ ἀγγέλου, τοῦ ὀφθέντος αὐτῷ ἐν βάτῳ».

1. Σφόδρα τοῦτο κατάλληλον πρὸς τὴν προκειμένην ὑπόθεσιν. «Τοῦτον τὸν Μωϋσῆν», φησί. «Τοῦτον»· ποῖον; Τὸν κινδυνεύσαντα ἀπολέσθαι, τὸν ὑπ' αὐτῶν ἐξουθενηθέντα, «ὃν ἠρνήσαντο, εἰπόντες, Τίς σε κατέστησεν ἄρχοντα;», καθάπερ καὶ τῷ Χριστῷ ἔλεγον, «Οὐκ ἔχομεν βασιλέα, εἰς μὴ Καίσαρα». «Τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ λυτρωτὴν ἀπέστειλε σὺν χειρὶ ἀγγέλου», τοῦ εἰπόντος αὐτῷ, «Ἐγώ εἰμι Θεὸς Ἀβραάμ». Ἐνταῦθα καὶ τὰ γενόμενα θαύματα διὰ Χριστοῦ δείκνυσι γεγενῆσθαι. «Οὗτος», τουτέστιν, ὁ Μωϋσῆς, (καὶ ὅρα πῶς δείκνυσιν αὐτὸν λαμπρόν», «ἐξήγαγεν αὐτούς, ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ Αἰγύπτῳ, καὶ ἐν Ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα. Οὗτός ἐστιν ὁ Μωϋσῆς, ὁ εἰπὼν τοῖς υἱοῖς Ἰσραήλ· Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ», τουτέστιν, 'ἐξουθενημένον, ἐπιβουλευθέντα'· καὶ γὰρ ἠβουλήθη καὶ τοῦτον ἀνελεῖν Ἡρώδης, καὶ ἐν Αἰγύπτῳ διεσώθη, καθάπερ καὶ ἐκεῖνος, παιδίον ὤν, ἐπεβεβούλευτο. «Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ μετὰ τοῦ ἀγγέλου, τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ, καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ἡμῖν». Πάλιν οὐδαμοῦ ναός, οὐδαμοῦ θυσία.

---

1. Πρ. 7, 35.
2. Ἐξ. 2, 14 ἑξ.
3. Ἰωάν. 19, 15.
4. Ἐξ. 7-12. Δευτ. 18, 15-18.
5. Ἐξ. 19, 3. Δευτ. 9, 10.

ΟΜΙΛΙΑ ΙΖ΄
(ΠραΞ. 7, 35 - 53)

«Αὐτὸν λοιπὸν τὸν Μωϋσῆ, τὸν ὁποῖο ἀπαρνήθηκαν, λέγοντας, ποιὸς σὲ ἔβαλε ἄρχοντα καὶ δικαστή μας; αὐτὸν ὁ Θεὸς ἄρχοντα καὶ ἐλευθερωτὴ ἔστειλε μὲ τὴ δύναμη ποὺ ἔλαβε ἀπὸ τὸν ἄγγελο, ποὺ τοῦ φανερώθηκε στὴ βάτο»[1].

1. Τοῦτο εἶναι πάρα πολὺ κατάλληλο στὴν προκειμένη περίπτωση. «Αὐτὸν τὸν Μωϋσῆ», λέγει, «Αὐτόν»· ποιόν; Ἐκεῖνον ποὺ κινδύνεψε νὰ χαθεῖ, ἐκεῖνον ποὺ περιφρονήθηκε ἀπὸ αὐτούς, «ἐκεῖνον ποὺ ἀρνήθηκαν νὰ τὸν ἀναγνωρίσουν σὰν προστάτη τους καὶ εἶπαν πρὸς αὐτόν, ποιὸς σὲ διόρισε ἄρχοντα καὶ δικαστή μας;», ὅπως ἀκριβῶς ἔλεγαν καὶ στὸ Χριστό, «Δὲν ἔχομε ἄλλο βασιλιά, παρὰ μόνο τὸν Καίσαρα»[2], «Αὐτὸν τὸν ἴδιο ὁ Θεὸς ἀπέστειλε ἄρχοντα καὶ ἐλευθερωτὴ μὲ τὴ βοήθεια τοῦ ἀγγέλου», ποὺ εἶπε σ' αὐτόν· Ἐγὼ εἶμαι ὁ Θεὸς τοῦ Ἀβραάμ». Ἐδῶ δείχνει ὅτι τὰ θαύματα ποὺ ἔγιναν, εἶχαν γίνει μὲ τὸ Χριστό. «Αὐτός», δηλαδὴ ὁ Μωϋσῆς, (καὶ πρόσεχε πῶς παρουσιάζει αὐτὸν λαμπρὸ) «τοὺς ἔβγαλε ἀπὸ τὴ χώρα τῆς δουλείας, ἀφοῦ ἔκανε θαύματα καταπληκτικὰ καὶ ἀποδεικτικὰ τῆς θείας δυνάμεως στὴ χώρα τῆς Αἰγύπτου καὶ στὴν Ἐρυθρὰ θάλασσα καὶ στὴν ἔρημο ἐπὶ σαράντα χρόνια. Αὐτὸς εἶναι ὁ Μωϋσῆς ποὺ εἶπε στοὺς Ἰσραηλίτες· Προφήτη θὰ ἀναστήσει γιὰ σᾶς Κύριος ὁ Θεός σας ἀπὸ τοὺς ἀδελφούς σας, ὅπως ἤγειρε ἐμένα»[4], δηλαδή, 'περιφρονημένο καὶ ἐπιβουλευθέντα'· καθόσον καὶ αὐτὸν θέλησε νὰ θανατώσει ὁ Ἡρώδης, καὶ διασώθηκε, ἀφοῦ κατέφυγε στὴν Αἴγυπτο, ὅπως ἀκριβῶς καὶ ὁ Μωϋσῆς, ὅταν ἦταν παιδί, ἔγινε ἀντικείμενο ἐπιβουλῆς. «Αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἦταν στὴ συνάθροιση τοῦ λαοῦ στὴν ἔρημο, μὲ τὸν ἄγγελο ποὺ μίλησε στὸ ὄρος Σινᾶ, καὶ μὲ τοὺς πατέρες μας, καὶ ποὺ παρέλαβε λόγια γεμάτα ζωὴ γιὰ νὰ μᾶς τὰ δώσει»[5].

Μετὰ τοῦ ἀγγέλου», φησίν, «ἐδέξατο δοῦναι λόγια ζῶντα ἡμῖν». Ἐνταῦθα δείκνυσιν ὅτι οὐχὶ σημεῖα ἐποίησε μόνον, ἀλλὰ καὶ νόμον ἔδωκεν, ὥσπερ ὁ Χριστός. Ἀλλ' οὐκ ἤκουσαν αὐτοῦ, μαθόντες ἀεὶ ἀπειθεῖν, μετὰ τὰ σημεῖα, μετὰ τὰ θαύματα, τὰ ἐν τεσσαράκοντα ἔτεσι. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοὐναντίον ἐπεδείξαντο, ὃ καὶ δηλῶν ἐπήγαγεν· «Ὧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν, ἀλλ' ἀπώσαντο, καὶ ἐστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον, εἰπόντες τῷ Ἀαρών· Ποίησον ὑμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ τῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. Καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίας τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν. Ἔστρεψε δὲ ὁ Θεός, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν· Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ; Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολόχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ρεμφάν, τοὺς τύπους, οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς. Καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος». Τὸ «παρέδωκεν» ἐνταῦθα, 'εἴασεν' ἐστίν. «Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ, καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωϋσεῖ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον, ὃν ἑωράκει». Καὶ σκηνῆς οὔσης, θυσίαι οὐκ ἦσαν. Ὅτι δὲ οὐκ ἦσαν ὁ Προφήτης δῆλον ποιεῖ, τοῦτο λέγων· «Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι;». Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν, καὶ οὐδὲν ὠφέλησεν αὐτούς, ἀλλ' ἀνηλίσκοντο. Οὔτε δὲ πρὸ τούτου αὐτοὺς τὰ σημεῖα, οὔτε μετὰ ταῦτα ὠφέλησέ τι.

«Ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν». Ὁ-

---

6. Ἔξ. 32, 1. 23. 32, 4. 6.
7. Ἱερεμ. 7, 18 καὶ 19, 13.
8. Ἀμὼς 5, 25.

«Καὶ μὲ τὸν ἄγγελο», λέγει, «ποὺ παρέλαβε λόγια γεμάτα ζωή, γιὰ νὰ μᾶς τὰ δώσει». Ἐδῶ δείχνει, ὅτι ὄχι μόνο ἔκανε θαύματα, ἀλλὰ καὶ νόμο ἔδωσε, ὅπως ἀκριβῶς ὁ Χριστός. Ὅπως ἀκριβῶς δηλαδὴ ὁ Μωϋσῆς πρῶτα κάμνει θαύματα καὶ ἔπειτα νομοθετεῖ, ἔτσι λοιπὸν καὶ ὁ Χριστός. Ἀλλὰ δὲν ὑπάκουσαν σ' αὐτόν, ἐπειδὴ εἶχαν μάθει πάντοτε νὰ εἶναι ἀπειθεῖς, μετὰ ἀπὸ τόσα θαύματα, ποὺ γίνονταν ἐπὶ σαράντα χρόνια. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ τὸ ἀντίθετο ἀπέδειξαν, πράγμα ποὺ γιὰ νὰ δηλώσει, πρόσθεσε· «Σ' αὐτὸν δὲν θέλησαν οἱ πρόγονοί μας νὰ ὑπακούσουν, ἀλλὰ τὸν ἀπεμάκρυναν καὶ ἡ καρδιά τους ἐπέστρεψε στὴν Αἴγυπτο, ὅταν εἶπαν στὸν Ἀαρών· κάνε θεούς, γιὰ μᾶς ποὺ θὰ πορεύονται μπροστά μας· διότι τὸν Μωϋσῆ αὐτόν, ποὺ μᾶς ἔβγαλε ἀπὸ τὴν Αἴγυπτο, δὲν γνωρίζομε τί τοῦ συνέβηκε. Καὶ κατασκεύασαν ἕνα μόσχο τὶς ἡμέρες ἐκεῖνες καὶ πρόσφεραν θυσία στὸ εἴδωλο καὶ εὐφραίνονταν μὲ τὰ ἔργα ποὺ ἔκαναν τὰ χέρια τους. Ἀλλ' ὁ Θεὸς μεταστράφηκε καὶ τοὺς παρέδωσε νὰ λατρεύουν τὰ πολυάριθμα ἄστρα τοῦ οὐρανοῦ[7], καθὼς ἔχει γραφεῖ στὸ βιβλίο τῶν Προφητῶν. Μήπως μοῦ προσφέρατε σφάγια καὶ θυσίες ἐπὶ σαράντα χρόνια στὴν ἔρημο[8], σεῖς οἱ ἀπόγονοι τοῦ Ἰσραήλ; Καὶ περιφέρατε τὴ βέβηλη σκηνὴ τοῦ Μολὸχ καὶ τὸ ἄστρο τοῦ Θεοῦ σας Ρεμφάν, τὰ ὁμοιώματα, ποὺ κάνατε γιὰ νὰ τὰ προσκυνεῖτε. Καὶ γι' αὐτὰ θὰ σᾶς μεταφέρω πέρα ἀπὸ τὴ Βαβυλώνα»[7]. Τὸ «παρέδωκεν» ἐδῶ σημαίνει τοὺς ἄφησε'. «Οἱ πατέρες μας εἶχαν στὴν ἔρημο τὴ σκηνὴ τοῦ μαρτυρίου, καθὼς διέταξε ὁ Θεός, ὅταν εἶπε στὸν Μωϋσῆ νὰ κατασκευάσει αὐτὴν σύμφωνα μὲ τὸ πρότυπο ποὺ εἶχε δεῖ στὸ ὄρος». Καὶ ἐνῶ ὑπῆρχε σκηνή, θυσίες δὲν γίνονταν. Τὸ ὅτι δὲ δὲν γίνονταν τὸ φανερώνει καὶ ὁ προφήτης, λέγοντας τὸ ἑξῆς· «Μήπως μοῦ προσφέρατε σφάγια;». Ἡ σκηνὴ τοῦ μαρτυρίου ὑπῆρχε καὶ τίποτε δὲν τοὺς ὠφέλησε, ἀλλὰ φθείρονταν. Οὔτε δὲ πρὶν ἀπὸ αὐτό, οὔτε στὴ συνέχεια τοὺς ὠφέλησαν σὲ κάτι τὰ σημεῖα.

«Τὴν ὁποία οἱ πατέρες μας τῆς ἑπόμενης γενεᾶς ἐ-

ρᾷς ὅτι ἐκεῖ τόπος ἅγιός ἐστιν, ἔνθα ἂν ᾖ ὁ Θεός; Διὰ τοῦτο καὶ «ἐν τῇ ἐρήμῳ» εἶπεν, ἵνα τόπον τόπῳ συγκρίνῃ. Εἶτα ἡ εὐεργεσία. «Καὶ εἰσήγαγον», φησί, «διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἔξωσεν ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν ἕως τῶν ἡμερῶν Δαυίδ, ὃς εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ, καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ Θεῷ Ἰακώβ». Ἠτήσατο οἰκοδομεῖν ὁ Δαυίδ, καὶ οὐ λαμβάνει ὁ μέγας, ὁ θαυμαστός, ἀλλ' οἰκοδομεῖ ὁ ἀπερριμένος ὁ Σολομών. Διὰ τοῦτό φησι· «Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον· ἀλλ' οὐχ ὁ Ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ». Ἐδείχθη μὲν τοῦτο καὶ διὰ τῶν ἤδη λεχθέντων, δείκνυται δὲ καὶ διὰ φωνῆς προφητικῆς· καὶ ὅπως, ἄκουε τῶν ἑξῆς· «Καθὼς καὶ ὁ προφήτης λέγει· Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Καὶ ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος; ἢ τίς τόπος τῆς καταπαύσεώς μού ἐστιν; οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα»; Μὴ θαυμάζετε, φησίν, εἰ τοὺς παραιτουμένους αὐτοῦ τὴν βασιλείαν ὁ Χριστὸς εὐεργετεῖ, εἴ γε καὶ ἐπὶ Μωϋσέως τοῦτο γέγονε· καὶ γὰρ οὐχ ἁπλῶς αὐτοὺς ἐξείλετο, ἀλλὰ καὶ ἐν τῇ ἐρήμῳ διάγοντας. Ὁρᾷς ὅτι δι' αὐτοὺς καὶ ἐκεῖνα τὰ σημεῖα; Ὁ τῷ Θεῷ οὖν διαλεχθείς, ὁ ἐκ παραδόξου σωθείς, ὁ τοσαῦτα ἐργασάμενος καὶ δυνηθείς, δείκνυσιν ὅτι πάντως πληρωθῆναι δεῖ τὴν προφητείαν, καὶ οὐκ ἐναντιοῦται ἑαυτῷ. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Οὗτός ἐστι», φησί, «Μωϋσῆς, ὁ εἰπών· Προφήτην ὑμῖν ἀναστήσει Κύριος, ὡς ἐμέ». Πρὸς τοῦτο οἶμαι τὸν Χριστὸν εἰπεῖν ἀναφέροντα, «Ἐκ τῶν Ἰουδαίων ἡ σωτηρία ἐστίν»,

9. Ἰησ. Ναυῆ 3, 14. 18, 1.
10. Ψαλμ. 131 (132), 5.
11. Α΄ Βασιλ. 6, 1 - 11 καὶ Πράξ. 17, 24.
12. Ἡσ. 66, 1.
13. Δευτ. 18, 15. 18.
14. Ἰωαν. 4, 22.

φεραν». Βλέπεις ὅτι ἐκεῖ εἶναι ἅγιος ὁ τόπος ὅπου βρίσκεται ὁ Θεός; Γι' αὐτὸ καὶ «στὴν ἔρημο» εἶπε, γιὰ νὰ συγκρίνει τόπο μὲ τόπο. Ἔπειτα ἀκολουθεῖ ἡ εὐεργεσία. «Καὶ τὴν ἔφεραν μαζί τους οἱ πατέρες μας τῆς ἑπόμενης γενιᾶς, μὲ τὸν Ἰησοῦ τοῦ Ναυῆ μετὰ τὴν ὑποταγὴ τῶν ἐθνῶν, τὰ ὁποῖα ἐξεδίωξε ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων μας[9] μέχρι τὶς ἡμέρες τοῦ Δαυίδ, ὁ ὁποῖος βρῆκε χάρη ἐνώπιον τοῦ Θεοῦ καὶ θέλησε νὰ κάνει κατοικία γιὰ τὸ Θεὸ τοῦ Ἰακώβ»[10]. Ζήτησε νὰ οἰκοδομήσει ναὸ ὁ Δαυὶδ καὶ δὲν παίρνει τὴν ἔγκριση τοῦ Θεοῦ, αὐτὸς ποὺ ἦταν μεγάλος καὶ θαυμαστός, ἀλλ' οἰκοδομεῖ ναὸ ὁ ταπεινωμένος ὁ Σολομών. Γι' αὐτὸ λέγει· «Ἀλλ' ὁ Σολομὼν ἔκτισε οἶκο στὸ Θεό˙ ὁ Ὕψιστος ὅμως δὲν κατοικεῖ σὲ χειροποίητους ναούς»[11]. Ἔγινε μὲν αὐτὸ φανερὸ καὶ μὲ ἐκεῖνα ποὺ λέχθηκαν ἤδη· ἀποδεικνύεται ὅμως καὶ μὲ τὴν προφητικὴ φωνή˙ καὶ πῶς, ἄκουε τὰ ἑξῆς· «Καθὼς λέγει καὶ ὁ προφήτης˙ Ὁ οὐρανὸς εἶναι γιὰ μένα θρόνος, ὁλόκληρη δὲ ἡ γῆ εἶναι τὸ ὑποστήριγμα τῶν ποδιῶν μου. Ποιοῦ εἴδους οἶκο θὰ μοῦ οἰκοδομήσετε; λέγει ὁ Κύριος, ἢ ποιὸς θὰ εἶναι ὁ τόπος τῆς ἀναπαύσεώς μου; ὅλα αὐτὰ δὲν τὰ ἔκανε τὸ χέρι μου;»[12]. Μὴ ἀπορεῖτε, λέγει, ἂν ὁ Χριστὸς εὐεργετεῖ ἐκείνους ποὺ ἀρνοῦνται τὴ βασιλεία Του, τὴ στιγμὴ βέβαια ποὺ αὐτὸ συνέβηκε καὶ στὴν περίπτωση τοῦ Μωϋσῆ· καθόσον δὲν ἐλευθέρωσε ἁπλῶς αὐτούς, ἀλλὰ συνεχίσθηκαν οἱ εὐεργεσίες του καὶ ἐνῶ ζοῦσαν στὴν ἔρημο. Βλέπεις ὅτι καὶ ἐκεῖνα τὰ θαύματα γι' αὐτοὺς ἔγιναν; Αὐτὸς λοιπὸν ποὺ συνομιλεῖ μὲ τὸ Θεό, αὐτὸς ποὺ σώθηκε κατὰ παράδοξο τρόπο, αὐτὸς ποὺ τόσα ἐπιτέλεσε καὶ μπόρεσε νὰ κάνει, δείχνει ὅτι ὁπωσδήποτε πρέπει νὰ ἐκπληρωθεῖ ἡ προφητεία, καὶ δὲν ἀντιτίθεται πρὸς τὸν ἑαυτό του. Ἀλλ' ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ προαναφερθέντα.

«Αὐτός», λέγει, «εἶναι ὁ Μωϋσῆς ποὺ εἶπε: Προφήτη θὰ σᾶς ἀναστήσει ὁ Κύριος, ὅπως ἀνέστησε ἐμένα»[13]. Νομίζω ὅτι σ' αὐτὸ ἀναφέρεται ἐκεῖνο ποὺ εἶπε ὁ Χριστός˙ «Ἀπὸ τοὺς Ἰουδαίους θὰ προέλθει ἡ σωτηρία»[14], ὑπονοών-

ἑαυτὸν αἰνιττόμενον. «Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐρήμῳ μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ». Ἰδοὺ πάλιν αὐτὸν δείκνυσι τὸν νόμον δεδωκέναι, εἴ γε μετ' αὐτοῦ ἦν ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ. Ἐνταῦθα δὲ καὶ θαύματος ὑπομιμνήσκει μεγάλου, τοῦ ἐν ὄρει γεγενημένου. «Ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ἡμῖν». Πανταχοῦ θαυμαστὸς ὁ Μωϋσῆς, καὶ πλέον ὅτε νομοθετεῖν ἔδει. Τί ἐστι, «Λόγια ζῶντα»; Ἤτοι ὧν τὸ τέλος διὰ λόγων ἐδείκνυτο, ἤτοι τὰς προφητείας λέγει. Εἶτα τὸ ἔγκλημα τέως ἐπὶ τοὺς πατριάρχας, μετὰ τὰ σημεῖα καὶ τὰ θαύματα, μετὰ τὸ λαβεῖν λόγια ζῶντα· «Ὧ οὐκ ἠθέλησαν», φησίν, «ὑπήκοοι γενέσθαι». Καλῶς δὲ «λόγια ζῶντα» εἶπεν, ἵνα δείξῃ ὅτι εἰσὶ καὶ οὐ ζῶντα. Περὶ ὧν καὶ Ἰεζεκιὴλ φησιν, ὡς, ὅταν λέγῃ· «Καὶ ἔδωκα ὑμῖν προστάγματα οὐ καλά». Πρὸς τὰ τοιαῦτα οὖν εἶπε τὸ «ζῶντα». «Ἀλλ' ἀπώσαντο, καὶ ἐστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον», ἔνθα ἔστενον, ἔνθα ἐβόων, ὅθεν τὸν Θεὸν ἐκάλουν. «Καὶ εἶπον τῷ Ἀαρών· Ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν».

2. Ὢ τῆς ἀνοίας! «Ποίησον», φησίν, «ἵνα προπορεύσωνται ἡμῶν». Ποῦ; Εἰς Αἴγυπτον. Ὁρᾷς πῶς δυσαποσπάστως εἶχον τῶν ἐθῶν τῶν Αἰγυπτιακῶν; Τί λέγεις; οὐκ ἀναμένεις τὸν ἐξαγαγόντα, ἀλλὰ ἀρνῇ τὴν εὐεργεσίαν καὶ τὸν εὐεργέτην φεύγεις; Καὶ ὅρα πῶς ὑβρίζουσιν· «ὁ γὰρ Μωϋσῆς οὗτος», φησίν, «ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου». Οὐδαμοῦ Θεοῦ ὄνομα, ἀλλὰ πάντα τῷ Μωϋσεῖ ἐπέγραφον. Καὶ ἔνθα μὲν αὐτοὺς εὐχαριστεῖν ἦν, Μωϋσῆν φέρουσιν εἰς μέσον, ἔνθα δὲ πεισθῆναι νόμῳ, οὐκ ἔτι Μωϋσῆν ἄγουσι· καὶ μὴν εἶπεν ὅτι ἄνεισιν ὥστε λαβεῖν τὸν νόμον, οἱ δὲ οὐδὲ τεσσαράκοντα ἡμέρας ὑπέμειναν. «Ποίησον ἡμῖν θεούς». Οὐκ εἶ-

15. Ἐξ. 19, 3 καὶ 20. Δευτ. 9, 10.
16. Ἰεζεκ. 20, 25.
17. Ἐξ. 32, 1. 23.

τας τὸν ἑαυτό του. Αὐτὸς εἶναι ἐκεῖνος ποὺ στὴν ἔρημο συνομίλησε μὲ τὸν ἄγγελο»[15]. Νὰ πάλι δείχνει ὅτι αὐτὸς ἔχει δώσει τὸ νόμο, ἐφ' ὅσον βέβαια ἦταν μαζί του στὴ σύναξη τοῦ λαοῦ στὴν ἔρημο. Ἐδῶ δὲ ὑπενθυμίζει καὶ μεγάλο θαῦμα, ποὺ εἶχε γίνει στὸ Ὄρος Σινᾶ. «Ὁ ὁποῖος παρέλαβε λόγια γεμάτα ἀπὸ ζωὴ γιὰ νὰ τὰ παραδώσει σ' ἐμᾶς». Παντοῦ ὁ Μωϋσῆς εἶναι ἀξιοθαύμαστος, καὶ πιὸ πολὺ ὅταν ἔπρεπε νὰ νομοθετεῖ. Τί σημαίνει, «Λόγια ζῶντα»; Ἢ ἐννοεῖ ἐκεῖνα, ἀπὸ τὰ ὁποῖα δείχνονταν τὸ τέλος μὲ λόγια, ἢ ἐννοεῖ τὶς προφητεῖες. Κατόπιν παρουσιάζει τὴν κατηγορία, πρῶτα ἐναντίον τῶν πατριαρχῶν γιὰ τὴν ἀδιαφορία τους, μετὰ ἀπὸ τὰ σημεῖα καὶ τὰ θαύματα, καὶ μετὰ ἀπὸ τὴν παραλαβὴ τῶν γεμάτων ἀπὸ ζωὴ λόγων. «Στὸν ὁποῖο οἱ πρόγονοί μας δὲν θέλησαν νὰ ὑπακούσουν», λέγει. Καλὰ δὲ εἶπε «Λόγια ζῶντα», γιὰ νὰ δείξει ὅτι ὑπάρχουν καὶ λόγια χωρὶς ζωή, γιὰ τὰ ὁποῖα καὶ ὁ Ἰεζεκιὴλ ὁμιλεῖ, ὅπως ὅταν λέγει· «Καὶ ἔδωσα σὲ σᾶς νόμους ποὺ δὲν ἦταν καλοί»[16]. Σὲ σχέση πρὸς αὐτὰ λοιπὸν εἶπε τὸ «ζῶντα». «Καὶ τὸν ἔδιωξαν καὶ ἐπέστρεψε ἡ καρδιά τους πίσω στὴν Αἴγυπτο»· ὅπου στέναζαν, ὅπου κραύγαζαν, ὅπου καλοῦσαν τὸ Θεό· «Καὶ εἶπαν στὸν Ἀαρών· κάνε θεοὺς γιὰ ἐμᾶς, ποὺ θὰ πορεύονται μπροστά μας»[17].

2. Πώ, πὼ ἀνοησία! «Κάνε», λέγει, «θεοὺς γιὰ νὰ πορεύονται μπροστά μας». Ποῦ; Στὴν Αἴγυπτο. Βλέπεις πῶς δὲν ἀποχωρίζονταν εὔκολα ἀπὸ τὰ ἔθιμα τῶν Αἰγυπτίων; Τί λέγεις; δὲν ἀναμένεις ἐκεῖνον ποὺ σὲ ἔβγαλε, ἀλλ' ἀρνεῖσαι τὴν εὐεργεσία καὶ ἀποφεύγεις τὸν εὐεργέτη; Καὶ πρόσεχε πῶς συμπεριφέρονται ὑβριστικά· διότι λέγει, αὐτὸς ὁ Μωϋσῆς, ποὺ μᾶς ἔβγαλε ἀπὸ τὴν χώρα τῆς Αἰγύπτου». Πουθενὰ δὲν ἀναφέρουν τὸ ὄνομα τοῦ Θεοῦ, ἀλλ' ὅλα στὸ Μωϋσῆ τὰ ἀπέδιδαν. Καὶ ὅπου μὲν ἔπρεπε αὐτοὶ νὰ εὐχαριστοῦν, ἀναφέρουν τὸ Μωϋσῆ, ὅπου δὲ ἔπρεπε νὰ ὑπακούσουν στὸ νόμο, δὲν ἀναφέρουν πλέον τὸ Μωϋσῆ. Καὶ ὅμως εἶπε, ὅτι ἀνεβαίνει στὸ ὄρος γιὰ νὰ παραλάβει τὸ νόμο, αὐτοὶ δὲ οὔτε σαράντα ἡμέρες δὲν ἀνέμειναν· «Κάνε μας θεούς»· δὲν εἶπαν, 'θεό',

πον, 'Θεόν', ἀλλὰ «θεούς»· οὕτως ἀνεβακχεύθησαν, ὅτι οὐδὲ ἴσασιν, ἃ λέγουσι. «Καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίας τῷ εἰδώλῳ». Εἶδες ἀνοίας ὑπερβολήν; Ἔνθα ἐφάνη Θεὸς τῷ Μωϋσεῖ, μοσχοποιοῦσιν οὗτοι καὶ θύουσι. «Καὶ εὐφραίνοντο», φησίν, «ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν». Ἐφ' οἷς ἔδει ἐγκαλύπτεσθαι, ἔχαιρον. Καὶ τί θαυμαστόν, εἴ γε ἀγνοεῖτε Χριστόν, ὅπου καὶ τὸν Μωϋσέα καὶ τὸν Θεὸν τὸν δειχθέντα διὰ τοσούτων σημείων; Οἱ δὲ οὐκ ἠγνόησαν μόνον, ἀλλὰ καὶ ὕβρισαν ἑτέρως τῷ εἴδωλα ποιῆσαι.

«Ἔστρεψε δὲ ὁ Θεὸς καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ». Ἐντεῦθεν λοιπὸν τὰ ἔθη ταῦτα, ἐντεῦθεν αἱ θυσίαι· αὐτοὶ πρῶτον ἐποίησαν θυσίας τοῖς εἰδώλοις. Τοῦτο καὶ Δαυὶδ ἐπισημαινόμενος λέγει· «Καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ». Ἐπεὶ πρὸ τούτου οὐδαμοῦ θυσίας ὄνομα, ἀλλὰ προστάγματα ζῶντα, καὶ λόγια ζῶντα· οὐδαμοῦ τελεταί, ἀλλὰ θαύματα καὶ σημείων ἐπίδειξις. «Καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν». Ἐνταῦθα τὴν μαρτυρίαν οὐχ ἁπλῶς παρήγαγεν, ἀλλ' ἵνα δείξῃ τὸ μὴ εἶναι χρείαν θυσιῶν. Καὶ ὅρα τί φησι· «Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ; Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολόχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν Ρεμφάν, τοὺς τύπους, οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς». Ἐμφαντικῶς ἐχρήσατο τῇ λέξει. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· 'Οὐκ ἔχετε εἰπεῖν ὅτι ἀπὸ τοῦ ἐμοὶ θύειν κἀκείνοις ἐθύετε'· καὶ ταῦτα ἐν τῇ ἐρήμῳ, ἔνθα μάλιστα αὐτῶν προειστήκει. «Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολόχ». Ἡ αἰτία τῶν θυσιῶν αὕτη. «Καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος». Οὕτω καὶ ἡ αἰχμαλωσία κατηγορία τῆς κακίας. Καὶ πῶς «ἡ σκηνή», φησίν, «ἡ τοῦ μαρτυρίου»; Ἀλλὰ διὰ

18. Ἐξ. 32, 2-6.
19. Ψαλμ. 105 (106), 19.
20. Ἀμὼς 5, 25-27.

ἀλλὰ «θεούς»˙ τόσο πολὺ κυριεύθηκαν ἀπὸ βακχικὴ μανία, ὥστε δὲν γνωρίζουν οὔτε αὐτὰ ποὺ λέγουν. «Καὶ κατασκεύασαν εἴδωλο μόσχου κατὰ τὶς ἡμέρες ἐκεῖνες, καὶ πρόσφεραν θυσίες στὸ εἴδωλο αὐτό»[18]. Εἶδες ὑπερβολὴ ἀνοησίας; Ἐκεῖ, ὅπου ὁ Θεὸς ἐμφανίσθηκε στὸ Μωϋσῆ, αὐτοὶ κάμνουν μόσχους καὶ θυσιάζουν. «Καὶ εὐφραίνονταν», λέγει, «μὲ τὰ ἔργα ποὺ ἔκαμναν μὲ τὰ χέρια τους». Γι᾽ ἐκεῖνα ποὺ ἔπρεπε νὰ αἰσθάνονται ντροπή, χαίρονταν. Καὶ τί τὸ ἀξιοπερίεργο, ἂν ἀγνοεῖτε τὸ Χριστό, τὴ στιγμὴ ποὺ ἀγνοεῖτε καὶ τὸ Μωϋσῆ καὶ τὸ Θεό, ποὺ φανερώθηκε μὲ τόσα σημεῖα; Αὐτοὶ δὲ ὄχι μόνο ἀγνόησαν, ἀλλὰ καὶ φέρθηκαν προσβλητικὰ μὲ τὸ νὰ κατασκευάσουν εἴδωλα.

«Ἀλλ᾽ ὁ Θεὸς μεταστρέφηκε καὶ τοὺς παρέδωσε νὰ λατρεύουν τὰ πολυάριθμα ἄστρα τοῦ οὐρανοῦ». Ἀπὸ ἐδῶ λοιπὸν προέρχονται τὰ ἔθιμα αὐτά, ἀπὸ ἐδῶ οἱ θυσίες˙ αὐτοὶ πρῶτα ἔκαναν θυσίες στὰ εἴδωλα. Αὐτὸ ἐπισημαίνοντας καὶ ὁ Δαυίδ, λέγει˙ «Καὶ ἔκαναν ὁμοίωμα μόσχου στὸ Χωρὴβ καὶ προσκήνυσαν αὐτὸ τὸ γλυπτό»[19]. Διότι προηγουμένως πουθενὰ δὲν ἀναφέρεται ὄνομα θυσίας, ἀλλὰ προστάγματα καὶ λόγια γεμάτα ἀπὸ ζωή˙ πουθενὰ δὲν ἀναφέρονται τελετές, ἀλλὰ θαύματα καὶ ἐπίδειξη σημείων. «Καθὼς ἔχει γραφεῖ στὸ βιβλίο τῶν προφητῶν». Ἐδῶ δὲν ἀνέφερε τὴ μαρτυρία τυχαῖα, ἀλλὰ γιὰ νὰ ἀποδείξει ὅτι δὲν ὑπάρχει ἀνάγκη θυσιῶν. Καὶ πρόσεχε τί λέγει˙ «Μήπως μοῦ προσφέρατε σφάγια καὶ θυσίες ἐπὶ σαράντα χρόνια στὴν ἔρημο; Καὶ περιφέρατε τὴ σκηνὴ τοῦ Μολὸχ καὶ τὸ ἄστρο τοῦ θεοῦ σας Ρεμφάν, τὰ ὁμοιώματα ποὺ κάνατε γιὰ νὰ προσκυνεῖτε αὐτά»[20]. Μὲ ἔμφαση χρησιμοποίησε τὸ λόγο. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς˙ ῾δὲν μπορεῖτε νὰ πεῖτε ὅτι, ἐπειδὴ θυσιάζατε σ᾽ ἐμένα, θυσιάζετε καὶ σ᾽ ἐκείνους᾽˙ καὶ αὐτὰ ἔγιναν στὴν ἔρημο, ὅπου κατ᾽ ἐξοχὴ τοὺς προστάτευε. «Καὶ περιφέρατε τὴ σκηνὴ τοῦ Μολόχ». Αὐτὴ ἦταν ἡ αἰτία τῶν θυσιῶν. «Καὶ θὰ σᾶς μεταφέρω πέρα ἀπὸ τὴ Βαβυλῶνα». Ἔτσι καὶ ἡ αἰχμαλωσία ἀποτελεῖ ἐπιβεβαίωση τῆς κακίας. Καὶ πῶς, «ἡ σκηνή», λέγει, «ἦταν μαρτυρία τοῦ Θεοῦ»;

τοῦτο ἦν, ἵνα μάρτυρα τὸν Θεὸν ἔχωσιν. Οὐκοῦν εἰς τοῦτο μόνον ἦν· «κατὰ τὸν τύπον» γάρ, φησί, «τὸν δειχθέντα σοι ἐν τῷ ὄρει»· ὥστε ἐν τῷ ὄρει ἡ ὑπογραφὴ γέγονε· καὶ αὕτη δὲ ἐν τῇ ἐρήμῳ περιφορητὴ ἦν, καὶ οὐκ ἐν τόπῳ κειμένη. Μαρτυρίου δὲ σκηνὴν οὐκ ἄλλου τινὸς χάριν, ἢ τῶν θαυμάτων καὶ τῶν προσταγμάτων καλεῖ. Ὅμως γοῦν καὶ αὕτη καὶ ἐκεῖνοι οὐκ εἶχον ναόν. Ἄρα καὶ τὸν τύπον αὐτὸν αὐτὸς ὁ ἄγγελος ἔδωκεν.

«Ἕως τῶν ἡμερῶν», φησί, «Δαυίδ». Ὥστε οὐκ ἦν ναὸς ἄχρι τότε, καίτοι καὶ τὰ ἔθνη ἐξέωστο, περὶ ὧν φησιν. «Ὧν ἔξωσεν ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν». Τοῦτο δὲ εἶπε, δεικνὺς πάλιν ὅτι οὐκ ἦν τότε ναός. Τί λέγω; τοσαῦτα θαύματα, καὶ οὐδαμοῦ ναός; Οὕτω καὶ πρώτη ἡ σκηνή, καὶ οὐδαμοῦ ναός». Καὶ ἤτησεν εὑρεῖν χάριν ἐνώπιον τοῦ Θεοῦ». Ἤτησε, καὶ οὐκ ᾠκοδόμησεν· οὕτως οὐκ ἦν μέγα τι ὁ ναός, εἰ καὶ ἐνόμισάν τινες μέγαν εἶναι τὸν Σολομῶντα τῷ τὸν ναὸν οἰκοδομῆσαι, οἳ διὰ τοῦτο καὶ τοῦ πατρὸς αὐτὸν προετίθεσαν. Ὅτι δὲ οὐχὶ βελτίων ἦν τοῦ πατρός, ἀλλ' οὐδὲ ἴσος, μόνον δὲ ἀπὸ τῆς τῶν πολλῶν ὑπολήψεως, δῆλον αὐτὸ ἐποίησεν, ἐπαγαγών· «Ἀλλ' οὐχ ὁ Ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ Προφήτης φησίν· Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου». Οὐδὲ γὰρ ταῦτα ἄξια Θεοῦ, εἴ γε ποιήματά ἐστιν, εἴ γε τῆς χειρὸς αὐτοῦ ἔργα. Ὅρα πῶς αὐτοὺς κατὰ μικρὸν ἀνάγει· δείκνυσι γὰρ διὰ τοῦ Προφήτου ὅτι οὐδὲ ταῦτα Θεοῦ ἄξια λέγειν. Καὶ τίνος ἕνεκεν, φησίν, ἐνταῦθα καταφορικῶς τῷ λόγῳ κέχρηται; Πολλὴ ἦν ἡ παρρησία μέλλοντος αὐτοῦ ἀποθνήσκειν· καὶ γὰρ καὶ τοῦτο οἶμαι αὐτὸν ἀποκαλύψεως εἰδέναι. «Σκληροτράχηλοι καὶ ἀπερίτμητοι ταῖς καρδίαις καὶ

21. Ἔξ. 25, 40.
22. Πρ. 7, 48-49. Ἠσ. 66, 1.
23. Ἱερεμ. 6, 10. 9, 25-26.

Ἀλλὰ γι᾽ αὐτὸ ἦταν, γιὰ νὰ ἔχουν μάρτυρα τὸ Θεό. Λοιπὸν μόνο γιὰ τὸ σκοπὸ αὐτὸ ἦταν. Διότι λέγει· «Νὰ τὴν κατασκευάσει κατὰ τὸ ὑπόδειγμα ποὺ εἶχε δεῖ στὸ ὄρος»[21]· ὥστε στὸ ὄρος ἔγινε ἡ σκιαγραφία της· καὶ αὐτὴ ἡ σκηνὴ ἦταν στὴν ἔρημο φορητὴ καὶ δὲν ἦταν τοποθετημένη σ᾽ ἕνα μέρος. Τὴν ἀποκαλεῖ δὲ σκηνὴ μαρτυρίου, ὄχι γι᾽ ἄλλο λόγο, ἀλλὰ χάρη τῶν θαυμάτων καὶ τῶν προσταγμάτων. Ἀλλ᾽ ὅμως οὔτε αὐτή, οὔτε καὶ ἐκεῖνοι εἶχαν ναό. Ἄρα καὶ τὸν τύπο αὐτὸ ὁ ἴδιος ὁ ἄγγελος τὸν ἔδωσε.

«Καὶ ἔμεινε», λέγει, «ἐκεῖ ἡ σκηνὴ μέχρι τῆς ἐποχῆς τοῦ Δαυΐδ». Ὥστε δὲν ὑπῆρχε ναὸς μέχρι τότε· ἂν καὶ εἶχαν ἐκδιωχθεῖ οἱ ἐθνικοί, γιὰ τοὺς ὁποίους λέγει· «Τοὺς ὁποίους ἔδιωξε ἀπὸ ἐκεῖ ὁ Θεὸς μακριὰ ἀπὸ τοὺς προγόνους μας». Αὐτὸ δὲ τὸ εἶπε γιὰ νὰ δείξει πάλι ὅτι δὲν ὑπῆρχε τότε ναός. Τί λέγω; τόσα πολλὰ θαύματα καὶ πουθενὰ δὲν ὑπῆρχε ναός; Ἔτσι καὶ πρώτη ἦταν ἡ σκηνὴ καὶ πουθενὰ δὲν ὑπῆρχε ναός. «Καὶ ζήτησε ὁ Δαυΐδ νὰ βρεῖ χάρη ἐνώπιον τοῦ Θεοῦ. Ζήτησε καὶ δὲν οἰκοδόμησε ναό· συνεπῶς δὲν ἦταν κάτι ἀπαραίτητο ὁ ναός, ἂν καὶ μερικοὶ θεώρησαν ὅτι εἶναι σπουδαῖος ὁ Σολομώντας, γιὰ τὸ ὅτι οἰκοδόμησε τὸ ναό, οἱ ὁποῖοι καὶ γιὰ τὸ λόγο αὐτὸ τὸν τοποθέτησαν πιὸ ἐπάνω ἀπὸ τὸν Πατέρα του. Ὅτι δὲ δὲν ἦταν ἀνώτερος ἀπὸ τὸν πατέρα του, ἀλλ᾽ οὔτε καὶ ἴσος, παρὰ μόνο κατὰ τὴ γνώμη πολλῶν, τὸ φανέρωσε προσθέτοντας· «Ἀλλ᾽ ὁ ὕψιστος Θεὸς δὲν κατοικεῖ σὲ χειροποίητους ναούς, καθὼς λέγει ὁ προφήτης. «Ὁ οὐρανὸς εἶναι ὁ θρόνος μου, ἡ δὲ γῆ ὑποστήριγμα τῶν ποδιῶν μου»[22]. Διότι οὔτε αὐτὰ ἔχουν ἀξία γιὰ τὸ Θεό, ἐφόσον βέβαια εἶναι δημιουργήματα, ἐφόσον εἶναι ἔργα τῶν χεριῶν του. Πρόσεχε πῶς σιγὰ σιγὰ ἀνυψώνει αὐτοὺς πνευματικά· διότι δείχνει μὲ τὸν Προφήτη, ὅτι οὔτε αὐτὰ εἶναι ἄξια νὰ λέγονται γιὰ τὸ Θεό. Καὶ γιὰ ποιὸ λόγο, λέγει, ἐδῶ ὁμιλεῖ μὲ τόση σφοδρότητα; Ἦταν μεγάλο τὸ θάρρος του, ἐπειδὴ ἐπρόκειτο νὰ πεθάνει· διότι καὶ αὐτὸ νομίζω ὅτι τὸ γνώριζε ἐξ ἀποκαλύψεως. «Σκληροτράχηλοι καὶ ἀναίσθητοι στὴν καρδιὰ καὶ τὴν ἀκοή σας».

τοῖς ὡσί». Καὶ τοῦτο προφητικόν· οὐδὲν αὐτοῦ ἴδιον. «Ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς». Ὅτε οὐκ ἐβούλετο θυσίας εἶναι, ὑμεῖς ἐθύετε· ὅτε βούλεται, πάλιν οὐ θύετε· ὅτε οὐκ ἤθελε δοῦναι ὑμῖν παραγγέλματα, ἐπισπάσασθε· ὅτε ἐλάβετε, ἠμελήσατε. Πάλιν, ὅτε εἱστήκει ὁ ναός, εἴδωλα ἐθεραπεύετε· ὅτε βούλεται χωρὶς ναοῦ θεραπεύεσθαι, τὸ ἐναντίον ποιεῖτε. Ὅρα, οὐκ εἶπε, 'Τῷ Θεῷ ἀντιπίπτετε', ἀλλὰ «τῷ Πνεύματι»· οὕτως οὐδεμίαν οἶδε διαφοράν. Καὶ τὸ μεῖζον «ὡς οἱ πατέρες ὑμῶν», φησίν, «καὶ ὑμεῖς». Οὕτω καὶ ὁ Χριστὸς ὠνείδιζεν, ἐπειδὴ μεγάλα ἀεὶ ἐπὶ τοῖς πατράσιν ηὔχουν.

3. *«Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; Καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ Δικαίου». Ἔτι «τοῦ Δικαίου» λέγει, βουλόμενος αὐτοὺς καταστεῖλαι. «Οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε». Δύο αὐτοῖς ἐγκαλεῖ, ὅτι τε ἠγνόησαν, καὶ ὅτι ἐφόνευσαν. «Οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε». Τί ἐστι τοῦτο; Τινές φασι τὸν ὑπ' ἀγγέλων λέγειν διαταχθέντα. Οὐκ ἔστι δέ· ποῦ γὰρ ἄγγελοι νόμον ἐφάνησαν διατάττοντες; ἀλλὰ διαταχθέντα νόμον λέγει, τὸν ἐγχειρισθέντα αὐτῷ δι' ἀγγέλου, τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ· μὴ γὰρ ἄνθρωπος ἦν; Οὐδὲν οὖν θαυμαστὸν τούτους, ἐκεῖνα ποιήσαντας, φησί, καὶ ταῦτα ποιῆσαι. Εἰ τοὺς καταγγείλαντας ἀνείλετε, πολλῷ μᾶλλον αὐτόν. Ἐνταῦθα καὶ Θεῷ καὶ ἀγγέλοις καὶ τοῖς προφήταις καὶ τῷ Πνεύματι, καὶ πᾶσι δείκνυσιν ἀπειθοῦντας, καθὼς καὶ ἑτέρωθί φησιν ἡ Γραφή· «Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν». Οἱ τοίνυν ἀντιποιούμενοι λόγῳ τοῦ*

---

24. Ἀριθμ. 27, 14. Ἡσ. 63, 10.
25. Γ' Βασιλ. 19, 10.

Καὶ αὐτὰ τὰ λόγια εἶναι προφητικά· τίποτε ἀπ' ὅσα λέγει δὲν εἶναι δικό του. «Σεῖς πάντοτε ἀντιτίθεσθε στὸ Πνεῦμα τὸ ἅγιο· ὅπως οἱ πατέρες σας ἀντιτάσσονταν, ἔτσι καὶ σεῖς»[24]. Ὅταν δὲν ἤθελε θυσίες, σεῖς θυσιάζατε, ὅταν θέλει, σεῖς πάλι δὲν θυσιάζετε· ὅταν δὲν ἤθελε νὰ σᾶς δώσει παραγγέλματα, σεῖς ἐπιδιώκατε αὐτά· ὅταν λάβατε, τὰ παραμελήσατε. Ἐπίσης, ὅταν συστήθηκε ὁ ναός, σεῖς λατρεύατε εἴδωλα, ὅταν θέλει νὰ λατρεύεται χωρὶς ναό, κάμνετε τὸ ἀντίθετο. Πρόσεχε, δὲν εἶπε 'ἀντιτίθεσθε στὸ Θεό', ἀλλὰ «στὸ Πνεῦμα». Ἔτσι δὲν γνωρίζει καμιὰ διαφορά. Καὶ τὸ σπουδαιότερο, «ὅπως ἀπειθοῦσαν οἱ πατέρες σας», λέγει, «ἔτσι καὶ σεῖς». Κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ Χριστὸς τοὺς κατηγοροῦσε, ἐπειδὴ πάντοτε καυχῶνταν ὑπερβολικὰ γιὰ τοὺς προγόνους τους.

3. «Ποιὸν ἀπὸ τοὺς προφῆτες δὲν καταδίωξαν οἱ πατέρες σας; Καὶ φόνευσαν ἐκείνους ποὺ προανήγγειλαν τὸν ἐρχομὸ τοῦ Δικαίου». Ἀκόμα λέγει, «Τοῦ Δικαίου», θέλοντας νὰ κάνει αὐτοὺς νὰ συναισθανθοῦν. «Τοῦ ὁποίου σεῖς τώρα ἔχετε γίνει προδότες καὶ φονιάδες». Γιὰ δύο πράγματα τοὺς κατηγορεῖ, καὶ ὅτι τὸν ἀγνόησαν ὅταν ἦλθε, καὶ ὅτι τὸν φόνευσαν. «Σεῖς ποὺ λάβατε τὸ νόμο, μέσω διαταγῶν τῶν ἀγγέλων, καὶ δὲν τὸν τηρήσατε». Τί σημαίνει αὐτό; Μερικοὶ λέγουν, ὅτι ἐννοεῖ τὸ νόμο ποὺ εἶχαν διατάξει οἱ ἄγγελοι. Δὲν εἶναι ὅμως αὐτό· διότι ποῦ ἐμφανίσθηκαν οἱ ἄγγελοι νὰ διατάσσουν νόμο; ἀλλὰ διαταχθέντα νόμο ἐννοεῖ ἐκεῖνον, ποὺ παραδόθηκε στὸ Μωϋσῆ, μὲ τὸν ἄγγελο ποὺ ἐμφανίσθηκε σ' αὐτὸν στὴ βάτο. Μήπως δηλαδὴ ἦταν ἄνθρωπος; Τίποτε λοιπὸν δὲν εἶναι περίεργο, ἐφόσον, λέγει, αὐτοὶ ἔκαναν ἐκεῖνα, νὰ πράξουν καὶ αὐτά. Ἐὰν φονεύσατε ἐκείνους ποὺ ἀνήγγειλαν τὸν ἐρχομὸ τοῦ Μεσσία, πολὺ περισσότερο Αὐτόν. Ἐδῶ δείχνει αὐτοὺς νὰ ἀπειθοῦν καὶ στὸ Θεό, καὶ στοὺς ἀγγέλους, καὶ στοὺς προφῆτες καὶ στὸ Πνεῦμα καὶ σὲ ὅλα, ὅπως καὶ σὲ ἄλλο σημεῖο λέγει ἡ Γραφή· «Κύριε, τοὺς προφῆτες σου φόνευσαν, καὶ τὰ θυσιαστήριά σου κατεδάφισαν»[25]. Ἐκεῖνοι λοιπὸν ποὺ μὲ

νόμου ἔλεγον· «Εἰς Μωϋσῆν βλασφημεῖ». Ὁ δὲ δείκνυσιν ὅτι αὐτοὶ βλασφημοῦσι μᾶλλον οὐ μόνον εἰς Μωϋσῆν, ἀλλὰ καὶ εἰς Θεόν, καὶ ὅτι αὐτοὶ ἄνωθεν τοιαῦτα ποιοῦσι, καὶ ὅτι αὐτοὶ τὰ ἔθη κατέλυσαν, καὶ ὅτι οὐ χρεία τούτων λοιπόν, καὶ ὅτι, ἐγκαλοῦντες καὶ λέγοντες Μωϋσεῖ ἐναντιοῦσθαι αὐτόν, αὐτοὶ τῷ Πνεύματι ἠναντιοῦντο (καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ μετὰ φόνου), καὶ ἄνωθεν εἶχον τὴν ἔχθραν. Ὁρᾷς ὅτι καὶ Μωϋσεῖ καὶ πᾶσι δείκνυσιν ἐναντιουμένους αὐτούς, καὶ τὸν νόμον μὴ φυλάττοντας; Καίτοι γε Μωϋσῆς εἶπε· «Προφήτην ὑμῖν ἀναστήσει Κύριος»· καὶ οἱ ἄλλοι δὲ τοῦτον ἐλεύσεσθαι προὔλεγον, καὶ ὁ Προφήτης, λέγων· «Ποῖον οἶκον οἰκοδομήσετέ μοι;» καὶ πάλιν· «Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα;». Τοῦτο παρρησία ἀνδρός, τὸν σταυρὸν ἔχοντος.

Μιμώμεθα τοίνυν καὶ ἡμεῖς ταύτην, εἰ καὶ πολέμου οὐκ ἔστι καιρός, ἀλλὰ παρρησίας ἀεὶ καιρός ἐστιν· «Ἐλάλουν» γάρ, φησίν, «ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων καὶ οὐκ ᾐσχυνόμην». Ἂν τοίνυν Ἕλλησι συμπλεκώμεθα, οὕτως αὐτοὺς ἐπιστομίζωμεν χωρὶς θυμοῦ, χωρὶς τραχύτητος· ἂν μὲν γὰρ μετὰ θυμοῦ τοῦτο ποιῶμεν, οὐκ ἔτι παρρησία, ἀλλὰ πάθος εἶναι δοκεῖ, ἂν δὲ ἐπιεικῶς, ὄντως ἐστὶν αὕτη παρρησία· οὐκ γὰρ δυνατὸν ὁμοῦ κατὰ ταὐτὸν καὶ κατόρθωμα εἶναι καὶ ἐλάττωμα. Δεῖ τοίνυν ἡμᾶς, εἰ μέλλομεν παρρησίαν ἔχειν, καθαροὺς εἶναι τοῦ θυμοῦ, ἵνα μὴ ἐκείνῳ τις λογίσηται τὰ ῥήματα. Κἂν δίκαια λέγῃς μετὰ θυμοῦ, τὸ πᾶν ἀπώλεσας, κἂν παρρησιάζῃ, κἂν νουθετῇς, κἂν ὁτιοῦν πράττῃς. Ὅρα τὸν ἄνδρα τοῦτον οὐ μετὰ θυμοῦ διαλεγόμενον· οὐ γὰρ δὴ ὑ-

26. Πρ. 6, 11.
27. Δευτ. 18, 18.
28. Ἡσ. 66, 1.
29. Ἀμώς 5, 25.
30. Ψαλμ. 118, 46.

τὸ λόγο ἀντιποιοῦνταν τὸ νόμο ἔλεγαν· «Βλασφημεῖ ἐναντίον τοῦ Μωϋσέως»[26]. Ὁ Στέφανος ὅμως δείχνει ὅτι αὐτοὶ μᾶλλον βλασφημοῦν ὄχι μόνο ἐναντίον τοῦ Μωϋσέως, ἀλλὰ καὶ ἐναντίον τοῦ Θεοῦ, καὶ ὅτι αὐτοὶ ἀπ' ἀρχῆς πράττουν αὐτά, καὶ ὅτι αὐτοὶ κατέλυσαν τὰ ἔθιμα, καὶ ὅτι δὲν ὑπάρχει πλέον ἀνάγκη αὐτῶν τῶν ἀποδείξεων καὶ ὅτι κατηγορώντας καὶ λέγοντας ὅτι αὐτὸς ἀντιτίθεται στὸ Μωϋσῆ, οἱ ἴδιοι ἀντιτίθονταν στὸ Πνεῦμα (καὶ ὄχι ἁπλῶς, ἀλλὰ καὶ μὲ φόνο) καὶ ὅτι ἀπ' ἀρχῆς εἶχαν ἔχθρα. Βλέπεις ὅτι αὐτοὶ ἀντιτίθενται καὶ στὸ Μωϋσῆ καὶ σ' ὅλους, καὶ ὅτι δὲν τηροῦν τὸ νόμο; Ἂν καὶ βέβαια ὁ Μωϋσῆς εἶπε· «Προφήτη θὰ σᾶς ἀναστήσει ὁ Κύριος»[27]· καὶ οἱ ἄλλοι δὲ προέλεγαν ὅτι Αὐτὸς θὰ ἔλθει· καὶ ὁ προφήτης λέγει· «Ποιὸν οἶκο θὰ ἀνοικοδομήσετε σ' ἐμένα;»[28]· καὶ πάλι· «Μήπως μοῦ προσφέρατε σφάγια καὶ θυσίες ἐπὶ σαράντα χρόνια;»[29]. Αὐτὸ δείχνει θάρρος ἀνδρός, ποὺ ἔχει τὸ σταυρό.

Ἂς μιμούμαστε λοιπὸν καὶ ἐμεῖς αὐτὸ τὸ θάρρος, ἂν καὶ δὲν εἶναι καιρὸς πολέμου, ἀλλὰ καιρὸς θάρρους πάντοτε ὑπάρχει· διότι λέγει· «Καὶ μιλοῦσα γιὰ τὶς μαρτυρίες, ποὺ ὑπάρχουν στὸ νόμο καὶ τὶς ἐντολές σου μπροστὰ στοὺς βασιλεῖς καὶ δὲν αἰσθανόμουν ντροπή»[30]. Ἂν λοιπὸν ἐμπλακοῦμε σὲ διαμάχες μὲ τοὺς ἐθνικούς, ἔτσι ἂς ἀποστομώνουμε αὐτούς, χωρὶς θυμὸ καὶ σκληρότητα. Διότι, ἂν μὲν τὸ κάμνουμε αὐτὸ μὲ θυμό, δὲν θεωρεῖται αὐτὸ πλέον θάρρος, ἀλλὰ πάθος, ἂν δὲ μὲ ἐπιείκεια, πράγματι εἶναι αὐτὸ θάρρος· διότι δὲν εἶναι δυνατὸ συγχρόνως καὶ κατὰ τὸν ἴδιο τρόπο νὰ εἶναι τὸ ἴδιο πράγμα καὶ κατόρθωμα καὶ ἐλάττωμα. Τὸ θάρρος εἶναι κατόρθωμα, ὁ θυμὸς ἐλάττωμα. Πρέπει λοιπὸν ἐμεῖς, ἂν θέλουμε νὰ ἔχουμε θάρρος, νὰ ἀπαλλαγοῦμε ἀπὸ τὸ θυμό, γιὰ νὰ μὴ θεωρήσει κανένας τὰ λόγια ὅτι ἀνήκουν στὸ θυμό. Καὶ ἂν ἀκόμα λέγεις δίκαια μὲ θυμό, τὸ πᾶν ἔχασες, καὶ ἂν ἀκόμη ὁμιλεῖς μὲ θάρρος, καὶ ἂν νουθετεῖς, καὶ ἂν πράττεις ὁ,τιδήποτε. Πρόσεχε τὸν ἄνδρα αὐτὸν ποὺ δὲν ὁμιλεῖ μὲ θυμό· πράγματι λοιπὸν δὲν

βρισεν, ἀλλὰ προφητικοῦ αὐτοὺς ἀνέμνησε λόγου. Ὅτι γὰρ οὐκ ἦν θυμοῦ ἔδειξεν, ὅτε κακῶς ἔπασχε, τότε ὑπὲρ αὐτῶν εὐχόμενος καὶ λέγων· «Μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην». Οὕτως, οὐκ ὀργιζόμενος αὐτοῖς, ἀλλὰ ἀλγῶν ὑπὲρ αὐτῶν καὶ δακνόμενος, ταῦτα ἐφθέγγετο· ἐπεὶ καὶ περὶ τῆς ὄψεως διὰ τοῦτο εἶπεν, ὅτι «εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου», ἵν' αὐτοὺς ἐφελκύσηται.

Καθαροὶ τοίνυν θυμοῦ ὦμεν. Οὐ κατοικεῖ τὸ Πνεῦμα τὸ ἅγιον, ἔνθα θυμός· ἐπικατάρατος ὁ θυμώδης. Οὐκ ἔστιν οὐδὲν ὑγιὲς προελθεῖν, ὅθεν θυμὸς ἔξεισι· καθάπερ γὰρ ἐν χειμῶνι θαλαττίῳ πολὺς ὁ θόρυβος, μεγάλη ἡ κραυγή, καὶ οὐκ ἂν ἔχοι τις καιρὸν φιλοσοφεῖν, οὕτως οὐδὲ ἐν θυμῷ. Ἀλλ' εἰ μέλλει τι φιλόσοφον ἢ λέγειν ἢ παιδεύεσθαι ψυχή, ὀφείλει πρότερον ἐν λιμένι εἶναι. Οὐχ ὁρᾷς πῶς, ὅταν βουλώμεθα περί τινων ἀναγκαίων διαλεχθῆναι, τόπους θορύβου καθαροὺς παρατηροῦμεν, ἔνθα ἡσυχία, ἔνθα γαλήνη, ἵνα μὴ ἐκκρουώμεθα. Εἰ δὲ ὁ ἔξωθεν ἐκκρούει θόρυβος, πολλῷ μᾶλλον ἡ ἔνδον ταραχή. Κἂν εὔχηταί τις, εἰκῇ εὔχεται, μετὰ ὀργῆς καὶ θυμοῦ τοῦτο ποιῶν· κἂν φθέγγηται, καταγέλαστος ἔσται· κἂν σιγᾷ, πάλιν ὁμοίως· κἂν ἐσθίῃ, καὶ οὕτως ἐβλάβη· κἂν πίνῃ, κἂν μὴ πίνῃ, κἂν καθέζηται, κἂν στήκῃ, κἂν βαδίζῃ, κἂν καθεύδῃ· καὶ γὰρ ἐν τοῖς ὀνείροις τοιαῦτα φαντάζονται. Τί γὰρ τῶν τοιούτων οὐκ ἄτοπον; Ὀφθαλμοὶ ἀηδεῖς, στόμα διεστραμμένον, μέλη κεκινημένα καὶ οἰδαίνοντα, γλῶσσα ἀκράτητος καὶ οὐδενὸς φειδομένη, διάνοια ἐξεστηκυῖα, σχῆμα ἀπρεπές, πολλὴ ἡ ἀηδία. Ἴδε μοι τῶν δαιμονώντων τοὺς ὀφθαλμοὺς καὶ τῶν μεθυόντων καὶ μαινομένων, τί διεστήκασι ἀλλήλων; οὐχὶ μανία τὸ πᾶν ἐστι; Τί

---

31. Πρ. 7, 60.

ἔβρισε, ἀλλ' ὑπενθύμισε σ' αὐτοὺς ἕνα προφητικὸ λόγο. Διότι ὅτι δὲν ἦταν θυμωμένος τὸ ἀπέδειξε, ὅταν, ἐνῶ κακοπαθοῦσε, προσευχόταν ὑπὲρ αὐτῶν καὶ ἔλεγε· «Μὴ λογαριάσεις σ' αὐτοὺς τὴν ἁμαρτία αὐτή»[31]. Ἔτσι, χωρὶς νὰ ὀργίζεται ἐναντίον τους, ἀλλὰ πονώντας γι' αὐτοὺς καὶ ὑποφέροντας, ἔλεγε αὐτὰ τὰ λόγια· ἀφοῦ καὶ γιὰ τὸ ὅτι εἶδε αὐτὸν γι' αὐτὸ εἶπε, ὅτι· «Εἶδα τὸ πρόσωπό του σὰν νὰ ἦταν πρόσωπο ἀγγέλου», γιὰ νὰ προσελκύσει αὐτούς.

Ἂς εἴμαστε λοιπὸν ἀπαλλαγμένοι ἀπὸ θυμό. Δὲν κατοικεῖ τὸ Πνεῦμα τὸ ἅγιο ἐκεῖ ποὺ ὑπάρχει θυμός· Ὁ κυριευμένος ἀπὸ θυμὸ εἶναι καταραμένος. Δὲν εἶναι δυνατὸ νὰ προέλθει κανένα καλό, ἀπὸ ἐκεῖ ποὺ ὑπάρχει θυμός· διότι ὅπως σὲ θαλασσοταραχὴ ἐπικρατεῖ μεγάλος θόρυβος, μεγάλη κραυγὴ καὶ δὲν εἶναι δυνατὸ νὰ ἔχει κανένας τὸν καιρὸ νὰ φιλοσοφεῖ, ἔτσι οὔτε ὅταν κανένας εἶναι κυριευμένος ἀπὸ θυμό. Ἀλλ' ἂν ἡ ψυχὴ θέλει νὰ πεῖ κάτι τὸ φιλόσοφο, ἢ νὰ παιδαγωγηθεῖ, πρέπει προηγουμένως νὰ βρίσκεται σὲ ἤρεμη κατάσταση. Δὲν βλέπεις πῶς, ὅταν θέλουμε νὰ μιλήσουμε γιὰ ὁρισμένα ἀναγκαῖα πράγματα, προσέχουμε νὰ βροῦμε χώρους ἀπαλλαγμένους ἀπὸ θόρυβο, ὅπου ὑπάρχει ἡσυχία, ὅπου ὑπάρχει γαλήνη, γιὰ νὰ μὴ ἐνοχλούμαστε; Ἐὰν δὲ ὁ ἐξωτερικὸς θόρυβος ἐνοχλεῖ, πολὺ περισσότερο ἡ ἐσωτερικὴ ἀναταραχή. Καὶ ἂν ἀκόμα προσεύχεται κανένας, μάταια προσεύχεται, ἐφόσον κάμνει αὐτὸ μὲ ὀργὴ καὶ θυμό· καὶ ἂν ἀκόμα ὁμιλεῖ, θὰ εἶναι καταγέλαστος· καὶ ἂν σιωπᾶ, πάλι ἔτσι θὰ εἶναι· καὶ ἂν τρώγει καὶ τότε βλάπτεται· καὶ ἂν πίνει, καὶ ἂν δὲν πίνει, καὶ ἂν κάθεται, καὶ ἂν στέκεται, καὶ ἂν βαδίζει, καὶ ἂν κοιμᾶται· καθόσον στὰ ὄνειρα τέτοια φαντάζεται. Διότι τί ἀπὸ αὐτὰ δὲν εἶναι ἄτοπο; Ὀφθαλμοὶ ἄσχημοι, στόμα διεστραμμένο, μέλη τρέμοντα καὶ ἐξογκωμένα, γλώσσα ἀκράτητη καὶ χωρὶς νὰ ἀφήνει ἀπείρακτο τίποτα, σκέψη γεμάτη παραφροσύνη, στάση ἀπρεπής, πολλὴ ἀηδία. Πρόσεξε σὲ παρακαλῶ τοὺς ὀφθαλμοὺς τῶν δαιμονισμένων καὶ τῶν μεθυσμένων καὶ τῶν μανιακῶν, σὲ τί διαφέρουν μεταξύ τους; Δὲν εἶναι τὸ

γάρ, εἰ πρὸς καιρὸν τοῦτο γίνεται; Καὶ γὰρ ὁ μαινόμενος πρὸς καιρὸν κατέχεται· τούτου δὲ τί χεῖρον; Καὶ οὐκ αἰσχύνονται ἐπὶ τῇ ἀπολογίᾳ· 'Οὐκ ᾔδειν', φησί, 'τί εἶπον'. Καὶ διὰ τί μὴ ᾔδεις τοῦτο ὁ λογικὸς ἄνθρωπος, ὁ λογισμὸν ἔχων; διὰ τί τὰ τῶν ἀλόγων ποιεῖς, καθάπερ ἵππος ἄγριος, ἀπὸ θυμοῦ καὶ ὀργῆς συναρπαγείς; Καὶ μὴν ἡ ἀπολογία, ἐγκλήματος ἀξία. Εἴθε γὰρ ᾔδεις, ἃ ἔλεγες. Τοῦ θυμοῦ, φησίν, ἐστὶ τὰ ῥήματα οὐκ ἐμά. Πῶς ἐκείνου; Καὶ μὴν ὁ θυμὸς οὐκ ἔχει ἰσχύν, ἂν μὴ παρὰ σοῦ λάβῃ. Ὡς καὶ ἂν εἴποι τις· 'Τῆς χειρός ἐστιν, οὐκ ἐμὰ τὰ τραύματα'. Τί οἴει μάλιστα δεῖσθαι θυμοῦ; οὐχὶ πόλεμον καὶ μάχην; Ἀλλὰ καὶ ἐκεῖ ἂν μετὰ θυμοῦ τι γίνηται, τὸ πᾶν διέφθαρται καὶ ἀπόλωλε· μάλιστα γὰρ τοὺς μαχομένους θυμοῦσθαι οὐ χρή· μάλιστα τοὺς ὑβρίζοντας θυμοῦσθαι οὐ χρή. Καὶ πῶς ἔνι μάχεσθαι; φησί. Λόγῳ, ἐπιεικείᾳ· μάχη γάρ ἐστι τὸ ἐξ ἐναντίας στῆναι. Ἢ οὐχ ὁρᾷς καὶ τούτους τοὺς πολέμους νόμῳ καὶ διατάξει καὶ καιροῖς ὡρισμένους; Θυμὸς γὰρ οὐδέν ἐστιν, ἢ ὁρμὴ ἄλογος· ἀλόγῳ δὲ οὐδὲν λογικὸν γενέσθαι δυνατόν.

4. Ἐπεὶ καὶ οὗτος τοιαῦτα ἐφθέγγετο, καὶ οὐκ ἐθυμοῦτο. Καὶ ὁ Ἠλίας ἔλεγεν, «Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν;». καὶ οὐκ ἐθυμοῦτο. Καὶ ὁ Φινεὲς ἔσφαξε, καὶ οὐκ ἐθυμοῦτο· ὁ γὰρ θυμὸς οὐκ ἀφίησιν ἰδεῖν, ἀλλά, καθάπερ ἐν νυκτομαχίᾳ πάντα συνδήσας, καὶ ὀφθαλμοὺς καὶ ὦτα, οὕτως ἄγει, ὅπου περ ἂν ἐθέλῃ. Ἀπαλλαγῶμεν οὖν τούτου τοῦ δαίμονος· ἀρχόμενον αὐτὸν καταστείλωμεν· τὴν σφραγῖδα ἐπιθῶμεν τῷ στήθει, καθάπερ τινὰ χαλινόν. Κύων ἐστὶν ἀναιδὴς ὁ θυμός· ἀλλὰ μαθέτω ἀ-

32. Γ' Βασιλ. 18, 21.
33. Ἀριθμ. 25, 6-16.

πᾶν μανία; Διότι τί καὶ ἂν αὐτό συμβαίνει πρός στιγμή; Καθόσον καὶ ὁ μανιακός πρός στιγμή κυριεύεται ἀπό μανία· τί δὲ ὑπάρχει χειρότερο ἀπ' αὐτό; Καὶ δὲν ντρέπονται κατά τὴν ἀπολογία· δὲν γνώριζα, λέγει, τί εἶπα. Καὶ γιατί δὲν γνώριζες αὐτό σὺ ὁ λογικός ἄνθρωπος ποὺ ἔχεις λογισμό; γιατί κάμνεις ἐκεῖνα ποὺ κάμνουν τὰ ἄλογα ζῶα, σὰν ἀκριβῶς ἄγριος ἵππος, ποὺ καταλαμβάνεται ἀπό ὀργή καὶ θυμό; Καὶ ὅμως ἡ ἀπολογία αὐτή εἶναι ἀξιοκατάκριτη. Μακάρι νὰ ἤξερες, αὐτὰ ποὺ ἔλεγες. Τοῦ θυμοῦ, λέγει, εἶναι τὰ λόγια, ὄχι δικά μου. Πῶς εἶναι ἐκείνου; Καὶ ὅμως ὁ θυμός δὲν ἔχει δύναμη, ἂν δὲν λάβει αὐτὴν ἀπό σένα. Ὅπως καὶ θὰ μποροῦσε νὰ πεῖ κάποιος, Τὰ τραύματα εἶναι τοῦ χεριοῦ, δὲν εἶναι δικά μου'. Ποιό νομίζεις περισσότερο ὅτι χρειάζεται τό θυμό; Δὲν τὸν χρειάζεται ὁ πόλεμος καὶ ἡ μάχη; Ἀλλὰ καὶ ἐκεῖ ἂν γίνεται κάτι μὲ θυμό, τό πᾶν καταστράφηκε καὶ χάθηκε· διότι περισσότερο ἐκεῖνοι ποὺ μάχονται δὲν πρέπει νὰ θυμώνουν· περισσότερο ἐκεῖνοι ποὺ βρίζουν, δὲν πρέπει νὰ θυμώνουν. Καὶ πῶς, λέγει, εἶναι δυνατό νὰ μάχονται; Μὲ λόγο, μὲ ἐπιείκεια· διότι μάχη εἶναι νὰ σταθεῖ κανένας στὴν ἀντίθετη πλευρά. Ἢ δὲν βλέπεις ὅτι καὶ αὐτοὶ οἱ πόλεμοι ἔχουν καθορισθεῖ νὰ γίνονται μὲ νόμο, μὲ διάταξη καὶ σὲ ὁρισμένους καιρούς; Διότι θυμός δὲν εἶναι τίποτε ἄλλο, παρά ἡ παράλογη ὁρμή· σὲ ἕνα δὲ παράλογο τίποτε λογικό δὲν εἶναι δυνατό νὰ γίνει.

4. Καὶ αὐτός λοιπόν ἔλεγε παρόμοια, καὶ δὲν θύμωνε. Καὶ ὁ Ἠλίας ἔλεγε, «Μέχρι πότε θὰ χωλαίνετε καὶ μὲ τὰ δυό σας πόδια;»[22], καὶ δὲν θύμωνε. Καὶ ὁ Φινεές ἔσφαξε καὶ δὲν ὀργιζόταν[23]. Διότι ὁ θυμός δὲν ἀφήνει νὰ βλέπει κανείς, ἀλλά, ὅπως ἀκριβῶς σὲ νυκτερινή μάχη, ἀφοῦ δέσει τὰ πάντα, καὶ τοὺς ὀφθαλμούς καὶ τ' αὐτιά, ἔτσι ὁδηγεῖ, ὅπου θέλει. Ἂς ἀπαλλαγοῦμε λοιπόν ἀπό αὐτόν τό δαίμονα, ἂς τὸν καταστείλουμε ὅταν βρίσκεται στὴν ἀρχή του, ἂς θέσουμε τὴ σφραγίδα στό στῆθος μας, σὰν ἀκριβῶς κάποιο χαλινό. Ὁ θυμός εἶναι σκύλος ξεδιάντροπος· ἀλλ' ἂς μάθει νὰ ὑπακούει στό νόμο. Ἂν

κούειν τοῦ νόμου. Ἂν ἡ κύων ἐν ποίμνῃ οὕτως ἄγριος, ὡς μὴ πείθεσθαι προστάττοντι τῷ βουκόλῳ, μηδὲ ἐπιγινώσκειν αὐτοῦ τὴν φωνήν, πάντα ἀπόλωλε καὶ διέφθαρται. Μετὰ τῶν προβάτων νέμεται· ἀλλά, ἐὰν ἀπογεύηται τῶν προβάτων, ἄχρηστός ἐστι καὶ κατασφάττεται. Εἰ ἔμαθεν ἀκούειν σου, θρέψον τὸν κύνα· χρήσιμός ἐστι κατὰ τῶν λύκων, κατὰ τῶν πειρατῶν, κατὰ τοῦ λῃστάρχου ὑλακτῶν, οὐ κατὰ προβάτων, οὐδὲ κατὰ οἰκείων· ἂν μὴ ἀκούῃ, πάντα διαφθείρει· ἂν μάθῃ καταφρονεῖν, πάντα ἀπολλύει. Τὸ τοίνυν ἥμερον τὸ ἐν σοὶ μὴ ἀναλισκέτω, ἀλλὰ φυλαττέτω ὁ θυμός, καὶ πῖον ποιείτω· φυλάξει δέ, καὶ ἐν ἀσφαλείᾳ πολλῇ νέμεσθαι καταστήσει, ἂν τοὺς μιαροὺς λογισμοὺς καὶ τοὺς πονηροὺς καταναλίσκῃ, ἂν τὸν διάβολον διώκῃ πανταχόθεν. Οὕτως ἐπιείκεια διασώζεται, ὅταν μηδαμοῦ τῷ πλησίον κακόν τι λογιζώμεθα· οὕτως αἰδέσιμοι γινόμεθα, ὅταν μὴ μανθάνωμεν ἀναισχυντεῖν· οὐδὲν γὰρ οὕτως ἀναίσχυντον ποιεῖ, ὡς πονηρὸν συνειδός. Διὰ τί αἱ πόρναι ἀναίσχυντοί εἰσι; διὰ τί αἱ παρθένοι αἰσχυντηλαί; Οὐκ ἀπὸ τῆς ἁμαρτίας ἐκεῖναι; οὐκ ἀπὸ τῆς σωφροσύνης αὗται; Οὐδὲν γὰρ οὕτως ἀναίσχυντον ποιεῖ, ὡς ἁμαρτία.

Καὶ μὴν τοὐναντίον, φησί, καταναισχύνει. Ναί, τὸν καταγνόντα ἑαυτοῦ· τὸν δὲ ἀπηρυθριασμένον, καὶ ἰταμώτερον ἐργάζεται· ὁ γὰρ ἀπογνοὺς ἑαυτοῦ, θρασὺς γίνεται· «ἀσεβὴς» γάρ, φησίν, «ἐλθὼν εἰς βάθος κακῶν, καταφρονεῖ». Ὁ δὲ ἀναίσχυντος, καὶ ἰταμὸς ἂν εἴη· ὁ δὲ ἰταμός, καὶ θρασύς. Βούλει μαθεῖν πότε ἀναλίσκεται ἐπιείκεια; Ὅταν πονηροὶ λογισμοὶ αὐτὴν διαμασῶνται. Ἀλλά, εἰ καὶ τοῦτο συμβαίνει, ὅτι μὴ ὁ κύων ἕστηκε μέγα ὑλακτῶν, οὐδὲ οὕτως ἀπογινώ-

34. Παροιμ. 18, 3.

ὑπάρχει ἕνας σκύλος σὲ ἕνα κοπάδι, τόσο ἄγριος, ὥστε νὰ μὴ ὑπακούει στὸν ποιμένα ὅταν τὸν διατάσσει, καὶ νὰ μὴ ἀναγνωρίζει τὴ φωνή του, τὰ πάντα χάθηκαν καὶ καταστράφηκαν. Τρέφεται μαζὶ μὲ τὰ πρόβατα, ἀλλ' ἂν τρώγει τὰ πρόβατα εἶναι ἄχρηστος καὶ θανατώνεται. Ἐὰν ἔμαθε νὰ ὑπακούει σὲ σένα, θρέψε τὸν σκύλο· εἶναι χρήσιμος ἐναντίον τῶν λύκων, ἐναντίον τῶν κλεπτῶν, ἐναντίον τοῦ λήσταρχου, ὅταν γαυγίζει, καὶ ὄχι ἐναντίον τῶν προβάτων, οὔτε ἐναντίον τῶν δικῶν του. Ἂν δὲν ὑπακούει, τὰ πάντα τὰ καταστρέφει· ἂν μάθει νὰ καταφρονεῖ, τὰ πάντα τὰ καταστρέφει· Τὴν ἡμερότητα λοιπὸν ποὺ ὑπάρχει σὲ σένα, ἂς μὴ τὴν καταστρέφει ὁ θυμός, ἀλλὰ ἂς τὴν διαφυλάττει καὶ ἂς τὴν ἐπαυξάνει· θὰ τὴν φυλάξει δὲ καὶ θὰ τὴν καταστήσει πολὺ ἀσφαλή, ἂν ἐξαφανίζει τοὺς μιαροὺς καὶ πονηροὺς λογισμούς, ἂν καταδιώκει τὸ διάβολο ἀπὸ παντοῦ. Ἔτσι μόνο διασώζεται ἡ ἐπιείκεια, ὅταν δὲν σκεπτόμαστε καθόλου κανένα κακὸ γιὰ τὸν πλησίον. Ἔτσι γινόμαστε σεβαστοί, ὅταν δὲν μαθαίνουμε νὰ εἴμαστε ἀδιάντροποι. Τίποτε δὲν κάμνει τὸν ἄνθρωπο τόσο ἀδιάντροπο, ὅσο ἡ πονηρὴ καὶ διεστραμμένη συνείδηση. Γιατὶ οἱ πόρνες εἶναι ἀδιάντροπες; γιατί οἱ παρθένες εἶναι ντροπαλές; δὲν εἶναι ἐκεῖνες τέτοιες ἐξ αἰτίας τῆς ἁμαρτίας; δὲν εἶναι αὐτὲς τέτοιες ἐξ αἰτίας τῆς σωφροσύνης τους; Διότι τίποτε δὲν κάνει τὸν ἄνθρωπο τόσο ἀδιάντροπο, ὅσο ἡ ἁμαρτία.

Καὶ ὅμως, λέγει, τὸ ἀντίθετο καταντροπιάζει αὐτόν. Ναί, ἐκεῖνον ποὺ ἔχει γνώση τοῦ ἑαυτοῦ του, ἐνῶ ἐκεῖνον ποὺ δὲν κοκκινίζει ἀπὸ ντροπὴ καὶ τὸν κάμνει περισσότερο αὐθάδη· διότι ἐκεῖνος ποὺ δὲν ἔχει γνώση τοῦ ἑαυτοῦ του, γίνεται θρασύς· καθόσον λέγει «Ὁ ἀσεβὴς ὅταν βυθισθεῖ στὴν κακία, καταφρονεῖ»[34]. Ὁ δὲ ἀδιάντροπος εἶναι δυνατὸ νὰ γίνει καὶ ἀναιδής, ὁ δὲ ἀναιδὴς νὰ γίνει καὶ θρασύς. Θέλεις νὰ μάθεις πότε ἡ ἐπιείκεια ἐξαφανίζεται; Ὅταν τὴν κυριεύουν οἱ πονηροὶ διαλογισμοί. Ἀλλὰ καὶ ἂν ἀκόμη καὶ αὐτὸ συμβαίνει, ἐπειδὴ ὁ σκύλος δὲν σταματᾶ νὰ γαυγίζει δυνατά, οὔτε τότε πρέπει νὰ

σκειν χρή. Ἔστι γὰρ ἡμῖν καὶ σφενδόνη καὶ λίθος (ἴστε τὸ λεγόμενον), ἔστιν ἡμῖν καὶ δόρυ, καὶ μάνδρα, καὶ σηκός, ἐν ᾧ φυλάξομεν τοὺς λογισμοὺς ἀσινεῖς. Ἂν ὁ κύων σαίνῃ μὲν τὰ πρόβατα, ἀγριαίνῃ δὲ κατὰ τῶν ἔξω καὶ ἀγρυπνῇ, τοῦτο ἀρετὴ κυνός, κἂν λιμώττῃ, μὴ γεύεσθαι τῶν προβάτων, κἂν ἐν πλησμονῇ ᾖ, μὴ φείδεσθαι τῶν λύκων. Τοιοῦτον καὶ ὁ θυμός· κἂν δάκνηται, τῆς ἐπιεικείας μὴ ἀφίστασθαι, κἂν ἐν ἡσυχίᾳ ᾖ, διεγείρεσθαι πρὸς τοὺς πονηροὺς λογισμούς, καὶ τὸ μὲν οἰκεῖον καὶ πλῆτιον μὴ καταλιμπάνειν, ἀλλ' ἐπιγινώσκειν, τὸ δὲ ἀλλότριον καὶ σαῖνον λυμαίνεσθαι. Σαίνει ὁ διάβολος πολλάκις, ὡς ὁ κύων, ἀλλὰ γνώτω πᾶς ὅτι ἀλλότριός ἐστιν. Οὕτω δὴ καὶ ἡμεῖς τὴν ἀρετήν, κἂν λυπῇ, σαίνωμεν· καὶ τὴν κακίαν, κἂν εὐφραίνῃ, ἀποστρεφώμεθα.

Μὴ γενώμεθα χείρους τῶν κυνῶν, οἵ, μαστιζόμενοι καὶ ἀγχόμενοι, οὐκ ἀφίστανται. Ἂν δὲ αὐτοὺς καὶ τρέφῃ ὁ ἀλλότριος, πῶς οὐ μᾶλλον βλάψουσιν; Ἔστιν ὅτε χρήσιμος ὁ θυμός, ἀλλ' ὅταν ὑλακτῇ κατὰ τῶν ἀλλοτρίων. Τί ἐστιν· «Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ»; Ἀντὶ τοῦ 'μὴ ἄμυνε σαυτῷ, μηδὲ ἐκδίκει· ἂν ἕτερον ἴδῃς, ἀπολλύμενον, ὄρεξον χεῖρα'. Οὐκ ἔτι θυμὸς λοιπὸν τοῦτό ἐστιν, ὅταν τῆς οἰκείας συμπαθείας ἀπηλλαγμένος ᾖς. Ἔλαβεν ὁ Δαυὶδ τὸν Σαούλ, καὶ οὐκ ἐθυμώθη, οὐδὲ ἐνέπηξε τὸ δόρυ, τὸν ἐχθρὸν λαβών, ἀλλ' ἠμύνατο τὸν διάβολον. Ὁ Μωϋσῆς, ὅτε μὲν ἀλλότριον ἀδικοῦντα εἶδε, καὶ ἀνεῖλεν, ὅτε δὲ οἰκεῖον, οὐκ ἔτι· ἀλλὰ τοὺς μὲν ἀδελφοὺς κατήλλαττεν, ἐκείνους δὲ καὶ ἀπωθεῖτο.

---

35. Ματθ. 5, 22.

ἀπογοητευόμαστε. Διότι ὑπάρχει σὲ μᾶς καὶ σφενδόνη καὶ λίθος (καταλαβαίνεται αὐτὸ ποὺ λέγω), ὑπάρχει καὶ δόρυ, καὶ μάνδρα καὶ περίφραγμα, μέσα στὸ ὁποῖο θὰ διαφυλάξουμε τοὺς λογισμούς ἀβλαβεῖς. Ἂν ὁ σκύλος φροντίζει μὲν τὰ πρόβατα, ἀγριεύει δὲ ἐναντίον τῶν ἐξωτερικῶν κινδύνων ποὺ τὰ ἀπειλοῦν καὶ ἀγρυπνεῖ, αὐτὸ εἶναι ἀρετὴ τοῦ σκύλου, καὶ ἂν ἀκόμα δηλαδὴ πεινᾶ, νὰ μὴ τρώγει τὰ πρόβατα, καὶ νὰ μὴ λυπᾶται τοὺς λύκους, καὶ ἂν ἀκόμα εἶναι χορτάτος. Παρόμοιο πράγμα εἶναι καὶ ὁ θυμός· καὶ ἂν ἀκόμα προσβάλλεται κάποιος νὰ μὴ ἐγκαταλείπει τὴν ἐπιείκεια, καὶ ἂν ἀκόμα ἠρεμεῖ, νὰ ἐξεγείρεται ἐναντίον τῶν πονηρῶν λογισμῶν· καὶ ἐκεῖνο μὲν ποὺ εἶναι δικό του, καὶ ὅταν τὸν πληγώνει, νὰ μὴ τὸ ἐγκαταλείπει, ἀλλὰ νὰ τὸ ἀναγνωρίζει, τὸ δὲ ξένο, καὶ ἂν ἀκόμα δείχνει ἐνδιαφέρον γι' αὐτόν, νὰ τὸ καταστρέφει. Κολακεύει ὁ διάβολος πολλὲς φορὲς ὅπως ὁ σκύλος, ἀλλὰ ἂς μάθει ὁ καθένας, ὅτι εἶναι ξένος. Ἔτσι λοιπὸν καὶ ἐμεῖς ἂς φροντίζουμε γιὰ τὴν ἀρετὴ μὲ χαρά, ἀκόμη καὶ ἂν μᾶς λυπεῖ, καὶ ἂς ἀποστρεφόμαστε τὴν κακία, ἔστω καὶ ἂν μᾶς εὐχαριστεῖ.

Ἂς μὴ γίνουμε χειρότεροι ἀπὸ τοὺς σκύλους, ποὺ καὶ ὅταν μαστιγώνονται καὶ βασανίζονται, δὲν ἀπομακρύνονται. Ἂν δὲ αὐτοὺς τοὺς τρέφει καὶ ὁ ξένος, πῶς δὲν θὰ μᾶς βλάψουν περισσότερο; Κάποτε εἶναι χρήσιμος ὁ θυμός, ἀλλὰ ὅταν στρέφεται ἐναντίον τῶν ξένων. Τί σημαίνει τό, «Ὅτι ὁ καθένας ποὺ ὀργίζεται ἐναντίον τοῦ ἀδελφοῦ του, χωρὶς σοβαρὸ λόγο»[35]; Λέχθηκε ἀντὶ τοῦ 'μὴ προβάλλεις ἄμυνα γιὰ τὸν ἑαυτό σου, καὶ νὰ μὴ ἐκδικεῖσαι· ἂν δεῖς κάποιον νὰ χάνεται, δῶσε χέρι βοήθειας'. Δὲν εἶναι πλέον αὐτὸ θυμός, ὅταν εἶσαι ἀπαλλαγμένος ἀπὸ τὸ πάθος σου. Συνέλαβε ὁ Δαυὶδ τὸν Σαούλ, καὶ δὲν ὀργίσθηκε, οὔτε τὸν κάρφωσε μὲ τὸ δόρυ, ἂν καὶ συνέλαβε τὸν ἐχθρό, ἀλλὰ πρόβαλε ἄμυνα ἐναντίον τοῦ διαβόλου. Ὁ Μωϋσῆς ὅταν μὲν εἶδε ξένο νὰ ἀδικεῖ, τότε φόνευσε αὐτόν, ὅταν ὅμως εἶδε ὁμόφυλο δὲν ἔπραξε τίποτε· ἀλλὰ τοὺς μὲν ἀδελφοὺς συμφιλίωνε, τοὺς δὲ ξέ-

Καίτοι πραότατον αὐτὸν ἡ Γραφὴ μαρτυρεῖ, ἀλλ' ὅμως ἦν καὶ διεγηγερμένος. Ἀλλ' οὐχ ἡμεῖς· ἀλλά, ἔνθα μὲν πραότητα ἐπιδείκνυσθαι χρή, πάντων θηρίων ἐσμὲν ἀγριώτεροι, ἔνθα δὲ διεγερθῆναι, πάντων νωθέστεροι καὶ ὑπνηλότεροι. Ἐπεὶ οὖν οὐκ εἰς δέον κεχρήμεθα τοῖς ἐν ἡμῖν, διά τοι τοῦτο καὶ εἰς οὐδὲν δέον ὁ βίος ἡμῖν ἀνάλωται. Οὕτω καὶ ἐν σκεύεσιν, ἐὰν ἄλλῳ ἄλλως χρήσηταί τις, τὰ πάντα ἀπόλλυσιν· οἷον, ἄν, μάχαιραν λαβών τις, ἔνθα αὐτῇ χρῆσθαι δεῖ, μὴ χρῷτο, ἀλλὰ τῇ χειρὶ τοῦτο ποιοῖ, οὐδὲν πλέον ἐργάσεται, ὥσπερ καὶ ὁ ἔνθα τῇ χειρὶ χρήσασθαι χρή, τὴν μάχαιραν μεταχειρίζων, πάντα ἂν ἀπολέσειεν· οὕτω δὴ καὶ ἰατρός, ἔνθα ἂν τέμνειν δέῃ, μὴ τέμνων, καί, ἔνθα ἂν μὴ χρή, τέμνων, πάντα διαφθείρει.

Διό, παρακαλῶ, ἡμεῖς εἰς καιρὸν χρώμεθα τῷ πράγματι· θυμοῦ γὰρ καιρὸς οὐδαμοῦ, ὅταν ἑαυτοῖς βοηθῶμεν· ἂν δὲ ἑτέρους διορθῶσαι χρή, τότε μάλιστα αὐτῷ χρῆσθαι δεῖ, ἵνα ἑτέρους ἐξαρπάσωμεν. Οὕτω καὶ ἰσόθεοι ἐσόμεθα, τὸ ἀόργητον πανταχοῦ διατηροῦντες, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

νους καὶ τοὺς ἀπομάκρυνε. Ἂν καὶ ἡ Γραφὴ ἀναφέρει γι' αὐτόν, ὅτι ἦταν πραότατος, ἀλλ' ὅμως ἦταν καὶ εὐέξαπτος. Ἐμεῖς ὅμως δὲν κάμνουμε τὸ ἴδιο, ἀλλ' ὅπου μὲν πρέπει νὰ δείχνουμε πραότητα, ἐκεῖ εἴμαστε ἀπὸ ὅλα τὰ θηρία ἀγριώτεροι, ὅπου δὲν πρέπει νὰ εἴμαστε εὐέξαπτοι, ἐκεῖ εἴμαστε νωθρότεροι ἀπὸ ὅλους καὶ πιὸ ἀδιάφοροι. Ἐπειδὴ δηλαδὴ δὲν χρησιμοποιοῦμε ὅπως πρέπει τὶς ἱκανότητες ποὺ ἔχουμε μέσα μας, γι' αὐτὸ λοιπὸν καὶ ὁ βίος μας γιὰ τίποτε τὸ πρέπον δὲν ἔχει δαπανηθεῖ. Ἔτσι συμβαίνει καὶ μὲ τὰ σκεύη, ἂν κάποιος χρησιμοποιήσει σκεῦος προοριζόμενο γι' ἄλλο σκοπό, τότε τὰ πάντα χάνονται· παράδειγμα, ἂν κάποιος παίρνοντας μαχαίρι, δὲν τὸ χρησιμοποιήσει γιὰ ἐκεῖ ὅπου πρέπει νὰ χρησιμοποιεῖται, ἀλλὰ μὲ τὸ χέρι κάμνει τὸ ἔργο αὐτοῦ, τίποτε περισσότερο δὲν θὰ ἐπιτύχει· ὅπως καὶ ἐκεῖνος, ἐκεῖ ὅπου πρέπει νὰ χρησιμοποιήσει τὸ χέρι, χρησιμοποιεῖ τὸ μαχαίρι, εἶναι δυνατὸ τὰ πάντα νὰ καταστρέψει· λοιπὸν καὶ ὁ ἰατρός, ἂν ἐκεῖ ὅπου πρέπει νὰ χειρουργεῖ, δὲν χειρουργεῖ, καὶ ἐκεῖ ὅπου δὲν πρέπει, χειρουργεῖ, τὰ πάντα τὰ καταστρέφει.

Γι' αὐτὸ παρακαλῶ ἐμεῖς ἂς χρησιμοποιοῦμε τὸ πράγμα στὴν κατάλληλη περίσταση. Διότι ὅταν βοηθοῦμε τὸν ἑαυτό μας, δὲν ὑπάρχει ποτὲ καιρὸς θυμοῦ· ἂν δὲ χρειάζεται νὰ διορθώσουμε ἄλλους, τότε πρὸ πάντων πρέπει νὰ χρησιμοποιοῦμε αὐτόν, γιὰ νὰ τοὺς σώσουμε. Ἔτσι καὶ θὰ γίνουμε ὅμοιοι μὲ τὸ Θεό, ἐὰν πάντοτε κρατοῦμε τὸν ἑαυτό μας μακριὰ ἀπὸ τὴν ὀργή, καὶ θὰ ἐπιτύχουμε τὰ μέλλοντα ἀγαθά, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸ ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμὴ τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΗ'
(Πράξ. 7, 54 - 8, 25)

«Ἀκούοντες δὲ ταῦτα, διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν».

1. Πῶς οὐκ ἔλαβον ἐκ τῶν εἰρημένων ἀφορμὴν εἰς τὸ ἀνελεῖν αὐτόν, ἀλλ' ἔτι μαίνονται καὶ ζητοῦσιν αἰτίαν, θαυμάσαι ἄξιον. Οὕτως ἀεὶ ἐν κακοῖς εἰσιν οἱ ἀδικοῦντες. Καθάπερ οὖν οἱ ἀρχιερεῖς ἀποροῦντες ἔλεγον, «Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις;», οὕτω δὴ καὶ οὗτοι διαπρίονται. Καὶ μὴν ὁ θυμωθῆναι ὀφείλων ἐκεῖνος ἦν, ὁ μηδὲν ἀδικήσας, τὰ δὲ τῶν ἠδικηκότων παθὼν καὶ συκοφαντούμενος. Ἀλλ' οἱ συκοφάνται μᾶλλον ἐλέγχονται καὶ ταύτῃ· οὕτως ἀληθές, ὅπερ ἀεὶ ἔλεγον, ὅτι 'τὸ ποιεῖν κακῶς τοῦτό ἐστι τὸ πάσχειν κακῶς', καίτοι αὐτὸς οὐδὲν ἐσυκοφάντησεν, ἀλλ' ἀπέδειξεν. Οὕτως, ὅταν ὑβριζώμεθα ἐν οἷς οὐ συνοίδαμεν, οὐδὲν πάσχομεν. Ἐβούλοντο μὲν οὖν ἀνελεῖν, ἀλλ' οὐ ποιοῦσι τοῦτο, αἰτίαν θέλοντες εὔλογον περιθεῖναι τῷ τολμήματι. Τί οὖν; ἡ ὕβρις οὐκ ἦν εὔλογος; Οὐκ ἦν αὐτοῦ ἡ ὕβρις, ἀλλὰ τοῦ προφήτου κατηγορία· ἢ ἑκόντες καὶ ἀνεβάλλοντο, ὥστε μὴ δόξαι διὰ τὰ εἰς αὐτοὺς αὐτὸν ἀνελεῖν, ὥσπερ οὖν καὶ τὸν Χριστόν, ἀλλὰ δι' ἀσέβειαν. Τοῦτο δὲ εὐσεβείας ἦν τὸ ῥῆμα. Διό, μετὰ τοῦ ἀνελεῖν ἐπιχειροῦντες καὶ τὴν δόξαν αὐτοῦ βλάψαι, «διεπρίοντο»· ἐφοβοῦντο γάρ, μὴ πάλιν καινόν τι περὶ αὐτὸν ἄλλο γένηται. Εἶτα, ὅπερ ἐπὶ

---

1. Πρ. 7, 54.
2. Πρ. 4, 16.

ΟΜΙΛΙΑ ΙΗ΄
(Πραξ. 7, 54 - 8, 25)

«Ἐνῶ δὲ ἄκουαν αὐτὰ αἰσθάνονταν τὶς καρδιές τους νὰ σχίζονται ἀπὸ ἄγριο θυμὸ καὶ ἔτριζαν τὰ δόντια τους ἐναντίον του»[1].

1. Ἄξιο ἀπορίας εἶναι πῶς δὲν ἔλαβαν ἀφορμὴ ἀπὸ τὰ ὅσα εἶχε πεῖ γιὰ νὰ τὸν θανατώσουν, ἀλλ' ἀκόμα μαίνονται καὶ ζητοῦν αἰτία. Ἔτσι πάντοτε οἱ ἀδικοῦντες βρίσκονται σὲ κατάσταση κακίας. Ὅπως ἀκριβῶς δηλαδὴ οἱ ἀρχιερεῖς ἀπορώντας ἔλεγαν, «Τί νὰ κάνουμε μὲ τοὺς ἀνθρώπους αὐτούς;»[2], ἔτσι λοιπὸν καὶ αὐτοὶ ἐξοργίζονται. Καὶ ὅμως αὐτὸς ποὺ ἔπρεπε νὰ ὀργισθεῖ ἦταν ἐκεῖνος, ποὺ δὲν διέπραξε μὲν καμιὰ ἀδικία, ἔπαθε δὲ τὰ ὅσα παθαίνουν ὅσοι ἀδικοῦν, καὶ συκοφαντήθηκε. Ἀλλ' οἱ συκοφαντοῦντες περισσότερο ἐλέγχονται καὶ μὲ τὸν τρόπο αὐτό· ἔτσι εἶναι ἀληθινὸ αὐτὸ ποὺ πάντοτε ἔλεγα, ὅτι 'τὸ νὰ κακοποιεῖ κανένας, εἶναι τὸ ἴδιο μὲ τὸ νὰ κακοποιεῖται', ἂν καὶ βέβαια αὐτὸς καθόλου δὲν συκοφάντησε, ἀλλ' ἀπέδειξε τὴν ἀλήθεια τῶν ὅσων τοὺς εἶπε. Ἔτσι, ὅταν βριζόμαστε γιὰ ἐκεῖνα ποὺ δὲν γνωρίζομε, τίποτε δὲν παθαίνομε. Ἤθελαν λοιπὸν νὰ τὸν θανατώσουν, ἀλλὰ δὲν τὸ κάμνουν, ἐπειδὴ ἤθελαν ν' ἀποδώσουν στὸ ἐγχείρημά τους κάποια εὔλογη αἰτία. Τί λοιπόν; ἡ ὕβρη δὲν ἦταν εὔλογη; δὲν ἦταν ἡ ὕβρη δική του, ἀλλὰ κατηγορία τοῦ προφήτη· ἢ θεληματικὰ ἀνέβαλλαν τὴ θανάτωση, γιὰ νὰ μὴ φανοῦν ὅτι τὸν φόνευσαν, γιὰ ὅσα εἶπε γι' αὐτούς, ὅπως ἀκριβῶς καὶ τὸ Χριστό, ἀλλὰ ὅτι τὸν φόνευσαν γιὰ ἀσέβεια. Αὐτὸς δὲ ὁ λόγος ἦταν λόγος εὐσέβειας. Γι' αὐτό, ἐπιχειρώντας μετὰ τὴ θανάτωσή του νὰ μειώσουν καὶ τὴ δόξα του, «ἐξοργίζονται». Διότι φοβοῦνταν, μήπως συμβεῖ τίποτε καινούριο σχετικὰ μὲ αὐτόν. Ἔπειτα, ἐκεῖνο ἀκριβῶς ποὺ ἔκαμναν στὸν Ἰησοῦ,

τοῦ Χριστοῦ ποιοῦσι, τοῦτο καὶ ἐπὶ τοῦ Στεφάνου· καὶ καθάπερ ἐκεῖ, ἐπειδὴ εἶπεν, «Ὄψεσθε ἐκ δεξιῶν τῆς δυνάμεως τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον», βλασφημίαν τὸ πρᾶγμα ἔλεγον, καὶ μάρτυρας τοὺς ὄχλους ἐποίουν, οὕτω δὴ καὶ ἐνταῦθα. Ἐκεῖ διέρρηξαν τὰ ἱμάτια, ὧδε τὰ ὦτα συνέσχον.

«Ὑπάρχων δὲ πλήρης Πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανόν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ εἶπεν· Ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ. Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν. Καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν». Καὶ μήν, εἰ ἐψεύδετο, ὡς μαινόμενον ἔδει ἀφεῖναι. Ὁ δὲ οὕτως εἶπε, βουλόμενος αὐτοὺς ἐπαγαγέσθαι. Καὶ ἐπειδή, εἰπὼν περὶ τοῦ θανάτου μόνον, περὶ ἀναστάσεως οὐδὲν διελέχθη, καὶ τοῦτο λοιπὸν εὐκαίρως προστίθησι τὸ δόγμα. Οὕτω δὲ αὐτῷ λέγει φανῆναι, ὥς που διέξεισιν, ἵνα κἂν οὕτω δέξωνται τὸν λόγον, ὅς, ἐπεὶ τὸ εἰπεῖν καθῆσθαι φορτικὸν αὐτοῖς ἦν, τέως τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον, καί φησιν αὐτὸν ἵστασθαι. Ἀπὸ τούτου στοχάζομαι καὶ τὸ πρόσωπον αὐτοῦ δεδοξάσθαι· ὁ γὰρ Θεός, φιλάνθρωπος ὤν, δι' ὧν ἐπεβουλεύοντο ἐκεῖνοι, δι' αὐτῶν ἐβούλετο αὐτοὺς ἐκκαλέσασθαι, εἰ καὶ μηδὲν πλέον ἐγένετο. «Καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν». Πάλιν ἔξω τῆς πόλεως ὁ θάνατος, ὥσπερ ἐπὶ τοῦ Χριστοῦ, καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἡ ὁμολογία καὶ τὸ κήρυγμα διαλεγόμενον. «Καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου, καλουμένου Σαύλου, καὶ ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον τὸν Θεὸν καὶ λέγοντα· Κύριε Ἰη-

---

3. Ματθ. 26, 64

αὐτὸ καμνουν καὶ στὸ Στέφανο· καὶ ὅπως ἐκεῖ, ἐπειδὴ εἶπε, «Θὰ δεῖτε τὸν Υἱὸ τοῦ ἀνθρώπου, νὰ κάθεται στὰ δεξιὰ τοῦ Θεοῦ»[8], ἔλεγαν ὅτι αὐτά εἶναι βλασφημία καὶ παρουσίαζαν μάρτυρες τοὺς ὄχλους, ἔτσι καὶ ἐδῶ. Ἐκεῖ ξέσχισαν τὰ ἱμάτια, ἐδῶ ἔφραξαν τὰ αὐτιά τους.

Αὐτὸς ὅμως ποὺ ἦταν γεμάτος μὲ Πνεῦμα ἅγιο, ἀφοῦ ἔστρεψε τὸ βλέμμα του στὸν οὐρανό, εἶδε τὴ δόξα τοῦ Θεοῦ καὶ τὸν Ἰησοῦ νὰ στέκεται στὰ δεξιὰ τοῦ Θεοῦ, καὶ εἶπε· Νά, βλέπω τοὺς οὐρανοὺς νὰ εἶναι ἀνοιγμένοι καὶ τὸν Υἱὸ τοῦ ἀνθρώπου νά στέκεται στὰ δεξιὰ τοῦ Θεοῦ. Αὐτοὶ δὲ ἀφοῦ φώναζαν δυνατά, ἔκλεισαν τὰ αὐτιά τους γιὰ νὰ μὴ ἀκούουν τὰ λόγια τοῦ Στέφανου, καὶ ὅλα μαζὶ ὅρμησαν ἐναντίον του. Καὶ ἀφοῦ τὸν ἔβγαλαν ἔξω ἀπὸ τὴν πόλη, τὸν λιθοβολοῦσαν». Καὶ ὅμως, ἂν ἔλεγε ψέματα, ἔπρεπε νὰ τὸν ἀφήσουν σὰν μανιακό. Αὐτὸς ὅμως μίλησε ἔτσι, ἐπειδὴ ἤθελε νὰ συγκεντρώσει τὸ ἐνδιαφέρον τους. Καὶ ἐπειδή, λέγοντας μόνο γιὰ τὸ θάνατο τοῦ Ἰησοῦ, δὲν εἶπε τίποτε γιὰ τὴν ἀνάστασή του, καὶ αὐτὴν τὴν ἀλήθεια τὴν προσθέτει στὴ συνέχεια κατάλληλα. Ἔτσι δὲ λέγει ὅτι φάνηκε σ' αὐτόν, ὅπως διηγεῖται ὁ συγγραφέας, ὥστε ἔστω καὶ ἔτσι νὰ δεχθοῦν τὸ λόγο, ὁ ὁποῖος, ἐπειδή, μὲ τὸ νὰ πεῖ ὅτι κάθησε ὁ Υἱὸς τοῦ ἀνθρώπου στὰ δεξιὰ τοῦ Πατρός, ἦταν ἐνοχλητικὸς σ' αὐτούς, ὁμιλεῖ κατ' ἀρχὴ γιὰ τὴν ἀνάσταση, καὶ λέγει ὅτι αὐτὸς στέκεται στὰ δεξιὰ τοῦ Πατρός. Ἀπὸ αὐτὸ συμπεραίνω ὅτι ἔχει δοξασθεῖ καὶ τὸ πρόσωπό του. Διότι ὁ Θεός, ἐπειδὴ εἶναι φιλάνθρωπος, ἤθελε μὲ ἐκεῖνα ποὺ ἐκεῖνοι ἐπιβουλεύονταν τὸν Στέφανο, μὲ αὐτὰ νὰ τοὺς καλέσει νὰ μετανοήσουν, ἂν καὶ δὲν ἔγινε τίποτε περισσότερο. «Καὶ ἀφοῦ τὸν ἔβγαλαν ἔξω ἀπὸ τὴν πόλη, τὸν λιθοβολοῦσαν». Πάλι ἔξω ἀπὸ τὴν πόλη ἔγινε ἡ θανάτωση, ὅπως ἀκριβῶς καὶ ἐπὶ τοῦ Ἰησοῦ, καὶ μὲ αὐτὸ τὸ θάνατο διακηρύσσεται ἡ ὁμολογία καὶ τὸ κήρυγμα. Καὶ οἱ μάρτυρες ἄφησαν τὰ ἐνδύματά τους πρὸς φύλαξη κοντά στὰ πόδια κάποιου νέου, ποὺ λεγόταν Σαῦλος καὶ λιθοβολοῦσαν τὸν Στέφανο, ποὺ ἐπεκαλεῖτο τὸν Κύριο

σοῦ Χριστέ, δέξαι τὸ πνεῦμά μου». Δεικνύοντος ὁμοῦ τοῦτο καὶ διδάσκοντος αὐτούς ἐστιν ὅτι οὐκ ἀπόλλυται. «Καὶ θεὶς τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην». Ὥσπερ ἀπολογούμενος ὅτι οὐδὲ τὰ πρότερα θυμοῦ ἦν, φησί· «Κύριε», ἢ καὶ βουλόμενος αὐτοὺς ταύτῃ ἐπισπάσασθαι· τὸ γὰρ ἀφεῖναι μὲν τὸν θυμὸν καὶ τὴν ὀργὴν τῷ φόνῳ, καθαρὰν δεῖξαι τὴν ψυχὴν τοῦ πάθους, εὐπαράδεκτον ἐποίει τὸν λόγον.

«Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. Ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν Ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις». Οὐχ ἁπλῶς οὗτος ὁ διωγμός, ἀλλ' οἰκονομικῶς δοκεῖ μοι συμβῆναι. «Καὶ πάντες διεσπάρησαν κατὰ τὴν χώραν τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν Ἀποστόλων». Ὁρᾷς πῶς πάλιν πειρασμοὺς συγχωρεῖ ὁ Θεὸς γίνεσθαι; Ἀλλ' ἴδε μοι ἐντεῦθεν καὶ ὅπως οἰκονομεῖται τὰ πράγματα. Ἐθαυμάσθησαν διὰ τὰ σημεῖα, μαστιχθέντες οὐδὲν ἔπαθον, κατέστησαν ἐπὶ τῶν χορῶν, ηὔξετο ὁ λόγος· λοιπὸν συγχωρεῖ κώλυμα γενέσθαι μέγα. Καὶ γίνεται διωγμὸς οὐχ ὁ τυχών, ὥστε ὁμοῦ καὶ τούτους φυγεῖν (ἐφοβοῦντο γὰρ θρασυτέρους αὐτοὺς γενομένους), καὶ πᾶσι δῆλον ὑπάρξαι ὅτι ἄνθρωποι ἦσαν οἱ φοβούμενοι καὶ φεύγοντες. Ἵνα γὰρ μὴ σὺ μετὰ ταῦτα λέγῃς ὅτι χάριτι μόνον κατώρθουν, κἂν ἐδιώκοντο, καὶ αὐτοὶ δειλότεροι γεγόνασι, καὶ ἐκεῖνοι θρασύτεροι. «Καὶ πάντες διεσπάρησαν, πλὴν τῶν Ἀποστόλων», φησί. Οὐκ ἄρα μάτην ἔλεγον ὅτι οἰκονομίας ὁ διωγμὸς ἦν· εἰ μὴ γὰρ γέγονεν, οὐκ ἂν οἱ μαθηταὶ διεσπάρησαν. «Συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς, καὶ ἐποιήσαντο κοπετὸν μέγαν ἐπ' αὐτῷ». Ἢ οὔπω ἦσαν τέλειοι ἢ ὅτι ἐπίχαρις ἦν καὶ αἰδέσιμος, διὸ καὶ κόπτονται αὐ-

---

4. Πρ. 8, 1.

καὶ ἔλεγε· Κύριε Ἰησοῦ Χριστέ, δέξου τὸ πνεῦμα μου». Μὲ αὐτὸ δείχνει καὶ συγχρόνως διδάσκει αὐτούς, ὅτι δὲν χάνεται. «Καὶ ἀφοῦ γονάτισε, φώναζε μὲ δυνατὴ φωνή, ὥστε ν' ἀκουσθεῖ ἀπ' ὅλους, καὶ εἶπε· Κύριε μὴ λογαριάσεις σ' αὐτοὺς τὴν ἁμαρτία αὐτή». Σὰν ἀκριβῶς νὰ ἀπολογοῦνταν, ὅτι οὔτε τὰ προηγούμενα ἦταν λόγια θυμοῦ, λέγει, «Κύριε», ἢ καὶ ἐπειδὴ ἤθελε νὰ τοὺς προσελκύσει ἔτσι· διότι τὸ νὰ ἀφήσει μὲν τὸ θυμὸ καὶ τὴν ὀργὴ μὲ τὸ φόνο, νὰ δείξει δὲ τὴν ψυχὴ ἀπαλλαγμένη ἀπὸ τὸ πάθος, ἔκανε τὸ λόγο εὐκολώτερα παραδεκτό.

«Ὁ Σαῦλος δὲ ἐπιδοκίμαζε μαζὶ μὲ τοὺς φονεῖς του τὴ θανάτωση τοῦ Στέφανου. Ἔγινε δὲ κατὰ τὴν ἡμέρα ἐκείνη μεγάλος διωγμὸς ἐναντίον τῆς ἐκκλησίας τῶν Ἱεροσολύμων». Δὲν ἔγινε τυχαῖα ὁ διωγμὸς αὐτός, ἀλλὰ μοῦ φαίνεται ὅτι συνέβηκε κατὰ θεία παραχώρηση. «Καὶ ὅλοι διασκορπίσθηκαν στὴν ὕπαιθρο τῆς Ἰουδαίας καὶ τῆς Σαμάρειας, ἐκτὸς ἀπὸ τοὺς Ἀποστόλους»[4]. Βλέπεις πῶς ἐπιτρέπει πάλι ὁ Θεὸς νὰ συμβαίνουν δοκιμασίες; Ἀλλὰ πρόσεχε σὲ παρακαλῶ ἀπὸ ἐδῶ, πῶς ρυθμίζονται τὰ πράγματα. Θαυμάσθηκαν γιὰ τὰ θαύματα, ἐνῶ μαστιγώθηκαν δὲν ἔπαθαν τίποτε, ἐγκαταστάθηκαν στὶς χῶρες, καὶ ὁ λόγος διαδιδόταν. Στὴ συνέχεια ἐπιτρέπει νὰ δημιουργηθεῖ ἐμπόδιο μεγάλο. Καὶ γίνεται διωγμὸς ὄχι τυχαῖος, ὥστε συγχρόνως καὶ ὅλοι αὐτοὶ νὰ φύγουν (διότι φοβοῦνταν ὅτι αὐτοὶ θὰ γίνονταν τολμηρότεροι), καὶ σὲ ὅλους νὰ γίνει φανερό, ὅτι ἄνθρωποι ἦταν ἐκεῖνοι ποὺ φοβοῦνταν καὶ ἔφευγαν. Γιὰ νὰ μὴ λέγεις βέβαια σὺ μετὰ ταῦτα, ὅτι μόνο μὲ τὴ θεία χάρη τὰ κατόρθωναν, ἀκόμη καὶ ὅταν διώκονταν, καὶ αὐτοὶ ἔγιναν δειλότεροι, καὶ ἐκεῖνοι θρασύτεροι. «Καὶ ὅλοι διασκορπίσθηκαν, ἐκτὸς τῶν Ἀποστόλων», λέγει. Ἄρα δὲν ἔλεγα μάταια, ὅτι ὁ διωγμὸς ἔγινε κατὰ θεία παραχώρηση· διότι, ἐὰν δὲν εἶχε γίνει, δὲν θὰ διασκορπίζονταν οἱ μαθητές. «Ἄνδρες εὐλαβεῖς ἐνταφίασαν τὸν Στέφανο, καὶ θρήνησαν αὐτὸν πάρα πολύ». Ἢ δὲν ἦταν ἀκόμα τέλειοι, ἢ διότι ἦταν γεμάτος ἀπὸ θεία χάρη καὶ σεβάσμιος, καὶ γι' αὐτὸ καὶ

τόν. Ἅμα δὲ τοῦτο δείκνυσι καὶ ἀνθρώπους αὐτοὺς ὄντας οὐχὶ ὁ φόβος μόνον, ἀλλὰ καὶ ἡ λύπη, καὶ ὁ κοπετός. Τίς γὰρ οὐκ ἂν ἔκλαυσεν, ὁρῶν τὸν ἥμερον ἐκεῖνον, τὸ ἀρνίον, λιθόλευστον γενόμενον καὶ κείμενον νεκρόν; Ἱκανὸν αὐτοῦ ἐπιτάφιον διεξῆλθεν ὁ Εὐαγγελιστής, «καὶ θεὶς τὰ γόνατα», εἰπών, «καὶ κράξας φωνῇ μεγάλῃ», «Καὶ ἐποίησαν κοπετὸν μέγαν ἐπ' αὐτῷ». Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

2. «Ὑπάρχων πλήρης Πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανόν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ εἶπεν· Ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους. Καὶ συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν». Καίτοι ποῦ ταῦτα κατηγορίας ἄξια; Ἀλλ' ὅμως τὸν σημεῖα τοιαῦτα τῷ λόγῳ ἐργασάμενον, τὸν πάντων κρατοῦντα τῷ λόγῳ, τὸν τοιαῦτα διαλεγόμενον, λαβόντες, ὥσπερ ἐβούλοντο, οὕτω τὸν θυμὸν τὸν ἑαυτῶν ἐπλήρουν. «Οἱ δὲ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου, καλουμένου Σαύλου». Ὅρα πῶς ἀκριβῶς τὰ περὶ τοῦ Παύλου διηγεῖται, ἵνα σοι δείξῃ τὸ ἐπ' αὐτῷ ἔργον Θεοῦ γενόμενον μετὰ ταῦτα. Τέως δὲ οὐ μόνον ἐκεῖνος οὐ πιστεύει, ἀλλὰ καὶ μυρίαις αὐτὸν χερσὶ βάλλει τῶν φονέων· διὸ καὶ τοῦτο δηλῶν λέγει· «Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ». Οὐ ἁπλῶς δὲ εὔχεται ὁ μακάριος οὗτος, ἀλλὰ μετὰ προσοχῆς· «θεὶς» γάρ, φησί, «τὰ γόνατα». Ὅθεν θεῖος αὐτοῦ καὶ ὁ θάνατος γέγονε· μέχρι γὰρ τούτου συγκεχώρητο ταῖς ψυχαῖς ἐν τῷ ᾅδῃ εἶναι.

«Πάντες δὲ διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας». Ἀδεῶς ἐπιμίγνυνται τῇ Σαμαρείᾳ λοιπὸν οἱ ἀκούσαντες· «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε». «Πλὴν δὲ τῶν Ἀποστόλων» λέγει, δεικνὺς ὅτι καὶ ταύτῃ προσαγαγέ-

---

5. Ματθ. 10, 5.

θρηνοῦν γι' αὐτόν. Συγχρόνως δὲ δείχνει ὄχι μόνο ὁ φόβος, ἀλλὰ καὶ ἡ λύπη καὶ ὁ θρῆνος, ὅτι καὶ αὐτοὶ εἶναι ἄνθρωποι. Διότι ποιὸς δὲν θὰ ἔκλαιε, βλέποντας τὸν ἥμερο ἐκεῖνο, τὸ ἄκακο ἀρνί, νὰ εἶναι λιθοβολημένος καὶ νὰ εἶναι κάτω νεκρός; Σπουδαῖο ἐπιτάφιο ἐγκώμιο ἔπλεξε ὁ εὐαγγελιστὴς λέγοντας, «Καὶ ἀφοῦ γονάτισε καὶ ἔβγαλε φωνὴ μεγάλη». «Καὶ θρήνησαν αὐτὸν πάρα πολύ». Ἀλλ' ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ λεχθέντα.

2. «Αὐτὸς δὲ γεμάτος μὲ Πνεῦμα ἅγιο, ἀφοῦ ἔστρεψε τὸ βλέμμα του στὸν οὐρανό, εἶδε τὴ δόξα τοῦ Θεοῦ, καὶ τὸν Ἰησοῦ νὰ στέκεται στὰ δεξιὰ τοῦ Θεοῦ, καὶ εἶπε· Νά, βλέπω τοὺς οὐρανοὺς νὰ εἶναι ἀνοιγμένοι. Καὶ ἔκλεισαν τὰ αὐτιά τους καὶ ὅρμησαν ἐναντίον του». Καὶ ὅμως ποιᾶς κατηγορίας ἄξια εἶναι αὐτά; Ἀλλ' ὅμως ἐκεῖνον ποὺ ἐπιτέλεσε, μὲ τὸ λόγο του, τόσα θαυματουργικὰ σημεῖα, ποὺ ὑπερίσχυσε ὅλων μὲ τὸ λόγο, ποὺ δίδασκε τέτοια, ἀφοῦ τὸν συνέλαβαν, ὅπως ἀκριβῶς ἤθελαν, ἱκανοποιοῦσαν ἔτσι τὸ θυμό τους. «Οἱ δὲ μάρτυρες ἄφησαν τὰ ἐνδύματά τους κοντὰ στὰ πόδια κάποιου νέου, ποὺ λεγόταν Σαῦλος». Πρόσεχε πῶς ἀκριβῶς διηγεῖται τὰ σχετικὰ μὲ τὸν Παῦλο, γιὰ νὰ σοῦ δείξει τὸ ἔργο τοῦ Θεοῦ, ποὺ συντελέσθηκε στὴ συνέχεια ἀπὸ τὸν Παῦλο. Στὴν ἀρχὴ δὲ ἐκεῖνος ὄχι μόνο δὲν πιστεύει, ἀλλὰ καὶ μὲ τὰ ἀναρίθμητα χέρια τῶν φονιάδων τὸν λιθοβολεῖ· γι' αὐτό, γιὰ νὰ φανερώσει καὶ αὐτό, λέγει· «Ὁ Σαῦλος δὲ ἐπιδοκίμαζε μὲ τοὺς ἄλλους τὴ θανάτωση τοῦ Στέφανου». Δὲν προσεύχεται δὲ ἁπλῶς ὁ μακάριος αὐτός, ἀλλὰ καὶ μὲ προσοχή· διότι λέγει, «ἀφοῦ δὲ γονάτισε». Γι' αὐτὸ καὶ ὁ θάνατος αὐτοῦ ἔγινε θεῖος· διότι μέχρι τότε εἶχε παραχωρηθεῖ οἱ ψυχὲς νὰ εἶναι στὸν ἅδη.

«Ὅλοι δὲ διασκορπίσθηκαν στὴν ὕπαιθρο τῆς Ἰουδαίας καὶ Σαμάρειας». Ἄφοβα πλέον κυκλοφοροῦν στὴ Σαμάρεια, ἐκεῖνοι ποὺ ἄκουσαν· «Σὲ δρόμο ποὺ ὁδηγεῖ σὲ χώρα ἐθνικῶν νὰ μὴ εἰσέλθετε»[5]. «Ἐκτὸς δὲ ἀπὸ τοὺς Ἀποστόλους», λέγει, γιὰ νὰ δείξει, ὅτι δὲν ἐγκατέλειψαν οἱ Ἀπόστολοι τὴν πόλη, ἐπειδὴ ἤθελαν καὶ μὲ τὸν τρόπο αὐτὸ νὰ προσελ-

σθαι βουλόμενοι τοὺς Ἰουδαίους τὴν πόλιν οὐκ ἀπέλιπον, ἢ καὶ ἑτέροις γενέσθαι θάρσους αἴτιοι. «Σαῦλος δὲ ἐλυμαίνετο τὴν Ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας τε καὶ γυναῖκας, παρεδίδου εἰς φυλακήν». Πολλὴ ἡ μανία, τὸ καὶ μόνον αὐτὸν εἶναι, τὸ καὶ εἰς τοὺς οἴκους εἰσιέναι· οὕτω τὴν ψυχὴν αὐτοῦ ἔδωκεν ὑπὲρ τοῦ νόμου. «Σύρων», φησίν, «ἄνδρας καὶ γυναῖκας». Ὅρα καὶ τὴν παρρησίαν, καὶ τὴν ὕβριν, καὶ τὴν μανίαν. Τοὺς ἐμπίπτοντας ἅπαντας μυρίοις διετίθει κακοῖς, ἅτε ἀπὸ τῆς σφαγῆς ταύτης θρασύτερος γεγονώς. «Οἱ μὲν οὖν διασπαρέντες διῆλθον εὐαγγελιζόμενοι τὸν λόγον. Φίλιππος δέ, κατελθὼν εἰς πόλιν τῆς Σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν. Προσεῖχόν τε οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδὸν ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα, ἃ ἐποίει. Πολλῶν γὰρ ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα φωνῇ μεγάλῃ, ἐξήρχετο· πολλοὶ δὲ καὶ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν. Καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ. Ἀνὴρ δέ τις, ὀνόματι Σίμων, προϋπῆρχεν ἐν τῇ πόλει, μαγεύων καὶ ἐξιστῶν τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν· ᾧ προσεῖχον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου, λέγοντες· Οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη».

Ἴδε μοι καὶ ἕτερον πειρασμόν, τὸν τοῦ Σίμωνος. «Προσεῖχον δὲ αὐτῷ», φησί, «οἱ ὄχλοι διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστηκέναι αὐτούς. Ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ, εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄνδρες τε καὶ γυναῖκες. Ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσε, καὶ βαπτισθείς, ἦν προσκαρτερῶν τῷ Φιλίππῳ. Θεωρῶν δὲ δυνάμεις μεγά-

κύσουν τοὺς Ἰουδαίους, ἢ νὰ γίνουν αἴτιοι νὰ λάβουν θάρρος καὶ ἄλλοι. «Ὁ Σαῦλος δὲ ρήμαζε τὴν ἐκκλησία, εἰσερχόμενος στὶς οἰκίες, σύροντας βίαια ἄνδρες καὶ γυναῖκες καὶ παραδίδοντας αὐτοὺς σὲ φυλακή». Μεγάλη ἦταν ἡ μανία του, ποὺ φαίνεται ἀπὸ τὸ ὅτι ἦταν μόνος καὶ ἀπὸ τὸ ὅτι εἰσερχόταν στὶς οἰκίες· τόσο πολὺ παρέδωσε τὴν ψυχή του ὑπὲρ τοῦ νόμου. «Σύροντας», λέγει, «ἄνδρες καὶ γυναῖκες». Πρόσεχε καὶ τὸ θάρρος καὶ τὴν κακοποίηση ποὺ προκαλοῦσε καὶ τὴ μανία του. Ὅλοι δὲ ὅσοι ἔπεφταν στὰ χέρια του, τοὺς ὑπέβαλε σὲ ἄπειρα βασανιστήρια, ἀφοῦ ἀπὸ τὴν θανάτωση αὐτὴ εἶχε γίνει θρασύτερος. «Ἐκεῖνοι λοιπόν, ἀφοῦ διασκορπίσθηκαν, περιόδευσαν τὴ χώρα κηρύττοντας τὸ λόγο τοῦ εὐαγγελίου. Ὁ δὲ Φίλιππος, ἀφοῦ κατέβηκε σὲ κάποια πόλη τῆς Σαμάρειας, κήρυττε στοὺς κατοίκους της τὸ Χριστό. Τὰ πλήθη δέ, ὅλοι μαζὶ καὶ μὲ μιὰ καρδιά, πρόσεχαν σὲ ἐκεῖνα ποὺ τοὺς ἔλεγε ὁ Φίλιππος, καθὼς ἄκουαν τὸ κήρυγμά του καὶ ἔβλεπαν τὰ θαύματα ποὺ ἔκαμνε. Διότι πολλοί, ποὺ εἶχαν πνεύματα ἀκάθαρτα, ἔβγαιναν, ἀφοῦ ἔβγαζαν δυνατὴ φωνή· πολλοὶ δὲ παράλυτοι καὶ χωλοὶ θεραπεύθηκαν. Καὶ ἔγινε μεγάλη χαρὰ στὴν πόλη ἐκείνη. Ὑπῆρχε ὅμως ἀπὸ ἀρκετὸ καιρὸ στὴν πόλη ἐκείνη κάποιος ἄνθρωπος, ποὺ ὀνομαζόταν Σίμων, καὶ ποὺ ἐξέπληττε τὸ λαὸ τῆς Σαμάρειας μὲ τὶς μαγεῖες του, καὶ ἔλεγε γιὰ τὸν ἑαυτό του, ὅτι ἦταν σπουδαῖος ἄνθρωπος. Καὶ πρόσεχαν σ' αὐτὸν ὅλοι, μικροὶ καὶ μεγάλοι λέγοντας· Αὐτὸς εἶναι ἡ μεγάλη δύναμη τοῦ Θεοῦ».

Πρόσεχε καὶ ἄλλο πειρασμό, τὸν Σίμωνα. «Πρόσεχαν δὲ σ' αὐτόν», λέγει, «τὰ ὅσα ἔλεγε καὶ ἔκανε, διότι ἀπὸ ἀρκετὸ καιρὸ τοὺς εἶχε ἐκπλήξει μὲ τὶς μαγεῖες του. Ὅταν ὅμως πίστευσαν στὸ Φίλιππο, ποὺ τοὺς κήρυττε τὸ εὐαγγέλιο γιὰ τὴ βασιλεία τοῦ Θεοῦ καὶ γιὰ τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ, βαπτίζονταν καὶ ἄνδρες καὶ γυναῖκες. Ἀκόμη καὶ ὁ ἴδιος ὁ Σίμων πίστεψε, καὶ ἀφοῦ βαπτίσθηκε παρέμεινε σταθερὰ κοντὰ στὸ Φίλιππο, καὶ ἦταν κατάπληκτος μὲ τὰ θαύματα καὶ τὰ σημεῖα ποὺ ἔβλε-

λας καὶ σημεῖα γινόμενα, ἐξίσταιο. Ἀκούσαντες δὲ ἐν Ἱεροσολύμοις Ἀπόστολοι ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην, οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι Πνεῦμα ἅγιον· οὐδέπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός, μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτούς, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον. Ἰδὼν δὲ Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν Ἀποστόλων δίδοται τὸ Πεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων· Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας λαμβάνῃ Πνεῦμα ἅγιον». Πῶς οὖν, φησί, Πνεῦμα οὐκ ἔλαβον οὗτοι; Πνεῦμα ἔλαβον τὸ τῆς ἀφέσεως, τὸ δὲ τῶν σημείων οὔπω ἦσαν λαβόντες. Καὶ ὅτι τοῦτό ἐστι, καὶ τὸ τῶν σημείων Πνεῦμα οὐκ ἔλαβον, ὅρα πῶς, ἰδὼν ὁ Σίμων, προσῆλθε, τοῦτο αἰτῶν. Εἰ καὶ ἐνίσχυσε δὲ τότε μάλιστα ὁ διωγμός, ὅμως ὁ Θεὸς πάλιν αὐτοὺς ἐξείλετο, ἐπιτειχίσας αὐτοῖς τὰ σημεῖα. Οὐ μὴν ὁ θάνατος δὲ Στεφάνου ἔσβεσεν ἐκείνων τὸν θυμόν, ἀλλ' ἐπέτεινε μᾶλλον, διὸ καὶ σκορπίζονται οἱ διδάσκαλοι, ὥστε πλείονα γενέσθαι τὴν μαθητείαν. Ἀλλ' ὅρα καὶ πάλιν διαδεχόμενα αὐτοὺς τὰ χρηστά, καὶ ἐν χαρᾷ ὄντας· «Χαρὰ» γάρ, φησίν, «ἐγένετο ἐν τῇ πόλει μεγάλῃ», καίτοι καὶ κοπετὸς ἐγένετο μέγας. Οὕτως εἴωθε ποιεῖν ἀεὶ ὁ Θεός, καὶ τοῖς λυπηροῖς τὰ εὐφραίνοντα μιγνύναι, ἵνα καὶ μᾶλλον θαυμάζηται. Ἀφ' ἱκανοῦ δὲ χρόνου τὸ νόσημα ἦν Σίμωνι, διὸ οὐδὲ οὕτως αὐτοῦ ἀπαλλάττεται. Πῶς δὲ αὐτὸν καὶ ἐβάπτισεν; Ὥσπερ καὶ τὸν Ἰούδαν ὁ Χριστὸς ἐξελέξατο. Οὗτος, θεωρῶν σημεῖα γινόμενα, ἐξίσταται μέν, οὐ τολμᾷ δὲ τὴν χάριν τῶν

πε νὰ γίνονται. Ὅταν δὲ ἄκουσαν οἱ Ἀπόστολοι, ποὺ ἦταν στὰ Ἱεροσόλυμα, ὅτι ἡ Σαμάρεια ἔχει δεχθεῖ τὸ λόγο τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς τοὺς Σαμαρεῖτες τὸν Πέτρο καὶ τὸν Ἰωάννη· αὐτοὶ δὲ ἀφοῦ κατέβηκαν στὴ Σαμάρεια, προσευχήθηκαν γι' αὐτούς, γιὰ νὰ λάβουν τὸ Πνεῦμα τὸ ἅγιο μὲ τὰ χαρίσματά του. Διότι δὲν εἶχε ἀκόμα μεταδοθεῖ σὲ κανένα ἀπὸ αὐτοὺς τὸ ἅγιο Πνεῦμα, εἶχαν μόνο βαπτισθεῖ στὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Τότε ἔθεταν τὰ χέρια τους οἱ Ἀπόστολοι ἐπάνω τους καὶ λάμβαναν αὐτοὶ Πνεῦμα ἅγιο. Ὅταν δὲ εἶδε ὁ Σίμων ὅτι μὲ τὴν ἐπίθεση τῶν χεριῶν τῶν Ἀποστόλων μεταδίδεται τὸ ἅγιο Πνεῦμα, πρόσφερε σ' αὐτοὺς χρήματα, λέγοντας· δώσατε καὶ σὲ μένα αὐτὴ τὴν ἐξουσία, ὥστε σὲ ὁποιονδήποτε ἐπιθέσω τὰ χέρια μου, νὰ λαμβάνει Πνεῦμα ἅγιο». Πῶς λοιπόν, θὰ ἔλεγε κανένας, αὐτοὶ δὲν ἔλαβαν Πνεῦμα; Ἔλαβαν Πνεῦμα γιὰ τὴν ἄφεση τῶν ἁμαρτιῶν, δὲν εἶχαν ὅμως λάβει ἀκόμη τὸ Πνεῦμα γιὰ τὴν ἐπιτέλεση θαυμάτων. Καὶ ὅτι ἔτσι ἔχει τὸ πράγμα, καὶ ὅτι δὲν ἔλαβαν τὸ Πνεῦμα γιὰ τὴν ἐπιτέλεση θαυμάτων, πρόσεχε πῶς, ὅταν εἶδε αὐτὸ ὁ Σίμων, προσῆλθε στοὺς Ἀποστόλους καὶ τοὺς τὸ ζήτησε. Ἂν καὶ ὁ διωγμὸς ἐνισχύθηκε τότε πάρα πολύ, ὅμως ὁ Θεὸς πάλι τοὺς διέσωσε, ἀφοῦ τοὺς περιφρούρησε μὲ τὰ σημεῖα. Ὁ θάνατος ὅμως τοῦ Στέφανου δὲν κατέπαυσε τὸ θυμὸ ἐκείνων, ἀλλὰ τὸν αὔξησε περισσότερο, γι' αὐτὸ καὶ σκορπίζονται οἱ διδάσκαλοι, γιὰ νὰ γίνει ἡ διδασκαλία τους περισσότερη. Ἀλλὰ πρόσεχε ὅτι καὶ πάλι τὰ εὐχάριστα τοὺς ἀκολουθοῦν καὶ ὅτι βρίσκονται σὲ κατάσταση χαρᾶς. Διότι, λέγει, ὅτι «χαρὰ μεγάλη ἔγινε στὴν πόλη ἐκείνη», παρ' ὅτι βέβαια συνέβηκε καὶ μεγάλος θρῆνος. Ἔτσι ἐνεργεῖ πάντοτε ὁ Θεός, νὰ ἀναμιγνύει μὲ τὰ λυπηρὰ καὶ τὰ εὐχάριστα, γιὰ νὰ θαυμάζεται περισσότερο. Ἀπὸ πολὺ καιρὸ δὲ ὑπῆρχε ἡ ἀσθένεια αὐτὴ στὸ Σίμωνα, γι' αὐτὸ οὔτε καὶ ἔτσι ἀπαλλάσσεται ἀπὸ αὐτήν. Πῶς δὲ βάπτισε αὐτόν; Ὅπως ἀκριβῶς καὶ ὁ Χριστὸς ἐξέλεξε τὸν Ἰούδα. Αὐτὸς δέ, βλέποντας νὰ γίνονται θαύματα, ἐκπλήττεται μέν, ἀλλὰ

σημείων αἰτῆσαι, ἐπειδὴ ᾔδει οὔπω λαβόντας οὐδὲ τοὺς ἄλλους. Πῶς οὖν αὐτὸν οὐκ ἀνεῖλον, ὥσπερ Ἀνανίαν καὶ Σάπφειραν; Ὅτι καὶ τὸ παλαιόν, ὁ τὰ ξύλα συλλέξας, ἀναιρεθεὶς εἰς ἑτέρων σωφρονισμόν, οὐκέτι ἕτερος τὸ αὐτὸ πέπονθεν. Οὕτω καὶ νῦν Πέτρος ποιεῖ, καὶ κολάσας ἐκείνους, τοῦτον οὐ κολάζει, ἀλλά φησι πρὸς αὐτόν· «Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι».

3. Καὶ διὰ τί οὐκ ἦσαν οὗτοι λαβόντες Πνεῦμα ἅγιον βαπτισθέντες. Ἤτοι τῷ μὴ δοῦναι Φίλιππον, τούτῳ τιμῶντα τάχα τοὺς Ἀποστόλους, ἤτοι τῷ μὴ ἔχειν χάρισμα τοιοῦτον (τῶν ἑπτὰ γὰρ ἦν), ὅπερ καὶ μᾶλλόν ἐστιν εἰπεῖν. Ὅθεν μοι δοκεῖ οὗτος ὁ Φίλιππος τῶν ἑπτὰ εἶναι, ὁ Στεφάνου δεύτερος. Διὸ καὶ βαπτίζων, Πνεῦμα τοῖς βαπτιζομένοις οὐκ ἐδίδου· οὐδὲ γὰρ εἶχεν ἐξουσίαν· τοῦτο γὰρ τὸ δῶρον μόνων τῶν δώδεκα ἦν. Σκόπει δέ. Ἐκεῖνοι οὐκ ἐξῄεσαν, ᾠκονομήθη τούτους ἐξελθεῖν, οἳ καὶ ὑστέρουν τῆς χάριτος διὰ τὸ μήπω λαβεῖν Πνεῦμα ἅγιον· δύναμιν μὲν γὰρ ἔλαβον ποιεῖν σημεῖα, οὐχὶ δὲ καὶ Πνεῦμα διδόναι ἑτέροις. Ἄρα τοῦτο ἦν τῶν Ἀποστόλων ἐξαίρετον· ὅθεν καὶ τοὺς κορυφαίους, οὐκ ἄλλους τινὰς ἔστιν ἰδεῖν τοῦτο ποιοῦντας. «Ἰδὼν δέ», φησί, «Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν Ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον». Οὐκ ἂν οὕτως εἶπεν, εἰ μὴ αἰσθητόν τι ἐγίνετο. Τοῦτο καὶ Παῦλος ἐποίησεν, ὅτε ταῖς γλώσσαις ἐλάλουν. Εἶδες τὴν μιαρίαν τοῦ Σίμωνος; Χρήματα προσήνεγκε, καίτοι οὐκ εἶδεν αὐτὸν χρημάτων αὐτὸ ποιοῦντα· ὥστε οὐκ ἦν ἀγνοίας τὸ πρᾶγμα, ἀλλὰ πειράζοντος καὶ

δὲν τολμᾶ νὰ ζητήσει τὴ χάρη ἐπιτελέσεως θαυμάτων, ἐπειδὴ γνώριζε ὅτι οὔτε οἱ ἄλλοι ἔλαβαν ἀκόμα αὐτήν. Πῶς λοιπὸν δὲν θανάτωσαν αὐτόν, ὅπως ἀκριβῶς συνέβηκε μὲ τὸν Ἀνανία καὶ τὴ Σάπφειρα; Διότι καὶ τὴν παλιὰ ἐποχή, ποὺ θανατώθηκε ἐκεῖνος ποὺ συνέλεξε ξύλα γιὰ σωφρονισμὸ τῶν ἄλλων, κανένας ἄλλος πλέον δὲν ἔπαθε τὸ ἴδιο. Ἔτσι καὶ τώρα κάμνει ὁ Πέτρος, καὶ ἐνῶ τιμώρησε ἐκείνους, αὐτὸν δὲν τὸν τιμωρεῖ, ἀλλὰ λέγει πρὸς αὐτόν· «Εἴθε τὰ χρήματά σου μαζὶ μὲ σένα νὰ χαθοῦν, διότι νόμισες ὅτι ἡ δωρεὰ αὐτὴ τοῦ Θεοῦ ἀποκτᾶται μὲ χρήματα».

3. Καὶ γιατί αὐτοὶ δὲν εἶχαν λάβει Πνεῦμα ἅγιο, ὅταν βαπτίσθηκαν; Ἢ διότι δὲν ἔδωσε αὐτὸ ὁ Φίλιππος, ἴσως γιὰ νὰ τιμήσει μὲ αὐτὸ τοὺς Ἀποστόλους, ἢ διότι δὲν εἶχε τέτοιο χάρισμα (διότι ἦταν ἀπὸ τοὺς ἑπτὰ διακόνους), πράγμα ποὺ κυρίως μποροῦμε νὰ ποῦμε. Γι' αὐτὸ μοῦ φαίνεται ὅτι αὐτὸς ὁ Φίλιππος εἶναι ἀπὸ τοὺς ἑπτά, ὁ δεύτερος μετὰ τὸν Στέφανο. Γι' αὐτὸ καὶ ὅταν βάπτιζε, δὲν ἔδινε Πνεῦμα στοὺς βαπτιζόμενους· διότι δὲν εἶχε ἐξουσία γι' αὐτό· καθόσον αὐτὸ τὸ δῶρο ἦταν προνόμιο μόνο τῶν δώδεκα Ἀποστόλων. Πρόσεχε δέ· Οἱ ἀπόστολοι δὲν ἐξέρχονταν, ρυθμίστηκε νὰ ἐξέλθουν αὐτοί, ποὺ στεροῦνταν τῆς χάριτος, ἐπειδὴ δὲν εἶχαν ἀκόμα λάβει τὸ Πνεῦμα τὸ ἅγιο. Διότι ἔλαβαν μὲν τὴ δύναμη νὰ ἐπιτελοῦν θαύματα, ὄχι ὅμως καὶ νὰ μεταδίδουν τὸ Πνεῦμα τὸ ἅγιο σὲ ἄλλους. Ἄρα αὐτὸ ἦταν ἐξαιρετικὸ προνόμιο τῶν Ἀποστόλων· γι' αὐτὸ καὶ μόνο τοὺς κορυφαίους εἶναι δυνατὸ νὰ δεῖ κανένας νὰ κάμνουν αὐτό, καὶ ὄχι ἄλλους. «Ὅταν δέ», λέγει, «εἶδε ὁ Σίμων, ὅτι μὲ τὴν ἐπίθεση τῶν χεριῶν τῶν Ἀποστόλων μεταδίδεται τὸ ἅγιο Πνεῦμα». Δὲν θὰ μιλοῦσε ἔτσι, ἂν δὲν γινόταν κάτι αἰσθητό. Αὐτὸ καὶ ὁ Παῦλος ἔκαμε, ὅταν μιλοῦσαν τὶς ἄλλες γλῶσσες. Εἶδες τὴν ἀχρειότητα τοῦ Σίμωνα; Πρόσφερε χρήματα, ἂν καὶ βέβαια δὲν εἶδε τὸν Πέτρο νὰ κάμνει αὐτὸ μὲ χρήματα· ὥστε δὲν ἦταν ἀποτέλεσμα ἄγνοιας ἡ ἐνέργειά του, ἀλλ' ἐνέργεια ἀνθρώπου ποὺ πειράζει καὶ θέλει νὰ

βουλομένου κατηγορία περιβαλεῖν. Διὰ τοῦτο καὶ ἀκούει· Οὐκ ἔστι σοι μερίς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐναντίον τοῦ Θεοῦ». Πάλιν τὰ ἐν τῇ διανοίᾳ εἰς μέσον ἄγει, ἐπειδὴ ἐκεῖνος λανθάνειν ἐνόμιζε.

«Μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου· εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας θεωρῶ σε ὄντα. Ἀποκριθεὶς δὲ Σίμων εἶπε· Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, ὅπως μηδὲν ἐπέλθῃ ἐπ' ἐμὲ ὧν εἰρήκατε». Δέον ἀπὸ καρδίας μετανοῆσαι, δέον κλαῦσαι, ὁ δὲ ἀφοσιώσει μόνον τοῦτο ποιεῖ. «Εἰ ἄρα ἀφεθήσεταί σοι». Τοῦτο εἶπεν, οὐχ ὡς οὐ συγχωρηθέντος ἂν αὐτῷ, εἰ ἔκλαυσεν, ἀλλ' ἔθος καὶ τοῖς προφήταις μόνον ἀπαγορεύειν, καὶ μὴ λέγειν, 'Ἐὰν δὲ τόδε ποιήσῃς, συγχωρήσεταί σοι', ἀλλ' ὅτι 'πάντως ἔσται ἡ τιμωρία'. Σὺ δέ μοι θαύμασον καὶ πῶς ἐν καιρῷ συμφορᾶς οὐκ ἀμελοῦσιν, ἀλλὰ τοῦ κηρύγματος ἔχονται, καὶ πῶς, καθάπερ ἐπὶ Μωϋσέως ἀπὸ συγκρίσεως ἐγίνετο τὰ θαύματα, οὕτω δὴ καὶ ἐνταῦθα. Μαγεία ἦν, καὶ ὅμως φανερὰ ταῦτα τὰ σημεῖα ἦν, καίτοι οὐδένα ἔδει εἶναι ἐκεῖ δαιμονῶντα, εἴ γε ἱκανῷ χρόνῳ ἦν ἐν ταῖς μαγείαις ἐξιστῶν αὐτούς· ἐπεὶ δὲ πολλοὶ οἱ δαιμονῶντες, πολλοὶ οἱ παράλυτοι, ἐκεῖνα οὐκ ἀλήθεια ἦν. Οὗτος δὲ οὐχὶ σημείοις μόνον, ἀλλὰ καὶ λόγῳ αὐτοὺς προσήγετο, περὶ βασιλείας καὶ Χριστοῦ διαλεγόμενος. «Ὁ δὲ Σίμων», φησί, «βαπτισθείς, ἦν προσκαρτερῶν τῷ Φιλίππῳ». Οὐ πίστεως ἕνεκεν, ἀλλ' ὥστε γενέσθαι τοιοῦ-

τοὺς ἀποδώσει κατηγορία. Γι' αὐτὸ καὶ ἀκούει· «Δὲν ὑπάρχει γιὰ σένα μερίδιο, οὔτε κληρονόμημα, γι' αὐτὰ ποὺ γίνεται λόγος τώρα· διότι ἡ καρδιά σου δὲν εἶναι εὐθεία ἐνώπιον τοῦ Θεοῦ». Πάλι ἐκεῖνα ποὺ ἔχει στὴν καρδιὰ ἀποκαλύπτει, διότι ἐκεῖνος νόμιζε ὅτι ἀγνοοῦνταν οἱ προθέσεις του.

«Μετανόησε λοιπὸν ἀπὸ τὴν κακία σου αὐτὴ καὶ παρακάλεσε τὸν Κύριο γιὰ τὸ ἁμάρτημά σου αὐτό, μήπως σοῦ συγχωρεθεῖ ἡ κακὴ αὐτὴ σκέψη τῆς καρδιᾶς σου· καὶ ἔχω ἀμφιβολίες γιὰ τὴν συγχώρηση ἀπὸ τὸ Θεό, διότι σὲ βλέπω νὰ εἶσαι γεμάτος ἀπὸ πικρὴ χωλὴ καὶ σφιχτὰ δεμένος ἀπὸ τὴν ἀδικία. Ἀποκρίθηκε δὲ ὁ Σίμων καὶ εἶπε· Παρακαλέσατε σεῖς γιὰ μένα τὸν Κύριο γιὰ νὰ μὴ μοῦ συμβεῖ κανένα κακὸ ἀπὸ αὐτὰ ποὺ εἴπατε». Ἐνῶ ἔπρεπε νὰ μετανοήσει ἀπὸ τὸ βάθος τῆς καρδιᾶς του, ἐνῶ ἔπρεπε νὰ κλάψει, ἐκεῖνος ὅπως κάμνει αὐτὸ μόνο ἀπὸ τυπικὴ ὑποχρέωση. «Μήπως σοῦ συγχωρεθεῖ». Αὐτὸ τὸ εἶπε, ὄχι ὅτι δὲν θὰ συγχωροῦνταν σ' αὐτόν, ἐὰν ἤθελε κλάψει, ἀλλ' εἶναι συνήθεια καὶ στοὺς προφῆτες μόνο νὰ ἀπαγορεύουν καὶ νὰ μὴ λέγουν, 'ἂν δὲ κάνεις αὐτό, θὰ σοῦ συγχωρηθεῖ', ἀλλ' ὅτι 'ὁπωσδήποτε θὰ ὑποστεῖς τὴν τιμωρία'. Σὺ ὅμως θαύμασε, σὲ παρακαλῶ, πῶς σὲ καιρὸ συμφορᾶς δὲν παραμελοῦν, ἀλλ' ἐπιδίδονται στὸ κήρυγμα, καὶ πῶς, ὅπως ἀκριβῶς καὶ στὴν περίπτωση τοῦ Μωϋσέως ἀπὸ σύγκριση γίνονταν τὰ θαύματα, ἔτσι λοιπὸν καὶ ἐδῶ. Ἦταν μαγεία, καὶ ὅμως αὐτὰ τὰ σημεῖα ἦταν φανερά, ἂν καὶ βέβαια δὲν ἔπρεπε νὰ ὑπάρχει ἐκεῖ κανένας δαιμονισμένος, ἐὰν βέβαια γι' ἀρκετὸ χρόνο ἔφερε αὐτοὺς ἐκτὸς ἑαυτῶν, μὲ τὶς μαγεῖες του· ἐφόσον ὅμως πολλοὶ ἦταν οἱ κυριευμένοι ἀπὸ τοὺς δαίμονες, πολλοὶ οἱ παράλυτοι, ἐκεῖνα δὲν ἦταν ἀληθινά. Ὁ Φίλιππος ὅμως ὄχι μόνο μὲ σημεῖα, ἀλλὰ καὶ μὲ τὸ λόγο τοὺς ὁδήγησε στὴν πίστη, διδάσκοντας γιὰ τὴ βασιλεία τοῦ Χριστοῦ. «Ὁ δὲ Σίμων», λέγει, «ἀφοῦ βαπτίσθηκε, παρέμεινε σταθερὰ κοντὰ στὸ Φίλιππο». Ὄχι ἐξ αἰτίας τῆς πίστεως, ἀλλ' ἔμεινε κοντά του, γιὰ νὰ γίνει σὰν τὸν Φίλιππο.

τος προσεκαρτέρει. «Οἱ δὲ καταβάντες, προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι Πνεῦμα ἅγιον· οὐδέπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός. Τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτούς, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον». Ὁρᾷς ὅτι οὐχ ἁπλῶς, ἀλλὰ πολλῆς ἔδει δυνάμεως, ὥστε δοῦναι Πνεῦμα ἅγιον; Οὐ γάρ ἐστιν ἴσον ἀφέσεως τυχεῖν, καὶ λαβεῖν δύναμιν τοιαύτην.

«Θεασάμενος δὲ Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν Ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα». Μὴ γὰρ τοὺς ἄλλους εἶδε τοῦτο ποιοῦντας; μὴ γὰρ Φίλιππον; μὴ γὰρ ἐνόμιζεν αὐτοὺς οὐκ εἰδέναι μεθ' οἵας διανοίας προσήει; Διὸ καλῶς Πέτρος καὶ δωρεὰν καλεῖ τὸ πρᾶγμα, λέγων· «Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι». Ὁρᾷς πανταχοῦ καθαροὺς αὐτοὺς χρημάτων ὄντας; «Οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ». Ὥστε ἀπὸ τῆς κακίας πάντα ἔπραττε, καὶ μὴν ἀφελῆ ἔδει εἶναι. «Μετανόησον οὖν· εἰς γὰρ χολὴν πικρίας, καὶ σύνδεσμον ἀδικίας θεωρῶ σε ὄντα». Πολλοῦ θυμοῦ τὰ ῥήματα. Οὐ κολάζει δὲ αὐτόν, ἵνα μὴ λοιπὸν ἀνάγκης ἡ πίστις ᾖ, ἵνα μὴ τὸ πρᾶγμα ὠμὸν εἶναι δόξῃ, ἵνα τὰ τῆς μετανοίας εἰσαγάγῃ, ἢ καὶ ὅτι ἤρκει εἰς διόρθωσιν τὸ ἐλέγξαι, τὸ τὰ ἐν τῇ καρδίᾳ εἰπεῖν, τὸ ἐκεῖνον ὁμολογῆσαι ὅτι ἑάλω· τῷ γὰρ εἰπεῖν ὅτι «δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ», τοῦτό ἐστιν ὁμολογοῦντος ὁμοῦ καὶ δεικνύντος. Ὅρα πῶς, καίτοι μιαρὸς ὤν, ὅμως, ὅτε ἠλέγχθη, τότε ἐπίστευσεν, ὥσπερ καὶ ταπεινὸς γέγονεν, ὅτε πάλιν ἠλέγχθη.

«Θεωρῶν σημεῖα γινόμενα, ἐξίστατο», δεικνὺς τὸ πᾶν

«Αὐτοὶ δὲ ἀφοῦ κατέβηκαν στὴ Σαμάρεια, προσευχήθηκαν γι' αὐτούς, γιὰ νὰ λάβουν τὸ ἅγιο Πνεῦμα· διότι δὲν εἶχε ἀκόμα αὐτὸ μεταδοθεῖ σὲ κανένα ἀπὸ αὐτούς. Τότε ἔθεταν τὰ χέρια τους ἐπάνω τους καὶ ἐλάμβαναν αὐτοὶ Πνεῦμα ἅγιο». Βλέπεις, ὅτι δὲν ἦταν εὔκολο, ἀλλ' ὅτι ἀπαιτοῦνταν μεγάλη δύναμη, γιὰ νὰ μεταδώσουν Πνεῦμα ἅγιο; Διότι δὲν εἶναι τὸ ἴδιο νὰ τύχεις ἀφέσεως ἁμαρτιῶν, καὶ νὰ λάβεις τέτοια δύναμη.

«Ὅταν δὲ εἶδε ὁ Σίμων, ὅτι μὲ τὴν ἐπίθεση τῶν χεριῶν τῶν Ἀποστόλων μεταδίδεται τό ἅγιο Πνεῦμα, πρόσφερε σ' αὐτοὺς χρήματα». Μήπως δηλαδὴ εἶδε τοὺς ἄλλους νὰ κάμνουν αὐτό; μήπως εἶδε τὸν Φίλιππο; μήπως νόμιζε ὅτι οἱ Ἀπόστολοι δὲν γνωρίζουν μὲ ποιὲς πονηρὲς σκέψεις προσερχόταν; Γι' αὐτὸ ὀρθὰ ὁ Πέτρος ὀνομάζει τὸ πράγμα δωρεά, λέγοντας· «Τὰ χρήματά σου μαζὶ μὲ σένα νὰ χαθοῦν, διότι νόμισες, ὅτι ἡ δωρεὰ τοῦ Θεοῦ ἀποκτᾶται μὲ χρήματα». Βλέπεις ὅτι αὐτοὶ παντοῦ εἶναι ἀπαλλαγμένοι ἀπὸ χρήματα; «Δὲν ὑπάρχει γιά σένα κανένα μερίδιο, οὔτε κληρονόμημα ἀπ' αὐτὰ γιὰ τὰ ὁποῖα γίνεται λόγος τώρα· διότι ἡ καρδιά σου δὲν εἶναι εὐθεία ἐνώπιον τοῦ Θεοῦ». Ὥστε ἀπὸ κακία τὰ ἔκαμνε ὅλα αὐτά, ἐνῶ ἔπρεπε νὰ εἶναι ἀπονήρευτος. «Μετανόησε λοιπόν, διότι σὲ βλέπω νὰ εἶσαι γεμάτος πικρὴ χολὴ καὶ σφικτὰ δεμένος ἀπὸ τὴν ἀδικία». Τὰ λόγια του εἶναι γεμάτα ἀπὸ μεγάλο θυμό. Δὲν τιμωρεῖ ὅμως αὐτόν, γιά νὰ μὴ εἶναι ἡ πίστη στὴ συνέχεια ἀποτέλεσμα ἀνάγκης, γιὰ νὰ μὴ φανεῖ τὸ πράγμα σκληρό, γιὰ νὰ ὁδηγήσει στὴ μετάνοια, ἢ διότι ἦταν ἀρκετὸς ὁ ἔλεγχος γιὰ τὴ διόρθωση, μὲ τὸ νὰ ἀποκαλύψει τὰ ὅσα εἶχε στὴν καρδιά του, μὲ τὸ νὰ ὁμολογήσει ἐκεῖνος ὅτι τὰ ὅσα σκεπτόταν ἀποκαλύφθηκαν· διότι μὲ τὸ νὰ πεῖ «παρακαλέσατε σεῖς γιὰ μένα τὸν Κύριο», αὐτὸ ἀποτελεῖ ὁμολογία καὶ συγχρόνως ἀπόδειξη αὐτοῦ. Πρόσεχε πῶς, ἂν καὶ εἶναι ἀχρεῖος, ὅμως ὅταν ἐλέγχθηκε τότε πίστευσε, ὅπως ἀκριβῶς καὶ ταπεινώθηκε, ὅταν πάλιν ἐλέγχθηκε.

«Ἐπειδὴ ὅμως ἔβλεπε ὅτι γίνονταν θαύματα ἦταν

ψεῦδος. Οὐ, 'προσῆλθεν', εἶπεν, ἀλλ' «ἐξίστατο». Καὶ τί δήποτε ἐκεῖνο εὐθὺς οὐ ποιεῖ; Ἐνόμιζε δύνασθαι λανθάνειν, ἐνόμιζε τέχνην εἶναι τὸ πρᾶγμα· ἐπειδὴ δὲ οὐκ ἴσχυσε λαθεῖν τοὺς Ἀποστόλους, προσῆλθε. «Πολλῶν γὰρ ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα φωνῇ μεγάλῃ, ἐξήρχετο». Τοῦτο τοῦ ἐξελθεῖν σημεῖον φανερόν, τὰ δὲ τῶν μάγων ἀπ' ἐναντίας· μᾶλλον γὰρ ἐκεῖνοι καὶ ἐδέσμουν. «Πολλοί τε παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν». Οὐκ ἦν ἐνταῦθα ἀπάτη· περιπατῆσαι γὰρ ἔδει καὶ ἐνεργῆσαι. «Προσεῖχον δὲ αὐτῷ πάντες, λέγοντες· Οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ». Ἐνταῦθα πληροῦται τὸ παρὰ τοῦ Χριστοῦ εἰρημένον· «Πολλοὶ ἐλεύσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται ἐπὶ τῷ ὀνόματί μου». Διὰ τί δὲ οὐκ εὐθέως αὐτὸν ἤλεγξαν; Ἠρκέσθησαν τῷ καταγνῶναι αὐτὸν ἑαυτοῦ· καὶ γὰρ καὶ τοῦτο διδασκαλίας ἦν. Ἐπειδὴ δὲ ἀντιστῆναι οὐκ ἴσχυσεν, ὑποκρίνεται ὥσπερ καὶ οἱ μάγοι, ὅτε ἔλεγον· «Τοῦτο δάκτυλός ἐστι Θεοῦ». Ἵνα δὲ μὴ καὶ ἀπελαθῇ πάλιν, διὰ τοῦτο καὶ προσεκαρτέρει τῷ Φιλίππῳ, καὶ οὐκ ἐχωρίζετο.

4. Σὺ δέ μοι σκόπει ὅσα οἰκονομεῖται διὰ τοῦ θανάτου τοῦ Στεφάνου. Διασπείρονται κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, εὐαγγελίζονται τὸν λόγον, κηρύσσουσι τὸν Χριστόν, σημεῖα ἐπιτελοῦσι, κατὰ μικρὸν λαμβάνουσι τὴν δωρεὰν οὗτοι. Τοῦτο διπλοῦν σημεῖον ἦν· τό τε γὰρ ἐκείνοις δοῦναι, τό τε τούτῳ μὴ δοῦναι σημεῖον μέγιστον ἦν. «Οἱ μὲν οὖν διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον τοῦ Κυρίου ὑπέστρεψαν εἰς Ἱεροσόλυμα, καὶ πολλὰς κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο». Καλῶς οὕτως εἶπε, «Διαμαρτυράμενοι»· δια-

6. Μάρκ. 13, 22.
7. Ἔξ. 8, 19.

κατάπληκτος»· ἀποδεικνύοντας ὅτι ὅλα ἦταν ψέματα. Δὲν εἶπε, «προσῆλθε', ἀλλὰ «ἔμενε κατάπληκτος». Καὶ γιατί τέλος πάντων δὲν κάμνει ἐκεῖνο ἀμέσως; Νόμιζε ὅτι μποροῦσε νὰ διαφύγει τὴν προσοχή, νόμιζε ὅτι ἡ ἀπόκτηση τοῦ ἁγίου Πνεύματος ἦταν ζήτημα τεχνικό' ἐπειδὴ ὅμως δὲν κατόρθωσε νὰ διαφύγει τὴν προσοχὴ τῶν Ἀποστόλων, προσῆλθε. «Διότι πολλοὶ ποὺ εἶχαν πνεύματα ἀκάθαρτα, ἔβγαιναν, ἀφοῦ ἔβγαζαν φωνὴ μεγάλη». Αὐτὸ τὸ σημεῖο, τὸ νὰ ἐξέρχονται δηλαδὴ ἀκάθαρτα πνεύματα, ἦταν φανερό, ἐνῶ μὲ τοὺς μάγους συνέβαινε τὸ ἀντίθετο' μᾶλλον δὲ ἐκεῖνοι καὶ τὰ δέσμευαν. «Πολλοὶ δὲ παράλυτοι καὶ χωλοὶ θεραπεύθηκαν». Ἐδῶ δὲν ὑπῆρχε ἀπάτη· διότι ἔπρεπε νὰ περπατήσουν καὶ νὰ ἐνεργήσουν. «Πρόσεχαν δὲ αὐτὸν ὅλοι καὶ ἔλεγαν' Αὐτὸς εἶναι ἡ μεγάλη δύναμη τοῦ Θεοῦ». Ἐδῶ πραγματοποιεῖται ἐκεῖνο ποὺ ἔχει λεχθεῖ ἀπὸ τὸ Χριστό' «Θὰ ἐμφανισθοῦν πολλοὶ ψευδομεσσίες καὶ ψευδοπροφῆτες ἐπικαλούμενοι τὸ ὄνομά μου»[6]. Γιατί δὲ δὲν ἔλεγξαν αὐτὸν ἀμέσως; Ἀρκέσθηκαν στὸ νὰ καταδικάσει ὁ ἴδιος τὸν ἑαυτό του' διότι καὶ αὐτὸ ἦταν τρόπος διδασκαλίας. Ἐπειδὴ δὲ δὲν μπόρεσε νὰ ἀντιδράσει, προσποιεῖται, ὅπως ἀκριβῶς καὶ οἱ μάγοι, ὅταν ἔλεγαν' «Αὐτὸ εἶναι δάκτυλος τοῦ Θεοῦ»[7]. Γιὰ νὰ μὴ ἐκδιωχθεῖ καὶ πάλι, γι' αὐτὸ καὶ παρέμεινε κοντὰ στὸ Φίλιππο καὶ δὲν ἀποχωριζόταν ἀπ' αὐτόν.

4. Σὺ δὲ σὲ παρακαλῶ σκέψου πόσα οἰκονομοῦνται μὲ τὸ θάνατο τοῦ Στέφανου. Διασκορπίζονται στὶς χῶρες τῆς Ἰουδαίας καὶ τῆς Σαμάρειας, κηρύττουν τὸ λόγο τοῦ Εὐαγγελίου, κηρύττουν τὸ Χριστό, ἐπιτελοῦν θαύματα, καὶ σιγὰ σιγὰ αὐτοὶ λαμβάνουν τὴ δωρεὰ τοῦ ἁγίου Πνεύματος. Τοῦτο ἦταν διπλὸ σημεῖο' καὶ τὸ ὅτι δηλαδὴ ἔγινε σ' ἐκείνους ἡ μετάδοση τῆς χάριτος, καὶ τὸ ὅτι δὲν ἔγινε σ' αὐτόν, ἦταν θαῦμα πάρα πολὺ μεγάλο. «Οἱ μὲν λοιπὸν Ἀπόστολοι, ἀφοῦ ἐπιβεβαίωσαν τὴ μαρτυρία τους γιὰ τὸν Ἰησοῦ καὶ κήρυξαν τὸ λόγο τοῦ Κυρίου, ἐπέστρεψαν στὰ Ἰεροσόλυμα, ἀφοῦ κήρυξαν τὸ Εὐαγγέλιο σὲ πολλὰ χωριὰ τῶν Σαμαρειτῶν». Ὀρθὰ εἶπε ἔτσι «διαμαρτυρόμε-

μαρτύρονται γὰρ ἴσως δι' αὐτόν, ἵνα μὴ ἀπατῶνται, ἵνα λοιπὸν ἐν ἀσφαλείᾳ ὦσιν, ἵνα μὴ ἐξ ἀπειρίας πολλάκις συναρπαγῶσιν. «Ὑπέστρεψαν εἰς Ἱεροσόλυμα». Διὰ τί πάλιν ἀπίασιν ἐκεῖ, ἔνθα ἡ τυραννὶς ἦν, ἔνθα ἡ ἀρχὴ τῶν κακῶν, ἔνθα οἱ μάλιστα φονῶντες; Καθάπερ ἐν τοῖς πολέμοις οἱ στρατηγοὶ ποιοῦσι, καὶ τὸ πονοῦν τοῦ πολέμου μέρος καταλαμβάνουσι, τὸ αὐτὸ καὶ οὗτοι ἐργάζονται. Ὅρα πάλιν οὐχὶ προηγουμένως ἐρχομένους εἰς Σαμάρειαν, ἀλλὰ διωκομένους τοὺς μαθητάς, ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ, καὶ τοὺς Ἀποστόλους πρὸς τοὺς πιστεύσαντας ἤδη τῶν Σαμαρειτῶν λοιπὸν ἐξαποστελλομένους. «Ἀκούσαντες δέ», φησίν, «οἱ ἐν Ἱεροσολύμοις Ἀπόστολοι, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην».

Τί δήποτε ἀποστέλλονται; Ὥστε ἀπαλλάξαι μαγείας αὐτούς, ὥστε τῆς διδαχῆς ἀναμνῆσαι, ἣν παρὰ Χριστοῦ ἔμαθον, ὅτε πρῶτον ἐπίστευσαν. Δέον οὖν τοὐναντίον αἰτῆσαι, ἵνα λάβῃ Πνεῦμα ἅγιον, ὁ δέ, ἐπειδὴ οὐκ ἔμελλεν αὐτῷ τούτου, ἵνα διδῷ ἑτέροις αἰτεῖ· καίτοι ἐκεῖνοι οὐκ ἔλαβον τοῦτο, ὥστε διδόναι, ἀλλ' ἤθελεν οὗτος Φιλίππου γενέσθαι λαμπρότερος, ὁ ἐν τοῖς μαθηταῖς ὤν. «Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν». Οὐκ ἐπαρωμένου ταῦτά ἐστιν, ἀλλὰ παιδεύοντος· ἐπειδὴ γὰρ εἰς δέον αὐτῷ οὐκ ἐχρήσατο, 'σοί', φησίν, 'ἔστω τῷ τοιούτῳ'. Ὡς ἂν εἴποι τις· 'Συναπόλοιτο μετὰ τῆς προαιρέσεώς σου, ὅτι οὕτω μικρὰ φρονεῖς περὶ τῆς δωρεᾶς τοῦ Θεοῦ, ὅτι προσεδόκησας ὅλως ἀνθρώπινον εἶναι τὸ πρᾶγμα· οὐκ ἔστι τοῦτο'. Εἰ γοῦν προσῆλθεν, ὡς ἔδει προσελθεῖν, κἂν ἀπεδέχθη, κἂν ὡς λοιμὸς οὐκ ἠλάθη. Ὁρᾷς ὅτι ὁ μικρὰ περὶ

νοι». Διότι ἐπιβεβαιώνουν γι' αὐτὸν μὲ τὴ μετάδοση τῆς χάριτος, γιὰ νὰ μὴ ἀπατοῦνται, γιὰ νὰ εἶναι πλέον ἀσφαλεῖς, γιὰ νὰ μὴ παρασύρονται πολλὲς φορὲς ἀπὸ ἀπειρία. «Ἐπέστρεψαν δὲ στὰ Ἱεροσόλυμα». Γιατί πάλι γυρίζουν ἐκεῖ, ὅπου ὑπῆρχε ἡ τυραννία, ὅπου ἔγινε ἡ ἀρχὴ τῶν κακῶν, ὅπου ὑπῆρχαν οἱ μεγαλύτεροι φονιάδες; Ὅπως ἀκριβῶς κάμνουν οἱ στρατηγοὶ στούς πολέμους καὶ καταλαμβάνουν τὸ πλέον ἐπικίνδυνο μέρος τοῦ μετώπου, τὸ ἴδιο καὶ αὐτοὶ κάνουν. Πρόσεχε πάλι ὅτι δὲν ἔρχονται οἱ μαθητὲς προηγουμένως στὴ Σαμάρεια, ἀλλ' ἀφοῦ διώκονται, ὅπως συνέβηκε καὶ ἐπὶ τοῦ Χριστοῦ, καὶ οἱ Ἀπόστολοι ἀποστέλλονται στὴν συνέχεια στοὺς Σαμαρεῖτες ποὺ εἶχαν ἤδη πιστεύσει· διότι λέγει· «Ὅταν δὲ ἄκουσαν οἱ Ἀπόστολοι ποὺ ἦταν στὰ Ἱεροσόλυμα, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν Πέτρο καὶ τὸν Ἰωάννη».

Γιατὶ τέλος πάντων ἀποστέλλονται; Γιὰ νὰ τοὺς ἀπαλλάξουν ἀπὸ τὴ μαγεία, γιὰ νὰ τοὺς ὑπενθυμίσουν τὴ διδασκαλία, τὴν ὁποία ἔλαβαν ἀπὸ τὸ Χριστό, ὅταν γιὰ πρώτη φορὰ πίστευσαν. Ἐνῶ λοιπὸν ἔπρεπε τὸ ἀντίθετο νὰ ζητήσει, νὰ λάβει Πνεῦμα ἅγιο, αὐτὸς ὅμως, ἐπειδὴ δὲν ἐνδιαφερόταν ὁ ἴδιος γι' αὐτό, ζητεῖ ἀπὸ τοὺς Ἀποστόλους νὰ τοῦ δώσουν τὴν ἱκανότητα νὰ τὸ μεταδίδει σὲ ἄλλους. Ἂν καὶ βέβαια ἐκεῖνοι δὲν ἔλαβαν Αὐτό, γιὰ νὰ τὸ μεταδίδουν, ἀλλ' αὐτὸς ἤθελε νὰ γίνει λαμπρότερος ἀπὸ τὸν Φίλιππο, ποὺ ἦταν ἕνας ἀπὸ τούς μαθητές. «Τὰ χρήματά σου μαζὶ μὲ σένα νὰ χαθοῦν». Τὰ λόγια αὐτὰ δὲν εἶναι λόγια ἀνθρώπου ποὺ καταριέται, ἀλλὰ ἀνθρώπου ποὺ παιδαγωγεῖ. Ἐπειδὴ δηλαδὴ δὲν χρησιμοποίησε τὰ χρήματα αὐτὰ ὅπως ἔπρεπε, 'ἂς ἔχουν', λέγει, 'τὴν ἴδια τύχη μὲ σένα'. Ὅπως θὰ μποροῦσε κάποιος νὰ πεῖ' 'ἂς χαθοῦν μαζὶ μὲ τὸ σκοπό σου, διότι τόσο μικρὴ ἰδέα ἔχεις γιὰ τὴ δωρεὰ τοῦ Θεοῦ, ἀφοῦ θεώρησες, ὅτι αὐτὸ τὸ πράγμα εἶναι τελείως ἀνθρώπινο' αὐτὸ ὅμως δὲν εἶναι ἔτσι'. Ἐὰν λοιπὸν προσερχόταν ὅπως ἔπρεπε νὰ προσέλθει καὶ δεκτὸς θὰ γινόταν καὶ δὲν θὰ ἐκδιωκόταν σὰν μολυσματικὴ ἀρρώστια. Βλέπεις, ὅτι ἐκεῖνος ποὺ ἔχει μι-

μεγάλων φανταζόμενος διπλᾶ ἁμαρτάνει; Δύο τοίνυν αὐτῷ κελεύει· «Μετανόησον καὶ δεήθητι, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου». Οὕτως ἦν ἐπινοήσας τι πονηρόν. Διὰ τοῦτο καὶ εἶπεν, «Εἰ ἄρα ἀφεθήσεταί σοι», ὅτι ᾔδει ἀδιόρθωτον ὄντα. Ὁ δὲ πάλιν δέδοικε τὸ πλῆθος, καὶ φοβεῖται ἀρνήσασθαι· καίτοι, εἰ μὴ ἐθορυβήθη, εἶπεν ἂν ὅτι 'οὐκ ᾔδειν ὅτι ἀφελῶς ἐποίησα»· ἀλλ' ἐξεπλάγη, πρώτῳ μὲν ἐκείνῳ, ὅτι ἑάλω τοῖς σημείοις, δευτέρῳ δὲ τούτῳ, τῷ τὰ ἐν τῇ διανοίᾳ αὐτοῦ φανερὰ γενέσθαι. Διὰ τοῦτο μακρὰν καὶ ἀπήει λοιπὸν εἰς τὴν Ῥώμην, ὡς οὐ φθάνοντος ἐκεῖ τοῦ Ἀποστόλου.

«Πολλάς τε», φησί, «κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο». Ὅρα πῶς καὶ αἱ ὁδοὶ αὐτοῖς ἔμπρακτοι ἦσαν· ἀλλ' οὐχὶ ἁπλῶς ἐποιοῦντο αὐτάς. Τοιαύτας καὶ ἡμᾶς ἀποδημίας ἔδει ποιεῖσθαι. Καὶ τί λέγω ἀποδημίας; Πολλοὶ κώμας ἔχουσι καὶ χωρία, καὶ οὐ μέλει αὐτοῖς, οὐδὲ ποιοῦνταί τινα λόγον, ἀλλά, ὅπως μὲν βαλανεῖον γένοιτο, καὶ ὅπως τὰ τιμήματα ἐπιταθείη, καὶ ὅπως αὐλαί, καὶ ὅπως οἰκοδομήματα κατασκευασθείη, πολλὴν σπουδὴν ποιοῦνται, ὅπως δὲ ψυχαὶ γεωργηθεῖεν, οὐκέτι. Καὶ σὺ μέν, ἂν ἀκάνθας παρὰ τὴν ἄρουραν ἴδῃς, τέμνεις, καίεις, ἀφανίζεις, ὥστε τὴν γῆν ἀπαλλάξαι τῆς ἐντεῦθεν λύμης, ὁρῶν αὐτοὺς δὲ τοὺς γεωργοὺς ἀκανθῶν γέμοντας, καὶ οὐκ ἐκτέμνων, οὐ δέδοικας καὶ φρίττεις, εἰπέ μοι, τὸν μέλλοντά σε καὶ ὑπὲρ τούτων ἀπαιτεῖν λόγον; Οὐ γὰρ ἐχρῆν ἕκαστον τῶν πιστῶν ἐκκλησίαν οἰκοδομεῖν, διδάσκαλον λαμβάνειν πρὸς τὸ συναίρεσθαι, πρὸ πάντων τοῦτο σκοπεῖν, ὅπως ἅπαντες εἶεν Χριστιανοί; Πῶς, εἰπέ μοι, Χριστιανὸς ἔσται ὁ γεωργός, ὁρῶν σὲ οὕτως ἀμελοῦντα τῆς αὐτοῦ σωτηρίας; Οὐ δύνασαι ποιῆσαι σημεῖα καὶ πεῖσαι; Οἷς ἔχεις πεῖσον, φιλανθρωπίᾳ, προστασίᾳ, ἡμερότη-

κρὴ ἰδέα γιὰ μεγάλα πράγματα, ἁμαρτάνει διπλά; Δύο λοιπὸν ἐντολὲς δίνει σ' αὐτόν· «μετανόησε καὶ προσευχήσου, μήπως σοῦ συγχωρηθεῖ ἡ σκέψη αὐτὴ τῆς καρδιᾶς σου». Τέτοια κακὴ σκέψη εἶχε κάνει αὐτός. Γι' αὐτὸ καὶ εἶπε, «Μήπως λοιπὸν σοῦ συγχωρηθεῖ», διότι γνώριζε ὅτι ἦταν ἀδιόρθωτος. Ἐκεῖνος δὲ πάλι φοβήθηκε τὸ πλῆθος καὶ φοβᾶται νὰ ἀρνηθεῖ· ἂν καὶ βέβαια, ἂν δὲν ἀνησυχοῦσε θὰ μποροῦσε νὰ πεῖ, 'δὲν τὸ γνώριζα, ὅτι τὸ ἔκαμα ἀπὸ ἀφέλεια', ὅμως ἐξεπλάγη, πρῶτα μὲν μὲ ἐκεῖνο, ὅτι ἔγινε ἀντιληπτὸς μὲ τὰ σημεῖα, δεύτερο δὲ μὲ αὐτό, μὲ τὸ ὅτι ἀποκαλύφθηκαν οἱ σκέψεις του. Γι' αὐτὸ καὶ ἔφυγε κατόπιν μακριὰ στὴ Ρώμη, νομίζοντας ὅτι δὲν θὰ φθάσει ἐκεῖ ὁ Ἀπόστολος.

«Καὶ σὲ πολλά», λέγει, «χωριὰ τῶν Σαμαρειτῶν κήρυξαν τὸ Εὐαγγέλιο». Βλέπε, πῶς καὶ οἱ ὁδοιπορίες τους συνοδεύονταν ἀπὸ ἔργα. Ἀλλὰ δὲν ἔκαμναν αὐτὲς τυχαῖα. Τέτοιες ἀποδημίες ἔπρεπε καὶ ἐμεῖς νὰ κάμνουμε. Καὶ γιατί λέγω ἀποδημίες; Πολλοὶ ἔχουν χωριὰ καὶ κτήματα καὶ δὲν τοὺς ἐνδιαφέρει, οὔτε κάμνουν λόγο γιὰ τίποτε ἄλλο, παρὰ καταβάλλουν πολλὴ προσπάθεια πῶς θὰ γίνει τὸ λουτρό, πῶς θ' αὐξηθοῦν τὰ εἰσοδήματα, πῶς θὰ κατασκευασθοῦν οἱ αὐλὲς καὶ τὰ οἰκοδομήματα· πῶς δὲ θὰ καλλιεργηθοῦν οἱ ψυχές, καθόλου δὲν ἐνδιαφέρονται. Καὶ σὺ μέν, ἂν δεῖς ἀγκάθια στὸ χωράφι, τὰ κόβεις, τὰ καίεις, καὶ τὰ ἐξαφανίζεις, ὥστε νὰ ἀπαλλάξεις τὴ γῆ ἀπὸ τὴ βλάβη ἀπ' αὐτά, βλέποντας δὲ τοὺς ἴδιους τοὺς γεωργούς, νὰ εἶναι γεμάτοι ἀπὸ ἀγκάθια καὶ μὴ κόβοντας αὐτά, πές μου, δὲν φοβᾶσαι καὶ δὲν τρέμεις αὐτὸν ποὺ πρόκειται νὰ σοῦ ζητήσει λόγο γι' αὐτούς; Δὲν ἔπρεπε δηλαδὴ ὁ καθένας ἀπὸ τοὺς πιστοὺς νὰ οἰκοδομήσει ἐκκλησία, νὰ λαμβάνει διδάσκαλο γιὰ νὰ τὸν βοηθεῖ, καὶ κυρίως αὐτό, νὰ σκέπτεται πῶς δηλαδὴ ὅλοι νὰ εἶναι χριστιανοί; Πές μου, πῶς θὰ εἶναι χριστιανὸς ὁ γεωργός, βλέποντας ἐσένα ν' ἀδιαφορεῖς γιὰ τὴ σωτηρία σου; Δὲν μπορεῖς νὰ κάνεις θαύματα καὶ νὰ τὸν πείσεις; Μὲ αὐτὰ ποὺ ἔχεις νὰ τὸν πείσεις, μὲ τὴ φιλανθρωπία, μὲ

τι, κολακείᾳ, τοῖς ἄλλοις ἅπασι. Καὶ ἀγορὰς μὲν καὶ βαλανεῖα ποιοῦσιν οἱ πολλοί, ἐκκλησίας δὲ οὐχί· καὶ πάντα μᾶλλον, ἢ τοῦτο. Διὸ παρακαλῶ, καὶ ἀντιβολῶ, καὶ χάριν αἰτῶ, μᾶλλον δὲ καὶ νόμον τίθημι, ὥστε μηδένα ὀφθῆναι ἔρημον ἐκκλησίας χωρίον ἔχοντα. Μή μοι εἴπῃς, Ἡλησίον ἐστίν, ἐκ γειτόνων ἐστί· πολλή ἐστιν ἡ δαπάνη, οὐ πολλὴ ἡ πρόσοδος. Εἴ τι ἔχεις εἰς πένητας ἀναλῶσαι, ἐκεῖ ἀνάλωσον· βέλτιον ἐκεῖ, ἢ ἐνταῦθα· θρέψον διδάσκαλον, θρέψον διάκονον καὶ ἱερατικὸν σύστημα. Ὡσανεὶ γυναῖκα ἀγαγὼν ἢ νύμφην, ἢ δοὺς θυγατέρα, οὕτω Ἐκκλησίᾳ διάκεισο· προῖκα ἐπίδος αὐτῇ. Οὕτω σοι εὐλογίας τὸ χωρίον πληρωθήσεται· τί γὰρ οὐκ ἔσται ἐκεῖ τῶν ἀγαθῶν; μικρόν, εἰπέ μοι, τὸν ληνὸν εὐλογεῖσθαι; μικρόν, ἐξ ὅλων τῶν καρπῶν τῶν σῶν τὸν Θεὸν πρότερον ἀπόμοιραν καὶ ἀπαρχὰς λαμβάνειν; Πρὸς εἰρήνην τῶν γεωργούντων τοῦτο χρήσιμον. Αἰδέσιμος ἔσται καὶ ὁ πρεσβύτερος λοιπόν, καὶ πρὸς ἀσφάλειαν τοῦ χωρίου συμβαλεῖται τοῦτο. Εὐχαὶ ἐκεῖ διηνεκεῖς διὰ σέ, ὕμνοι καὶ συνάξεις διὰ σέ, προσφορὰ καθ' ἑκάστην Κυριακήν. Οἷόν ἐστιν εἰς θαῦμα μεῖζον, τοῦ τάφους μὲν ἑτέρους οἰκοδομῆσαι λαμπρούς, ἵνα οἱ μετὰ ταῦτα ἀκούωσιν ὅτι ὁ δεῖνα ᾠκοδόμησε, σὲ δὲ ἐκκλησίας ἀναστῆσαι! Ἐννόησον ὅτι μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας σὺ τὸν μισθὸν ἕξεις, ὁ ἀναστήσας θυσιαστήριον τοῦ Θεοῦ.

5. Εἰπὲ γάρ μοι, εἰ βασιλεύς σοι ἐκέλευσεν οἰκοδομῆσαι οἰκίαν, ἵνα ἐκεῖ καταλύοι, οὐκ ἂν πάντα ἐποίησας; Νῦν οὖν βασίλειά ἐστι τοῦ Χριστοῦ τῆς ἐκκλησίας ἡ οἰκοδομή. Μὴ τὸ ἀνάλωμα ἴδῃς, ἀλλὰ τὸν καρπὸν λόγισαι· γεωργοῦσιν ἐκεῖνοι τὴν γῆν, σὺ γεώργησον αὐτῶν τὰς ψυχάς· φέρουσί σοι καρποὺς ἐκεῖνοι, σὺ εἰς τὸν οὐρανὸν αὐτοὺς ἀνάγαγε. Ὁ τὴν ἀρ-

τὴν προστασία, μὲ τὴν ἡμερότητα, μὲ τὸ καλόπιασμα καὶ μὲ ὅλα τὰ ἄλλα. Καὶ πολλοὶ μὲν κάμνουν ἀγορὲς καὶ λουτρά, ὄχι ὅμως καὶ ἐκκλησίες· καὶ ὅλα βέβαια τὰ κάμνουν, παρὰ αὐτό. Γι' αὐτὸ παρακαλῶ καὶ ἱκετεύω καὶ χάρη ζητῶ, μᾶλλον δὲ καὶ νόμο ὁρίζω, ὥστε κανένας νὰ μὴ παρουσιασθεῖ νὰ ἔχει χωριὸ χωρὶς ἐκκλησία. Μὴ μοῦ πεῖς, 'ὑπάρχει πλησίον, ὑπάρχει σὲ γειτονικὸ μέρος'· εἶναι μεγάλη ἡ δαπάνη καὶ δὲν εἶναι πολλὰ τὰ ἔσοδα. Ἐὰν ἔχεις κάτι νὰ ξοδέψεις γιὰ τοὺς φτωχούς, νὰ τὰ ξοδέψεις ἐκεῖ· εἶναι καλύτερα ἐκεῖ, παρὰ ἐδῶ· θρέψε διδάσκαλο, θρέψε διάκονο καὶ ἱερατεῖο. Ὅπως συμπεριφέρεσαι ὅταν λαμβάνεις γυναίκα, ἢ νύφη ἢ δίνεις θυγατέρα, ἔτσι πρέπει νὰ φέρεσαι καὶ πρὸς τὴν ἐκκλησία· δῶσε δωρεὰ σ' αὐτήν. Ἔτσι τὸ χωριὸ ὅπου μένεις, θὰ γεμίσει ἀπὸ εὐλογία. Διότι ποιὸ ἀπὸ τὰ ἀγαθὰ δὲν θὰ ὑπάρχει ἐκεῖ; Πές μου, εἶναι λίγο νὰ εὐλογεῖται ὁ ληνός; εἶναι λίγο νὰ λαμβάνει ἀπ' ὅλους τοὺς καρποὺς σου πρῶτος ὁ Θεὸς μερίδιο καὶ προσφορὲς ἀπὸ τοὺς πρώτους καρπούς; Αὐτὸ εἶναι χρήσιμο γιὰ τὴν εἰρήνη τῶν γεωργῶν. Σεβαστὸς θὰ εἶναι πλέον καὶ ὁ πρεσβύτερος καὶ αὐτὸ θὰ συμβάλει στὴν ἀσφάλεια τοῦ χωριοῦ. Εὐχὲς συνεχεῖς ἐκεῖ θὰ γίνονται γιὰ σένα, ὕμνοι θὰ ἀναπέμπονται γιὰ σένα καὶ συνάξεις θὰ γίνονται, προσφορὰ κάθε Κυριακή. Πόσο πιὸ ἀξιοθαύμαστο εἶναι τὸ νὰ ἀνεγείρεις ἐκκλησίες ἀπὸ τὸ νὰ ἀνοικοδομήσουν ἄλλοι λαμπροὺς τάφους, γιὰ νὰ ἀκούουν οἱ μεταγενέστεροι ὅτι ὁ τάδε ἀνοικοδόμησε αὐτούς. Σκέψου ὅτι μέχρι τὴν παρουσία τοῦ Χριστοῦ θὰ ἔχεις τὸ μισθό, σύ, ποὺ ἀνήγειρες θυσιαστήριο τοῦ Θεοῦ.

5. Πές μου λοιπόν, ἂν σὲ διέτασσε βασιλιὰς νὰ οἰκοδομήσεις οἰκία, γιὰ νὰ καταλύει ἐκεῖ, δὲν θὰ ἔκαμες τὰ πάντα; Τώρα λοιπόν, ἡ οἰκοδομὴ τῆς ἐκκλησίας εἶναι ἀνάκτορα τοῦ Χριστοῦ. Νὰ μὴ βλέπεις τὴ δαπάνη, ἀλλὰ νὰ ἀναλογίζεσαι τὸν καρπό· καλλιεργοῦν ἐκεῖνοι τὴ γῆ, σὺ νὰ καλλιεργεῖς τὶς ψυχές τους· ἐκεῖνοι σοῦ φέρνουν τοὺς καρπούς, σὺ ἀνύψωσε αὐτοὺς στὸν οὐρανό. Ἐκεῖνος ποὺ δίνει τὴν ἀρχή, αὐτὸς εἶναι καὶ αἴτιος γιὰ ὅλα τὰ

χὴν δούς, οὗτος καὶ τῶν ἄλλων αἴτιος πάντων. Ἄρα καὶ σὺ αἴτιος ἔσῃ τῶν κατηχουμένων ἐκεῖ, τῶν ἐν τοῖς χωρίοις τοῖς πλησίον· καίτοι τὰ μὲν βαλανεῖα μαλακωτέρους ποιεῖ τοὺς γεωργούς, τὰ καπηλεῖα τρυφηλοτέρους, ἀλλ' ὅμως ποιεῖτε ταῦτα διὰ δόξαν. Αἱ ἀγοραὶ καὶ αἱ πανηγύρεις πάλιν ἰταμούς, τὰ δὲ ἐνταῦθα πᾶν τοὐναντίον. Ἡλίκον γάρ ἐστιν ἰδεῖν πρεσβύτερον εἰς εἰκόνα βαδίζοντα τοῦ Ἀβραάμ, πολιόν, ἀνεζωσμένον καὶ σκάπτοντα καὶ αὐτουργοῦντα! Τί τοῦ ἀγροῦ ποθεινότερον ἐκείνου; Ἐνταῦθα μείζων ἡ ἀρετή. Οὐκ ἔστιν ἀσέλγεια ἐκεῖ, ἀλλ' ἀπελήλαται· οὐκ ἔστι μέθη καὶ τρυφή, ἀλλ' ἐξώρισται· οὐκ ἔστι κενοδοξία, ἀλλ' ἔσβεσται· τὸ τῆς εὐνοίας πλέον ἐκεῖ διαλάμπει διὰ τὴν ἀφέλειαν. Οἷόν ἐστιν ἀπελθεῖν καὶ εἰσελθεῖν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ εἰδέναι ὅτι αὐτὸς αὐτὸν ᾠκοδόμησε, καὶ ῥῖψαι ἑαυτὸν ὕπτιον, καὶ μετὰ τὴν αἰώραν τὴν σωματικὴν καὶ λυχνικοῖς καὶ ἑωθινοῖς ὕμνοις παραγενέσθαι, ὁμοτράπεζον ἔχειν τὸν ἱερέα, συνομιλοῦντα εὐλογίας ἀπολαύειν, ἑτέρους ὁρᾶν ἐρχομένους ἐκεῖ; Τοῦτο τεῖχος, τοῦτο ἀσφάλεια ἀγροῦ. Οὗτός ἐστιν ὁ ἀγρός, περὶ οὗ φησιν· «Ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐλόγησε Κύριος». Εἰ καὶ χωρὶς τούτου καλὸς ὁ ἀγρὸς διὰ τὴν ἡσυχίαν, διὰ τὸ ἀπραγμοσύνης γέμειν„ ὅταν καὶ τοῦτο ἔχῃ, τίνι οὐκ ἔστι ἴσος; Ἀγρὸς γάρ, ἐκκλησίαν ἔχων, τῷ παραδείσῳ ἔοικε τοῦ Θεοῦ.

Οὐκ ἔστιν ἐκεῖ κραυγή, οὐκ ἔστι θόρυβος, οὐκ ἐχθροὶ διάφοροι, οὐχ αἱρέσεις· πάντας φίλους ἔστιν ἰδεῖν, τῶν αὐτῶν δογμάτων κοινωνούς. Ἄγει σε εἰς φιλοσοφίαν ἡ ἡσυχία· λαβών σε ἀπὸ τῆς φιλοσοφίας ταύτης ὁ πρεσβύτερος θεραπεύσει εὐκόλως. Ἐνταῦθα μὲν γάρ, ὅσα ἐὰν λέγωμεν, ἡ ἀγορὰ ἐκκρούει, ἐκεῖ δέ, ἅπερ ἂν ἀκούσῃς, πεπηγότα ἕξεις ἐν

---

8. Ἐδῶ πρόκειται γιὰ τὴν ἐπιτέλεση τῶν ἱερατικῶν καθηκόντων καὶ ἀναφέρεται στὴν πνευματικὴ ἐργασία καὶ κοινωνικὴ προσφορὰ τοῦ κληρικοῦ.

9. Γεν. 27, 27.

ἄλλα. Ἄρα καὶ σὺ θὰ εἶσαι αἴτιος τῶν κατηχουμένων ἐκεῖ ἀπὸ τὰ γειτονικὰ χωριά· ἂν καὶ βέβαια τὰ μὲν λουτρὰ κάμνουν τοὺς γεωργοὺς πιὸ μαλθακούς, τὰ δὲ καπηλεῖα πιὸ τρυφηλούς, ἀλλ' ὅμως κάμνετε αὐτὰ γιὰ δόξα. Οἱ ἀγορὲς καὶ οἱ πανηγύρεις κάμνουν πάλι αὐτοὺς ἀδιάντροπους, τὰ δὲ λεγόμενα στὶς ἐκκλησίες ἔχουν τελείως ἀντίθετα ἀποτελέσματα. Ἀλήθεια πόσο σπουδαῖο εἶναι νὰ βλέπεις πρεσβύτερο νὰ βαδίζει σὰν τὸν Ἀβραάμ, ὁλόλευκο, νὰ εἶναι περιζωσμένος καὶ νὰ σκάβει καὶ νὰ ἐργάζεται[8]; Ποιὸ πράγμα εἶναι πιὸ ποθητὸ ἀπὸ ἐκεῖνον τὸν ἀγρό; Ἐδῶ ἡ ἀρετὴ εἶναι μεγαλύτερη. Δὲν ὑπάρχει ἐκεῖ αἰσχρότητα, ἀλλ' ἔχει ἐκδιωχθεῖ· δὲν ὑπάρχει μέθη καὶ τρυφή, ἀλλ' ἔχει ἐξορισθεῖ· δὲν ὑπάρχει κενοδοξία, ἀλλ' ἔχει σβησθεῖ· ἐκεῖ διαλάμπει περισσότερο ἡ ἀγάπη τοῦ Θεοῦ ἐξ αἰτίας τῆς ἁπλότητας. Πόσο σπουδαῖο εἶναι νὰ ἐξέρχεσαι καὶ νὰ εἰσέρχεσαι στὸν οἶκο τοῦ Θεοῦ καὶ νὰ γνωρίζεις ὅτι Αὐτὸς οἰκοδόμησε αὐτὸν καὶ νὰ κατακληθεῖς καὶ μετὰ τὴ σωματικὴ ἀνάπαυση νὰ παραβρεθεῖς καὶ σὲ νυκτερινοὺς καὶ σὲ ἑωθινοὺς ὕμνους, νὰ ἔχεις ὁμοτράπεζο τὸν ἱερέα, συνομιλώντας νὰ ἀπολαμβάνεις τὶς εὐλογίες, καὶ νὰ βλέπεις ἄλλους νὰ ἔρχονται ἐκεῖ; Τοῦτο εἶναι τεῖχος, αὐτὸ ἀσφάλεια τοῦ ἀγροῦ. Αὐτὸς εἶναι ὁ ἀγρός, γιὰ τὸν ὁποῖο λέγει· «Ὀσμὴ ἀγροῦ ὁλόκαρπου, τὸν ὁποῖο εὐλόγησε ὁ Κύριος»[9]. Ἂν καὶ χωρὶς τὸ ναὸ εἶναι καλὸς ὁ ἀγρὸς ἐξ αἰτίας τῆς ἡσυχίας ποὺ ἔχει, ἐξ αἰτίας τῆς ἀπραγμοσύνης ποὺ ὑπάρχει ἐκεῖ, ὅταν ὅμως ἔχει καὶ τὸ ναό, μὲ τί δὲν θὰ εἶναι ἴσος; Διότι ἀγρός, ποὺ ἔχει ἐκκλησία, μοιάζει μὲ τὸν παράδεισο τοῦ Θεοῦ.

Δὲν ὑπάρχει ἐκεῖ κραυγή, δὲν ὑπάρχει θόρυβος, δὲν ὑπάρχουν διάφοροι ἐχθροί, δὲν ὑπάρχουν αἱρέσεις· εἶναι δυνατὸ νὰ τοὺς δεῖς ὅλους φίλους, νὰ συμμετέχουν στὰ ἴδια δόγματα. Ἡ ἡσυχία σὲ ὁδηγεῖ σὲ φιλοσοφία· ἀφοῦ σὲ παραλάβει ἀπὸ τὴ φιλοσοφία αὐτὴ ὁ πρεσβύτερος, θὰ σὲ φροντίσει εὔκολα. Διότι ἐδῶ μέν, ὅσα καὶ ἂν λέμε, ἡ ἀγορὰ τὰ ἀπορρίπτει, ἐκεῖ δέ, αὐτὰ ποὺ θὰ ἀκούσεις, θὰ τὰ στερεώσεις στὴ σκέψη σου, καὶ στὸν ἀγρὸ θὰ γίνεις

τῇ διανοίᾳ, ἕτερος ἐν τῷ ἀγρῷ ἔσῃ δι' ἐκείνου· καὶ ἐκείνων δὲ προστήσεται, καὶ ἔσται φύλαξ τῷ τε παρεῖναι, τῷ τε ρυθμίζειν αὐτούς. Πόσον δέ ἐστι καὶ τὸ ἀνάλωμα; εἰπέ μοι. Ποίησον τέως μικρὸν οἶκον ἐν τάξει ναοῦ, ὁ μετὰ σὲ ποιήσει στοάν, ὁ μετ' ἐκεῖνον ἕτερα προσθήσει, καὶ οὕτω σοὶ λογισθήσεται τὸ πᾶν. Σὺ δίδως μικρόν, καὶ τοῦ παντὸς λαμβάνεις τὸν μισθόν. Οὐκοῦν ἀρχὴν ἐπίθες, θεμέλιον κατάβαλε· μᾶλλον δὲ ἀλλήλους παρακαλέσατε, ἅμιλλαν ποιήσασθε τοῦ πράγματος. Νῦν δέ, ἔνθα μὲν ἄχυρα καὶ σῖτον καὶ πάντα τὰ τοιαῦτα ἀποθέσθαι δεῖ, εὐκόλως οἰκοδομοῦσιν, ἔνθα δὲ συλλεγῆναι χρὴ ψυχῶν γενήματα, οὐδαμῶς φροντίζουσιν, ἀλλ' ἀναγκάζονται μυρίους σταδίους βαδίζειν, καὶ μακρὰς ἀποδημίας στέλλεσθαι, ἵνα εἰς ἐκκλησίαν ἀπίωσιν. Ὅσον δέ ἐστιν ἀγαθὸν μετὰ πολλῆς ἡσυχίας ἐν τῇ ἐκκλησίᾳ τὸν ἱερέα παραγίνεσθαι, ἵνα προσίῃ τῷ Θεῷ, καὶ λέγῃ ὑπὲρ τῆς κώμης καθ' ἑκάστην ἡμέραν, ὑπὲρ τοῦ κεκτημένου! Μικρόν ἐστιν εἰπέ μοι, τὸ καὶ ἐν ταῖς ἁγίαις ἀναφοραῖς ἀεὶ τὸ ὄνομά σου ἐγκεῖσθαι, καὶ καθ' ἑκάστην ἡμέραν ὑπὲρ τῆς κώμης εὐχὰς γίνεσθαι πρὸς τὸν Θεόν; πόσον σοι καὶ εἰς τὰ ἄλλα τοῦτο λυσιτελεῖ! Συμβαίνει τινὰς ἐκ γειτόνων οἰκεῖν καὶ ἔχειν ἐπιτρόπους· πρὸς σὲ μὲν οὖν τὸν πένητα οὐκ ἀξιώσει τις ἐκείνων οὐδὲ ἐλθεῖν, τὸν δὲ πρεσβύτερον ἴσως καὶ καλέσει καὶ τραπέζης κοινωνὸν ποιήσει.

Ὁρᾷς πόσα ἐντεῦθεν γενήσεται καλά; Πάσης ἔσται τέως ἡ κώμη πονηρᾶς ὑποψίας ἐλευθέρα· οὐδεὶς ἀνδροφονίας, οὐδεὶς κλοπῆς ἕνεκεν ἐγκαλέσει, οὐδεὶς τοιοῦτον οὐδὲν ὑποπτεύσει. Ἔχουσι καὶ ἑτέραν παραμυθίαν, ἂν νόσος παρακολουθήσῃ, ἂν θάνατος. Οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε καὶ αἱ φιλίαι γίνονται τῶν ἐκεῖ παρ' ἀλλήλοις ἰόντων· καὶ αἱ σύνο-

μὲ ἐκεῖνον τὸν πρεσβύτερο ἄλλος ἄνθρωπος· καὶ ἐκεῖνος θὰ εἶναι ἐπικεφαλῆς ἐκείνων τῶν γεωργῶν, καὶ θὰ εἶναι φύλακας, καὶ μὲ τὸ νὰ παρευρίσκεται καὶ μὲ τό νὰ διευθετεῖ τὶς διαφορὲς μεταξύ τους. Πόση δὲ θὰ εἶναι καὶ ἡ δαπάνη, πές μου; κατασκεύασε κατ᾽ ἀρχὴ μικρὸ οἰκίσκο ἀντὶ ναοῦ· ὁ μετὰ ἀπὸ σένα θὰ κατασκευάσει στοά᾽ ὁ μετὰ ἀπὸ ἐκεῖνον θὰ προσθέσει ἄλλα, καὶ ἔτσι σὲ σένα θὰ ἀποδοθεῖ τὸ ὅλο οἰκοδόμημα. Σὺ δίνεις λίγα καὶ λαμβάνεις τὴν ἀμοιβὴ τοῦ συνόλου. Λοιπὸν κάμε τὴν ἀρχὴ καὶ θέσε θεμέλιο᾽ μᾶλλον δὲ προτρέψατε ὁ ἕνας τὸν ἄλλο, δεῖξτε ἅμιλλα γιὰ τὸ ἔργο αὐτό. Τώρα δέ, ὅπου χρειάζεται μὲν νὰ ἀποθηκεύσουν ἄχυρα καὶ σιτάρι καὶ ὅλα τὰ παρόμοια, εὔκολα χτίζουν· ὅπου δέ πρέπει νὰ συγκεντρωθοῦν οἱ καρποὶ τῶν ψυχῶν, καθόλου δὲν φροντίζουν, ἀλλ᾽ ἀναγκάζονται νὰ βαδίζουν ἀρκετὰ στάδια, καὶ νὰ ἀποστέλλονται σὲ μακρινὲς ἀποδημίες, γιὰ νὰ εἰσέλθουν σὲ ἐκκλησία. Πόσο δὲ εἶναι καλὸ νὰ ἔρχεται στὴν ἐκκλησία μὲ πολλὴ ἡσυχία ὁ ἱερέας, γιὰ νὰ προσέρχεται ἐνώπιον τοῦ Θεοῦ, καὶ νὰ προσεύχεται κάθε ἡμέρα γιὰ τὸ χωριό, γι᾽ αὐτὸν ποὺ ἔχει ἐκκλησία! Πές μου, εἶναι μικρὸ πράγμα νὰ περιλαμβάνεται καὶ τὸ ὄνομά σου πάντοτε στὶς ἅγιες ἀναφορὲς τῆς λατρείας καὶ κάθε ἡμέρα νὰ ἀναπέμπονται εὐχὲς πρὸς τὸ Θεὸ γιὰ τὸ χωριό; πόσο αὐτὸ ὠφελεῖ σὲ σένα καὶ στὰ ἄλλα; Συμβαίνει μερικοὶ ἀπὸ τοὺς γείτονες νὰ κατοικοῦν καὶ νὰ ἔχουν ἐπιτρόπους. Πρὸς μέν ἐσένα λοιπὸν τὸ φτωχὸ κανένας ἀπὸ ἐκείνους δὲν θὰ θεωρήσει ἄξιο νὰ ἔλθει, τὸν πρεσβύτερο ὅμως ἴσως καὶ νὰ τὸν προσκαλέσει καὶ νὰ τὸν κάμει ὁμοτράπεζο.

Βλέπεις πόσα καλὰ θὰ προκύψουν ἀπ᾽ αὐτό; Πρῶτα ἡ κώμη θὰ εἶναι ἀπαλλαγμένη ἀπὸ κάθε πονηρὴ ὑποψία᾽ κανένας δὲν θὰ κατηγορήσει γι᾽ ἀνθρωποκτονία, κανένας γιὰ κλοπή, κανένας δὲν θὰ ὑποψιασθεῖ τίποτε τὸ παρόμοιο. Ἔχουν ἀκόμη καὶ ἄλλη παρηγοριά, ἂν ἐπακολουθήσει μιὰ ἀσθένεια, ἢ θάνατος. Ὄχι ἁπλῶς καὶ ὡς ἔτυχε συνάπτονται φιλίες μεταξὺ ἐκείνων ποὺ προσέρχονται ἐ-

δοι δὲ γενήσονται πολλῷ τῶν ἐν ταῖς πανηγύρεσιν ἡδίους. Οὐ μόνον δὲ αἱ σύνοδοι, ἀλλὰ καὶ αὐτοὶ οἱ προεστῶτες διὰ τὸν πρεσβύτερον αἰδεσιμώτεροι ἔσονται. Πάντως ἀκούεις ὅτι τὰ Ἱεροσόλυμα παρὰ τὰς ἄλλας πόλεις τιμιώτερα ἦν παρὰ τοῖς παλαιοῖς· ἀλλ' οὐχ ἁπλῶς, ἀλλὰ διὰ τὴν τότε κρατοῦσαν εὐσέβειαν. Διὰ τοῦτο, ἔνθα τιμᾶται ὁ Θεός, οὐδέν ἐστι πονηρόν· ὥσπερ πάλιν, ἔνθα οὐ τιμᾶται, οὐδὲν ἀγαθόν. Πολλὴ ἀσφάλεια ἔσται καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις. Ναί, παρακαλῶ, μὴ παρέργως, ἀλλὰ προθύμως τοῦ πράγματος ἀντιλάβεσθε· εἰ γὰρ ὁ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα τοῦ Θεοῦ ἔσται, ὁ τοσαύτας ψυχὰς τάς τε οὔσας, τάς τε ἐσομένας ἕως τῆς τοῦ Χριστοῦ παρουσίας ὠφελῶν καὶ ἀνακτώμενος πόσης οὐκ ἀπολαύσεται εὐνοίας παρὰ τοῦ Θεοῦ! Φρούριον κατασκεύασον κατὰ τοῦ διαβόλου· τοῦτο γάρ ἐστιν ἡ ἐκκλησία. Ἐκεῖθεν ὁρμάτωσαν αἱ χεῖρες εἰς κάματον· πρῶτον ἀνατεινέτωσαν αὐτὰς εἰς αὐχάς, καὶ τότε ἀπίτωσαν εἰς τὴν ἐργασίαν. Οὕτως ἔσται αὐτοῖς ἰσχὺς σώματος, οὕτως ἔσται ἡ γεωργία πολλή, οὕτω πάντα ἐκτὸς ἔσται τὰ κακά. Οὐκ ἔστι τὴν ἡδονὴν τὴν ἐντεῦθεν λόγῳ παραστῆσαι, ἕως ἂν ἔργῳ μὴ γένηται.

Μὴ τοῦτο ἴδῃς, ὅτι οὐδεμίαν ἔχει πρόσοδον ὅλως, εἰ οὕτω ποιεῖς, μὴ ποιήσῃς, εἰ μὴ νομίζεις πρόσοδον λαμβάνειν παντὸς τοῦ χωρίου μείζονα· εἰ μὴ οὕτω διάκεισαι, μηδὲ ἐργάσῃ· εἰ μὴ ὑπὲρ πάντα προστῆναί σου ὑπολαμβάνεις τὸ ἔργον τοῦτο. Τί τῆς προσόδου ταύτης μεῖζον, τοῦ εἰς τὴν ἅλω τὴν ἐν οὐρανῷ εἰσαγαγεῖν ψυχάς; Οἴμοι! ὅτι οὐκ ἴστε πόσον ἐστὶ τὸ κερδᾶναι ψυχάς. Ἄκουε τί φησι πρὸς τὸν Πέτρον

10. Ἱερ. 15, 19.

κεῖ˙ καὶ οἱ συναντήσεις δὲ θὰ γίνονται πολὺ περισσότερο εὐχάριστες ἀπὸ ἐκεῖνες ποὺ γίνονται κατὰ τὶς πανηγῦρεις. Ὄχι μόνο δὲ οἱ συναντήσεις, ἀλλὰ καὶ οἱ ἴδιοι οἱ προεστῶτες θὰ εἶναι περισσότερο σεβάσμιοι ἐξ αἰτίας τῆς παρουσίας τοῦ πρεσβύτερου. Ὁπωσδήποτε ἀκούεις ὅτι τὰ Ἱεροσόλυμα τιμοῦνταν περισσότερο ἀπὸ τὶς ἄλλες πόλεις ἐκ μέρους τῶν παλαιῶν· ὄχι ὅμως τυχαῖα, ἀλλ' ἐξ αἰτίας τῆς εὐσέβειας ποὺ ἐπικρατοῦσε τότε. Γι' αὐτό, ὅπου τιμᾶται ὁ Θεός, κανένα πονηρὸ δὲν ὑπάρχει˙ ὅπως πάλι, ὅπου δὲν τιμᾶται ὁ Θεὸς κανένα ἀγαθὸ δὲν ὑπάρχει. Πολλὴ ἀσφάλεια θὰ ὑπάρχει καὶ ἐκ μέρους τοῦ Θεοῦ καὶ ἐκ μέρους τῶν ἀνθρώπων. Ναί, παρακαλῶ, νὰ καταπιασθεῖτε μὲ τὸ θέμα αὐτό, ὄχι σὰν κάτι πάρεργο, ἀλλὰ μὲ προθυμία. Διότι, ἂν κάποιος βγάλει κάτι τὸ πολύτιμο ἀπὸ ἀνάξιο πράγμα, θὰ εἶναι σὰν στόμα τοῦ Θεοῦ[1*], ἐκεῖνος ποὺ τόσες ψυχὲς ὠφελεῖ καὶ ἀναζωογονεῖ καὶ αὐτὲς ποὺ ὑπάρχουν τώρα, καὶ αὐτὲς ποὺ θὰ ἔλθουν μετὰ μέχρι τὴν παρουσία τοῦ Χριστοῦ, πόση εὔνοια δὲν θὰ ἀπολαύσει ἀπὸ τὸ Θεό; Φρούριο κατασκεύασε ἐναντίον τοῦ διαβόλου˙ διότι αὐτὸ εἶναι ἡ ἐκκλησία. Ἀπὸ ἐκεῖ ἂς ὁρμήσουν τὰ χέρια γιὰ ἐργασία· πρῶτα ἂς ἀνυψωθοῦν αὐτὰ σὲ προσευχὴ πρὸς τὸ Θεό, καὶ μετὰ ἂς μεταβοῦν στὴν ἐργασία. Ἔτσι θὰ ἀποκτήσουν σωματικὴ δύναμη, ἔτσι θὰ εἶναι πολλὴ ἡ καλλιέργεια, ἔτσι ὅλα τὰ κακὰ θὰ εἶναι ἐκτὸς αὐτοῦ. Δὲν εἶναι δυνατὸ νὰ παραστήσεις μὲ λόγο τὴν εὐχαρίστηση ποὺ θὰ προκύψει ἀπὸ αὐτό, μέχρις ὅτου δὲν γίνει αὐτὸ πραγματικότητα.

Μὴ σκεφθεῖς αὐτό, ὅτι δὲν ἔχει κανένα ἔσοδο˙ ἐὰν γενικὰ ἐνεργεῖς καὶ σκέπτεσαι μὲ τὸν τρόπο αὐτό, μὴ κάνεις τὸ ἔργο αὐτό, ἐὰν δὲν νομίζεις ὅτι θὰ ἀποκτήσεις ἔσοδα μεγαλύτερα ἀπὸ ὅσα σοῦ ἀπέδιδε ὅλος ὁ ἀγρός. Ἂν δὲν σκέπτεσαι ἔτσι, οὔτε καὶ νὰ ἐργασθεῖς, ἐὰν δὲν θεωρεῖς τὸ ἔργο αὐτὸ ἀνώτερο ἀπὸ ὅλα τὰ ἄλλα. Τί εἶναι μεγαλύτερο ἀπὸ αὐτὸ τὸ κέρδος, τὸ νὰ ὁδηγήσεις τὶς ψυχὲς στὸ ἁλώνι τοῦ οὐρανοῦ; Ἀλλοίμονο! διότι δὲν γνωρίζετε πόσο σπουδαῖο εἶναι τὸ νὰ κερδίζετε ψυχές.

ὁ Χριστός· «Εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου». Εἰ βασιλικὰ πρόβατα θεασάμενος ἢ ἵππων ἀγέλην, παρὰ τὸ σηκὸν μὴ ἔχειν, εἰς ἐπιβουλὴν προκείμενα, λαβὼν αὐτὸς σηκόν τε ᾠκοδόμησας καὶ ἱππῶνα, ἢ καὶ ποιμένα ἐπέστηκας, τίνι οὐκ ἄν σε ἠμείψατο ὁ βασιλεύς; Νῦν τὴν ποίμνην τοῦ Χριστοῦ συνάγεις, καὶ ποιμένα ἐφιστᾷς, καὶ οὐχ ἡγῇ μέγα τι ἐργάζεσθαι; Τί λέγω; Εἰ ὁ σκανδαλίζων καὶ ἕνα ἀπειλὴν ἔχει τοσαύτην ὑποστῆναι τιμωρίαν, ὁ σώζων τοσούτους, εἰπέ μοι, οὐχὶ σωθήσεται; Εὔδηλον ὅτι. Ποίαν ἕξει γὰρ λοιπὸν ἁμαρτίαν, ἢ κἂν ἔχοι, οὐκ ἐξαλείφει ταύτην; Ἀπὸ τῆς τιμωρίας τοῦ σκανδαλίζοντος μάθε τὸ ἔπαθλον τοῦ σώζοντος. Εἰ μὴ περισπούδαστον ἦν τῷ Θεῷ καὶ μιᾶς ψυχῆς σωτηρία, οὐκ ἂν τοσαύτην ὀργὴν ἐποίησεν αὐτῷ ἡ ἀπώλεια.

Ταῦτα οὖν εἰδότες, ἐχώμεθα ἤδη τοῦ ἔργου τούτου τοῦ πνευματικοῦ, καὶ ἐμὲ καλεσάτω ἕκαστος, καὶ ἡμεῖς συναντιληψόμεθα τὰ δυνατά. Καὶ εἰ μὲν τρεῖς εἶεν οἱ κεκτημένοι, ἐκ συνεισφορᾶς ποιείτωσαν, εἰ δὲ εἷς, καὶ τοὺς ἄλλους ἀναπείσει τοὺς πλησίον. Μόνον τοῦτο κατορθῶσαι σπουδάσατε, παρακαλῶ, ἵνα, πάντοθεν εὐαρεστοῦντες τῷ Θεῷ, τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

11. Ἰωαν. 21, 15, 16, 17.

Ἄκουε τί λέγει πρὸς τὸν Πέτρο ὁ Χριστός· «Ἐὰν μὲ ἀγαπᾶς, ποίμανε τὰ πρόβατά μου»[11]. Ἐὰν συνέβαινε νὰ δεῖς βασιλικὰ πρόβατα ἢ ἀγέλη ἵππων, νὰ εἶναι ἐκτεθειμένα σὲ κινδύνους, ἐπειδὴ δὲν ὑπάρχει μάνδρα, ἐὰν ἀναλάβεις ὁ ἴδιος καὶ μάνδρα οἰκοδομήσεις καὶ στάβλο ἢ καὶ ποιμένα τοποθετήσεις, μὲ τί δὲν θὰ σὲ ἀνταμείψει ὁ βασιλιάς; Τώρα συγκεντρώνεις τὴν ποίμνη τοῦ Χριστοῦ καὶ τοποθετεῖς ποιμένα, καὶ δὲν νομίζεις ὅτι κάμνεις μεγάλο ἔργο; Τί λέγω; Ἐὰν ἐκεῖνος ποὺ σκανδαλίζει καὶ μόνο ἕνα ἄνθρωπο, ἀπειλεῖται νὰ πάθει τέτοια τιμωρία, ἐκεῖνος ποὺ σώζει τόσους ἀνθρώπους, πές μου, δὲν θὰ σωθεῖ; Εἶναι ὁλοφάνερο ὅτι θὰ σωθεῖ. Διότι ποιὰ ἁμαρτία θὰ ἔχει στὸ ἑξῆς ἢ καὶ ἂν ἔχει, δὲν θὰ ἐξαλείψει αὐτήν; Ἀπὸ τὴν τιμωρία ἐκείνου ποὺ σκανδαλίζει, μάθε τὴν ἀνταμοιβὴ ἐκείνου ποὺ σώζει. Ἐὰν δὲν ἦταν σημαντικὸ γιὰ τὸ Θεὸ ἡ σωτηρία καὶ μιᾶς ψυχῆς, δὲν θὰ προκαλοῦσε τόση ὀργὴ σ' Αὐτὸν ἡ ἀπώλειά της.

Γνωρίζοντας λοιπὸν αὐτά, ἃς καταπιασθοῦμε πλέον μὲ τὸ ἔργο αὐτὸ τὸ πνευματικό, καὶ ἃς μὲ καλέσει ὁ καθένας καὶ ἐγὼ θὰ βοηθήσω κατὰ τὸ δυνατό. Καὶ ἂν μὲν εἶναι τρεῖς οἱ κάτοχοι τοῦ ἀγροῦ, ἃς ἐνεργήσουν μὲ συνεισφορά, ἐὰν δὲ ἕνας, ἃς πείσει καὶ τοὺς ἄλλους ποὺ εἶναι πλησίον του. Μόνο, παρακαλῶ, προσπαθήσετε νὰ κατορθώσετε αὐτό, ὥστε, ἀφοῦ εὐαρεστήσουμε τὸ Θεό, νὰ ἐπιτύχουμε τὰ αἰώνια ἀγαθά, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΘ΄

(Πράξ. 8, 26 - 9, 9)

«Ἄγγελος δὲ Κυρίου ἐλάλησε πρὸς Φίλιππον, λέγων· Ἀνάστηθι καὶ πορεύου πρὸς μεσημβρίαν ἐπὶ τὴν ὁδόν, τὴν καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν· αὕτη ἐστὶν ἔρημος. Καὶ ἀναστὰς ἐπορεύθη».

1. Ἐμοὶ δοκεῖ ταῦτα, ὢν ἐν Σαμαρείᾳ, προστάττεσθαι, ὅτι ἀπὸ Ἱεροσολύμων οὐ πρὸς μεσημβρίαν τις ἄπεισιν, ἀλλὰ πρὸς ἄρκτον· ἀπὸ δὲ Σαμαρείας πρὸς μεσημβρίαν. «Αὕτη ἐστὶν ἔρημος». Τοῦτο λέγει, ὥστε μὴ φοβηθῆναι τῶν Ἰουδαίων τὴν ἐπιστασίαν. Καὶ οὐκ ἠρώτησε, 'Διὰ τί;' ἀλλ' «ἀναστὰς ἐπορεύθη». «Καὶ ἰδού», φησίν, «ἀνὴρ Αἰθίοψ εὐνοῦχος, δυνάστης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς Γάζης αὐτῆς, ὃς ἐλελύθει προσκυνήσων εἰς Ἱερουσαλήμ. Ἦν δὲ ὑποστρέφων καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, καὶ ἀνεγίνωσκε τὸν Προφήτην Ἡσαΐαν». Μεγάλα ἐγκώμια τὰ περὶ τούτου εἰρημένα· εἴ γε καὶ ἐν Αἰθιοπίᾳ μένων, καὶ τοσούτοις κυκλούμενος πράγμασι, καὶ ἑορτῆς οὐκ οὔσης, καὶ ἐν τῇ δεισιδαίμονι πόλει ὤν, ἤρχετο προσκυνήσων εἰς Ἱερουσαλήμ. Πολλή τε ἡ σπουδή, ὅτι, καὶ καθήμενος ἐπὶ τοῦ ὀχήματος ἀνεγίνωσκεν. «Εἶπε δὲ τὸ Πνεῦμα τῷ Φιλίππῳ· Πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ. Προσδραμὼν δὲ ὁ Φίλιππος, ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος Ἡσαΐαν τὸν Προφήτην, καὶ εἶπεν· Ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις; Ὁ

---

1. Πράξ. 8, 26 - 27.
2. Πράξ. 8, 27 - 28.

ΟΜΙΛΙΑ ΙΘ΄
(Πράξ. 8, 26 - 9, 9)

«Ἄγγελος δὲ Κυρίου μίλησε στὸν Φίλιππο καὶ τοῦ εἶπε· Σήκω καὶ πήγαινε πρὸς νότο, στὸ δρόμο ποὺ κατεβαίνει ἀπὸ τὴν Ἱερουσαλὴμ στὴ Γάζα· αὐτὸς ὁ δρόμος εἶναι ἔρημος. Καὶ σηκώθηκε ὁ Φίλιππος καὶ πῆγε»[1].

1. Ἐγὼ νομίζω ὅτι ἔλαβε αὐτὲς τὶς ἐντολὲς ὁ Φίλιππος ὅταν ἦταν στὴ Σαμάρεια, διότι δὲν κατευθύνεται κανένας ἀπὸ τὰ Ἱεροσόλυμα πρὸς νότο, ἀλλὰ πρὸς βορρά· ἀπὸ τὴ Σαμάρεια κατευθύνεται πρὸς νότο. «Αὐτὸς ὁ δρόμος εἶναι ἔρημος». Αὐτὸ τὸ λέγει γιὰ νὰ μὴ φοβηθεῖ τὴν παρακολούθηση τῶν Ἰουδαίων. Καὶ δὲν ἐρώτησε γιατί; ἀλλὰ σηκώθηκε καὶ πῆγε στὸ δρόμο του. «Καὶ νά», λέγει, «ἄνθρωπος Αἰθίοπας, εὐνοῦχος, ἀνώτερος ἀξιωματοῦχος τῆς αὐλῆς τῆς Κανδάκης, τῆς βασίλισσας τῶν Αἰθιόπων, ποὺ ἦταν ὑπεύθυνος σ' ὁλόκληρη τὴν περιοχὴ τῆς Γάζας, εἶχε ἔλθει γιὰ νὰ προσκυνήσει στὰ Ἱεροσόλυμα. Ἐπέστρεφε δὲ τότε στὴν πατρίδα του καὶ ἐνῶ ἦταν καθισμένος ἐπάνω στὴν ἅμαξά του καὶ διάβαζε δυνατὰ τὸν προφήτη Ἠσαΐα»[2]. Μεγάλα ἐγκώμια εἶναι τὰ ὅσα ἔχουν λεχθεῖ γι' αὐτόν, ἂν καὶ διέμενε βέβαια στὴν Αἰθιοπία, καὶ περιβαλλόταν ἀπὸ τόσες ὑποθέσεις λόγω τῆς θέσεώς του, ἂν καὶ δὲν ὑπῆρχε κάποια μεγάλη ἑορτή, ἂν καὶ διέμενε σὲ δεισιδαιμονικὴ πόλη, ἐν τούτοις ἐρχόταν γιὰ νὰ προσκυνήσει στὰ Ἱεροσόλυμα. Εἶχε μεγάλο ἐνδιαφέρον, ἀφοῦ καὶ ἐπάνω στὸ ὄχημα ποὺ καθόταν, διάβαζε· «Εἶπε δὲ τὸ ἅγιο Πνεῦμα στὸ Φίλιππο· πλησίασε καὶ προσκολλήσου στὴν ἅμαξα αὐτή. Ἀφοῦ δὲ ἔτρεξε ὁ Φίλιππος καὶ πλησίασε τὴν ἅμαξα, ἄκουσε αὐτὸν νὰ διαβάζει τὸν προφήτη Ἠσαΐα καὶ εἶπε· Ἄραγε καταλα-

δὲ εἶπε· Πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με». Ὅρα πάλιν ἄλλην εὐλάβειαν. Τίνα ταύτην; Ὅτι οὐκ εἰδὼς ἀνεγίνωσκεν, εἶτα μετὰ τὸ ἀναγνῶναι ἐξετάζει.

«Παρεκάλεσε δὲ τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ. Ἡ δὲ περιοχὴ τῆς Γραφῆς, ἣν ἀνεγίνωσκεν, ἦν αὕτη· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος· οὕτω οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ εἶπε· Δέομαί σου, περὶ τίνος ὁ προφήτης τοῦτο λέγει; περὶ ἑαυτοῦ, ἢ περὶ ἑτέρου τινός; Ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ, καὶ ἀρξάμενος ἀπὸ τῆς Γραφῆς ταύτης, εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν». Ὁρᾷς πῶς οἰκονομεῖται τὰ κατ' αὐτόν; Πρότερον ἀναγινώσκει καὶ ἀγνοεῖ, εἶτα ἀναγινώσκει αὐτὴν τὴν περιοχήν, ἔνθα ἦν τὸ πάθος, καὶ ἡ ἀνάστασις, καὶ ἡ δωρεά. «Ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδόν, ἦλθον ἐπί τι ὕδωρ· καί φησιν ὁ εὐνοῦχος· Ἰδοὺ ὕδωρ, τί κωλύει με βαπτισθῆναι;». Εἶδες προθυμίαν; εἶδες ἀκρίβειαν; «Ἐκέλευσέ τε στῆναι τὸ ἅρμα, καὶ κατέβησαν εἰς τὸ ὕδωρ ἀμφότεροι, ὅ τε Φίλιππος καὶ ὁ εὐνοῦχος, καὶ ἐβάπτισεν αὐτόν. Ὅτε δὲ ἀνέβησαν ἀπὸ τοῦ ὕδατος, Πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκ ἔτι ὁ εὐνοῦχος· ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων». Διὰ τί, φησίν, ἦρεν αὐτὸν Πνεῦμα Κυρίου; Διότι ἔμελλε καὶ ἄλλας πόλεις διελθεῖν καὶ εὐαγγελί-

3. Πράξ. 8, 29 - 31.
4. Πράξ. 8, 31 - 35 καὶ Ἡσ. 53, 7 - 8.
5. Πράξ. 8, 36.
6. Πράξ. 8, 38 - 39.

βαίνεις αὐτὰ ποὺ διαβάζεις; Αὐτὸς δὲ εἶπε· Πῶς θὰ μποροῦσα νὰ τὰ καταλάβω, ἂν δὲν βρεθεῖ κάποιος νὰ μὲ καθοδηγήσει»[3]. Πρόσεχε πάλι ἄλλη εὐλάβεια. Ποιὰ εἶναι αὐτή; Ὅτι, ἂν καὶ δὲν γνώριζε, διάβαζε, κατόπιν μετὰ τὴν ἀνάγνωση ἐξετάζει τὰ νοήματα.

«Παρεκάλεσε δὲ τὸν Φίλιππο νὰ ἀνεβεῖ στὴν ἅμαξα καὶ νὰ καθήσει μαζί του. Τὸ σημεῖο δὲ τῆς Γραφῆς, ποὺ διάβαζε, ἦταν αὐτό· Σὰν πρόβατο ὁδηγήθηκε στὴ σφαγὴ καὶ σὰν ἀρνὶ ἄφωνο μπροστὰ σ' αὐτὸν ποὺ τὸ κουρεύει, ἔτσι δὲν ἀνοίγει τὸ στόμα του. Ὅταν ταπεινώθηκε παραγνωρίσθηκε καὶ καταπατήθηκε τὸ δίκιο του κατὰ τὴν κρίση. Ποιὸς μπορεῖ ἐπάξια νὰ διηγηθεῖ τὴ γενεά του, τὸ πλῆθος τῶν ἔνδοξων πνευματικῶν ἀπογόνων του; Διότι ἡ ζωή του μὲ βίαιο θάνατο ἀνυψώθηκε ἀπὸ τὴ γῆ. Ἀποκρίθηκε δὲ ὁ εὐνοῦχος καὶ εἶπε στὸν Φίλιππο· σὲ παρακαλῶ, ἐξήγησέ μου γιὰ ποιὸν τὸ λέγει αὐτὸ ὁ προφήτης; γιὰ τὸν ἑαυτό του ἢ γι' ἄλλον κανένα; Τότε δὲ ὁ Φίλιππος ἄνοιξε τὸ στόμα του καὶ ἀφοῦ ἄρχισε ἀπὸ τὸ χωρίο αὐτὸ τῆς Γραφῆς, δίδαξε σ' αὐτὸν γιὰ τὸν Ἰησοῦ». Βλέπεις πῶς ρυθμίζονται ἀπὸ τὴ θεία πρόνοια τὰ σχετικὰ μὲ αὐτόν; Προηγουμένως διαβάζει καὶ ἀγνοεῖ τὰ ὅσα διαβάζει, ἔπειτα διαβάζει αὐτὸ τὸ σημεῖο, ὅπου ἀναφερόταν τὸ πάθος τοῦ Χριστοῦ καὶ ἡ ἀνάσταση καὶ ἡ δωρεά. «Καθὼς δὲ πορεύονταν στὸ δρόμο, ἔφθασαν σὲ κάποια πηγὴ νεροῦ καὶ λέγει ὁ εὐνοῦχος, νά, ὑπάρχει νερό, τί μὲ ἐμποδίζει νὰ βαπτισθῶ;»[5]. Εἶδες προθυμία; Εἶδες ἀκρίβεια; «Καὶ ἔδωσε ἐντολὴ νὰ σταματήσει ἡ ἅμαξα, καὶ κατέβηκαν στὸ νερὸ καὶ οἱ δύο, καὶ ὁ Φίλιππος καὶ ὁ εὐνοῦχος, καὶ τὸν βάπτισε. Ὅταν δὲ βγῆκαν ἀπὸ τὴν πηγὴ τοῦ νεροῦ, τὸ Πνεῦμα τοῦ Κυρίου ἅρπαξε καὶ ἐξαφάνισε τὸν Φίλιππο καὶ δὲν τὸν εἶδε πλέον ὁ εὐνοῦχος· καὶ συνέχισε τὸ δρόμο του πρὸς τὴν Αἰθιοπία γεμάτος χαρά»[6]. Γιατί, λέγει, ἐξήρπασε αὐτὸν Πνεῦμα Κυρίου; Διότι ἐπρόκειτο νὰ μεταβεῖ καὶ σ' ἄλλες πόλεις καὶ νὰ κηρύξει τὸ εὐαγγέλιο. Ὥστε λοιπὸν γιὰ νὰ προκαλέσει θαυμασμὸ

σασθαι. Ὥστε οὖν ὕστερον αὐτὸν θαυμασθῆναι τοῦτο ἐγένετο, ὥστε μὴ ἀνθρώπινον τὸ περὶ αὐτόν, ἀλλὰ θεῖον νομίσαι.

«Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον, καὶ διερχόμενος εὐηγγελίζετο τὰς πόλεις πάσας, ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν». Καὶ ἐκ τούτου δῆλον ὡς οὗτος τῶν ἑπτά ἐστι· καὶ γὰρ καὶ ὕστερον ἐκεῖ εὑρίσκεται ἐν Καισαρείᾳ. Συμφερόντως οὖν ἥρπασεν αὐτὸν τὸ Πνεῦμα, καὶ ἠξίωσεν ἂν καὶ συναπελθεῖν αὐτῷ ὁ εὐνοῦχος· ὃν καὶ ἐλύπησεν ἂν ἐκεῖνος, ἀνανεύσας καὶ ἀρνησάμενος, οὐδέπω καιροῦ ὄντος. Εἶδες ἀγγέλους συναντιλαμβανομένους τῷ κηρύγματι, καὶ αὐτοὺς μὲν οὐ κηρύττοντας, τούτους δὲ καλοῦντας; Τὸ δὲ θαυμαστὸν καὶ ἐντεῦθεν δείκνυται· ὅπερ γὰρ πάλαι σπάνιον ἦν καὶ μόλις ἐγίνετο, τοῦτο ἐνταῦθα μετὰ πολλῆς γίνεται ἀφθονίας. Ἄλλως δὲ καὶ προαναφώνησίς τις τὸ γεγονὸς ἦν τοῦ τῶν ἀλλοφύλων κρατῆσαι αὐτούς· καὶ γὰρ τὸ τῶν πιστευόντων ἀξιόπιστον ἱκανὸν τοὺς μανθάνοντας πεῖσαι πρὸς τὸν ἴσον καὶ αὐτοὺς ζῆλον διαναστῆναι. Διὰ τοῦτο γοῦν καὶ ἐπορεύετο χαίρων ὥστε, εἰ ἠπίστατο, οὐκ ἂν ἥσθη. Τί δὲ ἐκώλυε, φησί, πάντα αὐτὸν ἀκριβῶς μαθεῖν καὶ ἐν τῷ ὀχήματι ὄντα, καὶ μάλιστα ἐν ἐρήμῳ; Ὅτι οὐκ ἦν τὸ πρᾶγμα ἐπίδειξις. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ ἀνεγνωσμένα.

«Καὶ ἰδοὺ ἀνὴρ Αἰθίοψ εὐνοῦχος», φησί, «δυνάστης τῆς βασιλίσσης Αἰθιόπων Κανδάκης». Ἐκ τούτου δῆλον ὡς ὑπὸ ταύτης ἤρχοντο· καὶ γὰρ γυναῖκες ἐκράτουν τὸ παλαιόν, καὶ οὗτος ἦν νόμος παρ' αὐτοῖς. Οὕτως οὐκ ᾔδει Φίλιππος τίνος ἕνεκεν παρεγένετο εἰς τὴν ἔρημον, ὅτι καὶ οὐκέτι ἄγγελος, ἀλλὰ τὸ Πνεῦμα αὐτὸν ἁρπάζει. Οὐδὲν δὲ τούτων οὔτε ὁρᾷ ὁ εὐνοῦχος (ἀτελὴς ἔτι ὤν, ἢ ὅτι καὶ ταῦτα οὐ τοῖς σωματι-

7. Πράξ. 8, 40.

σ᾽ αὐτὸν συνέβηκε αὐτό, γιὰ νὰ μὴ νομίσει ὅτι ἐκεῖνο, ποὺ συνέβηκε σ᾽ αὐτόν, εἶναι ἀνθρώπινο, ἀλλὰ θεῖο.

«Ὁ Φίλιππος δὲ βρέθηκε στὴν Ἄζωτο, καὶ καθὼς προχωροῦσε κήρυττε τὸ εὐαγγέλιο σὲ ὅλες τὶς πόλεις, μέχρις ὅτου ἦλθε στὴν Καισάρεια»[7]. Καὶ ἀπὸ αὐτὸ εἶναι φανερό, ὅτι αὐτὸς ἦταν ἀπὸ τοὺς ἑπτὰ πρώτους διακόνους· διότι καὶ ὕστερα βρίσκεται ἐκεῖ στὴν Καισάρεια. Πρὸς ὠφέλεια λοιπὸν ἐξήρπασε αὐτὸν τὸ Πνεῦμα, διότι θὰ εἶχε τὴν ἀξίωση ὁ εὐνοῦχος νὰ ἔλθει μαζί του ὁ Φίλιππος, τὸν ὁποῖο καὶ θὰ λυποῦσε, ἐὰν δὲν δεχόταν καὶ ἀρνιόταν ὁ Φίλιππος, ἐφόσον δὲν ἦταν ἀκόμα καιρός. Εἶδες ἀγγέλους νὰ συμβάλλουν στὸ κήρυγμα, καὶ αὐτοὶ μὲν νὰ μὴ κηρύττουν, νὰ καλοῦν δὲ τοὺς ἀνθρώπους; Τὸ δὲ ἀξιοθαύμαστο καὶ ἀπὸ αὐτὸ ἀποδεικνύεται, διότι ἐκεῖνο ποὺ ἦταν σπάνιο καὶ μὲ δυσκολία γινόταν παλαιότερα, αὐτὸ γίνεται τώρα μὲ μεγάλη συχνότητα. Ἄλλωστε δὲ αὐτὸ ποὺ συνέβηκε μὲ τὸν εὐνοῦχο ἦταν καὶ κάποια προαναγγελία, ὅτι αὐτοὶ θὰ ἐπικρατήσουν στοὺς ἀλλοφύλους, καθόσον ἡ ἀξιοπιστία ἐκείνων ποὺ πιστεύουν εἶναι ἱκανὴ νὰ πείσει αὐτοὺς ποὺ μαθαίνουν, νὰ ἐπιδείξουν τὸν ἴδιο μὲ αὐτοὺς ζῆλο. Γι᾽ αὐτὸ λοιπὸν καὶ πορευόταν χαρούμενος, ὥστε ἂν γνώριζε, δὲν θὰ ἔνιωθε τόση εὐχαρίστηση. Ἀλλὰ τί ἐμπόδιζε, λέγει, αὐτὸν νὰ μάθει τὰ πάντα μὲ ἀκρίβεια καὶ ἐνῷ βρισκόταν στὴν ἅμαξα καὶ μάλιστα στὴν ἔρημο; Διότι τὸ πράγμα αὐτὸ δὲν ἦταν ἐπίδειξη. Ἀλλ᾽ ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ αὐτὰ ποὺ ἀναγνώσθηκαν.

«Καὶ νὰ κάποιος ἄνθρωπος Αἰθίοπας, εὐνοῦχος», λέγει, «ἀξιωματοῦχος τῆς βασίλισσας τῶν Αἰθιόπων Κανδάκης». Ἀπὸ αὐτὸ εἶναι φανερό, ὅτι ἀπὸ αὐτὴν ἐξουσιάζονταν· καθόσον τὴν παλιὰ ἐκείνη ἐποχὴ οἱ γυναῖκες ἐξουσίαζαν καὶ αὐτὸ ἦταν νόμος σ᾽ αὐτοὺς τοὺς λαούς. Ἔτσι δὲν γνώριζε ὁ Φίλιππος γιὰ ποιὸ λόγο βρέθηκε στὴν ἔρημο, διότι ὄχι πλέον ἄγγελος, ἀλλὰ τὸ Πνεῦμα ἁρπάζει αὐτόν. Τίποτε δὲ ἀπὸ αὐτὰ δὲν βλέπει ὁ εὐνοῦχος (διότι ἦταν ἀκόμα ἀτελὴς πνευματικά, ἢ διότι καὶ αὐτὰ δὲν συμβαίνουν στοὺς σωματικώτερους, ἀλλὰ στοὺς

κωτέροις, ἀλλὰ τοῖς πνευματικωτέροις ἐστίν), οὔτε ἃ Φίλιππος ἐκδιδάσκεται, μανθάνει. Καὶ διὰ τί μὴ ἐκείνῳ φαίνεται ὁ ἄγγελος, καὶ ἄγει αὐτὸν πρὸς Φίλιππον; Ὅτι ἴσως οὐκ ἂν ἐπείσθη, ἀλλὰ καὶ ἐξεπλάγη μᾶλλον. Ὅρα τὴν τοῦ Φιλίππου φιλοσοφίαν· οὐ κατηγόρησεν, οὐκ εἶπεν, 'Ἀγνοεῖς, ἐγώ σε διδάξω'· οὐκ εἶπεν, 'Ἐγὼ ταῦτα ἀκριβῶς οἶδα'· οὐκ ἐκολάκευσε καὶ εἶπεν αὐτῷ· 'Μακάριος εἶ ἀναγινώσκων'. Οὕτως ἦν καὶ θρασύτητος ἐκτὸς καὶ κολακείας τὸ ῥῆμα, καὶ μᾶλλον κηδεμονικοῦ καὶ φιλανθρώπου· ἔδει γὰρ αὐτὸν αἰτῆσαι, ἔδει αὐτὸν ποθῆσαι. Ἐμφαίνοντος δέ ἐστιν, ὡς οἶδεν, ὅτι οὐδὲν ᾔδει ἐκεῖνος, τῷ εἰπεῖν, «Ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις;», καὶ ἅμα δεικνύντος πολὺν τὸν θησαυρὸν ἐγκείμενον.

2. Ἀλλ' ὅρα πῶς συνετῶς καὶ ὁ εὐνοῦχος ἀπολογεῖται. «Πῶς γὰρ ἄν», φησί, «δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με;». Οὐκ εἶδεν εἰς τὸ σχῆμα, οὐκ εἶπε, 'Σὺ τίς εἶ;' οὐκ ἐμέμψατο, οὐκ ἀλαζονεύεται, οὐ λέγει εἰδέναι, ἀλλ' ὁμολογεῖ ἀγνοεῖν· διὸ καὶ μανθάνει. Ἐπιδεικνύει τὸ τραῦμα τῷ ἰατρῷ, συνεῖδεν ὅτι καὶ οἶδε ταῦτα καὶ βούλεται διδάξαι. Εἶδε τὸν ἄτυφον· οὐδὲ γὰρ λαμπρὸν ἐπεφέρετο σχῆμα. Οὕτως ἦν φιλήκοος καὶ τοῖς λόγοις προσεῖχεν, ὅτι καὶ τὸ «ὁ ζητῶν εὑρίσκει» ἐπ' αὐτοῦ ἐπληροῦτο. «Παρεκάλεσε δέ», φησί, «τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ». Εἶδες τὴν σπουδήν; εἶδες τὸν πόθον; Παρακαλεῖ ἀναβάντα συγκαθίσαι αὐτῷ· οὕτως οὐκ ᾔδει τί ἔμελλεν αὐτῷ ἐρεῖν, ἀλλ' ἐνόμιζεν ἁπλῶς προφητείαν τινὰ ἀκούσεσθαι. Καὶ αὕτη δὲ μείζων τιμή, τὸ μὴ ἁπλῶς ἀναγαγεῖν, ἀλλὰ παρακαλέσαντα. «Προσδραμὼν δὲ ὁ Φίλιππος, ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος». Καὶ ὁ δρό-

8. Ματθ. 7, 8.

πνευματικώτερους), οὔτε βέβαια μαθαίνει αὐτὰ ποὺ διδάσκεται ὁ Φίλιππος. Καὶ γιατί δὲν ἐμφανίζεται σ' ἐκεῖνον ὁ ἄγγελος, καὶ ὁδηγεῖ αὐτὸν πρὸς τὸν Φίλιππο; Διότι ἴσως δὲν θὰ πίστευε, ἀλλὰ καὶ περισσότερο θὰ ἐκπλησσόταν. Βλέπε τὴ σύνεση τοῦ Φιλίππου· δὲν κατηγόρησε, δὲν εἶπε, ''Ἀγνοεῖς, ἐγὼ θὰ σὲ διδάξω'' δὲν εἶπε, 'ἐγὼ αὐτὰ τὰ γνωρίζω ἀκριβῶς'· δὲν κολάκευσε καὶ εἶπε σ' αὐτόν, 'εἶσαι καλότυχος ποὺ τὰ διαβάζεις'. Τόσο πολὺ ἦταν τὰ λόγια του ἀπαλλαγμένα ἀπὸ θρασύτητα καὶ κολακεία· πολὺ περισσότερο ἦταν λόγια ἀνθρώπου προνοητικοῦ καὶ φιλάνθρωπου· διότι ἔπρεπε ὁ ἴδιος ὁ εὐνοῦχος νὰ ζητήσει, ἔπρεπε ὁ ἴδιος νὰ ἐπιθυμήσει. Εἶναι φανερὸ δέ, ὅτι ὁ Φίλιππος γνώριζε ὅτι ἐκεῖνος τίποτε δὲν γνώριζε, μὲ τὸ νὰ πεῖ· «Ἄραγε γνωρίζεις αὐτὰ ποὺ διαβάζεις;» καὶ συγχρόνως ἀποδεικνύει ὅτι πολὺς εἶναι ὁ θησαυρὸς ποὺ ὑπάρχει μέσα.

2. Ἀλλὰ πρόσεχε πόσο συνετὰ καὶ ὁ εὐνοῦχος ἀπολογεῖται. Διότι λέγει· «Πῶς θὰ μποροῦσα νὰ τὰ καταλάβω, ἂν δὲν βρεθεῖ κάποιος νὰ μὲ ὁδηγήσει;». Δὲν πρόσεξε τὴν ἐμφάνιση, καὶ δὲν εἶπε, 'σὺ ποιὸς εἶσαι;' δὲν κατηγόρησε, δὲν ὑπερηφανεύεται, δὲν λέγει ὅτι γνωρίζει, ἀλλ' ὁμολογεῖ ὅτι ἀγνοεῖ· γι' αὐτὸ καὶ μαθαίνει. Δείχνει τὸ τραῦμα στὸν ἰατρό· ἀντιλήφθηκε ὅτι ὁ Φίλιππος καὶ γνωρίζει αὐτὰ καὶ θέλει νὰ τὸν διδάξει. Εἶδε τὴν ταπεινοφροσύνη του· διότι δὲν ἔφερε καμιὰ λαμπρὴ ἐνδυμασία. Τόσο πολὺ ἦταν πρόθυμος νὰ ἀκούει καὶ πρόσεχε στὰ λόγια τοῦ Φιλίππου, ὥστε καὶ τὸ «Ὁ καθένας ποὺ ζητεῖ, βρίσκει»[8], ἐκπληρωνόταν σ' αὐτόν. «Παρεκάλεσε δέ», λέγει, «τὸν Φίλιππο νὰ ἀνεβεῖ στὴν ἅμαξα καὶ νὰ καθήσει μαζί του». Εἶδες τὸ ἐνδιαφέρον; εἶδες τὸν πόθο; Τὸν παρακαλεῖ νὰ ἀνεβεῖ νὰ καθήσει μαζί του· ἔτσι δὲν γνώριζε τί ἐπρόκειτο νὰ τοῦ πεῖ, ἀλλὰ νόμιζε ἁπλῶς ὅτι θὰ ἀκούσει κάποια προφητεία. Καὶ αὐτὴ δὲ ἦταν μεγαλύτερη τιμή, τὸ νὰ μὴ τὸν ἀνεβάσει ἁπλῶς στὴν ἅμαξα, ἀλλ' ἀφοῦ τὸν παρακάλεσε. «Ἀφοῦ δὲ πλησίασε πρὸς τὴν ἅμαξα ὁ Φίλιππος, ἄκουσε αὐτὸν νὰ διαβάζει». Καὶ ὁ δρόμος εἶναι

μος σημεῖον βουλομένου εἰπεῖν, καὶ ἡ ἀνάγνωσις σπουδῆς. Ἐν τοιούτῳ γὰρ ἀνεγίνωσκε καιρῷ, ἐν ᾧ σφοδρότερον ποιεῖ τὸ καῦμα ὁ ἥλιος.

«Ἡ δὲ περιοχὴ ἦν αὕτη· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη». Καὶ τοῦτο αὐτοῦ δεῖγμα τῆς φιλομαθείας, τὸ τὸν Προφήτην τοῦτον μετὰ χεῖρας ἔχειν, τῶν ἄλλων ὄντα ὑψηλότερον. Διὸ καὶ οὐ μετὰ σφοδρότητος αὐτῷ διηγεῖται, ἀλλ' ἡμέρως· μᾶλλον δὲ οὐδὲ οὕτω φθέγγεται πρότερον, ἕως ὅτε ἠρωτήθη, ἕως ἐκεῖνος παρεκάλεσεν· ὥσπερ, τὸ αὐτὸ πάλιν ποιῶν, φησί· «Δέομαί σου, περὶ τίνος ὁ Προφήτης λέγει τοῦτο;». Ἐμοὶ δοκεῖ ὅτι οὐκ ᾔδει, ὡς περὶ ἄλλων λέγουσιν οἱ προφῆται· ἤ, εἰ μὴ τοῦτο, ὅτι περὶ ἑαυτῶν διαλέγονται ἐν ἑτέρῳ προσώπῳ ἠγνόει. Αἰσχυνθῶμεν καὶ πένητες καὶ πλουτοῦντες ἐκεῖνον τὸν ταμίαν! «Εἶτα ἦλθον ἐπί τι ὕδωρ, καί φησιν· Ἰδοὺ ὕδωρ». Σφόδρα ψυχῆς τοῦτο ἐκκαιομένης. «Τί κωλύει με βαπτισθῆναι;». Ὁρᾷς αὐτοῦ τὴν ἐπιθυμίαν; Οὔ λέγει, 'Βάπτισόν με', οὔτε σιωπᾷ, ἀλλὰ μέσον τι καὶ τῆς ἐπιθυμίας καὶ τῆς εὐλαβείας φθέγγεται, λέγων, «Τί κωλύει με βαπτισθῆναι;». Ὅρα πῶς τὰ δόγματα ἀπηρτισμένα εἶχε· καὶ γὰρ ὁ Προφήτης πάντα περιεῖχε, τὴν σάρκωσιν, τὸ πάθος, τὴν ἀνάστασιν, τὴν ἀνάληψιν, τὴν κρίσιν τὴν μέλλουσαν, ἃ δὴ καὶ πολλὴν τὴν ἐπιθυμίαν αὐτῷ μάλιστα ἐνεποίησαν. Αἰσχύνθητε ὅσοι ἀφώτιστοι τυγχάνετε! «Καὶ ἐκέλευσε», φησί, «στῆναι τὸ ἅρμα». Ἅμα εἶπε καὶ ἐπέταξε, πρὶν ἢ ἀκοῦσῃ. «Ὡς δὲ ἀνέβησαν ἀπὸ τοῦ ὕδατος, Πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον». Καλῶς, ἵνα θεῖον δειχθῇ τὸ γινόμενον, καὶ ἵνα μὴ νομίσῃ ὅτι ἄνθρωπός ἐστιν ἁπλῶς. «Καὶ ἐπορεύετο», φησί, «τὴν ὁδὸν αὐτοῦ χαίρων». Τοῦτο εἶπε, δεικνὺς ὅτι ἐλυπήθη ἄν, εἰ ἔγνω· οὕτως ὑπὸ τῆς πολλῆς χαρᾶς, καίτοι

---

9. Πράξ. 8, 32 καὶ Ἡσ. 53, 7.

9α. Αὐτὸ δείχνει ὅτι ἐπὶ τῶν ἡμερῶν τοῦ Χρυσοστόμου δὲν εἶχε καθιερωθεῖ ὁ νηπιοβαπτισμός.

ἀπόδειξη ἀνθρώπου, ποὺ θέλει νὰ μιλήσει καὶ ἡ ἀνάγνωση δεῖγμα ἐνδιαφέροντος. Διότι διάβαζε τέτοια ὥρα, ποὺ ὁ ἥλιος καίει πάρα πολὺ δυνατά.

«Τὸ δὲ σημεῖο τῆς Γραφῆς ἦταν αὐτό· Σὰν πρόβατο ὁδηγήθηκε στὴ σφαγή»[9]. Καὶ αὐτὸ εἶναι δεῖγμα τῆς φιλομάθειάς του, τὸ ὅτι εἶχε στὰ χέρια του τὸν προφήτη αὐτόν, ποὺ εἶναι σπουδαιότερος ἀπὸ τοὺς ἄλλους. Γι' αὐτὸ καὶ ὁ Φίλιππος δὲν διηγεῖται τὴν προφητεία σ' αὐτὸν μὲ ὀξύτητα, ἀλλὰ μὲ ἠπιότητα· μᾶλλον δὲ δὲν ὁμιλεῖ προηγουμένως, παρὰ μόνο ὅταν ἐρωτήθηκε, παρὰ μόνο ὅταν ὁ εὐνοῦχος τὸν παρεκάλεσε· ὅπως ἀκριβῶς πράττοντας τὸ ἴδιο ἐκ νέου, λέγει· «Σὲ παρακαλῶ, γιὰ ποιὸν τὸ λέγει αὐτὸ ὁ προφήτης;». Ἐμένα μοῦ φαίνεται, ὅτι δὲν γνώριζε ὅτι γιὰ ἄλλους λέγουν οἱ προφῆτες τὶς προφητεῖες τους, ἤ, ἂν δὲν εἶναι αὐτό, ἀγνοοῦσε ὅτι ὅταν ὁμιλοῦν γιὰ τὸν ἑαυτό τους, ἀναφέρονται σὲ ἄλλο πρόσωπο. Ἂς ἐντραποῦμε καὶ φτωχοὶ καὶ πλούσιοι ἐκεῖνον τὸν ταμία. «Ἔπειτα ἔφθασαν σὲ κάποια πηγὴ νεροῦ καὶ λέγει· Νά, ἐδῶ ὑπάρχει νερό». Αὐτὸ εἶναι δεῖγμα ψυχῆς ποὺ ὑπερβολικὰ καίγεται ἀπὸ τὸν πόθο. «Τί μὲ ἐμποδίζει νὰ βαπτισθῶ». Βλέπεις τὴν ἐπιθυμία του; Δὲν λέγει, 'βάπτισέ με', οὔτε σιωπᾶ, ἀλλὰ ἐκφράζει κάτι ἀνάμεσα στὴν ἐπιθυμία καὶ τὴν εὐλογία, λέγοντας· «Τί μὲ ἐμποδίζει νὰ βαπτισθῶ;». Πρόσεχε πῶς εἶχε ὁλοκληρωμένη γνώση τῶν δογμάτων. Καθόσον ὁ προφήτης περιεῖχε τὰ πάντα, τὴν ἐνσάρκωση, τὸ πάθος, τὴν ἀνάσταση, τὴν ἀνάληψη, τὴν κρίση τὴ μέλλουσα, τὰ ὁποῖα βέβαια καὶ προκάλεσαν σ' αὐτὸν πολλὴν τὴν ἐπιθυμία. Ντραπεῖτε ὅσοι τυχαίνει νὰ εἶστε ἀφώτιστοι»[9α]. «Καὶ ἔδωσε», λέγει, «ἐντολὴ νὰ σταματήσει ἡ ἅμαξα». Ταυτόχρονα εἶπε καὶ διέταξε, πρὶν ἀκόμα ἀκούσει. «Ὅταν δὲ ἀνέβηκαν ἀπὸ τὴν πηγή, τὸ Πνεῦμα τοῦ Κυρίου ἅρπαξε τὸν Φίλιππο». Ὀρθά, γιὰ νὰ ἀποδειχθεῖ θεῖο αὐτὸ ποὺ ἔγινε, καὶ γιὰ νὰ μὴ νομίσει, ὅτι εἶναι ἁπλῶς ἄνθρωπος. «Καὶ συνέχισε», λέγει, «τὸ δρόμο του χαρούμενος». Αὐτὸ τὸ εἶπε, γιὰ νὰ δείξει, ὅτι θὰ λυπόταν, ἂν γνώριζε· ἔτσι ἀπὸ τὴν πολλὴ χαρά, ἂν καὶ

Πνεύματος καταξιωθείς οὐδὲ ἑώρα τὰ παρόντα. «Καὶ εὑρέθη», φησίν, «εἰς Ἄζωτον». Μέγα ἐντεῦθεν καὶ ὁ Φίλιππος ἐκέρδανεν· ὅπερ γὰρ ἤκουσε περὶ τῶν προφητῶν, περὶ Ἀμβακούμ, περὶ Ἰεζεκιὴλ καὶ τῶν ἄλλων, εἶδεν ἐπ' αὐτοῦ γενόμενον, ὅς ἐν ἀκαρεῖ δείκνυται πολλὴν ὁδὸν ἀπελθών, εἴ γε ἐν Ἀζώτῳ εὑρέθη, καὶ ἐκεῖ λοιπὸν ἵσταται, ἔνθα αὐτὸν καὶ εὐαγγελίσασθαι ἔδει.

«Σαῦλος δέ, ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ, ᾐτήσατο παρ' αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγάς, ὅπως, ἄν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἱερουσαλήμ». Εὐκαίρως παρενέβαλε τὰ περὶ τοῦ ζήλου τοῦ Παύλου, ἵνα δείξῃ ὅτι ἐν μέσῳ τῷ ζήλῳ ἕλκεται· οὐδέπω γὰρ κορεσθεὶς τῷ φόνῳ Στεφάνου, οὐδὲ ἐμπλησθεὶς τῷ διωγμῷ τῆς Ἐκκλησίας καὶ τῇ διασπορᾷ, πρόσεισι τῷ ἀρχιερεῖ. Ἐνταῦθα πληροῦται τὸ παρὰ τοῦ Χριστοῦ πρὸς τοὺς μαθητὰς εἰρημένον, ὅτι «ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ». Οὗτος μὲν οὖν οὕτως ἐποίει, οὐχ ὡς Ἰουδαῖοι, μὴ γένοιτο! (ὅτι γὰρ ζήλῳ ἐποίει, δῆλον ἐκ τοῦ καὶ εἰς τὰς ἔξω πόλεις ἀπιέναι), ἐκεῖνοι δὲ οὔτε κἂν τῶν ἐν Ἱεροσολύμοις ἐφρόντισαν, ἀλλ' ἑνὸς ἐγένοντο μόνου, τοῦ τιμῆς ἀπολαύειν. Διὰ τί δὲ εἰς Δαμασκὸν ἐπορεύετο; Μεγάλη ἡ πόλις ἦν, βασιλικὴ ἦν· ἐφοβεῖτο μὴ καὶ ἐκείνη προκαταληφθῇ. Καὶ ὅρα τὸν πόθον καὶ τὴν σφοδρότητα πῶς νομικῶς ἔπραττεν. Οὐ προσέρσεται ἄρχοντι, ἀλλὰ τῷ ἀρχιερεῖ.

10. Πράξ. 9, 1 - 2.
11. Ἰωάν. 16, 2.

ἀξιώθηκε νὰ λάβει τὴ χάρη τοῦ Πνεύματος, δὲν ἔβλεπε τὰ ὅσα συνέβαιναν τώρα σ' αὐτόν. «Καὶ βρέθηκε», λέγει, «ὁ Φίλιππος στὴν Αἴγυπτο». Ἀπὸ ἐδῶ καὶ ὁ Φίλιππος εἶχε μεγάλο κέρδος˙ διότι ἐκεῖνο ἀκριβῶς ποὺ ἄκουσε γιὰ τοὺς προφῆτες, γιὰ τὸν Ἀμβακούμ, γιὰ τὸν Ἰεζεκιὴλ καὶ τοὺς ἄλλους, εἶδε νὰ συμβαίνει σ' αὐτὸν τὸν ἴδιο, ὁ ὁποῖος φαίνεται ὅτι ἀστραπιαῖα διήνυσε μακρινὸ δρόμο, ἐφόσον βέβαια βρέθηκε στὴν Ἄζωτο, καὶ ἐκεῖ πλέον σταματᾶ, ὅπου ἔπρεπε καὶ νὰ κηρύξει τὸ εὐαγγέλιο.

«Ὁ δὲ Σαῦλος, ποὺ ἀκόμα ἐξακολουθοῦσε νὰ ἀποπνέει ἀπὸ μέσα του αἰσθήματα ἀπειλῆς καὶ φόνου ἐναντίον τῶν μαθητῶν τοῦ Κυρίου, ἀφοῦ προσῆλθε στὸν ἀρχιερέα, ζήτησε ἀπ' αὐτὸν συστατικὲς ἐπιστολὲς γιὰ τὴ Δαμασκὸ πρὸς τὶς ἐκεῖ συναγωγές, μὲ σκοπό, ἂν βρεῖ κάποιους ποὺ νὰ ἀκολουθοῦν τὸ δρόμο τοῦ Ἰησοῦ, ἄνδρες καὶ γυναῖκες, νὰ τοὺς φέρει δεμένους στὴν Ἰερουσαλήμ»[10]. Σὲ κατάλληλη στιγμὴ παρενέβαλε τὰ ὅσα σχετίζονται μὲ τὸ ζῆλο τοῦ Παύλου, γιὰ νὰ δείξει ὅτι προσελκύεται στὸ Χριστό, ἐνῶ διακατέχεται ἀπὸ ζῆλο˙ διότι χωρὶς ἀκόμα νὰ ἔχει χορτάσει μὲ τὸ φόνο τοῦ Στέφανου, οὔτε νὰ ἔχει ἱκανοποιηθεῖ μὲ τὸ διωγμὸ τῆς ἐκκλησίας καὶ τὴ διασπορὰ τῶν χριστιανῶν, προσέρχεται στὸν ἀρχιερέα. Ἐδῶ ἐκπληρώνεται ἐκεῖνο ποὺ ἔχει λεχθεῖ ἀπὸ τὸ Χριστὸ στοὺς μαθητές του, ὅτι «ἔρχεται ἡ ὥρα, ὥστε ὁ καθένας ποὺ θὰ σᾶς φονεύσει, νὰ νομίσει ὅτι προσφέρει λατρεία στὸ Θεό»[11]. Αὐτὸς μὲν λοιπὸν ἔτσι ἐνεργοῦσε, ὄχι ὅπως οἱ Ἰουδαῖοι, μακριὰ μιὰ τέτοια σκέψη, διότι τὸ ὅτι τὰ ἔκαμνε ἀπὸ ζῆλο, εἶναι ὁλοφάνερο καὶ ἀπὸ τὸ ὅτι μετέβαινε καὶ στὶς ἔξω τῆς Ἰουδαίας πόλεις. Ἐκεῖνοι δέ, οὔτε κἂν γιὰ τὰ ὅσα συνέβαιναν στὰ Ἰεροσόλυμα φρόντιζαν, ἀλλὰ γιὰ ἕνα μόνο φρόντιζαν, ν' ἀπολαμβάνουν τιμή. Γιατί δὲ πήγαινε στὴ Δαμασκό; Διότι ἦταν μεγάλη ἡ πόλη καὶ βασιλική˙ φοβόταν μήπως καὶ ἐκείνη προσελκυσθεῖ ἀπὸ τὸ Εὐαγγέλιο. Καὶ πρόσεχε τὸ ζῆλο καὶ τὴ σφοδρὴ ἐπιθυμία του, πῶς ἐνεργοῦσε σύμφωνα μὲ τὸ νόμο. Δὲν προσέρχεται σὲ ἄρχοντα, ἀλλὰ στὸν ἀρχιερέα.

«Αἰτεῖ ἐπιστολὰς παρ' αὐτοῦ, ὅπως, ἄν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας». Ὁδὸν τοὺς πιστεύοντας καλεῖ, οἳ παρὰ πᾶσιν οὕτως ὠνομάζοντο τότε, ἴσως διὰ τὸ τὴν ὁδὸν τέμνειν, τὴν εἰς οὐρανὸν φέρουσαν. Διὰ τί δὲ μὴ ἔλαβεν ἐξουσίαν ἐκεῖ τιμωρήσασθαι αὐτούς, ἀλλ' εἰς Ἰεροσόλυμα ἄγει; Ὥστε μετὰ πλείονος τῆς ἐξουσίας ἐνταῦθα τὰ τῆς τιμωρίας ποιῆσαι. Καὶ ὅρα οἵῳ κινδύνῳ ἐπιρρίπτων ἑαυτόν, ὅμως καὶ οὕτω φοβεῖται μή τι πάθῃ κακόν. Διὰ τοῦτο γοῦν καὶ ἄλλους λαμβάνει μεθ' ἑαυτοῦ, τὸν φόβον τάχα ὑποτεμνόμενος· ἢ καὶ ἐπεὶ κατὰ πολλῶν ἀπῄει, πολλοὺς λαμβάνει, ὅπως θαρσαλεώτερον «οὓς ἂν εὕρῃ ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ ἐν Ἰερουσαλήμ». Ἄλλως τε καὶ διὰ τῆς ὁδοῦ πᾶσιν αὐτοῖς δεῖξαι ἐβούλετο αὐτοῦ τὸ πᾶν ὄν· οὕτως ἐκεῖνοι οὐκ ἐσπούδαζον τοῦτο. Καὶ ὅρα αὐτὸν εἰς φυλακὴν ἐμβάλλοντα καὶ πρὸ τούτου. Ἐκεῖνοι μὲν οὖν οὐκ ἴσχυσαν, οὗτος δὲ ἴσχυσεν ἀπὸ τῆς προθυμίας. «Ἐν δὲ τῷ πορεύεσθαι ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ· καὶ ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ, καὶ πεσὼν ἐπὶ τὴν γῆν, ἤκουσε φωνῆς λεγούσης αὐτῷ· Σαούλ, Σαούλ, τί με διώκεις;».

3. Διὰ τί μὴ ἐν Ἰεροσολύμοις, διὰ τί μὴ γέγονεν ἐν Δαμασκῷ; Ὥστε μὴ ἐξεῖναι ἄλλους ἄλλως αὐτὸ διηγήσασθαι, ἀλλ' αὐτὸς ἀξιόπιστος ᾖ διηγούμενος ὁ διὰ τοῦτο ἀπιών. Τοῦτο γοῦν λέγει καὶ πρὸς Ἀγρίππαν ἀπολογούμενος. Πάσχει δὲ καὶ τὰς ὄψεις, διότι ἡ ὑπερβολὴ τοῦ φωτὸς πλήττειν εἴωθε· μέτρα γὰρ ἔχουσιν οἱ ὀφθαλμοί. Λέγεται δὲ καὶ φωνῆς ὑπερβολὴ κωφοὺς ποιεῖν καὶ ἀποπλῆγας. Ἀλλὰ τοῦτον μόνον ἐπήρωσε καὶ ἔσβεσεν αὐτοῦ τὸν θυμὸν τῷ φόβῳ, ὥστε αὐτὸν ἀκοῦσαι τὰ λεγόμενα. «Σαούλ, Σαούλ», φησί, «τί με διώκεις;». Οὐ λέγει αὐτῷ, 'Πίστευσον', οὐδὲ ἄλλο τι τοι-

---

12. Πράξ. 9, 3-4.

«Ζητεῖ συστατικὲς ἐπιστολὲς ἀπ' αὐτόν, ὥστε ἂν βρεῖ μερικοὺς πιστοὺς τοῦ Χριστοῦ». Ὁδὸ ὀνομάζει ἐκείνους ποὺ πίστευαν, οἱ ὁποῖοι ἀπὸ ὅλους τότε ὀνομάζονταν μὲ τὸ ὄνομα αὐτό, ἴσως διότι χάραζαν τὴν ὁδό, ποὺ ὁδηγεῖ στὸν οὐρανό. Γιατί δὲ δὲν ἔλαβε ἐξουσία νὰ τιμωρήσει ἐκεῖ αὐτούς, ἀλλὰ τοὺς ὁδηγεῖ στὰ Ἱεροσόλυμα; τὸ κάμνει αὐτό, ὥστε μὲ μεγαλύτερη ἐξουσία νὰ ἐπιβάλει τὶς τιμωρίες. Καὶ πρόσεχε σὲ ποιὸ κίνδυνο ἐκθέτει τὸν ἑαυτό του, ὅμως καὶ ἔτσι φοβᾶται μήπως πάθει κανένα κακό. Γι' αὐτὸ λοιπὸν παίρνει καὶ ἄλλους μαζί του, ἴσως γιὰ νὰ μετριάσει τὸ φόβο του· ἢ ἐπειδὴ προσερχόταν ἐναντίον πολλῶν, παίρνει πολλούς, ὥστε μὲ περισσότερο θάρρος, «ὅσους θὰ ἔβρισκε, ἄνδρες καὶ γυναῖκες, νὰ τοὺς φέρει δεμένους στὰ Ἱεροσόλυμα». Ἄλλωστε καὶ διὰ τῆς ὁδοῦ ἤθελε σὲ ὅλους αὐτοὺς νὰ δείξει, ὅτι τὸ πᾶν ἐξαρτιόταν ἀπ' αὐτόν· τόσο πολὺ ἐκεῖνοι δὲν ἔδειχναν τέτοιο ζῆλο. Καὶ πρόσεχε ὅτι αὐτὸς φυλακίζει τοὺς χριστιανοὺς καὶ πρὶν ἀπὸ αὐτὸ τὸ γεγονός. Ἐκεῖνοι λοιπὸν δὲν μπόρεσαν νὰ κάνουν αὐτό, αὐτὸς ὅμως τὸ κατόρθωσε μὲ τὴν προθυμία του. «Ἐνῶ δὲ βάδιζε καὶ πλησίαζε στὴ Δαμασκό, ξαφνικὰ ἄστραψε γύρω του φῶς ἀπὸ τὸν οὐρανό, καί, ἀφοῦ ἔπεσε στὴ γῆ, ἄκουσε φωνή, ποὺ τοῦ ἔλεγε· Σαούλ, Σαούλ, γιατί μὲ καταδιώκεις;»[12].

3. Γιατί δὲν ἔγινε αὐτὸ στὰ Ἱεροσόλυμα; γιατί δὲν ἔγινε στὴ Δαμασκό; Γιὰ νὰ μὴ εἶναι δυνατὸ σὲ ἄλλους νὰ διηγηθοῦν αὐτὸ διαφορετικά, ἀλλὰ γιὰ νὰ εἶναι ἀξιόπιστος, αὐτὸς ποὺ τὰ διηγεῖται, αὐτὸς ποὺ μετέβηκε γιὰ τὸ σκοπὸ αὐτό. Τὸ ἴδιο λοιπὸν λέγει καὶ πρὸς τὸν Ἀγρίππα, ὅταν ἀπολογεῖται. Πάσχει δὲ στὴν ὅραση, διότι τὸ ἔντονο φῶς συνήθως βλάπτει τοὺς ὀφθαλμούς, ποὺ ἔχουν ἕνα ὅριο ἀντοχῆς σ' αὐτό. Λέγεται ἐπίσης ὅτι καὶ ἡ ἔντονη φωνὴ κάμνει τοὺς ἀνθρώπους κωφοὺς καὶ τοὺς παραλύει τὶς λειτουργίες τῆς ἀκοῆς. Ἀλλ' αὐτὸν μόνο τὸν ἄφησε ἀνάπηρο, καὶ ἔσβησε τὸ θυμό του μὲ τὸ φόβο, ὥστε νὰ ἀκούσει ἐκεῖνα ποὺ λέγονταν· «Σαούλ, Σαούλ», λέγει, «γιατί μὲ καταδιώκεις;». Δὲν τοῦ λέγει, 'πίστευσε',

οὗτον οὐδέν, ἀλλ' ἐγκαλεῖ· μονονουχὶ γὰρ τοῦτό φησι δι' ὧν ἐγκαλεῖ· 'Τί παρ' ἐμοῦ μέγα ἢ μικρὸν ἠδικημένος ταῦτα ποιεῖς;'. «Εἶπε δέ· Τίς εἶ, Κύριε;». Τέλος ὡμολόγησεν ἑαυτὸν δοῦλον. Ὁ δὲ Κύριος εἶπεν· «Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις». Ὡσεὶ ἔλεγε· 'Μὴ νομίσῃς πρὸς ἀνθρώπους εἶναί σοι τὸν πλείονα πόλεμον'. Οἱ δὲ συνόντες αὐτῷ τὴν φωνὴν μὲν τοῦ Παύλου ἤκουσαν, οὐδένα δὲ ἐθεώρουν, πρὸς ὃν ἀπεκρίνατο. Εἰκότως· τῶν γὰρ ἐλαττόνων αὐτοὺς ἐποίησεν ἀκροατάς· εἰ γὰρ τῆς φωνῆς ἤκουσαν ἐκείνης, κἂν ἠπίστησαν· τὸν δὲ Παῦλον ὁρῶντες ἀποκρινόμενον, ἐθαύμαζον.

Ἀλλὰ «ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν καὶ λαληθήσεταί σοι τί σε δεῖ ποιεῖν». Ὅρα πῶς οὐκ εὐθέως πάντα αὐτῷ ἀποκαλύπτει, ἀλλὰ μόνον προμαλάττει αὐτοῦ τὴν διάνοιαν, καὶ δι' ὧν παρακελεύεται ποιεῖν αὐτόν, παραχρῆμα δίδωσιν αὐτῷ χρηστὰς ἐλπίδας, καὶ ὅτι ἀναβλέψει. «Οἱ δὲ ἄνδρες, οἱ συνοδεύοντες αὐτῷ, εἱστήκεισαν ἐννεοί, ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες. Ἠγέρθη δὲ ὁ Σαῦλος ἀπὸ τῆς γῆς, ἀνεῳγμένων τε τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε. Χειραγωγοῦντες δὲ αὐτὸν εἰσήγαγον εἰς Δαμασκόν». Τὸ λάφυρον τοῦ διαβόλου, τὰ σκεύη αὐτοῦ, καθάπερ πόλεως τινος ἢ μητροπόλεως ληφθείσης, εἰσάγουσι. Καὶ τὸ δὴ θαυμαστόν, αὐτοὶ οἱ πολέμιοι καὶ ἐχθροὶ εἰσήγαγον αὐτόν, πάντων ὁρώντων. «Καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν, οὐδὲ ἔπιε». Τί τούτου ἴσον γένοιτ' ἄν; Ἀντίρροπος τῆς ἐπὶ Στεφάνου ἀθυμίας παράκλησις ἡ Παύλου προσαγωγὴ γίνεται, ἔχουσα μὲν καὶ αὐτόθεν παραμυθίαν τὸ οὕτως αὐτὸν ἀπελθεῖν, λαβοῦσα δὲ καὶ ταύτην, καὶ αἱ Σαμαρειτῶν δὲ κῶμαι προσαχθεῖσαι, μεγίστην παρέσχον παράκλησιν.

---

13. Πράξ. 9,5.
14. Πράξ. 9, 6.
15. Πράξ. 9, 7-8.
16. Πράξ. 9, 9.

οὔτε τίποτε ἄλλο παρόμοιο, ἀλλὰ τὸν κατηγορεῖ. Διότι μὲ τὰ ὅσα τὸν κατηγορεῖ, εἶναι σχεδὸν σὰν νὰ λέγει τὸ ἑξῆς· 'Ποιὰ μικρὴ ἢ μεγάλη ἀδικία ἔχεις πάθει ἀπὸ μένα, καὶ κάνεις αὐτά;'. «Εἶπε δέ, ποιὸς εἶσαι Κύριε;». Πρῶτα ὁμολόγησε τὸν ἑαυτό του δοῦλο. Ὁ δὲ Κύριος εἶπε· «Ἐγὼ εἶμαι ὁ Ἰησοῦς, τὸν ὁποῖο σὺ καταδιώκεις»[13]. Σὰν νὰ ἔλεγε· 'μὴ νομίσεις ὅτι ὁ πόλεμός σου εἶναι ἐναντίον ἀνθρώπων'. Ἐκεῖνοι δὲ ποὺ ἦταν μαζί του ἄκουσαν μὲν τὴ φωνὴ τοῦ Παύλου, δὲν ἔβλεπαν ὅμως κανένα, πρὸς τὸν ὁποῖο ἀποκρινόταν. Καὶ δικαιολογημένα· διότι ἔκανε αὐτοὺς ἀκροατὲς τῶν κατωτέρων· διότι, ἂν ἄκουαν τὴ φωνὴ ἐκείνη, ἴσως δὲν θὰ πίστευαν· βλέποντας ὅμως τὸν Παῦλο νὰ ἀποκρίνεται, θαύμαζαν.

Ἀλλὰ «Σήκω καὶ πήγαινε στὴν πόλη καὶ θὰ σοῦ λεχθεῖ τί πρέπει νὰ κάνεις»[14]. Βλέπε πῶς δὲν ἀποκαλύπτει ἀμέσως σ' αὐτὸν τὰ πάντα, ἀλλὰ μόνο καταπραΰνει πρῶτα τὴ διάνοιά του, καὶ μὲ ἐκεῖνα ποὺ τὸν συμβουλεύει νὰ κάνει, ἀμέσως δίνει σ' αὐτὸν ἀγαθὲς ἐλπίδες, καὶ ὅτι θὰ ἀναβλέψει. «Οἱ δὲ ἄνδρες, ποὺ τὸν συνόδευαν, στάθηκαν ἐμβρόντητοι καὶ ἄλαλοι, διότι ἄκουαν μὲν τὴ φωνή, δὲν ἔβλεπαν ὅμως κανένα. Σηκώθηκε δὲ ὁ Σαῦλος ἀπὸ τὸ ἔδαφος, ἀλλὰ ἂν καὶ τὰ μάτια του ἦταν ἀνοιχτά, δὲν ἔβλεπε κανένα. Κρατώντας δὲ αὐτὸν ἀπὸ τὸ χέρι, τὸν ἔφεραν στὴ Δαμασκό»[15]. Εἰσάγουν τὸ λάφυρο τοῦ Διαβόλου, τὰ σκεύη αὐτοῦ, ὅπως ἀκριβῶς ὅταν κάποια πόλη ἢ μητρόπολη κυριευθεῖ. Καὶ τὸ ἀξιοθαύμαστο βέβαια εἶναι αὐτό, ὅτι οἱ ἴδιοι οἱ πολέμιοι καὶ ἐχθροὶ ὁδήγησαν αὐτὸν μέσα στὴν πόλη, ἐνῶ ὅλοι ἔβλεπαν αὐτόν. «Καὶ ἐπὶ τρεῖς ἡμέρες δὲν ἔβλεπε, καὶ δὲν ἔφαγε καὶ οὔτε ἤπιε»[16]. Τί θὰ μποροῦσε νὰ ἐξισωθεῖ μὲ αὐτό; Ἀντίρροπη παρηγοριὰ τῆς θλίψεως γιὰ τὸ θάνατο τοῦ Στέφανου γίνεται ἡ προσέλευση τοῦ Παύλου, ἡ ὁποία καὶ ἀπὸ αὐτὸ μὲν προκαλεῖ παγοριά, τὸ ὅτι κατὰ τὸν τρόπο αὐτὸ πέθανε ὁ Στέφανος, μὲ τὸ νὰ προστεθεῖ ὅμως καὶ αὐτή, καὶ νὰ προσέλθουν καὶ οἱ κωμοπόλεις στὸ εὐαγγέλιο, προκάλεσε πάρα πολὺ μεγάλη παρηγοριά.

Καὶ διὰ τί, φησί, μὴ ἐξ ἀρχῆς τοῦτο γέγονεν, ἀλλὰ μετὰ ταῦτα; Ἵνα δειχθῇ ὅτι ὄντως ἀνέστη ὁ Χριστός· ὁ γὰρ ἐλαύνων αὐτόν, καὶ ἀπιστῶν αὐτοῦ τῇ τελευτῇ καὶ τῇ ἀναστάσει, καὶ τοὺς μαθητὰς αὐτοῦ διώκων, οὗτος πόθεν, εἰπέ μοι, ἂν ἐπίστευσεν, εἰ μὴ πολλὴ ἦν τοῦ σταυρωθέντος ἡ ἰσχύς; Ἔστω· ἐκεῖνοι αὐτῷ ἐχαρίζοντο, τί ἐρεῖς πρὸς τοῦτον; Ἄλλως δὲ διὰ τοῦτο μετὰ τὴν ἀνάστασιν προσῆλθε, καὶ οὐκ εὐθέως, ἵνα σαφέστερος αὐτοῦ δειχθῇ ὁ πόλεμος· ὁ γὰρ οὕτω μαινόμενος, ὡς καὶ αἵματα ἐκχεῖν, καὶ εἰς δεσμωτήρια ἐμβάλλειν ἀθρόον πιστεύει. Οὐκ ἤρκει τὸ μὴ συγγενέσθαι τῷ Χριστῷ, ἀλλ' ἔδει καὶ πολεμηθῆναι σφοδρῶς ὑπ' αὐτοῦ τοὺς πιστούς· οὐδεμίαν κατέλιπεν ὑπερβολὴν μανίας, πάντων σφοδρότερος οὗτος ἦν. Ἐπειδὴ δὲ ἐπηρώθη, τότε τῆς δεσποτείας αὐτοῦ τὰ τεκμήρια καὶ τῆς φιλανθρωπίας γνωρίζει, ἢ καὶ ἵνα μή τις εἴπῃ ὅτι ὑπεκρίνατο· πῶς γὰρ ὁ αἱμάτων ἐπιθυμῶν, ὁ τοῖς ἱερεῦσι προσελθών, ὁ εἰς κινδύνους ἑαυτὸν ἐπιρρίπτων, καὶ τοὺς ἔξω ἐλαύνων καὶ τιμωρούμενος; Οὗτος οὖν μετὰ ταῦτα πάντα τὴν δεσποτείαν ὁμολογεῖ. Διὰ τί δὲ οὐκ ἔνδον ἐν τῇ πόλει περιηστράφθη τῷ φωτί, ἀλλὰ πρὸ αὐτῆς; Ὅτι οὐκ ἂν ἐπίστευσαν οἱ πολλοί, ἀλλὰ καὶ ἐχλεύασαν ἄν, ὅπου γε καὶ ἐκεῖ, ἄνωθεν ἐνεχθείσης φωνῆς ἀκούαντες, ἔλεγον ὅτι «βροντή ἐστιν»· οὗτος δὲ ἀξιόπιστος ἦν ἀπαγγέλλων μᾶλλον τὰ αὐτοῦ. Καὶ δεδεμένος εἰσήγετο, οὐ περικειμένων αὐτῷ δεσμῶν, καὶ εἷλκον αὐτὸν τὸν προσδοκήσαντα τοὺς ἄλλους ἕλξειν.

Τίνος δὲ ἕνεκεν «οὐκ ἔφαγεν, οὐδὲ ἔπιε»; Κατεγίνωσκεν ἑαυτοῦ ἐπὶ τοῖς γινομένοις, ἐξωμολογεῖτο, ηὔχετο, παρεκάλει τὸν Θεόν. Εἰ δὲ λέγοι τις, "Ἀνάγκης εἶναι τὸ πρᾶγμα", (καὶ

---

17. Ἰωάν. 12, 29.

Καὶ γιατί, λέγει, δὲν ἔγινε αὐτὸ ἀπὸ τὴν ἀρχή, ἀλλὰ μετὰ ἀπὸ ὅλα αὐτά; Γιὰ νὰ ἀποδειχθεῖ ὅτι πράγματι ἀναστήθηκε ὁ Χριστός· διότι ἐκεῖνος ποὺ καταδίωκε αὐτὸν καὶ δὲν πίστευε στὸ σταυρικὸ θάνατο αὐτοῦ καὶ τὴν ἀνάσταση, καὶ καταδίωκε τοὺς μαθητές του, πές μου, αὐτὸς ἀπὸ ποῦ θὰ πίστευε, ἂν δὲν ἦταν μεγάλη ἡ δύναμη τοῦ Σταυρωθέντος; Ἔστω, οἱ μαθητές του πίστευαν χαριζόμενοι σ' Αὐτόν, γι' αὐτὸν τί θὰ πεῖς; Ἄλλωστε δὲ γι' αὐτὸ προσῆλθε στὴν πίστη τοῦ εὐαγγελίου μετὰ τὴν ἀνάσταση καὶ ὄχι ἀμέσως, γιὰ νὰ φανεῖ καθαρώτερα ὁ πόλεμος αὐτοῦ. Διότι ἐκεῖνος ποὺ ἦταν κυριευμένος ἀπὸ τέτοια μανία, ὥστε καὶ αἵματα νὰ χύνει καὶ σὲ φυλακὴ νὰ ὁδηγεῖ, πιστεύει ἀμέσως. Δὲν ἦταν ἀρκετὸ τὸ ὅτι δὲν ἀνῆκε στὸ Χριστό, ἀλλ' ἔπρεπε νὰ καταπολεμηθοῦν ἀπὸ αὐτὸν οἱ πιστοί· δὲν ἄφησε καμιὰ ὑπερβολὴ μανίας, ἀλλ' ἦταν ὁ πιὸ σκληρὸς ἀπὸ ὅλους. Ἀφοῦ δὲ ἔμεινε τυφλός, τότε γνωρίζει τὰ δείγματα τῆς μεγάλης δυνάμεως καὶ τῆς φιλανθρωπίας Αὐτοῦ, ἢ καὶ γιὰ νὰ μὴ πεῖ κανένας ὅτι ὑποκρινόταν· διότι πῶς ἦταν δυνατὸ νὰ ὑποκρίνεται ἐκεῖνος ποὺ ἐπιθυμεῖ αἵματα, ποὺ προσῆλθε στοὺς ἱερεῖς γιὰ ὁδηγίες ἐναντίον τῶν πιστῶν, ἐκεῖνος, ποὺ ριψοκινδυνεύει τὸν ἑαυτό του, καὶ καταδιώκει τοὺς ἐκτὸς τῶν Ἱεροσολύμων, καὶ τοὺς τιμωρεῖ; Αὐτὸς λοιπὸν μετὰ ἀπ' ὅλα αὐτὰ παραδέχεται καὶ ἀναγνωρίζει τὴ δύναμη Αὐτοῦ. Γιατί δὲ δὲν περιέλαμψε αὐτὸν τὸ φῶς μέσα στὴν πόλη, ἀλλὰ πρὶν ἀπ' αὐτήν; Διότι δὲν θὰ πίστευαν οἱ πολλοί, ἀλλὰ καὶ θὰ τὸν χλεύαζαν, τὴ στιγμὴ βέβαια ποὺ καὶ ἐκεῖ, ἀκούοντας νὰ ἔρχεται ἡ φωνὴ ἀπὸ ψηλά, ἔλεγαν, ὅτι «εἶναι βροντή»[17]. Αὐτὸς δὲ ἦταν περισσότερο ἀξιόπιστος ἀναγγέλοντας τὰ σχετικὰ μὲ τὸν ἑαυτό του. Καὶ ὁδηγοῦνταν στὴν πόλη δεμένος, χωρὶς νὰ τοῦ εἶχαν τοποθετήσει δεσμά, καὶ ἔσερναν αὐτόν, ποὺ ἤλπιζε νὰ σύρει τοὺς ἄλλους.

Γιατί δὲ δὲν ἔφαγε καὶ δὲν ἤπιε; Κατηγοροῦσε τὸν ἑαυτό του γιὰ τὰ ὅσα ἔγιναν, ἐξομολογοῦνταν, προσευχόταν, παρακαλοῦσε τὸ Θεό. Ἂν δὲ λέγει κάποιος ὅτι τὸ

γὰρ ὁ Ἐλύμας τὸ αὐτὸ ἔπαθεν), ἐροῦμεν· 'Ναί, ἔπαθεν, ἀλλ' ἔμεινεν, ὡς εἶχε'. Πῶς οὖν οὐκ ἠναγκάσθη; Καὶ τί ἀναγκαστικώτερον τοῦ σεισμοῦ τοῦ ἐπὶ τῆς ἀναστάσεως, τῶν στρατιωτῶν τῶν ἀπαγγειλάντων, τῶν σημείων τῶν ἄλλων τοῦ ἰδεῖν αὐτὸν ἀναστάντα; Ἀλλ' οὐκ ἔστι ταῦτα ἀναγκαστικά, ἀλλὰ διδακτικά. Ἰουδαῖοι διὰ τί οὐκ ἐπίστευσαν, ταῦτα ἀκούσαντες; Ὅτι ἠλήθευε δῆλον ἦν· οὐ γὰρ ἂν μετέθετο, μὴ γενομένου τούτου· ὥστε πάντας πιστεῦσαι ἔδει. Τῶν τὴν ἀνάστασιν αὐτοῦ κηρυττόντων οὐχ ἥττων ἦν, μᾶλλον δὲ καὶ ἀξιοπιστότερος, ἀθρόον μεταβεβλημένος. Οὐ συνεγένετό τινι τῶν πιστῶν, ἀλλ' ἐν Δαμασκῷ μετεβάλετο, μᾶλλον δὲ πρὸ τῆς Δαμασκοῦ τοῦτο ἔπαθεν. Ἐρωτῶ τὸν Ἰουδαῖον· 'Πόθεν, εἰπέ μοι, μετεβλήθη Παῦλος; Τοσαῦτα σημεῖα εἶδε, καὶ οὐ μετεβλήθη· τίς ἔπεισεν αὐτόν; μᾶλλον δὲ τίς ἀθρόον τοσαύτην ἐνέβαλεν αὐτῷ προθυμίαν, ὡς καὶ ἀνάθεμα εὔξασθαι γενέσθαι ὑπὲρ τοῦ Χριστοῦ;'. Φανερά ἐστιν ἡ τῶν πραγμάτων ἀλήθεια. Ἀλλά, ὅπερ ἔφην, τέως τὸν εὐνοῦχον αἰσχυνθῶμεν, καὶ φωτιζόμενον καὶ ἀναγινώσκοντα. Ὁρᾶτε πῶς ἦν ἐν δυναστείᾳ, πῶς ἦν ἐν πλούτῳ, καὶ οὐδὲ ἐν ὁδῷ ἡσύχαζε; Τίς ἦν ἄρα οὗτος μένων ἐπ' οἰκίας, μηδὲ ἐν ὁδοῖς ἀνεχόμενος σχολάζειν; τίς ἦν οὗτος ἐν νυκτί;

4. Ὅσοι ἐν ἀξιώμασίν ἐστε, ἀκούσατε, καὶ τὸ ἄτυφον καὶ εὐλαβὲς μιμήσασθε. Καίτοι μέλλων ἀπιέναι οἴκαδε, οὐκ εἶπε πρὸς ἑαυτόν, 'Ἀπέρχομαι εἰς τὴν πατρίδα, ἐκεῖ λαμβάνω τὸ λουτρόν', τὰ ψυχρὰ ῥήματα τῶν πολλῶν· οὐκ ἐδεήθη σημείων, οὐκ ἐδεήθη θαυμάτων, ἀπὸ τοῦ Προφήτου μόνον ἐπίστευσε. Διὰ ταῦτα πενθεῖ ἑαυτὸν ὁ Παῦλος, λέγων· «Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ, καὶ

18. Ρωμ. 9, 3.

πράγμα αὐτὸ ἔγινε κατ' ἀνάγκη (διότι καὶ ὁ Ἐλύμας ἔπαθε τὸ ἴδιο), θὰ ἀπαντήσουμε· Ναὶ ἔπαθε, ἀλλ' ἔμεινε ὅπως ἦταν'. Πῶς λοιπὸν δὲν ἀναγκάσθηκε; Καὶ τί εἶναι πιὸ ἀναγκαστικὸ ἀπὸ τὸ σεισμό, ποὺ ἔγινε κατὰ τὴν ἀνάσταση, ἀπὸ τοὺς στρατιῶτες, ποὺ ἀνάγγειλαν τὸ συμβάν, ἀπὸ τὰ ἄλλα σημεῖα, τὸ ὅτι εἶδαν αὐτὸν ἀναστημένο; Ἀλλ' αὐτὰ δὲν εἶναι ἀναγκαστικά, ἀλλὰ διδακτικά. Οἱ Ἰουδαῖοι γιατί δὲν πίστεψαν, ἀκούοντας αὐτά; Ὅτι ἔλεγε τὴν ἀλήθεια, ἦταν φανερό· διότι δὲν θὰ μεταστρέφονταν ἐὰν δὲν γινόταν αὐτό, ὥστε ὅλοι ἔπρεπε νὰ πιστέψουν. Δὲν ἦταν κατώτερος ἀπὸ ἐκείνους ποὺ κήρυτταν τὴν ἀνάσταση Αὐτοῦ, μᾶλλον δὲ ἦταν καὶ πιὸ ἀξιόπιστος, ἐφόσον ἀμέσως μεταστράφηκε. Δὲν συναναστρεφόταν μὲ κάποιον ἀπὸ τοὺς πιστούς, ἀλλὰ στὴ Δαμασκὸ μεταστράφηκε, μᾶλλον δὲ πρὶν ἀπὸ τὴ Δαμασκὸ ἔγινε αὐτό. Ἐρωτῶ τὸν Ἰουδαῖο· Πές μου, ἀπὸ ποῦ μεταστράφηκε ὁ Παῦλος; Εἶδε τόσα θαύματα καὶ δὲν μεταστράφηκε· ὁ διδάσκαλός του Γαμαλιὴλ μεταστράφηκε, καὶ αὐτὸς δὲν μεταστράφηκε· ποιός τὸν ἔπεισε; μᾶλλον δὲ ποιός ἀμέσως ἔβαλε μέσα του τόση προθυμία, ὥστε νὰ εὐχηθεῖ νὰ γίνει ἀνάθεμα γιὰ τὸ Χριστό;[18]' Εἶναι φανερὴ ἡ ἀλήθεια τῶν πραγμάτων. Ἀλλ' ὅμως, ὅπως εἶπα προηγουμένως, ἂς ντραποῦμε τὸν εὐνοῦχο καὶ ὅταν βαπτίζεται καὶ ὅταν διαβάζει τὴν προφητεία. Βλέπετε πῶς ἦταν μὲ ἐξουσία, πῶς ἦταν πλούσιος, καὶ ὅμως οὔτε στὸ δρόμο ἡσύχαζε; Ἄρα ποιὸς ἦταν αὐτός, ὅταν ἔμενε στὴν οἰκία, ἀφοῦ καὶ στὶς πορεῖες του δὲν παρέμεινε ἀργός; Ποιὸς ἦταν αὐτὸς κατὰ τὴ νύχτα;

4. Ὅσοι εἴστε κάτοχοι ἀξιωμάτων, ἀκούσατε αὐτὰ καὶ μιμηθεῖτε τὴν ταπεινοφροσύνη καὶ εὐλάβεια αὐτοῦ. Ἂν καὶ ἐπρόκειτο νὰ ἀπέλθει στὴν οἰκία του, δὲν εἶπε στὸν ἑαυτό του· Ἐπιστρέφω στὴν πατρίδα μου καὶ ἐκεῖ λαμβάνω τὸ λουτρὸ τοῦ βαπτίσματος', λόγια ψυχρὰ τῶν πολλῶν· δὲν χρειάσθηκε σημεῖα, δὲν χρειάσθηκε θαύματα, ἀλλὰ μόνο ἀπὸ τὸν προφήτη πίστεψε. Γι' αὐτὸ πενθεῖ τὸν ἑαυτό του ὁ Παῦλος, λέγοντας· «Ἀλλὰ γιὰ τὴν ἄγνοιά

ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν». Ἄξιον ὄντως θαυμάσαι τὸν εὐνοῦχον τοῦτον. Οὐκ εἶδε τὸν Χριστόν, οὐκ εἶδε σημεῖον· ὅτι τὰ Ἰεροσόλυμα συνεστῶτα ἑώρα, καὶ ἐπίστευε τῷ Φιλίππῳ. Πόθεν οὖν τοιοῦτος γεγένηται; Μεμεριμνημένη ἦν ἡ ψυχὴ αὐτοῦ, προσεῖχε Γραφαῖς, ἐσχόλαζεν ἀναγνώσεσι. Καίτοι καὶ ὁ λῃστὴς εἶδε σημεῖα, καὶ οἱ μάγοι εἶδον ἀστέρα, οὗτος δὲ οὐδὲν εἶδε τοιοῦτον, καὶ ἐπίστευσε· τοσοῦτόν ἐστιν ἡ τῶν Γραφῶν ἀνάγνωσις ὠφέλιμος! Τί οὖν Παῦλος; οὐχὶ τὸν νόμον ἐμελέτα; Ἀλλ' ἐμοὶ δοκεῖ οὗτος ἐπίτηδες ἀναβληθῆναι, δι' ἅπερ εἶπον προλαβών, πανταχόθεν βουλομένου ἐπισπάσασθαι τοὺς Ἰουδαίους τοῦ Χριστοῦ· εἰ γὰρ νοῦν εἶχον, οὐδὲν αὐτοὺς οὕτως ὠφέλει ὡς τοῦτο. Τοῦτο γὰρ καὶ σημείων μᾶλλον καὶ πάντων ἱκανὸν ἦν αὐτοὺς ἐφελκύσασθαι· ὥσπερ οὖν οὐδὲν οὕτω σκανδαλίζειν εἴωθε τοὺς παχυτέρους.

Ὅρα γοῦν μετὰ τὴν διασπορὰν τῶν Ἀποστόλων καὶ τὸν Θεὸν ποιοῦντα τὰ σημεῖα. Ἐνεκάλεσαν Ἰουδαῖοι τοῖς Ἀποστόλοις, ἐνέβαλον εἰς δεσμωτήριον· λοιπὸν ὁ Θεὸς θαυματουργεῖ. Καὶ πῶς, ὅρα. Τὸ ἐξενεγκεῖν ἀπὸ τῆς φυλακῆς, αὐτοῦ σημεῖον ἦν· τὸ ἀγαγεῖν Φίλιππον, αὐτοῦ σημεῖον ἦν· τὸ Παῦλον προσαγαγέσθαι, αὐτοῦ σημεῖον ἦν· τὸ δεῖξαι Στεφάνῳ ἑαυτόν, αὐτοῦ σημεῖον ἦν. Καὶ σκόπει πῶς μὲν τιμᾶται Παῦλος, πῶς δὲ ὁ εὐνοῦχος. Ἐνταῦθα καὶ ὁ Χριστὸς φαίνεται, ἴσως διὰ τὸ σκληρόν, καὶ ὅτι οὐκ ἂν ἄλλως ἐπείσθη. Τούτοις ἐνστρεφόμενοι καὶ ἡμεῖς τοῖς θαύμασιν, ἀξίους ἑαυτοὺς παρασκευάσωμεν. Πολλοὶ νῦν, οὐδὲ εἰς ἐκκλησίαν εἰσιόντες, οὐκ ἴσασι τὰ λεγόμενα· ὁ δὲ εὐνοῦχος, καὶ ἐπ' ἁ-

19. Α' Τιμοθ. 1, 13. 16.

μου αὐτὴ ἐλεήθηκα ἀπὸ τὸ Θεό, διότι ἀπὸ ἄγνοιά μου ἔκανα αὐτά, ὅταν ἤμουν ἀκόμη στὴν ἀπιστία, καὶ γιὰ νὰ δείξει ὁ Ἰησοῦς Χριστὸς σ' ἐμένα πρῶτα, ὅλη τὴ μακροθυμία του»[19]. Εἶναι πράγματι ἄξιο νὰ θαυμάσει κανένας τὸν εὐνοῦχο αὐτόν. Δὲν εἶδε τὸ Χριστό, δὲν εἶδε σημεῖο· ἀκόμη ἔβλεπε τὰ Ἱεροσόλυμα νὰ ὑπάρχουν καὶ πίστευε στὸ Φίλιππο. Ἀπὸ ποῦ λοιπὸν εἶχε γίνει τέτοιος; Φρόντιζε ἡ ψυχή του, πρόσεχε τὶς Γραφές, τὶς μελετοῦσε. Καὶ βέβαια καὶ ὁ ληστὴς εἶδε σημεῖα, καὶ οἱ μάγοι εἶδαν ἀστέρι, αὐτὸς ὅμως δὲν εἶδε τίποτε τὸ παρόμοιο καὶ πίστεψε· τόσο ὠφέλιμη εἶναι ἡ ἀνάγνωση τῶν Γραφῶν. Τί λοιπὸν ὁ Παῦλος; δὲν μελετοῦσε τὸ νόμο; Ἀλλὰ μοῦ φαίνεται ὅτι ἐπίτηδες ἀναβλήθηκε ἡ μεταστροφή του, γιὰ τὸ λόγο ποὺ προανέφερα, ἐπειδὴ ὁ Χριστὸς ἤθελε μὲ κάθε τρόπο νὰ προσελκύσει τοὺς Ἰουδαίους. Διότι, ἂν εἶχαν νοῦ, τίποτε δὲν θὰ τοὺς ὠφελοῦσε τόσο, ὅσο αὐτό. Διότι αὐτό, περισσότερο καὶ ἀπὸ τὰ σημεῖα καὶ ἀπὸ ὅλα τ' ἄλλα, ἦταν δυνατὸ νὰ τοὺς προσελκύσει· ὅπως ἀκριβῶς τίποτε συνήθως δὲν σκανδαλίζει τόσο πολὺ τοὺς πνευματικὰ ἀδιάφορους.

Πρόσεχε λοιπὸν ὅτι καὶ ὁ Θεὸς μετὰ τὴ διασπορὰ τῶν Ἀποστόλων ἐπιτελεῖ τὰ σημεῖα. Κατηγόρησαν οἱ Ἰουδαῖοι τοὺς Ἀποστόλους, τοὺς ἔκλεισαν στὴ φυλακή, στὴ συνέχεια ὁ Θεὸς θαυματουργεῖ. Καὶ πῶς, πρόσεχε. Ἡ ἔξοδός τους ἀπὸ τὴ φυλακή, ἦταν σημεῖο δικό του· τὸ ὅτι ὁδήγησε τὸ Φίλιππο, ἦταν σημεῖο δικό του· τὸ ὅτι προσήλκυσε τὸν Παῦλο, ἦταν σημεῖο δικό του· τὸ νὰ ἀποκαλύψει τὸν ἑαυτό του στὸ Στέφανο, ἦταν σημεῖο δικό του. Καὶ πρόσεχε πῶς μὲν τιμᾶται ὁ Παῦλος, πῶς δὲ τιμᾶται ὁ εὐνοῦχος. Ἐδῶ καὶ ὁ Χριστὸς ἐμφανίζεται, ἴσως λόγω τῆς σκληρῆς στάσεως τοῦ Σαύλου καὶ διότι δὲν ἦταν δυνατὸ ἀλλιῶς νὰ πεισθεῖ. Μὲ αὐτὰ λοιπὸν τὰ θαύματα ἂς ἀνατρεφόμαστε καὶ ἐμεῖς, ὥστε νὰ κάνουμε τοὺς ἑαυτούς μας ἄξιους. Πολλοὶ τώρα, ἂν καὶ εἰσέρχονται στὴν ἐκκλησία, δὲν γνωρίζουν τὰ λεγόμενα· ὁ δὲ εὐνοῦχος καὶ στὴν ἀγορά, καὶ μεταφερόμενος ἐπάνω στὴν

γορᾶς, καὶ ἐπὶ ὀχήματος φερόμενος, τῇ ἀναγνώσει τῶν Γραφῶν προσεῖχεν. Ἀλλ' οὐχ ὑμεῖς· οὐδεὶς γὰρ ὑμῶν βιβλίον ἔχει μετὰ χεῖρας, ἀλλὰ πάντα μᾶλλον ἢ τὸ βιβλίον. Διὰ τί δὲ μὴ πρὸ τῶν Ἱεροσολύμων ὁρᾷ αὐτόν, ἀλλὰ μετὰ ταῦτα; Οὐκ ἔδει αὐτὸν ἰδεῖν ἐλαυνομένους τοὺς Ἀποστόλους διὰ τὸ ἀσθενὲς ἔτι, οὐδὲ πρότερον οὕτως ἦν εὔκολον, ὡς, ὅτε ὁ Προφήτης αὐτὸν κατήχησεν. Οὕτω καὶ νῦν, εἴς τις ὑμῶν ἐθέλει προσέχειν τοῖς προφήταις, οὐ δεήσεται σημείων· καὶ εἰ βούλεσθε, αὐτὴν τὴν προφητείαν ἴδωμεν τί φησιν. «Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη». Ἐντεῦθεν ἔμαθεν ὅτι ἐσταυρώθη, ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, ὅτι ἴσχυσε καὶ ἑτέρους σῶσαι, ὅτι ἡ γενεὰ αὐτοῦ ἀνεκδιήγητος, ὅτι πέτραι ἐρράγησαν, ὅτι τὸ καταπέτασμα ἐσχίσθη, ὅτι νεκροὶ ἐκ τῶν μνημείων ἠγέρθησαν· μᾶλλον δὲ ταῦτα πάντα εἶπεν αὐτῷ ὁ Φίλιππος, μόνον ὑπόθεσιν λαβὼν ἀπὸ τοῦ Προφήτου.

Μέγα ὄντως ἡ τῶν Γραφῶν ἀνάγνωσις. Οὕτως ἐκεῖνο ἐπληροῦτο, τὸ παρὰ τοῦ Μωϋσέως εἰρημένον· «Καθεζόμενος, καὶ κοιταζόμενος, καὶ διανιστάμενος, καὶ περιπατῶν, μέμνησο Κυρίου τοῦ Θεοῦ σου». Μάλιστα γὰρ αἱ ὁδοί, ὅταν ἔρημοι ὦσι, καὶ πρὸς τὰς ἐννοίας ἡμῖν καιρὸν διδόασιν, οὐδενὸς ὄντος τοῦ παρενοχλοῦντος. Καὶ οὗτος ἐν ὁδῷ πιστεύει, καὶ Παῦλος ἐν ὁδῷ· ἀλλὰ τοῦτον οὐδεὶς ἕλκει, ἀλλ' ὁ Χριστός. Μεῖζον ἢ κατὰ τοὺς Ἀποστόλους τοῦτο ἦν· τὸ δὲ μεῖζον, ὅτι τῶν Ἀποστόλων ὄντων ἐν Ἱεροσολύμοις, καὶ οὐδενὸς ὄντος ἐκ τούτων ἐν Δαμασκῷ ἐπανήει ἐκεῖθεν πεισθείς, καὶ οἱ ἐν Δαμασκῷ ᾔδεσαν ὅτι οὐκ ἀπὸ Ἱεροσολύμων ἦλθε πεπεισμέ-

20. Ἡσ. 53, 7 - 8.
21. Δευτ. 6, 7.

ἅμαξα, ἔδειχνε τὸ ἐνδιαφέρον του γιὰ τὴν ἀνάγνωση τῶν Γραφῶν. Ἀλλὰ δὲν κάνετε καὶ σεῖς τὸ ἴδιο· διότι κανένας ἀπὸ σᾶς δὲν ἔχει βιβλίο στὰ χέρια του, ἀλλ᾿ ὅλα τὰ ἄλλα μᾶλλον, παρὰ τὸ βιβλίο. Γιατί δὲ δὲν βλέπει αὐτὸν πρὶν ἐπισκεφθεῖ τὰ Ἱεροσόλυμα, ἀλλὰ στὴ συνέχεια; Δὲν ἔπρεπε αὐτὸς νὰ δεῖ τοὺς Ἀποστόλους νὰ ἐκδιώκονται, ἐπειδὴ ἦταν ἀσθενὴς ἀκόμα στὴν πίστη του· καὶ οὔτε ἦταν αὐτὸ εὔκολο προηγουμένως, ὅπως ὅταν μετὰ ὁ προφήτης κατήχησε αὐτόν. Ἔτσι καὶ τώρα, ἂν κανένας ἀπὸ σᾶς ἐπιθυμεῖ νὰ προσέξει τοὺς προφῆτες, δὲν θὰ χρειασθεῖ θαύματα· καὶ ἂν θέλετε, ἂς δοῦμε αὐτὴν τὴν προφητεία τί λέγει· «Σὰν πρόβατο ὁδηγήθηκε στὴ σφαγή, καὶ ὅταν ταπεινώθηκε ἁρπάχθηκε κατὰ τὴν κρίση καὶ παραδόθηκε στὸ θάνατο». Ἀπὸ ἐδῶ ἔμαθε, ὅτι σταυρώθηκε καὶ ὅτι ἀφαιρεῖται ἀπὸ τὴ γῆ ἡ ζωή του, ὅτι δὲν διέπραξε ἁμαρτία, ὅτι μπόρεσε καὶ ἄλλους νὰ σώσει, ὅτι τὴ γενεά του δὲν μπορεῖ νὰ τὴ διηγηθεῖ κανένας, ὅτι οἱ πέτρες ράγησαν, ὅτι τὸ καταπέτασμα τοῦ ναοῦ σχίσθηκε, ὅτι νεκροὶ ἀπὸ τὰ μνημεῖα σηκώθηκαν· μᾶλλον δὲ ὅλα αὐτὰ τὰ εἶπε σ᾿ αὐτὸν ὁ Φίλιππος, ἀφοῦ ἔλαβε μόνο ἀφορμὴ ἀπὸ τὸν προφήτη.

Πράγματι εἶναι πολὺ σπουδαῖο πράγμα ἡ ἀνάγνωση τῶν Γραφῶν. Ἔτσι πραγματοποιοῦνταν ἐκεῖνο ποὺ εἶχε πεῖ ὁ Μωϋσῆς· «Καὶ ὅταν κάθεσαι, καὶ ὅταν εἶσαι ξαπλωμένος, καὶ ὅταν εἶσαι ὄρθιος, καὶ ὅταν περπατᾶς, νὰ θυμᾶσαι Κύριο τὸν Θεό σου»[21]. Καὶ πρὸ πάντων βέβαια ὅταν οἱ δρόμοι εἶναι ἔρημοι, μᾶς δίνουν τὴν εὐκαιρία γιὰ σκέψεις, ἀφοῦ δὲν ὑπάρχει κανένας ποὺ νὰ παρενοχλεῖ. Καὶ ὁ εὐνοῦχος πιστεύει ἐνῶ πορεύεται τὴν ὁδὸ καὶ ὁ Παῦλος ἐπίσης· ἀλλὰ αὐτὸν κανένας ἄλλος δὲν προσελκύει, παρὰ μόνο ὁ Χριστός. Αὐτὸ εἶναι μεγαλύτερο ἀπὸ ἐκεῖνο ποὺ οἱ Ἀπόστολοι θὰ ἔκαμναν· τὸ σπουδαιότερο δὲ εἶναι ὅτι, ὅταν οἱ ἀπόστολοι ἦταν στὰ Ἱεροσόλυμα, καὶ κανένας ἀπὸ αὐτοὺς δὲν ἦταν στὴ Δαμασκό, ἐπέστρεφε ἀπὸ ἐκεῖ, ἀφοῦ εἶχε πιστέψει, καὶ αὐτοὶ ποὺ βρίσκονταν στὴ Δαμασκὸ γνώριζαν, ὅτι δὲν ἦλθε ἀπὸ τὰ Ἱεροσόλυ-

νος· ἐπιστολὰς γὰρ ἔφερεν, ὥστε δῆσαι τοὺς πιστεύοντας. Καθάπερ ἰατρὸς ἄριστος, ἀκμάζοντος ἔτι τοῦ πυρετοῦ, τὸ βοήθημα αὐτῷ ἐπήγαγεν ὁ Χριστός· ἔδει γὰρ αὐτὸν μεταξὺ μαινόμενον κατασχεθῆναι. Τότε μάλιστα κατέπεσε, καὶ κατέγνω ἑαυτοῦ, ὡς δεινὰ τολμῶντος. Ἀλλὰ πάλιν καλὸν πρὸς ὑμᾶς τὸν λόγον ἐπαναλαβεῖν. Τίνος ἕνεκεν, εἰπέ μοι, αἱ Γραφαί; Τὸ γὰρ ὑμέτερον μέρος, πάντα ἀνήρηται. Τίνος ἕνεκεν ἐκκλησία; Κατάχωσον τὰ βιβλία· τάχα οὐ τοιοῦτον κρῖμα, οὐ τοιαύτη κόλασις. Εἴ τις καταχώσειεν αὐτὰ ἐν κόπρῳ, καὶ μὴ ἀκούοι αὐτῶν, οὐχ οὕτως αὐτὰ ὑβρίζει, ὡς νῦν. Τί γάρ, εἰπέ μοι, τὸ ὑβριστικὸν ἐκεῖ; Ὅτι αὐτὰ κατέχωσε. Τί δαὶ ἐνταῦθα; Ὅτι οὐκ ἀκούομεν αὐτῶν. Εἰπέ μοι, τίς ποτε μάλιστα ὑβρίζεται; ὅταν σιωπῶντος μὴ ἀποκρίνηται, ἢ ὅταν λέγοντος; Πάντως ὅταν λέγοντος. Ὥστε μείζων ἡ ὕβρις νῦν, ὅταν καὶ φθεγγομένου μὴ ἀκούσῃς, μείζων ἡ καταφρόνησις. «Μὴ λαλεῖτε ἡμῖν», φησί, πάλαι Ἰουδαῖοι τοῖς προφήταις ἔλεγον· ὑμεῖς δὲ χεῖρον ποιεῖτε, λέγοντες· 'Μὴ λαλεῖτε· οὐ ποιοῦμεν'. Ἐκεῖνοι μὲν οὖν ἀπέστρεφον αὐτοὺς μηδὲ φθέγγεσθαι, ὡς ἀπὸ τῆς φωνῆς δεχόμενοί τινα εὐλαβείας ἀφορμήν, ὑμεῖς δὲ ἐκ πολλῆς καταφρονήσεως οὐδὲ τοῦτο ποιεῖτε. Πιστεύσατε, εἰ τὰ στόματα ἡμῖν ἐνεφράξατε, τὰς χεῖρας ἐπιθέντες, οὐκ ἦν τοσαύτη ἡ ὕβρις, ὅση νῦν· εἰπὲ γάρ μοι, ὁ ἀκούων καὶ μὴ πειθόμενος μειζόνως καταφρονεῖ, ἢ ὁ μηδὲ ἀκούων;

5. Ἀλλὰ φέρε ἐπὶ ὕβρεως τὸ πρᾶγμα ἐξετάσωμεν. Εἴ τις τὸν ὑβρίζοντα κατέχοι, καὶ ἐπιστομίζοι ὡς ἀλγῶν ταῖς ὕβρε- *τὸν ὑβρίζοντα κατέχοι, καὶ ἐπιστομίζοι ὡς ἀλγῶν ταῖς ὕβρε-* *καταφρονεῖ; οὐχ οὗτος; Ἐκεῖνος μὲν γὰρ ἐμφαίνει ὅτι πλη-*

μα ὅταν εἶχε πιστέψει· διότι ἀπὸ ἐκεῖ ἔφερε ἐπιστολὲς γιὰ νὰ δέσει τοὺς πιστούς. Σὰν ἀκριβῶς ὁ ἄριστος γιατρός, πρόσφερε ὁ Χριστὸς τὴ βοήθεια, ὅταν ὁ πυρετὸς ἦταν ὑψηλός· διότι ἔπρεπε αὐτὸς νὰ ἀναχαιτισθεῖ, ἐνῶ ἦταν κυριευμένος ἀπὸ τὴ μανία. Τότε μάλιστα κατέπεσε καὶ καταδίκασε τὸν ἑαυτό του, διότι τόλμησε φοβερά. Ἀλλὰ καλὸ εἶναι πάλι νὰ ἐπαναλάβω πρὸς ἐσᾶς τὸ λόγο. Πές μου, γιὰ ποιὸ λόγο εἶναι οἱ Γραφές; Διότι ὅσο ἀφορᾶ μὲ σᾶς, τὰ πάντα ἔχουν καταργηθεῖ. Γιὰ ποιὸ λόγο εἶναι ἡ ἐκκλησία; Κατάχωσε τὰ βιβλία· ἴσως αὐτὸ νὰ μὴ εἶναι τόσο μεγάλη ἀξιόποινη πράξη, γιὰ νὰ ἀποσπάσει τόσο μεγάλη τιμωρία. Ἂν κάποιος παραχώσει αὐτὰ στὴν κοπριά, καὶ δὲν ἀκούει αὐτά, δὲν δείχνει τόση περιφρόνηση πρὸς αὐτά, ὅπως τώρα. Διότι πές μου, ποιὰ εἶναι ἡ προσβολὴ ἐκεῖ; ὅτι παράχωσε αὐτά. Ποιὰ εἶναι δὲ ἐδῶ; Ὅτι δὲν ἀκοῦμε αὐτά. Πές μου, περιφρονεῖται περισσότερο καὶ πότε· ὅταν σιωπᾶ καὶ δὲν ὁμιλεῖ, ἢ ὅταν ὁμιλεῖ; Ὁπωσδήποτε ὅταν ὁμιλεῖ. Ὥστε εἶναι μεγαλύτερη ἡ προσβολὴ τώρα, ὅταν δὲν ἀκούεις ἐνῶ ὁμιλεῖ, μεγαλύτερη ἡ περιφρόνηση. Παλαιότερα οἱ Ἰουδαῖοι, λέγει, ἔλεγαν στοὺς προφῆτες, «μὴ μᾶς ὁμιλεῖτε», σεῖς δὲ τώρα ἐνεργεῖτε χειρότερα, λέγοντας· 'μὴ ὁμιλεῖτε, δὲν τὰ πράττομε αὐτά'. Ἐκεῖνοι λοιπὸν ἀποστρέφονταν αὐτούς, ὥστε νὰ μὴ ὁμιλοῦν, διότι ἀπὸ τὴν ὁμιλία τῶν προφητῶν θὰ λάβαιναν κάποια ἀφορμὴ γιὰ εὐλάβεια· σεῖς δὲ ἀπὸ πολλὴ καταφρόνηση οὔτε αὐτὸ κάμνετε. Πιστέψατε, ἐὰν εἴχατε φράξει τὸ στόμα μου, τοποθετώντας σ' αὐτὸ τὰ χέρια σας, δὲν θὰ ἦταν τόσο σοβαρὴ ἡ προσβολή, ὅση τώρα· διότι πές μου, περισσότερο καταφρονεῖ ἐκεῖνος ποὺ ἀκούει καὶ δὲν πιστεύει, ἢ ἐκεῖνος ποὺ δὲν ἀκούει;

5. Ἀλλ' ἐμπρὸς ἂς ἐξετάσουμε τὸ πράγμα ὡς πρὸς τὴν ὕβρη. Ἐὰν κάποιος συγκρατεῖ ἐκεῖνον ποὺ βρίζει καὶ τὸν ἀποστομώνει, διότι ὑποφέρει ἀπὸ τὶς ὕβρεις, ἄλλος δὲ οὔτε φροντίζει, οὔτε προσποιεῖται ὅτι ἐνδιαφέρεται, ποιὸς δείχνει περισσότερη περιφρόνηση; ὄχι αὐτός; Διότι ἐκεῖνος μὲν δείχνει ὅτι πληγώνεται, αὐτὸς δὲ εἶναι

γὴν δέχεται, οὗτος δὲ μονονουχὶ τὸ στόμα ἐμφράττει τοῦ Θεοῦ. Ἐφρίξατε τὸ ῥηθέν; Ἀλλ' ἄκουε καὶ πῶς τοῦτο γίνεται. Τὸ στόμα, δι' οὗ ὁ Θεὸς φθέγγεται, στόμα ἐστὶ τοῦ Θεοῦ· Καθάπερ γὰρ τοῦτο τὸ στόμα τῆς ψυχῆς ἡμῶν ἐστι, καίτοι ψυχῆς οὐκ ἐχούσης στόμα, οὕτω καὶ τὸ στόμα τῶν προφητῶν στόμα ἐστὶ τοῦ Θεοῦ. Ἀκούσατε καὶ φρίξατε. Κοινὸς διάκονος ἕστηκεν ὁ διάκονος, μέγα βοῶν καὶ λέγων, «Πρόσχωμεν», καὶ τοῦτο πολλάκις. Ἐκείνη ἡ φωνὴ κοινὴ τῆς Ἐκκλησίας ἐστίν, ἣν οὗτος ἀφίησι, καὶ οὐδεὶς ὁ προσέχων. Μετ' ἐκεῖνον ἄρχεται ὁ ἀναγνώστης τῆς προφητείας Ἡσαΐου, καὶ οὐδὲ οὕτω προσέχει τις, καίτοι προφητεία οὐδὲν ἀνθρώπινον ἔχει. Εἶτα εἰς ἐπήκοον ἐκφωνεῖ, λέγων, «Τάδε λέγει Κύριος», καὶ οὐδὲ οὕτω προσέχει τις. Τί λέγω; Φοβερά τινα διεξέρχεται καὶ φρικώδη, καὶ οὐδὲ οὕτως ἔστι τις ὁ προσέχων.

Ἀλλὰ τίς ὁ λόγος τῶν πολλῶν; Ἀεί, φησί, τὰ αὐτὰ ἀναγινώσκεται. Τοῦτο μάλιστα ὑμᾶς ἀπόλλυσιν. Εἰ μὲν οὖν ᾔδειτε αὐτά, μάλιστα μὲν οὐδὲ οὕτως ἀπέχεσθαι ἔδει, ἐπεὶ καὶ ἐν τοῖς θεάτροις ἀεὶ τὰ αὐτὰ γίνεται, καὶ ὅμως οὐ λαμβάνετε κόρον. Ποῖα τὰ αὐτὰ τολμᾷς εἰπεῖν ὁ μηδὲ τῶν προφητῶν τὰ ὀνόματα εἰδώς; Οὐκ αἰσχύνῃ, λέγων μὲν διὰ τοῦτο μὴ ἀκούειν, ἐπειδὴ τὰ αὐτὰ ἀεὶ ἀναγινώσκεται, οὐκ εἰδὼς δὲ οὐδὲ τὰ ὀνόματα τῶν ἀναγινωσκομένων, καὶ ταῦτα ἀεὶ τὰ αὐτὰ ἀκούων; Καὶ γὰρ σὺ ὡμολόγησας ὅτι τὰ αὐτὰ λέγεται. Ἐγὼ εἰ ἔλεγον εἰς κατηγορίαν προφέρων τοῦτο, σὲ ἐχρῆν ἐφ' ἑτέραν ἀπολογίαν ἐλθεῖν, μὴ ἐπὶ τὴν κατηγορίαν τὴν σήν. Εἰπέ μοι, σὺ οὐ παραινεῖς τῷ υἱῷ τῷ σῷ; Ἂν οὖν οὗτος εἴπῃ ὅτι 'ἀεὶ τὰ αὐτά', ἆρα οὐχ ἡγῇ ὕβριν εἶναι; Τότε ἐνῆν μὴ λέγειν τὰ αὐτά, ὅτε αὐτὰ καὶ ᾔδειμεν, καὶ διὰ τῶν ἔργων ἐπεδεικνύμεθα· μᾶλλον δὲ οὐδὲ τότε περιττὴ ἡ ἀνάγνωσις.

σὰν νὰ φράσσει τὸ στόμα τοῦ Θεοῦ. Φρίξατε ἀπ' αὐτὸ ποὺ εἶπα; Ἀλλ' ἄκουε καὶ πῶς γίνεται αὐτό. Τὸ στόμα μὲ τὸ ὁποῖο ὁ προφήτης ὁμιλεῖ, εἶναι στόμα Θεοῦ· διότι ὅπως ἀκριβῶς τὸ στόμα αὐτό, εἶναι στόμα τῆς ψυχῆς μας, ἂν καὶ βέβαια ἡ ψυχὴ δὲν ἔχει στόμα, ἔτσι καὶ τὸ στόμα τῶν προφητῶν, εἶναι στόμα τοῦ Θεοῦ. Ἀκούσατε καὶ φρίξατε. Ὁ διάκονος ποὺ εἶναι κοινὸς διάκονος, στέκεται καὶ ἀναφωνεῖ καὶ λέγει, «πρόσχωμεν», καὶ αὐτὸ τὸ λέγει πολλὲς φορές. Ἐκείνη ἡ φωνή, ποὺ βγάζει αὐτός, εἶναι κοινὴ φωνὴ τῆς ἐκκλησίας, καὶ κανένας δὲν προσέχει. Μετὰ ἀπὸ ἐκεῖνον ἔρχεται ὁ ἀναγνώστης τῆς προφητείας Ἠσαΐα, οὔτε καὶ τότε προσέχει κανένας, παρ' ὅτι ἡ προφητεία δὲν ἔχει τίποτε τὸ ἀνθρώπινο. Ἔπειτα σὲ ἐπήκοο ὅλων, ἀναφωνεῖ καὶ λέγει, «τάδε λέγει Κύριος», καὶ οὔτε τότε προσέχει κανένας. Τί λέγω; Ἐκθέτει ὁρισμένα φοβερὰ καὶ φρικτά, καὶ οὔτε τότε ὑπάρχει κάποιος ποὺ νὰ προσέχει.

Ἀλλὰ τί λέγουν οἱ πολλοί; Πάντοτε τὰ ἴδια ἀναγινώσκονται, λέγουν. Αὐτὸ κυρίως σᾶς καταστρέφει. Ἐὰν λοιπὸν γνωρίζατε αὐτά, οὔτε τότε πολὺ περισσότερο δὲν ἔπρεπε νὰ ἀπέχετε, καθόσον καὶ στὰ θέατρα πάντοτε τὰ ἴδια γίνονται, καὶ ὅμως δὲν τὰ βαριέστε. Πῶς τολμᾶς νὰ πεῖς τὰ ἴδια, σὺ ποὺ δὲν γνωρίζεις οὔτε τὰ ὀνόματα τῶν προφητῶν; Δὲν ντρέπεσαι νὰ λέγεις μὲν ὅτι γι' αὐτὸ δὲν τὰ ἀκούεις, ἐπειδὴ πάντοτε τὰ ἴδια ἀναγιγνώσκονται, ἐνῶ δὲ δὲν γνωρίζεις οὔτε τὰ ὀνόματα αὐτῶν ποὺ διαβάζονται, καὶ αὐτὰ τὴ στιγμὴ ποὺ πάντοτε τὰ ἴδια ἀκούεις; Καθόσον σὺ ὁμολόγισες ὅτι τὰ ἴδια λέγονται. Ἐὰν ἐγὼ τὸ ἔλεγα αὐτό, ἀποδίδοντάς σου κατηγορία, σὺ ἔπρεπε νὰ προβάλεις ἄλλη δικαιολογία, καὶ ὄχι τὴ δική σου κατηγορία. Πές μου, ἐσὺ δὲν συμβουλεύεις τὸν υἱό σου: Ἂν λοιπὸν αὐτὸς πεῖ ὅτι 'πάντοτε τὰ ἴδια συμβουλεύεις', ἄραγε δὲν νομίζεις ὅτι αὐτὸ εἶναι προσβολή; Τότε μπορούσαμε νὰ μὴ λέμε τὰ ἴδια, ὅταν γνωρίζαμε αὐτά, καὶ δείχναμε αὐτὸ μὲ τὰ ἔργα μας· μᾶλλον δὲ οὔτε τότε ἡ ἀνάγνωση εἶναι περιττή. Ποιὸς μπορεῖ νὰ ἐξισω-

Τί Τιμοθέου ἴσον; Ἀλλ' ὅμως καὶ ἐκείνῳ γράφων ὁ Παῦλος ἔλεγε· «Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει». Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐξαντληθῆναί ποτε τὸν νοῦν τῶν Γραφῶν· πηγή τίς ἐστιν, οὐκ ἔχουσα πέρας. Εἶπον· «Ἐσοφίσθη», φησί, «καὶ τότε ἀπέστη ἀπ' ἐμοῦ».

Βούλεσθε δείξω ὅτι οὐκ ἔστι τὰ αὐτά; Πόσους νομίζετε εἰρηκέναι εἰς τὰ Εὐαγγέλια; Ἀλλ' οὗτοι πάντες ξένως καὶ καινῶς εἶπον· ὅσῳ γὰρ ἄν τις αὐτοῖς ἐνδιατρίβῃ, τοσούτῳ ὀξύτερον βλέπει, τοσούτῳ πλέον ὁρᾷ τὸ φῶς καθαρόν. Ἰδοὺ πόσα λέγω· 'Τί ἐστι προφητεία; εἴπατε· τί ἐστι διηγήματα; τί ἐστι παραβολή; τί ἐστιν ἀλληγορία; τί ἐστι τύπος; τί ἐστι σύμβολον; τί ἐστιν Εὐαγγέλια; Τοῦτο δὴ μόνον εἴπατέ μοι τὸ φανερόν, διὰ τί Εὐαγγέλια εἴρηται;'. Καίτοι πολλάκις ἠκούσατε ὅτι τὰ εὐαγγέλια οὐδὲν ἔχειν ὀφείλει σκυθρωπόν, ταῦτα δὲ πολλῆς γέμει σκυθρωπότητος. «Τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται», φησί, «καὶ ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει»· τό τε «διχοτομήσει αὐτόν, καὶ θήσει τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν»· τό τε «ἐρεῖ· Οὐκ οἶδα ὑμᾶς, ἀπέλθετε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν». Ἄρα μὴ ἀπατῶμεν ἑαυτούς, νομίζοντες ταῦτα Ἑλληνιστὶ ἡμῖν λέγειν. Ἢ οὐδὲν πρὸς ἡμᾶς τούτων; Ὑμεῖς κεκώφωσθε, καὶ οἷον ἀπόπληκτοι τυγχάνοντες κάτω κύπτετε. Τὰ Εὐαγγέλια οὐδὲν ἔχειν δεῖ τῶν πρακτέων, ἀλλὰ μόνον ἀγαθὰ συμβουλεύειν· ταῦτα δὲ μυρία ἔχει πρακτέα, οἷάπερ ἐστὶ καὶ τὰ τοιαῦτα· «Ἐὰν μή τις μισήσῃ αὐτοῦ τὸν πατέρα καὶ τὴν μητέρα, οὐκ ἔστι μου ἄξιος», «οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν», καὶ «θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ».

Καλά γε· οὐ γὰρ ταῦτα εὐαγγέλια· τὸ γὰρ εὐαγγέλιον τοῦτό ἐστι· 'Τάδε σοι ἔσται ἀγαθά'· καθάπερ ἐν τῇ συνηθείᾳ

---

22. Α' Τιμ. 4, 13.
22α. Πρβλ. Ἐκκλ. 7, 23-24.
23. Μάρκ. 9, 43-48.
24. Ματθ. 24, 51.
25. Ματθ. 7, 23.
26. Λουκ. 14, 26.
27. Ματθ. 10, 34 καὶ Λουκᾶ 12, 51.
28. Ἰωάν. 16, 33.

θεῖ μὲ τὸν Τιμόθεο; Καὶ ὅμως ὁ Παῦλος γράφοντας καὶ σ' ἐκεῖνον, ἔλεγε· «Πρόσεχε τὴν ἀνάγνωση τῶν Γραφῶν καθὼς καὶ τὴν παρηγορία τῶν θλιβομένων»[22]. Διότι δὲν εἶναι δυνατό, δὲν εἶναι δυνατὸ νὰ ἐξαντληθεῖ ποτὲ τὸ νόημα τῶν Γραφῶν· εἶναι μιὰ ἀνεξάντλητη πηγή. «Εἶπα· Ἔγινα σοφός», λέγει, «καὶ τότε ἡ σοφία ἔφυγε μακριὰ ἀπὸ ἐμένα»[22α].

Θέλετε νὰ δείξω ὅτι δὲν εἶναι τὰ ἴδια; Πόσοι νομίζετε ὅτι ἔχουν ὁμιλήσει γιὰ τὰ εὐαγγέλια; Ἀλλ' ὅλοι αὐτοὶ μίλησαν γι' ἄγνωστα καὶ νέα. Διότι, ὅσο περισσότερο καταγίνεται κανένας μὲ αὐτά, τόσο καθαρώτερα βλέπει, τόσο περισσότερο βλέπει καθαρὸ τὸ φῶς. Νὰ πόσα λέγω· Τί εἶναι προφητεία; ἀπαντήσατε· τί εἶναι παραβολή; τί εἶναι ἀλληγορία; τί εἶναι τύπος; τί εἶναι σύμβολο; τί εἶναι εὐαγγέλια; Αὐτὸ λοιπὸν μόνο νὰ μοῦ πεῖτε, τὸ φανερό, γιατί ἔχουν ὀνομασθεῖ εὐαγγέλια;'. Ἂν καὶ βέβαια πολλὲς φορὲς ἀκούσατε ὅτι τὰ εὐαγγέλια δὲν πρέπει νὰ περιέχουν τίποτε τὸ σκυθρωπό, ἐν τούτοις εἶναι γεμάτα ἀπὸ πολλὴ σκυθρωπότητα· «ἡ φωτιὰ γι' αὐτοὺς δὲν σβήνει καὶ ὁ σκώληκας δὲν πεθαίνει»[23], λέγει· καὶ τὸ «Θὰ τὸν σχίσει στὰ δυὸ καὶ θὰ τὸν βάλει μαζὶ μὲ τοὺς ὑποκριτές»[24]· καὶ τὸ «θὰ πεῖ· δὲν σᾶς γνωρίζω· φύγετε μακριὰ ἀπὸ ἐμένα, σεῖς ποὺ ἐργάζεσθε τὴν ἀνομία»[25]. Ἄρα ἂς μὴ ἀπατιέμαστε, νομίζοντας ὅτι μᾶς λέγουν αὐτά, μὲ ἑλληνικὸ νοηματικὸ τρόπο. Ἢ τίποτε ἀπὸ αὐτὰ δὲν ἔχει σχέση μὲ σᾶς; Σεῖς ἔχετε γίνει κωφοί, καὶ σὰν νὰ εἶστε παράλυτοι, σκύβετε κάτω. Τὰ εὐαγγέλια δὲν πρέπει νὰ περιέχουν τίποτε ἀπ' ἐκεῖνα ποὺ ὀφείλει νὰ πράττει κανένας, ἀλλὰ μόνο νὰ συμβουλεύουν ἀγαθά· ὅμως αὐτὰ περιέχουν καὶ ἄπειρα ἀπὸ ἐκεῖνα ποὺ πρέπει νὰ πράττουμε ὅπως ἀκριβῶς εἶναι τὰ ἑξῆς· «Ἐὰν δὲν μισήσει κανένας τὸν πατέρα καὶ τὴ μητέρα του δὲν εἶναι ἄξιος γιὰ μένα»[26], καὶ «Δὲν ἦλθα γιὰ νὰ φέρω εἰρήνη, ἀλλὰ μάχαιρα»[27]· καὶ «θὰ ἔχετε θλίψη σ' αὐτὸν τὸν κόσμο»[28].

Βέβαια αὐτὰ εἶναι καλά, ἀλλὰ δὲν εἶναι εὐαγγέλια. Διότι τὸ εὐαγγέλιο εἶναι αὐτό· 'αὐτὰ θὰ εἶναι σὲ σένα

φασὶ πρὸς ἀλλήλους οἱ ἄνθρωποι· 'Τί μοι τῶν εὐαγγελίων; Ὁ πατήρ σου ἥξει, ἡ μήτηρ σου'. Οὐ λέγει, 'Τόδε ποίησον'. Πάλιν εἰπέ μοι, τί διέστηκε ταῦτα τῶν προφητικῶν; διὰ τί μὴ καὶ ἐκεῖνα εὐαγγέλια λέγεται; καὶ γὰρ καὶ ἐκεῖνα τὰ αὐτὰ λέγουσιν· οἷον, «ἁλεῖται ὡς ἔλαφος ὁ χωλός», «Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις», «δώσω ὑμῖν οὐρανὸν καινόν, καὶ γῆν καινήν». Διὰ τί μὴ καὶ ἐκεῖνα εὐαγγέλια λέγεται; διὰ τί μὴ καὶ τοῦτο προφητεία; Εἰ δέ, μηδὲ τί ἐστιν εὐαγγέλια εἰδότες, οὕτω καταφρονεῖτε τῆς τῶν Γραφῶν ἀναγνώσεως, τί ὑμῖν ἐρῶ; Εἴπω τι καὶ ἕτερον· 'Διὰ τί τέσσαρα Εὐαγγέλια; διὰ τί μὴ δέκα; διὰ τί μὴ εἴκοσι; διὰ τί μὴ πολλοὶ ἐπεχείρησαν συντάξασθαι εὐαγγέλια; διὰ τί μὴ εἷς; διὰ τί οἱ μαθηταί; διὰ τί οἱ μὴ μαθηταί; διὰ τί δὲ ὅλως καὶ αἱ Γραφαί;'. Καίτοι γε τοὐναντίον φησὶν ἡ Παλαιά· «Δώσω ὑμῖν διαθήκην καινήν». Ποῦ εἰσιν οἱ λέγοντες, 'Ἀεὶ τὰ αὐτά'; Εἰ ταῦτα ᾔδειτε, ὅτι, κἂν μυρία ἔτη ζήσῃ ἄνθρωπος, οὐκ ἔστι τὰ αὐτά, οὐκ ἂν εἴπατε ταῦτα. Πιστεύσατε, οὐκ ἐρῶ ὑμῖν οὐδὲν τούτων, οὐδὲ ἰδίᾳ, οὐ κοινῇ, ἀλλά, εἰ μέν τις εὕρῃ, ἐπινεύσω, ἂν δὲ μή, ἐάσω· οὕτω γὰρ ὑμᾶς ἐποιήσαμεν ἀχρήστους, ἀεὶ πάντα ἐξ ἑτοίμου λέγοντες, καὶ ὅτε χρὴ οὐκ ἀνανεύοντες. Ἰδοὺ ἔχετε ζητήματα ἱκανά· σκέψασθε, εἴπατε τὴν αἰτίαν. Διὰ τί εὐαγγέλια; διὰ τί μὴ προφητεῖαι; διὰ τί τὰ πρακτέα ἐν τοῖς Εὐαγγελίοις; Κἂν οὗτος ἀπορήσῃ, ἕτερος ζητείτω, καὶ τὰ παρ' ἑαυτῶν ἀλλήλοις συνεισφέρετε.

Λοιπὸν δὲ ἡμεῖς σιγήσομεν· εἰ γὰρ τὰ εἰρημένα οὐδὲν ὑμᾶς ὤνησε, πολλῷ μᾶλλον οὐδ' ἂν ἕτερα προσθείημεν. Ὄν-

---

29. Ἠσ. 35, 6.
30. Ψαλμ. 67, 12.
31. Ἠσ. 65, 17.
32. Ἱερεμ. 38, 31.

ἀγαθά'· ὅπως ἀκριβῶς οἱ ἄνθρωποι συνηθίζουν νὰ λέγουν μεταξύ τους· 'Τί ἀπὸ τὰ εὐαγγέλια εἶναι γιά μένα; θὰ ἔλθει ὁ πατέρας σου, ἡ μητέρα σου'. Δὲν λέγει, 'κάνε αὐτό'. Πάλι πές μου, τί διαφέρουν τὰ εὐαγγέλια ἀπὸ τὰ προφητικὰ βιβλία; γιατί καὶ ἐκεῖνα δέν λέγονται εὐαγγέλια; διότι καὶ ἐκεῖνα λέγουν τὰ ἴδια· ὅπως· «καὶ θὰ πηδᾶ ὁ χωλὸς σὰν ἐλάφι»[29], «ὁ Κύριος θὰ δώσει παράγγελμα σ' ἐκείνους ποὺ κηρύσσουν τὸ εὐαγγέλιο»[30], καὶ «Θὰ δημιουργήσω γιὰ σᾶς καινούριο οὐρανὸ καὶ καινούρια γῆ»[31]. Γιατί καὶ ἐκεῖνα δὲν λέγονται εὐαγγέλια; γιατί καὶ αὐτὸ δὲν λέγεται προφητεία; Ἐὰν δέ, χωρὶς νὰ γνωρίζετε τί εἶναι εὐαγγέλια, τόσο περιφρονεῖτε τὴν ἀνάγνωση τῶν Γραφῶν, τί νὰ σᾶς πῶ; Θὰ πῶ καὶ κάτι ἄλλο· 'γιατί εἶναι τέσσερα εὐαγγέλια; γιατί δὲν εἶναι δέκα; γιατί δὲν εἶναι εἴκοσι; γιατί δὲν ἐπιχείρησαν πολλοὶ νὰ συντάξουν εὐαγγέλια; γιατί οὔτε ἕνας; γιατί οἱ μαθητές; γιατί οἱ μὴ μαθητές; γιατί δὲ γενικὰ καὶ οἱ Γραφές'; Ἂν καὶ βέβαια ἡ Παλαιὰ Διαθήκη λέγει τὸ ἀντίθετο· «Θὰ σᾶς δώσω καινούρια διαθήκη»[32]. Ποῦ εἶναι ἐκεῖνοι ποὺ λέγουν, 'πάντοτε τὰ ἴδια'; Ἂν γνωρίζατε αὐτά, ὅτι, καὶ ἂν ἀκόμα ὁ ἄνθρωπος ζήσει ἀμέτρητα χρόνια, δὲν εἶναι τὰ ἴδια, δὲν θὰ τὰ λέγατε αὐτά. Πιστέψατε, δὲν θὰ πῶ σὲ σᾶς τίποτε ἀπὸ αὐτά, οὔτε κατ' ἰδία, οὔτε δημόσια, ἀλλ' ἂν μὲν κάποιος βρεῖ καμιὰ ἀπάντηση σ' αὐτά, θὰ τὴν ἐπιδοκιμάσω, ἂν δὲ ὄχι, θὰ ἀφήσω τὸ θέμα· διότι ἔτσι σᾶς κάναμε ἄχρηστους, μιλώντας πρὸς ἐσᾶς πάντοτε μὲ προθυμία, καὶ χωρὶς νὰ ἀρνούμαστε, ὅταν πρέπει. Νά, ἔχετε ζητήματα ἀρκετά· σκεφθεῖτε καὶ πεῖτε τὴν αἰτία. Γιατὶ λέγονται εὐαγγέλια; γιατί ὄχι προφητεῖες; γιατί στὰ εὐαγγέλια περιλαμβάνονται ὅσα πρέπει νὰ πράττουμε; Καὶ ἂν αὐτὸς βρίσκεται σὲ ἀπορία, ἄλλος ἂς τὸ ἐρευνήσει καὶ συνεισφέρετε μεταξύ σας, ὅ,τι μπορεῖ ὁ καθένας σας.

Ἐμεῖς πλέον θὰ σιωπήσουμε· διότι, ἂν τὰ λεχθέντα δὲν σᾶς ὠφέλησαν καθόλου, πολὺ περισσότερο δὲν θὰ σᾶς ὠφελήσουν οὔτε καὶ ἂν προσθέταμε καὶ ἄλλα. Πρά-

τως εἰς πίθον τετρυπημένον ἀντλοῦμεν, ἔνθεν μείζων ὑμῖν καὶ ἡ κόλασις· οὐκοῦν διὰ τοῦτο σιγήσομαιν. Ὅπερ ἵνα μὴ γένηται, ὑμεῖς κύριοι· εἰ γὰρ θεασόμεθα ὑμῶν τὴν σπουδήν, ἴσως πάλιν ἐροῦμεν, ἵνα καὶ ὑμεῖς ἐπὶ πλέον εὐδοκιμῆτε, καὶ ἡμεῖς ἐφ' ὑμῖν εὐφραινώμεθα, ἐπὶ πᾶσι δοξάζοντες τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ μεγαλωσύνη, καὶ ἡ τιμή, σὺν τῷ ἀνάρχῳ Πατρί, καὶ τῷ ἁγίῳ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

33. Θυμίζει τὴν παροιμία ποὺ παρουσιάζει τὶς Δαναΐδες, κόρες τοῦ Δαναοῦ (Στραβ. Η' 371) νὰ ὑδροφοροῦν σὲ «τετρημένον πίθον» σὰν τιμωρία γιὰ τὸ φόνο τῶν συζύγων τους (Πλατ. Γοργ. 493Β καὶ Πλατ. Πολιτ. 363D). Ἐπίσης λέγεται καὶ ἡ παροιμία «οἱ εἰς τὸν τετρημένον πίθον ἀντλεῖν», γιὰ ἐκείνους ποὺ ματαιοπονοῦν, (Ξενοφ. Οἰκον. Ζ' 40).

γματι ἀντλοῦμε σὲ πιθάρι, ποὺ εἶναι τρυπημένο[33], γι' αὐτὸ καὶ θὰ εἶναι μεγαλύτερη σὲ σᾶς ἡ τιμωρία· γι' αὐτὸ λοιπὸν θὰ σιωπήσουμε. Αὐτὸ τὸ πράγμα γιὰ νὰ μὴ συμβεῖ, ἐξαρτᾶται ἀπὸ σᾶς· διότι, ἂν θὰ δοῦμε τὸ ἐνδιαφέρον σας, ἴσως πάλι νὰ μιλήσουμε, ὥστε καὶ σεῖς νὰ προοδεύτε περισσότερο, καὶ ἐμεῖς νὰ νιώθουμε μεγαλύτερη εὐχαρίστηση γιὰ σᾶς, δοξάζοντας γιὰ ὅλα τὸ Θεὸ καὶ Πατέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη καὶ ἡ μεγαλωσύνη, καὶ ἡ τιμή, μαζὶ μὲ τὸν ἄναρχο Πατέρα, καὶ τὸ Ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων, Ἀμήν.

ΟΜΙΛΙΑ Κ'
(Πράξ. Ξ, 10-25)

«Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ, ὀνόματι Ἀνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι· Ἀνανία. Ὁ δὲ εἶπεν· Ἰδοὺ ἐγώ, Κύριε. Ὁ δὲ Κύριος πρὸς αὐτὸν εἶπεν· Ἀναστὰς πορεύθητι ἐπὶ τὴν ρύμην, τὴν καλουμένην Εὐθεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα, Σαῦλον ὀνόματι, Ταρσέα· ἰδοὺ γὰρ προσεύχεται. Καὶ εἶδεν ἐν ὁράματι ἄνδρα, ὀνόματι Ἀνανίαν, εἰσελθόντα καὶ ἐπιθέντα αὐτῷ χεῖρα, ὅπως ἀναβλέψῃ».

1. Τί δήποτε οὐδένα τῶν κορυφαίων Ἀποστόλων οὔτε ἐκάλεσεν, οὔτε ἀπέστειλε πρὸς τὴν τοῦ Παύλου κατήχησιν; Ὅτι οὐκ ἐχρῆν δι' ἀνθρώπων ἐνάγεσθαι, ἀλλὰ δι' αὐτοῦ τοῦ Χριστοῦ· ἐπεὶ καὶ οὗτος ἐδίδαξε μὲν αὐτὸν οὐδέν, ἐβάπτισε δὲ μόνον. Ἅμα γοῦν τῷ βαπτισθῆναι ἐπεσπάσατο πολλὴν τοῦ Πνεύματος τὴν χάριν ἀπὸ τοῦ ζήλου καὶ τῆς προθυμίας τῆς πολλῆς. Ὅτι δὲ καὶ ὁ Ἀνανίας τῶν σφόδρα ἐπισήμων ἦν, δῆλον ἐξ ὧν ἐμφανίζεται καὶ λέγει πρὸς αὐτόν, καὶ ἐξ ὧν πάλιν αὐτὸς ἀποκρίνεται, λέγων· «Κύριε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνθρώπου τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἱερουσαλήμ». Εἰ τοίνυν πρὸς Κύριον ἀντεῖπε, πολλῷ μᾶλλον, εἰ ἄγγελον ἔπεμψε. Διὰ τοῦτο οὐδὲ πρὸ τούτου Φίλιππος ἀκούει τὸ ἐσόμενον, ἀλλὰ μόνον ὁρᾷ τὸν ἄγγελον, καὶ οὕτω τὸ Πνεῦμα προστάττει προσελθεῖν, καὶ κολληθῆναι τῷ ἅρματι. Τέως δὲ ἐνταῦθα τὸν φόβον αὐτοῦ ὑποτέμνεται, καὶ μονονουχὶ τοῦτό φησι τῷ εἰπεῖν· Ἰδού προσεύχεται, τυφλός ἐστι, καὶ σὺ δέδοικας;' Οὕτω καὶ Μωϋ-

ΟΜΙΛΙΑ Κ'
(Πράξ. Ξ, 10 - 25)

«Ὑπῆρχε δὲ στὴ Δαμασκὸ κάποιος μαθητής, μὲ τὸ ὄνομα Ἀνανίας, καὶ μὲ ὅραμα εἶπε σ' αὐτὸν ὁ Κύριος· Ἀνανία. Αὐτὸς δὲ εἶπε· Ἰδοὺ ἐγώ, Κύριε. Ὁ δὲ Κύριος εἶπε πρὸς αὐτόν· Σήκω καὶ πήγαινε στὴν ὁδὸ ποὺ λέγεται Εὐθεία, καὶ ζήτησε στὸ σπίτι τοῦ Ἰούδα κάποιον ποὺ λέγεται Σαῦλος, ἀπὸ τὴν Ταρσό· διότι τώρα αὐτὸς προσεύχεται. Καὶ εἶδε σὲ ὅραμα ἄνδρα ὀνομαζόμενο Ἀνανία, νὰ μπαίνει καὶ νὰ βάζει τὸ χέρι ἐπάνω του γιὰ νὰ ἀναβλέψει».

1. Γιατί λοιπὸν δὲν ἐκάλεσε κανένα ἀπὸ τοὺς κορυφαίους Ἀποστόλους, οὔτε ἀπέστειλε αὐτοὺς γιὰ τὴν κατήχηση τοῦ Παύλου; Διότι δὲν ἔπρεπε νὰ μεταστραφεῖ ἀπὸ ἀνθρώπους, ἀλλὰ ἀπὸ τὸν ἴδιο τὸ Χριστό, ἀφοῦ καὶ ὁ Ἀνανίας δὲν δίδαξε τίποτε σ' αὐτόν, ἀλλὰ μόνο τὸν βάπτισε. Μόλις λοιπὸν βαπτίσθηκε, ἀπέκτησε πολλὴ χάρη τοῦ Πνεύματος, ἐξ αἰτίας τοῦ ζήλου καὶ τῆς πολλῆς προθυμίας του. Ὅτι δὲ καὶ ὁ Ἀνανίας ἦταν ἀπὸ τοὺς πολὺ ἐπίσημους, εἶναι φανερὸ καὶ ἀπὸ τὰ ὅσα λέγει πρὸς αὐτόν, καὶ μὲ τὰ ὅσα ἐκεῖνος πάλι ἀποκρίνεται, λέγοντας· «Κύριε, ἔχω ἀκούσει ἀπὸ πολλοὺς γιὰ τὸν ἄνθρωπο αὐτό, πόσα κακὰ ἔκαμε στὰ Ἱεροσόλυμα στοὺς πιστούς σου». Ἂν λοιπὸν πρὸς τὸν Κύριο εἶχε ἀντιρρήσεις, πολὺ περισσότερο ἐὰν ἔστελνε ἄγγελο. Γι' αὐτὸ οὔτε πρὶν ἀπὸ αὐτό, ὁ Φίλιππος ἀκούει ἐκεῖνο ποὺ πρόκειται νὰ γίνει, ἀλλὰ μόνο βλέπει τὸν ἄγγελο, καὶ ἔτσι τὸ Πνεῦμα προστάζει αὐτὸν νὰ προσέλθει καὶ νὰ προσκολληθεῖ στὸ ἅρμα του. Κατ' ἀρχὴ μὲν ἐδῶ καταπραΰνει τὸ φόβο του καὶ εἶναι σὰν νὰ τοῦ λέγει τὸ ἑξῆς· «Νά, προσεύχεται, εἶναι τυφλός· καὶ σὺ φοβᾶσαι;». Ἔτσι καὶ ὁ Μωϋσῆς φοβᾶται,

σῆς φοβεῖται· ὥστε τὰ ῥήματα φοβουμένου μᾶλλόν ἐστιν, οὐκ ἀπιστοῦντος. Καὶ ἄκουε τῶν ῥημάτων αὐτῶν· «Κύριε ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου». Τί λέγεις; ὁ Θεὸς λέγει, καὶ σὺ ἀμφιβάλλεις; Οὕτως οὔπω ᾔδεσαν τὴν δύναμιν τοῦ Χριστοῦ. «Καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου». Πόθεν τοῦτο δῆλον; Εἰκὸς ἦν αὐτοὺς ἐν φόβῳ ὄντας περιεργάζεσθαι. Οὐχ ὡς οὐκ εἰδότος οὖν τοῦ Χριστοῦ ταῦτα λέγει, ἀλλ' ἀποροῦντος ὅτι, τούτων ὄντων, πῶς δυνατὸν ταῦτα γενέσθαι. Οὕτω καὶ ἀλλαχοῦ οἱ μαθηταὶ λέγουσι· «Τίς δύναται σωθῆναι;»[1].

Ἀλλ' ὅρα πόσα οἰκονομεῖται, ἵνα πιστεύσῃ τῷ ἐρχομένῳ. Ἐν ὀνείρῳ εἶδε, προεμήνυσεν αὐτῷ, «προσεύχεται», φησίν· οὐκοῦν μὴ φοβοῦ. Καὶ διὰ τί οὐ λέγει αὐτῷ τὸ κατόρθωμα τὸ γενόμενον; Παιδεύων ἡμᾶς μὴ λέγειν ἡμῶν τὰ κατορθώματα· μᾶλλον δὲ καὶ φοβούμενον ἰδών. Οὐδὲ οὕτως εἶπεν, 'Οὐκ ἀπιστηθήσῃ', ἀλλὰ τί; «Ἀναστὰς πορεύθητι· οἶδε γὰρ ἐν ὁράματι ἄνδρα ἐπιθέντα αὐτῷ χεῖρας». Διὰ τοῦτο ἐν ὁράματι, ἐπειδὴ πηρὸς ἦν. Καὶ οὐδὲ τοῦ θαύματος ἡ ὑπερβολὴ εἷλε τὸν μαθητήν· οὕτως ἐφοβεῖτο. Ὅμως δι' αὐτοῦ Παῦλον τυφλὸν ὄντα ἀναβλέψαι ὁ Θεὸς ἐποίησεν. «Εἶπε δὲ ὁ Κύριος πρὸς αὐτόν· Πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ· ἐγὼ γὰρ ὑποδείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν». Οὐ μόνον πιστὸς ἔσται, φησίν, ἀλλὰ καὶ διδάσκαλος, καὶ πολλῇ χρήσεται τῇ παρρησίᾳ. «Ἐνώπιον ἐθνῶν καὶ βασιλέων». Οὕτως ἐπιδώσει ἡ διδασκαλία, φησίν, ὡς καὶ ἐθνῶν καὶ βασιλέων ἁπάντων κρατῆσαι.

1. Μάρκ. 10, 26.

ὥστε τὰ λόγια αὐτὰ εἶναι μᾶλλον λόγια φοβουμένου ἀνθρώπου, καὶ ὄχι ἀνθρώπου ποὺ ἀπιστεῖ. Καὶ ἄκουε τοὺς λόγους· «Κύριε, ἔχω ἀκούσει ἀπὸ πολλοὺς γιὰ τὸν ἄνθρωπο αὐτόν». Τί λέγεις; ὁ Θεὸς ὁμιλεῖ καὶ σὺ ἀμφιβάλλεις; Τόσο πολὺ δὲν γνώριζαν ἀκόμη τὴ δύναμη τοῦ Χριστοῦ. «Καὶ εἶναι ἐδῶ μὲ ἐξουσία ἀπὸ τοὺς ἀρχιερεῖς νὰ δέσει ὅλους, ὅσοι ἐπικαλοῦνται τὸ ὄνομά σου». Ἀπὸ ποῦ εἶναι αὐτὸ φανερό; Εἶναι εὔλογο, ἐπειδὴ αὐτοὶ φοβοῦνταν νὰ περιεργάζονται τὰ πράγματα. Δὲν τοὺς λέγει αὐτὰ ἐπειδὴ δὲν τὰ γνώριζε ὁ Χριστός, ἀλλ' ἐπειδὴ βρισκόταν σὲ ἀπορία, ὅτι δηλαδὴ ἐφόσον τὸ πράγμα εἶχε ἔτσι, πῶς ἦταν δυνατὸ νὰ γίνουν αὐτά. Ἔτσι καὶ σὲ ἄλλη περίπτωση οἱ μαθητὲς λέγουν· «Ποιὸς εἶναι δυνατὸ νὰ σωθεῖ;»[1].

Ἀλλὰ πρόσεχε πῶς ρυθμίζονται τὰ πράγματα, γιὰ νὰ πιστέψει ὁ Παῦλος στὸν Ἀνανία ποὺ θὰ ἐρχόταν. Τὸν εἶδε στὸ ὄνειρο, τὸν προειδοποίησε, λέγοντας· «προσεύχεται», συνεπῶς μὴ φοβᾶσαι. Καὶ γιατί δὲν λέγει σ' αὐτὸν αὐτὸ ποὺ κατόρθωσε; Γιὰ νὰ μᾶς διδάξει νὰ μὴ διακηρύσσουμε τὰ κατορθώματά μας· μᾶλλον δὲ διότι εἶδε τὸν Ἀνανία νὰ φοβᾶται. Οὔτε εἶπε ἔτσι, 'Δὲν θὰ δείξεις ἀπιστία', ἀλλὰ τί; «Σήκω καὶ πήγαινε, διότι εἶδε σὲ θεῖο ὅραμα ἄνθρωπο νὰ βάζει ἐπάνω του τὰ χέρια του». Γι' αὐτὸ τὸν εἶδε σὲ ὅραμα, ἐπειδὴ ἦταν τυφλός. Καὶ οὔτε τὸ μέγεθος τοῦ θαύματος κατέκτησε τὸ μαθητή· τόσο φοβόταν. Ὅμως μὲ αὐτὸν ὁ Θεὸς ἐνήργησε ὥστε νὰ ἀναβλέψει ὁ Παῦλος, ἐνῶ ἦταν τυφλός. «Εἶπε δὲ ὁ Κύριος πρὸς αὐτόν· πήγαινε, διότι αὐτὸς εἶναι ὄργανό μου ἐκλεκτό, γιὰ νὰ βαστάσει καὶ διαδώσει τὸ ὄνομά μου ἐνώπιον τῶν ἐθνῶν καὶ τῶν βασιλέων καὶ τῶν ἀπογόνων τοῦ Ἰσραήλ· διότι ἐγὼ θὰ ὑποδείξω σ' αὐτὸν τὰ ὅσα πρέπει νὰ πάθει γιὰ τὸ ὄνομά μου». Ὄχι μόνο θὰ εἶναι πιστός, λέγει, ἀλλὰ καὶ διδάσκαλος, καὶ θὰ κάνει χρήση τοῦ λόγου μὲ πολλὴ παρρησία. «Ἐνώπιον ἐθνῶν καὶ βασιλέων». Τόση πρόοδο θὰ παρουσιάσει ἡ διδασκαλία του, λέγει, ὥστε νὰ ἐπικρατήσει σὲ ὅλα τὰ ἔθνη καὶ τοὺς βασιλεῖς.

«Ἀπῆλθε δὲ Ἀνανίας, καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τὰς χεῖρας, εἶπε· Σαοὺλ ἀδελφέ, ὁ Κύριος ἀπέσταλκέ με, (Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ, ᾗ ἤρχου), ὅπως ἀναβλέψῃς καὶ πλησθῇς Πνεύματος ἁγίου». Εὐθέως αὐτὸν οἰκειοῦται τῷ ὀνόματι. «Ἰησοῦς», φησίν, «ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ». Καὶ μὴν τοῦτο οὐκ εἶπεν αὐτῷ ὁ Χριστός, ἀλλ' ἀπὸ τοῦ Πνεύματος ἔμαθε. «Καὶ εὐθέως ἀπέπεσον ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες, ἀνέβλεψέ τε παραχρῆμα, καὶ ἀναστὰς ἐβαπτίσθη, καὶ λαβὼν τροφὴν ἐνίσχυσε». Μόνον αὐτῷ τὰς χεῖρας ἐπέθηκε, καὶ εὐθέως τῶν ὀφθαλμῶν αὐτοῦ ἀπέπεσον αἱ λεπίδες. Ταύτας τινές φασι τῆς πηρώσεως αὐτοῦ εἶναι αἰτίας. Καὶ διὰ τί μὴ ἐπήρωσεν αὐτοῦ τοὺς ὀφθαλμούς; Τοῦτο παραδοξότερον ἦν· καὶ γὰρ ἀνεῳγμένων οὐκ ἔβλεπεν· ὅπερ ἔπαθεν ἐπὶ τοῦ νόμου, ἕως τὸ ὄνομα ἐπετέθη τοῦ Ἰησοῦ. «Καὶ εὐθέως», φησίν, «ἐβαπτίσθη, καὶ λαβὼν τροφὴν ἐνίσχυσεν». Ἄρα καὶ ἐξησθενηκὼς ἦν ἀπό τε τῆς ὁδοιπορίας, ἀπό τε τοῦ φόβου, ἀπό τε τοῦ λιμοῦ καὶ τῆς ἀθυμίας. Βουλόμενος οὖν αὐτοῦ ἐπιτεῖναι τὴν ἀθυμίαν, τυφλὸν μένειν εἴασεν, ἕως ἦλθεν Ἀνανίας. Καὶ ἵνα μὴ νομίσῃ φαντασίαν τις εἶναι τὴν πήρωσιν, διὰ τοῦτο αἱ λεπίδες. Ἄρα οὐκ ἐδεήθη διδασκαλίας ἑτέρας, ἀλλὰ τὸ συμβὰν γέγονε διδασκαλία.

«Ἐγένετο δὲ ὁ Σαῦλος μετὰ τῶν ὄντων ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς· καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριστόν, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ». Ὅρα, εὐθέως διδάσκαλος ἦν ἐν ταῖς συναγωγαῖς. Οὐκ ᾐσχύνετο τὴν μεταβολήν, οὐ, ἐδεδοίκει, ἐν οἷς ἦν λαμπρὸς πρότερον, ταῦτα καταλύων. Οὐχ ἁπλῶς ἦν διδάσκαλος, ἀλλὰ καὶ ἐν ταῖς συναγωγαῖς. Οὕτως ἐκ προοιμίων θανατῶν ὁ ἄνθρω-

«Πῆγε δὲ ὁ Ἀνανίας καὶ εἰσῆλθε στὸ σπίτι ποὺ ἔμενε ὁ Σαῦλος, καί, ἀφοῦ ἔθεσε ἐπάνω του τὰ χέρια, εἶπε· Σαοὺλ ἀδελφέ, μὲ ἔστειλε ὁ Κύριος, (ποὺ ἐμφανίσθηκε στὸ δρόμο σου, τὸν ὁποῖο βάδιζες καθὼς ἐρχόσουν) γιὰ νὰ ἀποκτήσεις καὶ πάλι τὸ φῶς σου καὶ νὰ γεμίσεις μὲ τὸ Πνεῦμα τὸ ἅγιο». Ἀμέσως ἀναφέροντας τὸ ὄνομά του τὸν κάνει δικό του. «Ὁ Ἰησοῦς», λέγει «ποὺ ἐμφανίσθηκε σὲ σένα καθ' ὁδό». Καὶ ὅμως δὲν εἶπε σ' αὐτὸν ὁ Χριστὸς αὐτό, ἀλλὰ τὸ ἔμαθε ἀπὸ τὸ Πνεῦμα. «Καὶ ἀμέσως ἔπεσαν ἀπὸ τὰ μάτια του σὰν λέπια καὶ ἀνέβλεψε, καί, ἀφοῦ σηκώθηκε, βαπτίσθηκε· καί, ἀφοῦ ἔλαβε τροφὴ δυνάμωσε». Μόνον τὰ χέρια του ἔθεσε ἐπάνω του καὶ ἀμέσως ἔπεσαν τὰ λέπια. Μερικοὶ λέγουν, ὅτι αὐτὰ ἦταν αἰτία τῆς τυφλώσεώς του. Καὶ γιατί δὲν τύφλωσε τοὺς ὀφθαλμούς αὐτοῦ; Αὐτὸ ἦταν περισσότερο παράδοξο· διότι, ἐνῶ τὰ μάτια του ἦταν ἀνοιχτά, ὅμως δὲν ἔβλεπε· ὅπως ἀκριβῶς ἔπαθε μὲ τὸ νόμο, μέχρις ὅτου δόθηκε σ' αὐτὸν τὸ ὄνομα τοῦ Ἰησοῦ. «Καὶ ἀμέσως», λέγει, «βαπτίσθηκε· καί, ἀφοῦ ἔλαβε τροφή, δυνάμωσε». Ἄρα ἦταν καὶ ἐξασθενημένος καὶ ἀπὸ τὴν ὁδοιπορία καὶ ἀπὸ τὸ φόβο, καὶ ἀπὸ τὴν πεῖνα καὶ ἀπὸ τὴ λύπη. Θέλοντας λοιπὸν νὰ αὐξήσει τὴν λύπη του, τὸν ἄφησε νὰ μείνει τυφλός, μέχρις ὅτου ἦλθε ὁ Ἀνανίας. Καὶ γιὰ νὰ μὴ νομίσει κανένας ὅτι ἡ τύφλωση ἦταν φανταστική, γι' αὐτὸ ὑπῆρχαν τὰ λέπια. Ἄρα δὲν χρειάσθηκε ἄλλη διδασκαλία, ἀλλὰ τὸ συμβὰν ἔγινε διδασκαλία.

«Παρέμεινε δὲ ὁ Σαῦλος μαζὶ μὲ τοὺς μαθητὲς τοῦ Χριστοῦ, ποὺ ἦταν στὴ Δαμασκό, γιὰ λίγες ἡμέρες. Καὶ ἀμέσως κήρυττε στὶς συναγωγὲς τὸ Χριστό, διδάσκοντας ὅτι αὐτὸς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ». Πρόσεχε, ὅτι ἀμέσως ἔγινε διδάσκαλος στὶς συναγωγές. Δὲν αἰσθανόταν ντροπὴ γιὰ τὴ μεταστροφή του, δὲν φοβόταν καταλύοντας ἐκεῖνα μὲ τὰ ὁποῖα προηγουμένως ἦταν λαμπρός. Δὲν ἦταν ἁπλῶς διδάσκαλος, ἀλλὰ ἦταν διδάσκαλος καὶ στὶς συναγωγές. Τόσο πολὺ φονικὲς διαθέσεις εἶχε ὁ ἄνθρωπος αὐτὸς ἀπὸ τὴν ἀρχὴ καὶ ἦταν προετοιμασμένος γιὰ

πος ἦν, καὶ πρὸς φόνους παρεσκευασμένος. Ὁρᾷς οἷον γέγονε σημεῖον εἰς αὐτὸν ἐναργές; Τούτῳ αὐτῷ καὶ πάντας ἐξέπληττε. Διό, καὶ τοῦτο δηλῶν, ἐπάγει, λέγων· «Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες, καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο, καὶ ὧδε εἰς αὐτὸ τοῦτο ἐλήλυθεν, ἵνα δεδεμένους ἀναγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς; Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυνε τοὺς Ἰουδαίους, τοὺς κατοικοῦντας ἐν Δαμασκῷ, συμβιβάζων, ὅτι οὗτός ἐστιν ὁ Χριστός». Ἅτε νομομαθὴς ὤν, ἐπεστόμιζεν αὐτούς, καὶ οὐκ εἴα φθέγγεσθαι. Ἐνόμισαν ἀπηλλάχθαι τῆς ἐν τοῖς τοιούτοις διαλέξεως, ἀπαλλαγέντες Στεφάνου, καὶ Στεφάνου σφοδρότερον εὗρον ἕτερον.

2. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ κατὰ τὸν Ἀνανίαν. Οὐκ εἶπε πρὸς αὐτόν, Διαλέχθητι καὶ κατήχησον αὐτόν· εἰ γάρ, εἰπὼν ὅτι «εὔχεται, καὶ εἶδεν ἄνδρα ἐπιθέντα αὐτῷ τὰς χεῖρας», οὐκ ἔπεισε, πολλῷ μᾶλλον, εἰ τοῦτο εἶπεν. «Εἶδε», φησίν, «ἐν ὁράματι»· ὥστε οὐδὲ διαπιστήσει σοι· μὴ τοίνυν φοβηθῇς. ἀλλὰ πορεύου. Οὕτως οὐδὲ Φίλιππος τότε τὸ πᾶν εὐθέως ἀκούει. «Ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος». Ἐκ περιουσίας τὸν φόβον λύοντός ἐστι τοῦτο, καὶ θαρρεῖν πείθοντος· εἴ γε οὕτω μέλλοι τὰ ὑπὲρ αὐτοῦ φρονεῖν, ὡς καὶ παθεῖν πολλά. Εἰπὼν δέ, «Σκεῦος», ὥστε δεῖξαι ὅτι οὐκ ἔστι φυσικὴ αὐτοῦ ἡ κακία, «ἐκλογῆς» προσέθηκεν, ἵνα δηλώσῃ ὅτι καὶ δόκιμός ἐστι· τὸ δόκιμον γὰρ ἐκλεγόμεθα. Μὴ δὴ νομίσῃ τις, ταῦτα ἀκούων, ὅτι ἀπιστῶν τοῖς λεγομένοις ταῦτά φησιν Ἀνανίας, ἢ ἠπατῆσθαι νομίζων τὸν Χριστόν, μὴ γένοιτο! ἀλλὰ φοβούμενος καὶ τρέμων, οὐδὲ προσεῖχε τοῖς εἰρημένοις, ἀκούσας τὸ ὄνομα Παύλου· οὕτω προκατέλαβεν ὁ φόβος ἀπὸ

φόνους. Βλέπεις ποιὸ ὁλοφάνερο θαῦμα συνέβηκε σ' αὐτόν; Καὶ ἀκριβῶς αὐτὸ ἐξέπληττε ὅλους. Γι' αὐτό, γιὰ νὰ δηλώσει αὐτό, προσθέτει τὰ ἑξῆς· «Καὶ ἔμεναν κατάπληκτοι ὅλοι, ὅσοι τὸν ἄκουαν, καὶ ἔλεγαν· Δὲν εἶναι αὐτός, ποὺ καταδίωξε στὴν Ἱερουσαλὴμ ἐκείνους ποὺ ἐπικαλοῦνταν τὸ ὄνομα αὐτό, καὶ ὁ ὁποῖος γι' αὐτὸν ἀκριβῶς τὸ σκοπὸ εἶχε ἔλθει ἐδῶ, γιὰ νὰ ὁδηγήσει αὐτοὺς δεμένους στοὺς ἀρχιερεῖς; Ὁ Σαῦλος δὲ ἐνισχυόταν ἀκόμη περισσότερο στὴν πίστη καὶ ἔφερνε σὲ σύγχυση τοὺς Ἰουδαίους ποὺ κατοικοῦσαν στὴ Δαμασκό, ἀποδεικνύοντας ὅτι αὐτὸς εἶναι ὁ Μεσσίας». Ἐπειδὴ ἦταν νομομαθής, ἀποστόμωνε αὐτοὺς καὶ δὲν τοὺς ἄφηνε νὰ ὁμιλοῦν. Νόμισαν ὅτι εἶχαν ἀπαλλαγεῖ ἀπὸ τὶς συζητήσεις μὲ τέτοια θέματα, ἐφόσον εἶχαν ἀπαλλαγεῖ ἀπὸ τὸν Στέφανο, ἀλλὰ βρῆκαν ἄλλον ὁρμητικώτερο ἀπὸ τὸν Στέφανο.

2. Ἀλλ' ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ σχετικὰ μὲ τὸν Ἀνανία. Δὲν εἶπε πρὸς αὐτόν, 'δίδαξέ τον καὶ κατήχησέ τον'. Διότι, ἐὰν δὲν ἔπειθαν τὸν Ἀνανία τὰ λόγια, «ὅτι προσεύχεται, καὶ ὅτι εἶδε σὲ ὅραμα ἄνδρα ποὺ ἔθεσε σ' αὐτὸν τὰ χέρια του», πολὺ περισσότερο δὲν θὰ τὸν ἔπειθε, ἂν ἔλεγε αὐτό. «Εἶδε», λέγει, «σὲ ὅραμα», ὥστε δὲν θὰ δυσπιστήσει σὲ σένα· μὴ λοιπὸν φοβηθεῖς, ἀλλὰ πήγαινε. Ἔτσι οὔτε ὁ Φίλιππος τότε ἀκούει ἀμέσως τὸ πᾶν. «Διότι αὐτὸς εἶναι ὄργανό μου ἐκλεκτό». Αὐτὸ εἶναι ἐκεῖνο, ποὺ ἀπομάκρυνε τελείως τὸ φόβο, καὶ ποὺ τὸν ἔπειθε νὰ ἔχει θάρρος, ἐφόσον βέβαια ἐπρόκειτο τόσο μεγάλη νὰ εἶναι ἡ πίστη του πρὸς τὸ Χριστό, ὥστε καὶ νὰ πάθει πολλά. Ἀφοῦ δὲ εἶπε, «Σκεῦος», γιὰ νὰ δείξει ὅτι δὲν εἶναι φυσικὴ ἡ κακία του, πρόσθεσε, «ἐκλογῆς», γιὰ νὰ δείξει ὅτι εἶναι καὶ κατάλληλος· διότι τὸ κατάλληλο ἐκλέγουμε. Μὴ λοιπὸν νομίσει κάποιος ἀκούοντας αὐτά, ὅτι ὁ Ἀνανίας τὰ λέγει αὐτὰ ἐπειδὴ δὲν πιστεύει στὰ λεγόμενα ἢ ἐπειδὴ νομίζει ὅτι ἔχει ἀπατηθεῖ ὁ Χριστός, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλ' ἐπειδὴ φοβόταν καὶ ἔτρεμε, δὲν πρόσεχε στὰ λεγόμενα, μόλις ἄκουσε τὸ ὄνομα τοῦ Παύλου· τόσο πολὺ κυρίεψε ὁ φόβος τὴν ψυχή του ἀπὸ τὸ

τοῦ ὀνόματος αὐτοῦ τὴν ψυχήν, καίτοι, ἀκούσας ὅτι ἐτύφλωσεν αὐτόν, ἔδει θαρρεῖν.

Καὶ ὧδε εἰς αὐτό», φησί, «τοῦτο ἐλήλυθεν, ὥστε δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου». Ὡσεὶ ἔλεγε· 'Φοβοῦμαι, μή ποτέ με εἰς Ἱεροσόλυμα ἀναγάγῃ· τί με εἰς τὸ στόμα ἐμβάλλεις τοῦ λέοντος; τί με τούτῳ προδίδως;'. Φοβεῖται, καὶ ταῦτα λέγει, ἵνα μάθωμεν πάντοθεν τὴν ἀρετὴν τοῦ ἀνδρός· τὸ μὲν γὰρ παρὰ Ἰουδαίων ταῦτα λέγεσθαι, οὐδὲν θαυμαστόν, τὸ δὲ παρὰ τούτου, καὶ οὕτω φοβηθέντος, μέγιστον τεκμήριον τῆς τοῦ Θεοῦ δυνάμεως δείκνυται τοῦτο.

«Σαοὺλ ἀδελφέ». Ἐνταῦθα καὶ ὁ φόβος γίνεται μέγας, καὶ ἡ ὑπακοὴ μείζων μετὰ τὸν φόβον. Εἶτα, ἐπειδὴ «σκεῦος ἐκλογῆς» εἶπεν, ἵνα μὴ εἴπῃς, τὸ πᾶν εἶναι Θεοῦ, ἀπάγων σε τούτου, προστίθησι τὸ ἑξῆς, λέγων· «Τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ». Ἤκουσεν, ὃ σφόδρα ἐπεθύμει ὁ Ἀνανίας, ὅτι καὶ κατὰ Ἰουδαίων στήσεται· διὸ καὶ οὐ μόνον χαρᾶς, ἀλλὰ καὶ θάρσους πληροῦται. «Ἐγὼ γάρ», φησίν, «ὑποδείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν». Προδηλωτικῶς ταῦτα εἴρηται ἅμα καὶ ἐντρεπτικῶς, εἰ ἐκεῖνος μὲν πάντα πείσεται ὁ οὕτω μεμηνώς, αὐτὸς δὲ οὐδὲ βαπτίσαι αὐτὸν θέλει, ὅπως ἀναβλέψῃ. Καλῶς ἔχει, φησίν· ἄφες αὐτὸν πεπηρῶσθαι· διὰ τοῦτο νῦν ἥμερος, ὅτι τυφλός ἐστι· τί με κελεύεις ἀνοῖξαι αὐτοῦ τοὺς ὀφθαλμούς; ἵνα πάλιν δήσῃ; Ἀλλὰ μὴ φοβηθῇς τὸ μέλλον· τῇ γὰρ ἀνοίξει οὐ καθ' ἡμῶν, ἀλλ' ὑπὲρ ἡμῶν χρήσεται· πρὸς τὸ «ὅπως ἀναβλέψῃ», ἔτι καὶ ταῦτα προσκείσθω. Μὴ φοβοῦ· οὐδὲν ἐργάσεται ὑμᾶς δεινόν, ἀλλὰ

ὄνομα αὐτοῦ, ἂν καὶ βέβαια, ἀκούοντας ὅτι τύφλωσε αὐτόν, ἔπρεπε νὰ εἶχε θάρρος.

«Καὶ ἐδῶ γι' αὐτὸ τὸ σκοπό», λέγει, «ἔχει ἔλθει, γιὰ νὰ ὁδηγήσει δεμένους ὅλους ἐκείνους ποὺ ἐπικαλοῦνται τὸ ὄνομά σου». Εἶναι σὰν νὰ ἔλεγε˙ 'φοβᾶμαι μήπως μὲ ἐπαναφέρει πίσω στὰ Ἱεροσόλυμα˙ γιατὶ μὲ βάζεις στὸ στόμα τοῦ λεονταριοῦ; γιατί μὲ παραδίνεις σ' αὐτόν;'. Φοβᾶται καὶ αὐτὰ τὰ λέγει γιὰ νὰ μάθουμε ἀπὸ κάθε πλευρὰ τὴν ἀρετὴ τοῦ ἄνδρα. Διότι τὸ νὰ λέγονται μὲν αὐτὰ ἀπὸ τοὺς Ἰουδαίους, δὲν εἶναι καθόλου ἀξιοθαύμαστο, τὸ νὰ λέγονται ὅμως ἀπὸ αὐτόν, ποὺ καὶ τόσο πολὺ φοβήθηκε, καθίσταται αὐτὸ ἡ πιὸ μεγαλύτερη ἀπόδειξη τῆς δυνάμεως τοῦ Θεοῦ.

«Σαοὺλ ἀδελφέ». Ἐδῶ καὶ ὁ φόβος γίνεται μεγάλος καὶ ἡ ὑπακοὴ μεγαλύτερη μετὰ τὸ φόβο. Ἔπειτα, ἐπειδὴ εἶπε «σκεῦος ἐκλογῆς», γιὰ νὰ μὴ νομίσεις, ὅτι τὸ πᾶν προέρχεται ἀπὸ τὸ Θεό, ἀπομακρύνοντάς σε ἀπὸ αὐτό, προσθέτει καὶ τὰ ἑξῆς λόγια˙ «γιὰ νὰ μεταφέρει καὶ νὰ κηρύξει τὸ ὄνομά μου ἐνώπιον τῶν ἐθνῶν καὶ τῶν βασιλέων καὶ τῶν ἀπογόνων τοῦ Ἰσραήλ». Ἄκουσε ἐκεῖνο ποὺ ἐπιθυμοῦσε πάρα πολὺ ὁ Ἀνανίας, ὅτι θὰ λάβει στάση καὶ ἐναντίον τῶν Ἰουδαίων, γι' αὐτὸ γεμίζει ὄχι μόνο ἀπὸ χαρά, ἀλλὰ καὶ ἀπὸ θάρρος. «Διότι ἐγώ», λέγει, «θὰ ὑποδείξω σ' αὐτὸν ὅσα πρέπει νὰ πάθει αὐτὸς γιὰ τὸ ὄνομά μου». Αὐτὰ ἔχουν λεχθεῖ γιὰ νὰ προδηλώσει στὸν Ἀνανία καὶ συγχρόνως γιὰ νὰ τὸν κάνει νὰ νιώσει ντροπή, ὅτι, ἐνῶ ἐκεῖνος μέν, ποὺ τόσο πολὺ εἶχε κυριευθεῖ ἀπὸ τόση μανία, θὰ πάθει τὰ πάντα, αὐτὸς δὲ οὔτε νὰ βαπτίσει δὲν θέλει αὐτόν, γιὰ νὰ ἀναβλέψει. Καλὸ εἶναι, λέγει˙ ἄφησέ τον νὰ εἶναι τυφλός˙ γι' αὐτὸ τώρα εἶναι ἥμερος, ἐπειδὴ εἶναι τυφλός˙ τί μὲ προστάζεις νὰ ἀνοίξω τοὺς ὀφθαλμοὺς αὐτοῦ; γιὰ νὰ δέσει πάλι τοὺς πιστούς; ἀλλὰ μὴ φοβηθεῖς τὸ μέλλον˙ διότι τὸ ἄνοιγμα τῶν ματιῶν δὲν θὰ τὸ χρησιμοποιήσει ἐναντίον μας, ἀλλὰ γιὰ τὸ καλό μας. Σχετικὰ μὲ τὸ «γιὰ νὰ ἀναβλέψει», ἂς προστεθοῦν ἀκόμα καὶ αὐτά. Μὴ φοβᾶσαι, κανένα κακὸ δὲν θὰ μᾶς

καὶ πείσεται πολλά. Καὶ τὸ δὴ θαυμαστόν, ὅτι πρότερον πείσεται, καὶ τότε ἐμβήσεται εἰς τοὺς κινδύνους.

«Σαοὺλ ἀδελφέ, ὁ Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ, ἀπέσταλκέ με». Οὐκ εἶπεν, "Ὁ πηρώσας", ἀλλ' «ὁ ὀφθείς σοι»· οὕτως ᾔδει μετριάζειν, καὶ οὐδὲν φθέγγεταί που ἀλαζονικόν. Ὥσπερ οὖν ὁ Πέτρος ἔλεγεν ἐπὶ τοῦ χωλοῦ· «Τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;», οὕτω καὶ οὗτος· «Ὁ Ἰησοῦς ὁ ὀφθείς σοι». Τῶν χειρῶν ἐπικειμένων, ταῦτα ἐφθέγγετο, καὶ διπλῇ πήρωσις ἐλύετο. Εἰπὼν δὲ ὅτι «λαβὼν τροφὴν ἐνίσχυσεν», ἐδήλωσεν ὅτι παρειμένος ἦν καὶ ἀπὸ τῆς ἀθυμίας ὑπὲρ τῆς πηρώσεως, καὶ ἀπὸ τοῦ φόβου, καὶ ἀπὸ τοῦ λιμοῦ· οὐδὲ γὰρ ἠνέσχετο πρότερον μετασχεῖν τροφῆς, ἕως ὅτε βαπτισθεὶς τῶν μεγάλων εὐθὺς ἔτυχε δωρεῶν. Καὶ οὐ λέγει, "Ἰησοῦς ὁ σταυρωθείς, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ σημεῖα ποιῶν", ἀλλὰ τί; «Ὁ ὀφθείς σοι», ἀπὸ τῶν ἐκείνῳ γνωρίμων· ἐπεὶ καὶ ὁ Χριστὸς οὐδὲν πλέον προσέθηκεν, οὐδὲ εἶπεν, "Ἐγώ εἰμι ὁ σταυρωθείς, ὁ ἐγερθείς", ἀλλ' «ὃν σὺ διώκεις». Οὐκ εἶπεν, "Ὁ δεδιωγμένος", ἵνα μὴ δόξῃ ὡς ὑπενθουσιᾶν καὶ ἐπεγγελᾶν. «Ὁ ὀφθείς σοι», φησίν, «ἐν τῇ ὁδῷ». Καὶ μὴν οὐκ ὤφθη, ἀλλὰ διὰ πραγμάτων ὤφθη. Καὶ θέλων συσκιάσαι τὸ φορτικὸν τοῦ λόγου, εὐθέως ἐπήγαγεν· «Ὅπως ἀναβλέψῃς, καὶ πλησθῇς Πνεύματος ἁγίου». Οὐχὶ ἐλέγξαι ἦλθε τὸ γεγενημένον, ἀλλὰ δοῦναι τὴν δωρεάν, φησίν. Ἐμοὶ δοκεῖ καὶ τοῦτον καὶ τὸν Κορνήλιον εὐθύς, τούτων λεγομένων τῶν ῥημάτων, τοῦ Πνεύματος μετασχεῖν, καίτοι γε ὁ διδοὺς οὐκ ἦν τῶν δώδεκα. Οὕτως οὐδὲν ἀνθρώπινον πάντων τῶν ἐπ' αὐ-

2. Πράξ. 3, 12.

κάνει, ἀλλὰ καὶ θὰ πάθει πολλὰ κακά. Καὶ τὸ ἀξιοθαύμαστο βέβαια εἶναι, ὅτι προηγουμένως θὰ πάθει, καὶ τότε θὰ εἰσέλθει στοὺς κινδύνους.

«Σαοὺλ ἀδελφέ, ὁ Ἰησοῦς, ποὺ ἐμφανίσθηκε σὲ σένα στὸ δρόμο, μὲ ἔστειλε». Δὲν εἶπε, 'Αὐτὸς ποὺ σὲ τύφλωσε', ἀλλ' «αὐτὸς ποὺ ἐμφανίσθηκε σὲ σένα»· τόσο πολὺ ἤξερε νὰ δείχνει μετριοφροσύνη, καὶ τίποτε τὸ ἀλαζονικὸ δὲν λέγει. Ὅπως λοιπὸν ὁ Πέτρος ἔλεγε στὴν περίπτωση τοῦ χωλοῦ, «Γιατί προσέχετε ἐμᾶς, σὰν μὲ τὴν δική μας δύναμη ἢ τὴν εὐσέβεια νὰ κάναμε νὰ περπατεῖ αὐτός;»[2], ἔτσι καὶ αὐτός· «ὁ Ἰησοῦς ποὺ ἐμφανίσθηκε σὲ σένα». Καὶ ἐνῶ τὰ χέρια του ἦταν ἐπάνω στὰ μάτια τοῦ Παύλου, ἔλεγε αὐτά, καὶ διπλὴ τύφλωση διαλυόταν. Μὲ τὸ νὰ πεῖ δέ, ὅτι, «Ἀφοῦ ἔλαβε τροφή, δυνάμωσε», δήλωσε ὅτι ἦταν ἐξασθενημένος καὶ ἀπὸ τὴ λύπη, ἐξαιτίας τῆς τυφλώσεως, καὶ ἀπὸ τὸ φόβο, καὶ ἀπὸ τὴν πείνα· διότι προηγουμένως δὲν ἀνεχόταν νὰ λάβει τροφή, παρὰ μόνο ὅταν βαπτίσθηκε καὶ ἔλαβε ἀμέσως τὶς μεγάλες δωρεές. Καὶ δὲν λέγει, 'Ὁ Ἰησοῦς ποὺ σταυρώθηκε, ὁ Υἱὸς τοῦ Θεοῦ, ποὺ κάμνει θαύματα', ἀλλὰ τί; «Αὐτὸς ποὺ ἐμφανίσθηκε σὲ σένα», αὐτὰ δηλαδὴ ποὺ ἦταν γνωστὰ σ' ἐκεῖνον. Διότι καὶ ὁ Χριστὸς τίποτε περισσότερο δὲν πρόσθεσε, οὔτε εἶπε, 'Ἐγὼ εἶμαι ἐκεῖνος ποὺ σταυρώθηκα καὶ ἀναστήθηκα', ἀλλ' «ἐκεῖνος ποὺ σὺ διώκεις». Δὲν εἶπε, 'Αὐτὸς ποὺ ἔχει διωχθεῖ', γιὰ νὰ μὴ φανεῖ ὅτι ἦταν πολὺ ἐνθουσιασμένος καὶ ὅτι τὸν περιγελοῦσε. «Ὁ ὁποῖος ἐμφανίσθηκε», λέγει, «σὲ σένα, στὸ δρόμο». Καὶ ὅμως δὲν ἐμφανίσθηκε ὁ ἴδιος, ἀλλὰ παρουσιάσθηκε μὲ γεγονότα. Καὶ θέλοντας νὰ μετριάσει τὸ ἀνυπόφορο τῶν λόγων του, ἀμέσως πρόσθεσε· «Γιὰ νὰ ἀναβλέψεις καὶ νὰ γεμίσεις ἀπὸ Πνεῦμα ἅγιο». Δὲν ἦλθε γιὰ νὰ ἐλέγξει τὰ περιστατικό, ἀλλὰ γιὰ νὰ δώσει τὴ δωρεὰ τοῦ Πνεύματος, λέγει. Ἐγὼ νομίζω ὅτι καὶ αὐτὸς καὶ ὁ Κορνήλιος ἀμέσως, μόλις λέχθηκαν τὰ λόγια αὐτά, ἔλαβαν τὸ Πνεῦμα, ἂν καὶ βέβαια ἐκεῖνος ποὺ τοὺς τὸ ἔδωσε δὲν ἦταν ἀπὸ τοὺς δώδεκα. Ἔτσι τίποτε τὸ ἀνθρώπινο δὲν ἦταν

τῷ, οὐδὲ δι' ἀνθρώπου ἐγένετο, ἀλλ' ὁ Θεὸς παρῆν ὁ ταῦτα ποιῶν. Ἅμα δὲ αὐτὸν καὶ μετριάζειν παιδεύει, οὐκ ἄγων αὐτὸν πρὸς τοὺς προκρίτους Ἀποστόλους, καὶ δείκνυσιν ὅτι οὐδὲν ἀνθρώπινον ἐνταῦθα. Οὐ μὴν Πνεύματος δὲ ἠξιώθη τοῦ ποιοῦντος τὰ σημεῖα, ἵνα καὶ οὕτως ἡ πίστις αὐτοῦ δειχθῇ· οὐ γὰρ θαύματα ἐποίησε. «Καὶ εὐθέως», φησίν, «ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριστόν, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ». Οὐχ ὅτι ἀπέστη ἐκήρυσσεν, οὐδὲ ὅτι ζῇ, ἀλλὰ τί; Σφόδρα ἀκριβῶς τὸ δόγμα ἐξετίθετο· «Ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ». Οἱ δὲ εἰς ἀπιστίαν λοιπὸν ἔρχονται, ταῦτα ἀκούοντες, δέον οὐ πιστεύειν μόνον, ἀλλὰ καὶ ἐκπλήττεσθαι. Καὶ τί δήποτε οὐχ ἁπλῶς ὅτι διώκτης ἦν λέγουσιν, ἀλλ' ὅτι ἐπόρθει τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; Τὸ σφόδρα μανικὸν διὰ τούτου ἐμφαίνοντες. Καὶ οὐκ εἶπον τὸν Ἰησοῦν, ἀπὸ τῆς βασκανίας οὐδὲ τὸ ὄνομα ἀκούειν ἀνεχόμενοι· οὕτως ἦσαν ἐκτεθηριωμένοι. «Καὶ ὧδε εἰς τοῦτο ἐλήλυθεν». Οὐκ ἔχομεν εἰπεῖν, φησίν, ὅτι τοῖς Ἀποστόλοις πρότερον συνεγένετο.

3. Ὅρα διὰ πόσων ὁμολογεῖται τῶν ἐχθρῶν τυγχάνων ὁ Παῦλος. Ὁ δὲ οὐ μόνον οὐκ ᾐσχύνετο τούτοις, ἀλλὰ καὶ ἐνηβρύνετο. «Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο, καὶ συνέχυνε τοὺς Ἰουδαίους» (τουτέστιν, ἐπεστόμιζεν, οὐκ εἶα τι εἰπεῖν) συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός». Διδάσκων, φησί· διδάσκαλος καὶ γὰρ εὐθέως ἦν. «Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν». Ἐπὶ τὸν ἰσχυρὸν συλλογισμὸν ἔρχονται πάλιν οἱ Ἰουδαῖοι· οὐκ ἔτι γὰρ συκοφάντας καὶ κατηγόρους, καὶ ψευδομάρτυρας ἐπιζητοῦσιν (οὐδὲ γὰρ ἔτι ἀνέχονται τούτων), ἀλλὰ τί; Λοιπὸν αὐτοὶ δι' ἑαυτῶν τοῦτο ἐργάζονται· ἐπειδὴ γὰρ εἶδον ἐπιτεινόμενον τὸ πρᾶγμα, οὐδὲ δικαστήριον καθίζουσιν. «Ἐγνώ-

απ' ἐκεῖνα ποὺ ἔγιναν σ' αὐτόν, οὔτε ἔγιναν ἀπὸ ἄνθρωπο, ἀλλ' ὁ Θεὸς ἦταν παρών, ὁ ὁποῖος ἔκαμνε αὐτά. Συγχρόνως δὲ διδάσκει αὐτὸν νὰ εἶναι μετριόφρων, χωρὶς νὰ τὸν ὁδηγεῖ πρὸς τοὺς διακεκριμένους Ἀποστόλους, καὶ δείχνει ὅτι τίποτε τὸ ἀνθρώπινο δὲν ὑπάρχει ἐδῶ. Δὲν ἀξιώθηκε ὅμως τῆς χάριτος τοῦ Πνεύματος, ποὺ θαυματουργεῖ, γιὰ νὰ δειχθεῖ καὶ ἔτσι ἡ πίστη του· διότι δὲν ἔκανε θαύματα. «Καὶ ἀμέσως», λέγει, «κήρυττε στὶς συναγωγὲς τὸν Χριστό, ὅτι Αὐτὸς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ». Δὲν κήρυττε ὅτι ἀναστήθηκε, οὔτε ὅτι ζεῖ, ἀλλὰ τί; Μὲ ἀπόλυτη ἀκρίβεια ἐξέθετε τὸ δόγμα, «Ὅτι Αὐτὸς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ». Ἐκεῖνοι δὲ ποὺ ἀκοῦν συνέχεια αὐτὰ ἀπιστοῦν, ἐνῶ ἔπρεπε ὄχι μόνο νὰ πιστεύουν, ἀλλὰ καὶ νὰ ἐκπλήσσονται. Καὶ γιατί, τέλος πάντων, δὲν λέγουν ἁπλῶς, ὅτι ἦταν διώκτης, ἀλλ' ὅτι καταδίωκε ἐκείνους ποὺ ἐπικαλοῦνταν τὸ ὄνομα αὐτό; Γιὰ νὰ δηλώσουν τὴν ὑπερβολικὴ μανία του. Καὶ δὲν εἶπαν «τὸν Ἰησοῦ», ἐπειδὴ ἀπὸ τὸ φθόνο οὔτε τὸ ὄνομά του ἀνέχονταν νὰ ἀκούουν· τόσο πολὺ ἐξαγριωμένοι ἦταν· «Καὶ ἔχει ἔλθει ἐδῶ γι' αὐτό». Δὲν μποροῦμε, λέγει, νὰ ποῦμε ὅτι προηγουμένως συναναστρεφόταν μὲ τοὺς Ἀποστόλους.

3. Πρόσεχε μὲ πόσα ἀποδεικνύεται ὅτι ὁ Παῦλος ἀνῆκε στοὺς ἐχθρούς. Αὐτὸς δὲ ὄχι μόνο δὲν αἰσθανόταν ντροπὴ γι' αὐτά, ἀλλὰ καὶ καυχιόταν· «Ὁ Σαῦλος ἐνισχυόταν περισσότερο στὴν πίστη καὶ δημιουργοῦσε σύγχυση στοὺς Ἰουδαίους», (δηλαδὴ τοὺς ἀποστόμωνε καὶ δὲν τοὺς ἄφηνε νὰ ποῦν κάτι) καὶ ἀποδείκνυε ὅτι αὐτὸς εἶναι ὁ Χριστός». «Διδάσκοντας», λέγει· διότι ἀμέσως ἔγινε δάσκαλος. «Ἀφοῦ δὲ συμπληρώθηκαν ἀρκετὲς ἡμέρες, οἱ Ἰουδαῖοι συνωμότησαν νὰ φονεύσουν αὐτόν». Σοβαρὲς ἀποφάσεις παίρνουν πάλι οἱ Ἰουδαῖοι· διότι δὲν ἐπιζητοῦν πλέον συκοφάντες καὶ κατήγορους καὶ ψευδομάρτυρες (διότι δὲν ἀνέχονται πλέον αὐτούς), ἀλλὰ τί; Μόνοι τους πλέον πραγματοποιοῦν αὐτό! Διότι, ἐπειδὴ εἶδαν ὅτι ἐξαπλωνόταν τὸ κήρυγμα τοῦ Εὐαγγελίου, οὔτε δικαστήριο συγκροτοῦν. «Ἔγιναν γνωστὰ στὸ Σαῦλο τὰ

σθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν. Παρετήρουν τε τὰς πύλας ἡμέρας τε καὶ νυκτός, ὅπως αὐτὸν ἀνέλωσι». Διὰ τί; Ὅτι πάντων ἀφορητότερον ἦν αὐτοῖς τῶν ἤδη γεγενημένων σημείων, τῶν πεντακισχιλίων, τῶν τρισχιλίων, πάντων ἁπλῶς. Καὶ ὅρα αὐτὸν τέως οὐ χάριτι σωζόμενον, ἀλλ' ἀνθρωπίνῃ σοφίᾳ, ἵνα μάθῃς τοῦ ἀνδρὸς τὴν ἀρετήν, καὶ χωρὶς σημείων λάμποντος.

«Λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτός, καθῆκαν διὰ τοῦ τείχους, χαλάσαντες ἐν σπυρίδι». Εἰκότως, ἵνα ἀνύποπτον ᾖ τὸ πρᾶγμα. Τί οὖν; τοιοῦτον κίνδυνον διαφυγών, ἆρα ἵσταται; Οὐδαμῶς, ἀλλ' ἀπέρχεται ἔνθα μειζόνως ἂν αὐτοὺς ἐξάψοι· ὅτι γὰρ ἀκριβῶς ἐπίστευσεν, ἄπιστον ἦν ἔτι τοῖς πολλοῖς. Διὰ τοῦτο μεθ' ἡμέρας ἱκανὰς τοῦτο γίνεται. Τί ποτε τοῦτό ἐστιν; Εἰκὸς αὐτὸν μὴ βούλεσθαι τέως ἐξελθεῖν ἐκεῖθεν, πολλῶν ἴσως παραινούντων· ἐπειδὴ δὲ ἔμαθε, τότε ἐπέτρεψε τοῖς μαθηταῖς αὐτοῦ· καὶ γὰρ μαθητὰς εἶχεν εὐθέως. Τοῦτο αἰνιττόμενος, ἔλεγεν· «Ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν πιάσαι με θέλων». Καὶ ὅρα τὸν Εὐαγγελιστὴν οὐδὲν φιλοτίμως λέγοντα, οὐδὲ λαμπρὸν δεικνύντα τὸν Παῦλον, ἀλλὰ μόνον ὅτι ἐπήγειραν τὸν βασιλέα. Μόνον οὖν αὐτὸν ἐξέπεμψαν, καὶ οὐδένα μετ' αὐτοῦ. Καὶ τοῦτο δὲ συμφερόντως, ὥστε αὐτὸν φανῆναι τοῖς Ἀποστόλοις ἐν Ἱεροσολύμοις· μᾶλλον δὲ αὐτοὶ μὲν ἐξέπεμψαν, ὡς ἐκ τούτου λοιπὸν ἑαυτῷ τὴν σωτηρίαν πορίσασθαι, αὐτὸς δέ, τοὐναντίον πραττόμενος, εἰς τοὺς μαινομένους εὐθὺς ἐπεπήδησε. Τοῦτό ἐστι πεπυρῶσθαι, τοῦτο μάλιστα ζεῖν.

---

3. Β΄ Κορινθ. 11, 32.

σχέδιά τους. Καὶ οἱ Ἰουδαῖοι παραφύλατταν τὶς πύλες τῆς πόλεως νύχτα καὶ ἡμέρα, γιὰ νὰ τὸν φονεύσουν». Γιατί; Διότι ἡ μεταστροφὴ τοῦ Σαύλου ἦταν γι' αὐτοὺς ἀπὸ τὰ πλέον ἀνυπόφορα, ἀπὸ τὰ ὅσα σημεῖα μέχρι τότε εἶχαν γίνει, ἀπὸ τὴν προσέλευση τῶν πέντε χιλιάδων, τῶν τριῶν χιλιάδων καὶ γενικὰ ἀπὸ ὅλα. Καὶ πρόσεχε, ὅτι αὐτὸς στὴν ἀρχὴ δὲν σώζεται μὲ τὴ χάρη, ἀλλὰ μὲ τὴν ἀνθρώπινη σοφία, γιὰ νὰ μάθεις τὴν ἀρετὴ τοῦ ἀνθρώπου, ποὺ λάμπει καὶ χωρὶς θαύματα.

«Ἀφοῦ δὲ παρέλαβαν αὐτὸν οἱ μαθητὲς τὸν κατέβασαν νύχτα ἀπὸ κάποιο μέρος τοῦ τείχους μὲ σχοινὶ μέσα σὲ καλάθι». Δικαιολογημένα, γιὰ νὰ ἀποφύγουν ἔτσι τὴν ὑποψία τῆς φυγῆς. Τί λοιπόν; ἀφοῦ διέφυγε τέτοιο κίνδυνο, ἄραγε σταματᾶ; Καθόλου, ἀλλὰ πηγαίνει ἐκεῖ ὅπου περισσότερο θὰ τοὺς ἐξόργιζε. Διότι τὸ ὅτι πίστεψε πράγματι, ἦταν ἀκόμη στοὺς πολλοὺς ἀπίστευτο. Γι' αὐτό, μετὰ ἀπὸ ἀρκετὲς ἡμέρες γίνεται αὐτό. Τί τέλος πάντων σημαίνει αὐτό; Φυσικὸ εἶναι στὴν ἀρχὴ νὰ μὴ ἤθελε νὰ βγεῖ ἀπὸ ἐκεῖ, πράγμα ποὺ ἴσως πολλοὶ νὰ τὸν παρότρυναν, μόλις ὅμως τὸ ἔμαθε, τότε ἐπέτρεψε στοὺς μαθητές του νὰ τὸν φυγαδεύσουν· διότι μαθητὲς εἶχε ἀμέσως. Τοῦτο ὑπονοώντας ἔλεγε· «Ὁ διοικητής, ποὺ εἶχε διορισθεῖ ἀπὸ τὸν βασιλέα Ἀρέτα, φρουροῦσε τὴν πόλη τῶν Δαμασκηνῶν, θέλοντας νὰ μὲ συλλάβει»[3]. Καὶ πρόσεχε ὅτι ὁ εὐαγγελιστὴς τίποτε τὸ ἐπιδεικτικὸ δὲν λέγει, οὔτε παρουσιάζει τὸν Παῦλο λαμπρό, ἀλλὰ μόνο ὅτι ἐξήγειραν τὸ βασιλιὰ ἐναντίον του. Μόνο λοιπὸν τὸν ἔστειλαν, χωρὶς κανένα ἄλλο μαζί του. Καὶ αὐτὸ ἔγινε πρὸς τὸ συμφέρον, ὥστε ὁ ἴδιος νὰ ἐμφανισθεῖ στοὺς Ἀποστόλους στὴν Ἰερουσαλήμ· μᾶλλον δὲ ἐκεῖνοι μὲν ἀπέστειλαν αὐτόν, ὥστε ἀπὸ ἐδῶ καὶ στὸ ἑξῆς μόνος του νὰ ἐξασφαλίσει τὴ σωτηρία γιὰ τὸν ἑαυτό, αὐτὸς ὅμως πράττοντας τὸ ἀντίθετο, ἀμέσως εἰσέβαλε μέσα στοὺς μανιακούς. Αὐτὸ σημαίνει νὰ ἔχει κάποιος κυριευθεῖ ἀπὸ τὴ φλόγα τῆς πίστεως, αὐτὸ πρὸ πάντων σημαίνει ζωή.

Καὶ σκόπει πῶς ἀκολουθεῖ, ἐκ πρώτης ἡμέρας τηρῶν τὸ παράγγελμα, ὅπερ ἤκουσαν οἱ Ἀπόστολοι, τὸ «ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήσῃ μοι». Τὸ τοίνυν ὕστερον αὐτὸν τῶν ἄλλων ἐλθεῖν, μᾶλλον αὐτὸν προθυμότερον ἐποίει. Καὶ ἔργῳ ἐπληροῦτο ἐκεῖνο, τό, «ᾧ ἀφίεται πολύ, μᾶλλον ἀγαπήσει». Ὥστε, ὅσῳ ἔσχατον ἦλθε, τοσούτῳ μᾶλλον ἠγάπησε. Διὰ τοῦτο, καὶ τὸν πρότερον βίον ἑαυτοῦ στηλιτεύων, καὶ πολλάκις ἑαυτὸν στίζων, οὐδὲν ἡγεῖτο ἱκανὸν εἶναι πρὸς τὸ τὰ πρότερα ἀποκρύψαι. «Συμβιβάζων», φησί· τουτέστι, μετ' ἐπιεικείας διδάσκων. Καὶ ὅρα, οὐ λέγουσιν αὐτῷ ὅτι 'σὺ εἶ ὁ πορθῶν, τί μεταβέβλησαι;' (ᾐσχύνοντο γάρ), ἀλλὰ πρὸς ἑαυτοὺς ἔλεγον. Εἶπε γὰρ ἂν πολλῷ δικαιότερον ὅτι τοῦτο μάλιστα ὑμᾶς διδάξαι ὀφείλει, ἐπεὶ καὶ πρὸς Ἀγρίππαν οὕτως ἀπολογεῖται.

Τοῦτον μιμώμεθα, παρακαλῶ, καὶ ἡμεῖς, καὶ πρὸς πάντας ὦμεν κινδύνους παρατεταγμένοι. Καὶ πῶς, φησίν, ἐκεῖνος φεύγει; Οὐκ ἦν δειλίας τὸ πρᾶγμα, ἀλλ' ἐφύλαττεν ἑαυτὸν τῷ κηρύγματι. Εἰ δειλὸς ἦν, οὐκ ἂν εἰς τὰ Ἱεροσόλυμα ἦλθεν, οὐκ ἂν εὐθέως ἀνεδέξατο τὴν διδασκαλίαν, καθυφῆκεν ἂν τῆς σφοδρότητος· ἀλλ' οὐκ ἦν δειλός, ἀλλὰ καὶ οἰκονομικός. Ἐπαιδεύθη τῷ πάθει τοῦ Στεφάνου· διὸ οὐδὲν μέγα ἡγεῖτο τὸ ἀποθανεῖν ὑπὲρ τοῦ κηρύγματος, εἰ μὴ μετὰ πολλοῦ τοῦ κέρδους τοῦτο ἐργάσαιτο, ἄνθρωπος οὐδὲ τὸν Χριστὸν ἰδεῖν θέλων, ὃν μάλιστα πάντων ἔσπευδεν ἰδεῖν, ἐπειδὴ οὐδέπω ἀπήρτιστο αὐτῷ τὰ τῆς εἰς τοὺς ἀνθρώπους οἰκονομίας. Τοιαύτην εἶναι χρὴ τὴν ψυχὴν τοῦ Χριστιανοῦ.

4. Ἀπὸ προοιμίων καὶ ἀπὸ βαλβῖδος αὐτῆς ἐδείκνυτο ὁ χαρακτὴρ Παύλου, μᾶλλον δὲ καὶ πρὸ τούτου· ἐν οἷς γὰρ οὐ κατὰ γνῶσιν ἐποίει, ἀνθρωπίνῳ κινούμενος λογισμῷ διε-

---

4. Ματθ. 10, 38.

5) Πρβλ. Λουκᾶ 7, 47 «οὗ χάριν λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ».

Καὶ πρόσεχε πῶς ἀκολουθεῖ, ἀπό τὴν πρώτη ἡμέρα τηρώντας τὸ παράγγελμα, ποὺ ἄκουσαν οἱ Ἀπόστολοι, τὸ «Ἐὰν κάποιος δὲν σηκώσει τὸ σταυρό του καὶ δὲν μὲ ἀκολουθήσει»[4]. Τὸ γεγονὸς λοιπὸν ὅτι αὐτὸς ἦλθε μετὰ ἀπὸ τοὺς ἄλλους, κάνει αὐτόν περισσότερο πρόθυμο. Καὶ ἔμπρακτα πραγματοποιοῦνταν ἐκεῖνο, τό, «Σ' ἐκεῖνον ποὺ χαρίζεται πολύ, περισσότερο θ' ἀγαπήσει»[5]. Ὥστε, ὅσο πρὸς τὸ τέλος ἦλθε, τόσο περισσότερο ἀγάπησε. Γι' αὐτὸ καὶ κατακρίνοντας τὸν προηγούμενο βίο του, πολλές φορὲς δὲ καὶ στιγματίζοντας τὸν ἑαυτό του, τίποτε δὲν θεωροῦσε ἀρκετὸ γιὰ νὰ ἀποκρύψει τὰ προηγούμενα. «Συμβιβάζοντας», λέγει˙ δηλαδὴ διδάσκοντας μὲ ἐπιείκεια. Καὶ πρόσεχε, δὲν τοῦ λέγουν ὅτι, 'σὺ εἶσαι ὁ διώκτης˙ γιατί ἔχεις ἀλλάξει;' (διότι ντρέπονταν), ἀλλὰ τὰ ἔλεγαν ἀναμεταξύ τους. Διότι θὰ ἔλεγε πολὺ λογικώτερα, ὅτι αὐτὸ πολὺ περισσότερο πρέπει νὰ σᾶς διδάξει, ἀφοῦ καὶ πρὸς τὸν Ἀγρίπα ἔτσι ἀπολογεῖται.

Αὐτόν, παρακαλῶ, ἂς μιμούμαστε, καὶ ἂς εἴμαστε προετοιμασμένοι νὰ ἀντιταχθοῦμε πρὸς ὅλους τοὺς κινδύνους. Καὶ πῶς, λέγει, ἐκεῖνος φεύγει; Δὲν ἦταν ἀποτέλεσμα δειλίας ἡ φυγή του, ἀλλὰ μ' αὐτὴν φύλασσε τὸν ἑαυτό του γιὰ τὸ κήρυγμα. Ἂν ἦταν δειλός, δὲν θὰ ἐρχόταν στὰ Ἱεροσόλυμα, οὔτε θὰ ἀναλάμβανε ἀμέσως τὴ διδασκαλία, ἀλλὰ θὰ μετρίαζε τὴν ὁρμητικότητά του˙ δὲν ἦταν δειλός, ἀλλὰ συνετός. Διδάχθηκε ἀπὸ τὸ πάθος τοῦ Στέφανου˙ γι' αὐτὸ δὲν θεωροῦσε καθόλου σπουδαῖο τὸ νὰ πεθάνει γιὰ τὸ κήρυγμα, ἐὰν δὲν γινόταν αὐτὸ μὲ μεγάλο κέρδος, αὐτός, ποὺ ἐνῶ δὲν ἤθελε οὔτε κἂν νὰ δεῖ τὸ Χριστό, αὐτὸν τώρα περισσότερο ἀπὸ ὅλους βιαζόταν νὰ δεῖ, ἐπειδὴ ἀκόμη δὲν εἶχε ὁλοκληρωθεῖ σ' αὐτὸν τὸ ἔργο τῆς οἰκονομίας τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους. Τέτοια πρέπει νὰ εἶναι ἡ ψυχὴ τοῦ χριστιανοῦ.

4. Ἀπὸ τὴν ἀρχὴ καὶ ἀπὸ αὐτὸ τὸ ξεκίνημά του ἀποδεικνύεται ὁ χαρακτήρας τοῦ Παύλου˙ μᾶλλον δὲ καὶ πρὶν ἀπὸ αὐτό˙ καθόσον ἐκεῖνα ποὺ ἔκαμνε χωρὶς νὰ ἔχει ὀρθὴ γνώση, τὰ ἔκανε κινούμενος ἀπὸ ἀνθρώπινο λογι-

λράττετο· εἰ γὰρ μετὰ τοσοῦτον χρόνον οὐκ ἤθελεν ἀναλῦσαι, πολλῷ μᾶλλον ἐν ἀρχῇ τῆς ἐμπορίας, ἄρτι τῶν λιμένων ἐξελθών. Οὐκ ἐξαρπάζει δὲ αὐτὸν ὁ Χριστὸς τοῦ κινδύνου, ἀλλ' ἀφίησιν, ἐπειδὴ βούλεται καὶ ἀνθρωπίνῃ συνέσει πολλὰ γίνεσθαι· ἄλλως δὲ ἀφίησιν, ἵνα μάθωμεν ὅτι καὶ αὐτοὶ ἄνθρωποι ἦσαν, καὶ ὅτι οὐ πανταχοῦ τὸ πᾶν ἡ χάρις ἐνήργει· ἐπεί, εἰ μὴ τοῦτο ἦν, ξύλα ἁπλῶς ἐνομίσθησαν ἄν. Διά τοι τοῦτο πολλὰ καὶ αὐτοὶ ᾠκονόμουν διὰ τῶν πραγμάτων. Τοῦτο καὶ ἡμεῖς ποιῶμεν, καὶ οὕτω τῆς τῶν ἀδελφῶν ὀρεγώμεθα σωτηρίας. Τοῦτο μαρτυρίου οὐκ ἔλαττον, μηδὲν παραιτήσασθαι παθεῖν διὰ τὴν τῶν πολλῶν σωτηρίαν. Οὐδὲν οὕτως εὐφραίνει τὸν Θεόν. Πάλιν ἐρῶ, ὃ πολλάκις εἶπον· ἐρῶ δέ, ἐπειδὴ σφόδρα αὐτὸ βούλομαι. Ἐπεὶ καὶ ὁ Χριστὸς τὸ αὐτὸ ἐποίει, περὶ ἀφέσεως παραινῶν καὶ λέγων· «Ὅταν προσεύχησθε ὑμεῖς, ἀφίετε εἴ τι κατά τινος ἔχετε»· πάλιν, τῷ Πέτρῳ διαλεγόμενος, «οὐ λέγω σοι», φησίν, «ὅτι ἄφες ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά»· καὶ διὰ τῶν ἔργων ἀφῆκε τὰ εἰς αὐτὸν πλημμελήματα.

Οὕτω δὴ καὶ ἡμεῖς, ἐπειδὴ ἴσμεν τοῦτο ὅρον Χριστιανισμοῦ ὄντα, διὰ παντὸς περὶ αὐτοῦ διαλεγόμεθα. Οὐδὲν ψυχρότερον Χριστιανοῦ, ἑτέρους μὴ σῴζοντος. Οὐκ ἔχεις ἐνταῦθα πενίαν εἰπεῖν· ἡ γὰρ τὰ δύο καταβαλοῦσα λεπτὰ κατηγορήσει. Καὶ Πέτρος ἔλεγεν· «Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι». Καὶ Παῦλος οὕτως ἦν πένης, ὡς καὶ πεινᾶσαι πολλάκις, καὶ τῆς ἀναγκαίας ἀπορῆσαι τροφῆς. Οὐκ ἔχεις δυσγένειαν εἰπεῖν· καὶ γὰρ ἐκεῖνοι ἄσημοι ἦσαν, καὶ ἐξ ἀσήμων. Οὐκ ἔχεις ἰδιωτείαν προβαλέσθαι· καὶ γὰρ ἐκεῖνοι ἀγράμματοι ἦσαν. Κἂν δοῦλος ἦς, κἂν δραπέτης, δυνήσῃ τὰ

---

6. Μάρκ. 11, 25 καὶ Ματθ. 5, 23.
7. Ματθ. 18, 22 καὶ Λουκᾶ 17, 4. Πρβλ. Γεν. 4, 24.
8. Λουκᾶ 21, 2 καὶ Μαρκ. 12, 41 - 44.
9. Πράξ. 3, 6.

σμό. Διότι, ἐὰν μετὰ τόσο χρόνο δὲν ἤθελε πλέον νὰ αἰσθανθεῖ ἐλεύθερος, πολὺ περισσότερο στὴν ἀρχὴ τῆς ἐμπορίας, ὅταν μόλις εἶχε ἐξέλθει ἀπὸ τοὺς λιμένες. Δὲν ἀπαλλάσσει αὐτὸν ὁ Χριστὸς ἀπὸ τὸν κίνδυνο, ἀλλὰ τὸν ἀφήνει, ἐπειδὴ θέλει καὶ μὲ τὴν ἀνθρωπίνη σύνεση νὰ γίνονται πολλά. Ἀκόμα δὲ τὸν ἀφήνει, γιὰ νὰ μάθουμε, ὅτι καὶ αὐτοὶ ἦταν ἄνθρωποι, καὶ ὅτι δὲν ἐνεργοῦσε παντοῦ τὸ κάθε τι ἡ θεία χάρη· διότι, ἂν δὲν συνέβαινε αὐτό, θὰ θεωροῦνταν ἁπλῶς ξύλα. Γι᾽ αὐτὸ βέβαια καὶ αὐτοὶ ἐρρύθμιζαν πολλὰ μὲ τὰ πράγματα. Αὐτὸ καὶ ἐμεῖς ἂς κάμνουμε καὶ ἔτσι ἂς φροντίζουμε γιὰ τὴ σωτηρία τῶν ἀδελφῶν. Αὐτὸ δὲν εἶναι κατώτερο ἀπὸ τὸ μαρτύριο, τὸ νὰ μὴ ἀποφεύγουμε νὰ πάθουμε ὁ,τιδήποτε γιὰ τὴ σωτηρία τῶν πολλῶν. Τίποτε δὲν εὐχαριστεῖ τόσο τὸ Θεό. Πάλι θὰ πῶ ἐκεῖνο, ποὺ πολλὲς φορὲς εἶπα· θὰ τὸ πῶ, ἐπειδὴ πάρα πολὺ ἐπιθυμῶ αὐτό· διότι καὶ ὁ Χριστὸς τὸ ἴδιο ἔκαμνε, συμβουλεύοντας γιὰ τὴν ἄφεση τῶν ἁμαρτιῶν καὶ λέγοντας· «Ὅταν σεῖς προσεύχεσθε, νὰ συγχωρεῖτε, ἐὰν ἔχετε κάτι ἐναντίον κάποιου»[6]. Πάλι συζητώντας μὲ τὸν Πέτρο, λέγει· «Δὲν σοῦ λέγω νὰ συγχωρήσεις μέχρις ἑπτὰ φορές, ἀλλὰ μέχρις ἑβδομήντα φορὲς τὸ ἑπτά»[7]. Καὶ ἔμπρακτα συγχώρησε τὰ παραπτώματα, ποὺ ἔγιναν σ᾽ αὐτόν.

Ἔτσι λοιπὸν καὶ ἐμεῖς, ἐπειδὴ γνωρίζουμε, ὅτι αὐτὸ ἀποτελεῖ τὸ σκοπὸ τοῦ χριστιανισμοῦ, συνέχεια διδάσκουμε γι᾽ αὐτό. Τίποτε δὲν εἶναι ἐλεεινότερο τοῦ χριστιανοῦ ἐκείνου, ποὺ δὲν σώζει ἄλλους. Δὲν μπορεῖς ἐδῶ νὰ ἐπικαλεσθεῖς τὴ φτώχεια· διότι θὰ σὲ κατηγορήσει ἡ χήρα, ποὺ κατέβαλε τὰ δύο λεπτά[8]. Καὶ ὁ Πέτρος ἔλεγε· «Ἀργύριο καὶ χρυσάφι δὲν ἔχω»[9]. Καὶ ὁ Παῦλος ἦταν τόσο φτωχός, ὥστε συνέβηκε καὶ νὰ πεινάσει πολλὲς φορές, καὶ νὰ στερηθεῖ τῆς ἀναγκαίας τροφῆς. Δὲν μπορεῖς νὰ προβάλεις τὴν ταπεινὴ καταγωγή σου· διότι καὶ ἐκεῖνοι ἦταν ἄσημοι καὶ ἀπὸ ἄσημους γονεῖς κατάγονταν. Δὲν μπορεῖς νὰ προβάλεις τὴν ἔλλειψη μορφώσεως· διότι καὶ ἐκεῖνοι ἦταν ἀγράμματοι. Καὶ ἂν εἶσαι δοῦλος, καὶ ἂν εἶ-

παρὰ σαυτοῦ πληρῶσαι· ἐπεὶ καὶ ὁ Ὀνήσιμος τοιοῦτος ἦν. Ἀλλ' ὅρα ποῦ καλεῖ αὐτόν, καὶ εἰς πόσον ἄγει ἀξίωμα. «Ἵνα κοινωνῇ μοι», φησίν, «ἐν τοῖς δεσμοῖς μου». Οὐκ ἔχεις ἀσθένειαν εἰπεῖν· ἐπεὶ καὶ Τιμόθεος τοιοῦτος ἦν, πυκνὰς ἔχων τὰς ἀσθενείας. Ὅτι δὲ ἀσθενὴς ἦν, ἄκουε· «Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας». Δύναται ἕκαστος τὸν πλησίον ὠφελεῖν, ἐὰν θέλῃ τὰ παρ' αὐτοῦ πληροῦν. Οὐχ ὁρᾶτε τὰ δένδρα τὰ ἄκαρπα πῶς ἐστιν ἰσχυρά, πῶς καλά, εὐμήκη, λεῖα καὶ ὑψηλά; Ἀλλά, εἰ παράδεισον ἔχοιμεν βουλοίμεθα ἂν ῥοιάς, ἐλαίας ἔχειν καρπίμους πολλῷ μᾶλλον ἢ ταῦτα· ἐκεῖνα γὰρ πρὸς τέρψιν εἰσίν, οὐ πρὸς ὠφέλειαν· καὶ ἡ ὠφέλεια δὲ μικρά τίς ἐστι. Τοιοῦτοί εἰσιν οἱ τὰ αὐτῶν μόνον σκοποῦντες, μᾶλλον δὲ οὐδὲ τοιοῦτοι· πρὸς γὰρ καῦσιν ἐπιτήδειοι οὗτοι· ἐπεὶ ἐκεῖνα καὶ πρὸς οἰκοδομὴν καὶ πρὸς ἀσφάλειαν τῶν ἔνδον.

Τοιαῦται ἦσαν καὶ αἱ παρθένοι, ἁγναὶ μὲν καὶ κόσμιαι καὶ σώφρονες, οὐδενὶ δὲ χρήσιμοι· διὸ καὶ κατακαίονται. Τοιοῦτοί εἰσιν οἱ μὴ θρέψαντες τὸν Χριστόν· ὅρα γὰρ τούτων οὐδένα ἐγκαλούμενον ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, οὐχ ὅτι ἐπόρνευσεν, οὐχ ὅτι ἐπιώρκησεν, οὐδὲν ὅλως, ἀλλ' ὅτι ἑτέρῳ μὴ γέγονε χρήσιμος. Τοιοῦτος ἦν ὁ τὸ τάλαντον κατορύξας, ἄληπτον παρεχόμενος μὲν βίον, ἑτέρῳ δὲ οὐκ ὢν χρήσιμος. Πῶς ἐστι Χριστιανὸς ὁ τοιοῦτος; Εἰπέ μοι, ἐὰν ζύμη, ἀναφυρεῖσα ἀλεύρῳ, μὴ μεταστήσειεν εἰς τὴν αὐτῆς ἕξιν τὸ πᾶν, ἆρα ζύμη τὸ τοιοῦτόν ἐστι; Τί δέ, εἰ μὴ μύρον ἀναπλήσειε τῆς εὐωδίας τοὺς πλησιάζοντας, μύρον ἂν τοῦτο καλέσαιμεν; Μὴ εἴπῃς· "Ἀδύνατόν μοί ἐστιν ἑτέρους ἐναγαγεῖν"· ἂν γὰρ ᾖς Χριστιανός, ἀδύνατον τὸ μὴ οὕτω γενέσθαι· ὥσπερ γὰρ τὰ ἐν τῇ φύσει ἀναντίρρητά ἐστιν, οὕτω

10. Φιλημ. 1, 10.
11. Α' Τιμ. 5, 23.
12. Ματθ. 25, 1-12.
13. Βλ. Ματθ. 25, 31-46. Τὰ κριτήρια κατὰ τὴν ἡμέρα τῆς κρίσεως.
14. Ματθ. 25, 14-30.

σαι δραπέτης, θά μπορέσεις νά ἐκπληρώσεις τὰ ἔργα σου· διότι καὶ ὁ Ὀνήσιμος ἦταν δοῦλος. Ἀλλὰ πρόσεχε ποῦ καλεῖ αὐτόν, καὶ σὲ ποιὸ ἀξίωμα τόν ἀνεβάζει· «Γιὰ νὰ συμμετέχει μαζί μου», λέγει, «στὰ δεσμά μου»[10]. Δὲν μπορεῖς νὰ προβάλεις ἀσθένεια· διότι καὶ ὁ Τιμόθεος ἦταν τέτοιος, ὑποφέροντας ἀπό συχνὲς ἀσθένειες. Τὸ ὅτι δὲ ἦταν ἀσθενής, ἄκουε· «Λίγο κρασὶ νὰ χρησιμοποιεῖς γιὰ τὸ στομάχι σου καὶ γιά τὶς συχνὲς ἀσθένειές σου»[11]. Μπορεῖ ὁ καθένας νὰ ὠφελήσει τόν πλησίον του, ἂν θέλει νὰ ἐκπληρώσει τὰ καθήκοντά του. Δὲν βλέπετε τὰ δένδρα τὰ ἄκαρπα πῶς εἶναι ἰσχυρά, πῶς εἶναι ὡραῖα, μακριά, λεῖα καὶ ψηλά; Ἀλλ' ἂν θὰ εἴχαμε κῆπο, θὰ θέλαμε νὰ ἔχουμε μᾶλλον ροδιές, ἐλιὲς καρποφόρες, παρὰ αὐτά· διότι αὐτὰ εἶναι γιὰ τὴν εὐχαρίστηση τοῦ ἀνθρώπου, ὄχι γιὰ τὴν ὠφέλειά του, καὶ ἡ ὠφέλεια δὲ εἶναι μικρή. Τέτοιοι εἶναι ὅσοι φροντίζουν μόνο γιὰ τὰ δικά τους· μᾶλλον δὲ οὔτε τέτοιοι· διότι αὐτοὶ εἶναι κατάλληλοι γιὰ κάψιμο· ἀφοῦ ἐκεῖνα εἶναι χρήσιμα καὶ γιὰ τὴν οἰκοδόμηση καὶ γιὰ τὴν ἀσφάλεια ἐκείνων ποὺ βρίσκονται μέσα.

Τέτοιες ἦταν καὶ οἱ παρθένες, ἁγνὲς μὲν καὶ κόσμιες καὶ σώφρονες, σὲ κανένα ὅμως χρήσιμες, γι' αὐτὸ καὶ κατακαίονται[12]. Τέτοιοι εἶναι ἐκεῖνοι ποὺ δὲν ἔθρεψαν τὸ Χριστό· πρόσεχε λοιπὸν ὅτι κανένας ἀπό αὐτοὺς δὲν κατηγορεῖται γιά τὰ δικά του ἁμαρτήματα, οὔτε ὅτι πόρνευσε, οὔτε ὅτι ἐπιόρκησε, οὔτε γιά ὁ,τιδήποτε ἄλλο, ἀλλ' ὅτι δὲν ὑπῆρξε χρήσιμος σὲ ἄλλον. Τέτοιος ἦταν καὶ ἐκεῖνος ποὺ ἔκρυψε τὸ τάλαντο, ποὺ παρουσίαζε ἄμεμπτο μὲν βίο, ἀλλὰ ποὺ δὲν ἦταν σ' ἄλλον χρήσιμος[14]. Πῶς εἶναι χριστιανὸς αὐτός; Πές μου, ἐὰν ἡ ζύμη, ἀφοῦ ἀναμιχθεῖ μὲ ἀλεύρι, δὲν μεταβάλει τὸ ὅλο μίγμα στὴ δική της κατάσταση, ἄραγε εἶναι ζύμη αὐτὸ τὸ ὑλικό; Τί δέ, ἂν τὸ μύρο δὲν σκορπίσει τὴν εὐωδιά του σ' ἐκείνους ποὺ τὸ πλησιάζουν, θὰ μπορούσαμε νὰ τὸ ὀνομάσουμε αὐτὸ μύρο; Μὴ πεῖς· 'Μοῦ εἶναι ἀδύνατο νὰ παρακινήσω καὶ ἄλλους'· διότι, ἂν εἶσαι χριστιανός, εἶναι ἀδύνατο νὰ μὴ συμβεῖ αὐτό. Διότι, ὅπως γιὰ ἐκεῖνα ποὺ γί-

καὶ ταῦτα· ἐν γὰρ τῇ φύσει τοῦ Χριστιανοῦ κεῖται τὸ πρᾶγμα. Μὴ ὕβριζε τὸν Θεόν. Ἂν εἴπῃς ὅτι ὁ ἥλιος οὐ δύναται φαίνειν, ὕβρισας αὐτόν· ἂν εἴπῃς ὅτι ὁ Χριστιανὸς οὐ δύναται ὠφελεῖν, ὕβρισας τὸν Θεὸν καὶ ψεύστην εἶπας. Εὔκολον γὰρ τὸν ἥλιον μὴ θερμαίνειν, μηδὲ φαίνειν, ἢ τὸν Χριστιανὸν μὴ φωτίζειν· εὔκολον τὸ φῶς εἶναι σκότος, ἢ τοῦτο γενέσθαι. Μὴ δὴ λέγε ὅτι ἀδύνατον· ἀδύνατον γὰρ τοὐναντίον ἐστί. Μὴ δὴ ὕβριζε τὸν Θεόν. Ἂν τὰ καθ' ἡμᾶς κατασκευάσωμεν καλῶς, πάντως ἔσται ἐκεῖνα, καὶ ὥσπερ φυσικόν τι πρᾶγμα ἕψεται. Οὐκ ἔνι λαθεῖν φῶς Χριστιανοῦ, οὐκ ἔνι κρυβῆναι λαμπάδα, οὕτω περιφανῆ. Μὴ δὴ ἀμελῶμεν· ὥσπερ γὰρ ἀπὸ τῆς ἀρετῆς τὸ κέρδος εἴς τε ἡμᾶς, εἴς τε τοὺς ὠφελουμένους διαβαίνει, οὕτως ἀπὸ τῆς κακίας διπλῆ πάλιν ἡ ζημία, εἴς τε ἡμᾶς, εἴς τε τοὺς βλαπτομένους διαβαίνουσα. Ἔστω τις, εἰ βούλει, ἰδιώτης, μυρία παρά τινος παθὼν κακά, καὶ μηδεὶς ἐκεῖνον ἀμυνέσθω, ἀλλὰ καὶ εὐεργετείτω, πόσης τοῦτο διδασκαλίας οὐκ ἰσχυρότερον; πόσων λόγων, πόσων παραινέσεων; τίνα οὐχ ἱκανὸν σβέσαι θυμὸν καὶ μαλάξαι;

Ταῦτ' οὖν εἰδότες, ἐχώμεθα τῆς ἀρετῆς, ὡς οὐκ ἐνὸν ἑτέρως σωθῆναι, ἢ μετὰ τούτων τῶν κατορθωμάτων τὴν ἐνταῦθα ζωὴν διανύσαντες, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

15. Βλ. Ματθ. 5, 13 - 16.

νονται στὴ φύση δὲν ὑπάρχει ἀντίρρηση, ἔτσι καὶ γι' αὐτά· διότι στὴ φύση τοῦ χριστιανοῦ βρίσκεται τὸ πράγμα. Μὴ βρίζεις τὸ Θεό. Ἂν πεῖς, ὅτι ὁ ἥλιος δὲν μπορεῖ νὰ φωτίζει, βρίζεις αὐτόν· ἂν πεῖς, ὅτι ὁ χριστιανὸς δὲν μπορεῖ νὰ ὠφελήσει, ἔβρισες τὸ Θεὸ καὶ εἶπες αὐτὸν ψεύτη· διότι εἶναι εὐκολώτερο ὁ ἥλιος νὰ μὴ θερμαίνει οὔτε νὰ φωτίζει, παρὰ ὁ χριστιανὸς νὰ μὴ φωτίζει· εἶναι εὔκολο τὸ φῶς νὰ γίνει σκότος, παρὰ νὰ συμβεῖ αὐτό. Μὴ λέγεις λοιπὸν ὅτι εἶναι ἀδύνατο· ἀδύνατο εἶναι τὸ ἀντίθετο. Μὴ βρίζεις λοιπὸν τὸ Θεό. Ἂν τακτοποιήσουμε τὰ δικά μας καλά, ὁπωσδήποτε καὶ ὅλα ἐκεῖνα θὰ γίνουν καὶ θὰ ἀκολουθήσουν σὰν κάποιο φυσικὸ πράγμα. Δὲν εἶναι δυνατὸ νὰ μείνει ἀπαρατήρητο τὸ φῶς τοῦ χριστιανοῦ· δὲν εἶναι δυνατὸ νὰ κρυβεῖ λαμπάδα τόσο φωτεινή[15]. Ἂς μὴ ἀμελοῦμε λοιπόν· διότι ὅπως τὸ κέρδος τῆς ἀρετῆς, καταλήγει καὶ σὲ μᾶς καὶ σ' ἐκείνους ποὺ ὠφελοῦνται, ἔτσι καὶ ἀπὸ τὴν κακία, διπλὴ εἶναι πάλι ἡ ζημία, ποὺ μεταβαίνει σ' ἐμᾶς καὶ σ' ἐκείνους ποὺ βλάπτονται. Ὑποθέτουμε, ἂν θέλεις, ὅτι ὑπάρχει κάποιος ἁπλοϊκὸς ποὺ ἔπαθε ἄπειρα κακὰ ἀπὸ κάποιον, καὶ ἐκεῖνον κανένας δὲν πολεμᾶ, ἀλλὰ καὶ τὸν εὐεργετεῖ· ἀπὸ πόση διδασκαλία αὐτὸ δὲν εἶναι ἰσχυρότερο; ἀπὸ πόσους λόγους; ἀπὸ πόσες συμβουλές; πόσο θυμὸ δὲν εἶναι ἱκανὸ νὰ σβήσει καὶ νὰ καταπραΰνει;

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς ἀσκοῦμε τὴν ἀρετή, διότι δὲν εἶναι δυνατὸ μὲ ἄλλο τρόπο νὰ σωθοῦμε, παρὰ μόνο ἂν διανύσουμε τὴν ἐπίγειο ζωὴ μὲ αὐτὰ τὰ κατορθώματα, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ μέλλοντα ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΑ΄
(Πράξ. 9, 26-43)

«*Παραγενόμενος δὲ ὁ Σαῦλος εἰς Ἱερουσαλήμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς· καὶ πάντες ἐφοβοῦντο αὐτόν, μὴ πιστεύοντες ὅτι ἐστὶ μαθητής. Βαρνάβας δέ, ἐπιλαβόμενος αὐτοῦ, ἤγαγε πρὸς τοὺς Ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον*».

1. Ἄξιον ἐνταῦθα διαπορῆσαι πῶς ἐν μὲν τῇ πρὸς Γαλάτας φησὶν ὅτι «οὐκ ἀπῆλθον εἰς Ἱεροσόλυμα, ἀλλ' εἰς Ἀραβίαν καὶ Δαμασκόν», καὶ ὅτι «μετὰ τρία ἔτη ἀνέβην εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον» καὶ ὅτι «οὐδένα τῶν Ἀποστόλων εἶδον», ἐνταῦθα δὲ τοὐναντίον ὅτι «Βαρνάβας ἤγαγεν αὐτὸν πρὸς τοὺς Ἀποστόλους». Ἢ τοίνυν τοῦτό φησιν, ὅτι οὐκ ἀπῆλθον ὥστε ἀναθέσθαι», (λέγει γὰρ ἐκεῖ ὅτι «οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι», «οὐδὲ ἀπῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ Ἀποστόλους»), ἤ, εἰ μὴ τοῦτο, ὅτι ἡ ἐπιβουλή, ἡ ἐν Δαμασκῷ, μετὰ τὸ ἐλθεῖν αὐτὸν ἀπὸ Ἀραβίας γέγονε, φησίν, εἶτα πάλιν ἡ ἄνοδος μετὰ τὸ ἐκεῖθεν ἐλθεῖν. Αὐτὸς γοῦν οὐκ ἀπῆλθε πρὸς τοὺς Ἀποστόλους, ἀλλὰ «τοῖς μαθηταῖς ἐπειρᾶτο κολλᾶσθαι», ἅτε οὐ διδάσκαλος ὤν, ἀλλὰ μαθητής. Ἄρα οὐ διὰ τοῦτο ἀνῆλθεν, ἵνα πρὸς τοὺς πρὸ αὐτοῦ ἀπέλθῃ· οὐδὲ γὰρ παρ' αὐτῶν τι ἔμαθεν. Ἢ ταύτην τὴν ἄνοδον οὐ λέγει, ἀλλ' ἀφίησιν, ὥστε εἶναι οὕτως· Ἀπῆλθεν εἰς Ἀραβίαν, εἶτα ἦλθεν εἰς Δαμασκόν, εἶτα εἰς Ἱερο-

1. Γαλατ. 1, 17. 18. 19.
2. Γαλατ. 1, 16-17.

ΟΜΙΛΙΑ ΚΑ΄
(Πράξ. 9, 26 - 43)

«Όταν ό Σαῦλος ἔφθασε στὴν Ἰερουσαλήμ, προσπαθοῦσε νὰ πλησιάσει τοὺς μαθητές, ἀλλ' ὅλοι τὸν φοβοῦνταν, διότι δὲν πίστευαν ὅτι εἶναι πράγματι μαθητὴς τοῦ Χριστοῦ. Ὁ Βαρνάβας ὅμως, ἀφοῦ τὸν πῆρε μὲ ἐμπιστοσύνη, τὸν ὁδήγησε στοὺς ἀποστόλους, καὶ διηγήθηκε σ' αὐτοὺς ὁ Σαῦλος, πῶς στὸ δρόμο εἶδε τὸν Κύριο».

1. Ἀξίζει ἐδῶ νὰ ἀπορήσει κανένας, πῶς στὴ μὲν πρὸς Γαλάτας ἐπιστολή του λέγει, ὅτι «Δὲν πῆγα στὰ Ἰεροσόλυμα, ἀλλὰ στὴν Ἀραβία καὶ Δαμασκό», καὶ ὅτι «Μετὰ ἀπὸ τρία ἔτη ἀνέβηκα στὰ Ἰεροσόλυμα, γιὰ νὰ διηγηθῶ τὰ γεγονότα στὸν Πέτρο», καὶ ὅτι Δὲν εἶδα κανένα ἄλλον ἀπὸ τοὺς Ἀποστόλους»[1], ἐδῶ δὲ ἀντίθετα λέγει· ὅτι «ὁ Βαρνάβας ὁδήγησε αὐτὸν πρὸς τοὺς Ἀποστόλους». Ἢ λοιπὸν ἐννοεῖ αὐτό, ὅτι δὲν πῆγα γιὰ νὰ συμβουλευθῶ κάποιον ἐκεῖ (διότι ἐκεῖ λέγει ὅτι «Δὲν συμβουλεύθηκα σάρκα καὶ αἷμα», δηλαδὴ ἄνθρωπο, «οὔτε πῆγα στὰ Ἰεροσόλυμα πρὸς συνάντηση τῶν Ἀποστόλων, ποὺ εἶχαν κληθεῖ πρὶν ἀπὸ μένα»[2]), ἤ, ἐὰν δὲν ἐννοεῖ αὐτό, λέγει, ὅτι ἡ ἐπιβουλὴ ποὺ σχεδιαζόταν στὴ Δαμασκό, ἔγινε μετὰ τὴν ἐπάνοδό του ἀπὸ τὴν Ἀραβία, ἔπειτα πάλι ἡ ἄνοδός του στὴν Ἰερουσαλὴμ ἔγινε μετὰ τὴν ἀναχώρησή του ἀπὸ τὴ Δαμασκό. Αὐτὸς λοιπὸν δὲν πῆγε στοὺς Ἀποστόλους, ἀλλὰ «Προσπαθοῦσε νὰ πλησιάσει τοὺς μαθητές», ἐφόσον δὲν ἦταν διδάσκαλος, ἀλλὰ μαθητής. Ἄρα δὲν ἀνῆλθε στὰ Ἰεροσόλυμα γι' αὐτό, γιὰ νὰ μεταβεῖ πρὸς τοὺς πρὶν ἀπὸ αὐτὸν Ἀποστόλους, καθόσον τίποτε ἀπ' αὐτοὺς δὲν ἔμαθε. Ἢ δὲν ἐννοεῖ αὐτὴ τὴν ἄνοδο, ἀλλὰ τὴν ἀφήνει, καὶ ἄρα τὸ πράγμα ἔχει ὡς ἑξῆς· Πῆγε στὴν Ἀραβία, ἔπειτα ἦλθε στὴ Δαμασκό, ἔπειτα

σόλυμα, εἶτα εἰς Συρίαν, ἤ, εἰ μὴ τοῦτο, πάλιν οὕτως, ὅτι ἀνῆλθεν εἰς τὰ Ἱεροσόλυμα, εἶτα εἰς Δαμασκὸν ἐξεπέμφθη, εἶτα εἰς Συρίαν, εἶτα εἰς Δαμασκὸν πάλιν, εἶτα εἰς Καισάρειαν, καὶ τότε διὰ δέκα τεσσάρων ἐτῶν, ἴσως ὅτε τοὺς ἀδελφοὺς ἀνήγαγε μετὰ Βαρνάβα, ἤ, εἰ μὴ τοῦτο, ἕτερον λέγει καιρόν· ὁ γὰρ ἱστοριογράφος πολλὰ ἐπιτέμνει, καὶ πολλοὺς συνάγει καιρούς. Ὅρα πῶς οὐκ ἔστι φιλότιμος, οὐδὲ διηγεῖται τὴν ὄψιν ἐκείνην, ἀλλὰ παρατρέχει. Πάλιν δὲ οὕτως ἄρχεται, καί φησι· «Παραγενόμενος δὲ εἰς Ἱερουσαλήμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς· οἱ δὲ ἐφοβοῦντο αὐτόν». Καὶ ἀπὸ τούτου πάλιν τὸ θερμὸν τοῦ Παύλου δείκνυται, οὐκ ἀπὸ Ἀνανίου, οὐδὲ ἀπὸ τῶν θαυμαζόντων αὐτὸν ἐκεῖ, ἀλλὰ καὶ ἀπὸ τῶν ἐν Ἱεροσολύμοις· οὐ γὰρ ἦν ὄντως προσδοκίας ἀνθρωπίνης ἐκεῖνο. Καὶ ὅρα αὐτὸν οὐ πρὸς τοὺς Ἀποστόλους ἀπιόντα διὰ τὸ μετριάζειν, ἀλλὰ πρὸς τοὺς μαθητάς, ἅτε μαθητὴν ὄντα· οὔπω γὰρ ἐνομίζετο ἀξιόπιστος εἶναι. «Βαρνάβας δέ, ἐπιλαβόμενος αὐτοῦ, ἤγαγε πρὸς τοὺς Ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς, πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον». Ὁ Βαρνάβας οὗτος ἐπιεικής τις καὶ ἥμερος ἄνθρωπος ἦν. «Υἱὸς δὲ παρακλήσεως» τὸ ὄνομα ἑρμηνεύεται· ὅθεν καὶ φίλος τῷ Παύλῳ γέγονεν. Ὅτι δὲ χρηστὸς ἦν σφόδρα καὶ εὐπρόσιτος, τοῦτο καὶ ἐκ τῶν μετὰ χεῖρας, καὶ ἐκ τῶν κατὰ Ἰωάννην δῆλόν ἐστιν. Ὅθεν οὗτος οὐ φοβεῖται, ἀλλὰ διηγεῖται «πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον, καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαρρησιάσατο ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ»· εἰκὸς γὰρ αὐτὸν καὶ ἐν Δαμασκῷ ἀκηκοέναι τὰ κατ' αὐτόν. Διό, καὶ ταῦτα ἐκείνων κατασκευαστικὰ ποιῶν, διὰ τῶν ἔργων ἐβεβαίωσε τὰ λεχθέντα.

«Καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος

---

3. Βλ. Γαλ. 1, 18 - 2, 1.
4. Πράξ. 4, 36.

στὰ Ἱεροσόλυμα, ἔπειτα στὴν Συρία', ἤ, ἂν δὲν ἐννοεῖ αὐτό, τότε ἐννοεῖ τὸ ἑξῆς, ὅτι Πῆγε στὰ Ἱεροσόλυμα, ἔπειτα στάλθηκε στὴ Δαμασκό, ἔπειτα στὴ Συρία, ἔπειτα πάλι στὴ Δαμασκό, ἔπειτα στὴν Καισάρεια, καὶ τότε, μετὰ ἀπὸ δεκατέσσαρα ἔτη, ἴσως ὅταν ὁδήγησε τοὺς ἀδελφοὺς μαζὶ μὲ τὸ Βαρνάβα[3], ἢ ἐὰν ὄχι καὶ αὐτό, ἄλλον καιρὸ ἐννοεῖ· διότι ὁ ἱστοριογράφος πολλὰ ἐκθέτει σύντομα, καὶ πολλοὺς καιροὺς συντομεύει.

Πρόσεχε πῶς δὲν εἶναι φιλόδοξος, οὔτε διηγεῖται τὸ ὅραμα ἐκεῖνο, ἀλλὰ τὸ προσπερνᾶ. Πάλι δέ, ἔτσι ἀρχίζει καὶ λέγει· «Ὅταν δὲ ὁ Σαῦλος ἦλθε στὴν Ἱερουσαλήμ, προσπαθοῦσε νὰ πλησιάσει τοὺς μαθητές, ἐκεῖνοι δὲ φοβοῦνταν αὐτόν». Καὶ ἀπὸ αὐτὸ πάλι ἀποδεικνύεται ὁ θερμὸς ζῆλος τοῦ Παύλου, ὄχι ἀπὸ τὸν Ἀνανία, οὔτε ἀπὸ ἐκείνους ποὺ ἐθαύμαζαν αὐτὸν ἐκεῖ, ἀλλὰ καὶ ἀπὸ τὰ ὅσα συνέβηκαν στὰ Ἱεροσόλυμα. Διότι δὲν ἦταν πράγματι κάτι ποὺ μποροῦσε νὰ τὸ περιμένει ἄνθρωπος νὰ συμβεῖ. Καὶ πρόσεχε ὅτι αὐτὸς δὲν μεταβαίνει πρὸς τοὺς Ἀποστόλους, ἀπὸ μετριοφροσύνη, ἀλλὰ πρὸς τοὺς μαθητές, ἐφόσον ἦταν μαθητές, διότι δὲν θεωροῦνταν ἀκόμα ὅτι ἦταν ἀξιόπιστος. «Ὁ Βαρνάβας ὅμως, ἀφοῦ παρέλαβε αὐτόν, τὸν ὁδήγησε πρὸς τοὺς Ἀποστόλους καὶ διηγήθηκε σ' αὐτούς, πῶς εἶδε στὸ δρόμο τὸν Κύριο». Αὐτὸς ὁ Βαρνάβας ἦταν ἕνας πρᾶος καὶ ἥμερος ἄνθρωπος. «Υἱὸς δὲ παρακλήσεως»[4] ἑρμηνεύεται τὸ ὄνομά του, γι' αὐτὸ καὶ ἔγινε φίλος τοῦ Παύλου. Ὅτι δὲ ἦταν πάρα πολὺ ἀγαθὸς καὶ εὐκολοπλησίαστος, αὐτὸ γίνεται φανερὸ καὶ ἀπὸ τὸ ἐξεταζόμενο χωρίο, ἀλλὰ καὶ ἀπὸ τὰ ἀναφερόμενα στὸν Ἰωάννη. Γι' αὐτὸ αὐτὸς δὲν φοβοῦνταν, ἀλλὰ διηγεῖται «πῶς στὸ δρόμο εἶδε τὸν Κύριο, καὶ ὅτι μίλησε σ' αὐτόν, καὶ πῶς στὴ Δαμασκὸ μίλησε μὲ θάρρος γιὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ». Διότι ἦταν φυσικὸ ὁ Βαρνάβας καὶ στὴ Δαμασκὸ νὰ εἶχε ἀκούσει τὰ σχετικὰ μὲ τὸν Παῦλο. Γι' αὐτό, ἀφοῦ ἐπιβεβαίωσε μὲ ἐκεῖνα καὶ αὐτά, ἔμπρακτα ἐπιβεβαίωσε τὰ λεχθέντα.

«Καὶ εἶχε συχνὴ ἐπικοινωνία ὁ Παῦλος μαζί τους

ἐν Ἱερουσαλήμ, καὶ παρρησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ, ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς». Ἐπειδὴ οἱ μαθηταὶ ἐφοβοῦντο αὐτόν, οἱ δὲ Ἀπόστολοι οὐκ ἐπίστευον αὐτῷ, διὰ τοῦτο αὐτῶν ἐκεῖθεν λύει τὸ δέος. «Ἐλάλει τε καὶ συνεζήτει», φησί, πρὸς τοὺς Ἑλληνιστάς». Ἑλληνιστὰς τοὺς Ἑλληνιστὶ φθεγγομένους λέγει· καὶ τοῦτο σφόδρα σοφῶς· ἐκεῖνοι γὰρ οἱ ἄλλοι οὐδὲ ἰδεῖν αὐτὸν ἠθέλησαν οἱ βαθεῖς Ἑβραῖοι. «Οἱ δὲ ἐπεχείρουν ἀνελεῖν αὐτόν»· τῆς σφοδρότητος καὶ τῆς κατὰ κράτος νίκης τοῦτο τεκμήριον, καὶ τοῦ σφόδρα λυπεῖσθαι τῷ γεγονότι. «Ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ κατήγαγον αὐτὸν εἰς Καισάρειαν». Διὰ φόβον τοῦτο ποιοῦσι· φοβηθέντες γὰρ λοιπὸν μὴ ταὐτὸν γένηται, οἷον ἐπὶ Στεφάνου, κατάγουσιν αὐτὸν εἰς Καισάρειαν. «Καὶ ἐξαπέστειλαν αὐτὸν εἰς Ταρσόν». Εἰ καὶ διὰ φόβον, ὅμως ἀποστέλλουσιν, ἅμα καὶ κηρύξοντα, καὶ ἐν ἀσφαλείᾳ ἐσόμενον αὐτόν, ἅτε ἐν οἰκείᾳ πατρίδι. Ὅρα δέ μοι πῶς οὐ πάντα χάριτι γίνεται, ἀλλὰ συγχωρεῖ αὐτοὺς ὁ Θεὸς καὶ οἰκείᾳ σοφίᾳ οἰκονομεῖν πολλὰ καὶ ἀνθρωπίνως· εἰ γὰρ ἐπ' αὐτοῦ τοῦτο γέγονε, πολλῷ μᾶλλον ἐπ' αὐτῶν· συγχωρεῖ τοίνυν, ἵνα τῶν ῥαθύμων τὴν πρόφασιν ἐκκόψῃ.

«Αἱ μὲν οὖν Ἐκκλησίαι καθ' ὅλης τῆς Ἰουδαίας καὶ Σαμαρείας εἶχον εἰρήνην, οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ Κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου Πνεύματος ἐπληθύνοντο». Μέλλει περὶ Πέτρου λέγειν, καὶ ὅτι πρὸς τοὺς ἁγίους κάτεισιν. Ἵν' οὖν μὴ φόβου τοῦτο νομίσῃ τις, πρότερον ὡς εἶχον αἱ Ἐκκλησίαι διηγεῖται, δεικνὺς ὅτι, διωγμὸς ὅτε ἦν, ἐν Ἱεροσολύμοις ἦν, ὅτε δὲ πανταχοῦ ἐν ἀσφαλείᾳ

στὴν Ἱερουσαλὴμ καὶ μὲ θάρρος κήρυττε στὸ ὄνομα τοῦ Ἰησοῦ. Μιλοῦσε καὶ συζητοῦσε μὲ τοὺς Ἰουδαίους ποὺ μιλοῦσαν τὴν ἑλληνική». Ἐπειδὴ οἱ μαθητὲς φοβοῦνταν αὐτόν, οἱ δὲ Ἀπόστολοι δὲν πίστευαν σ' αὐτόν, γι' αὐτὸ μὲ αὐτὲς τὶς ἐνέργειές του διαλύει τὸ φόβο τους. «Μιλοῦσε καὶ συζητοῦσε», λέγει, «μὲ τοὺς ἑλληνιστές»· Ἑλληνιστὲς ἐννοεῖ ἐκείνους, ποὺ μιλοῦσαν ἑλληνικά· καὶ αὐτὸ πολὺ συνετό, διότι ἐκεῖνοι οἱ ἄλλοι, οἱ γνήσιοι ἑβραῖοι, δὲν θέλησαν οὔτε νὰ δοῦν αὐτόν. «Αὐτοὶ ὅμως ἐπιχειροῦσαν νὰ τὸν φονεύσουν». Αὐτὸ ἀποτελοῦσε ἀπόδειξη τῆς σκληρότητας τῶν ἑβραίων, καὶ τῆς ὁλοκληρωτικῆς νίκης τῶν χριστιανῶν καὶ τῆς ὑπερβολικῆς τους λύπης γιὰ τὸ συμβάν. «Ὅταν δὲ πληροφορήθηκαν αὐτὸ οἱ ἀδελφοὶ τὸν κατέβασαν ἀπὸ τὰ Ἱεροσόλυμα στὴν Καισάρεια». Ἀπὸ φόβο τὸ κάμνουν αὐτό· ἐπειδὴ δηλαδὴ φοβήθηκαν μήπως συμβεῖ τὸ ἴδιο μὲ ἐκεῖνο ποὺ συνέβηκε στὸ Στέφανο, τὸν μεταφέρουν στὴν Καισάρεια. «Καὶ ἐξαπέστειλαν αὐτὸν στὴν Ταρσό». Ἂν καὶ κάνουν αὐτὸ ἀπὸ φόβο, ὅμως τὸν ἀποστέλλουν συγχρόνως καὶ γιὰ νὰ κηρύξει καὶ νὰ βρίσκεται σὲ ἀσφάλεια, ἐφόσον θὰ ἦταν στὴν πατρίδα του. Πρόσεχε δὲ πῶς δὲν γίνονται ὅλα μὲ τὴ θεία χάρη, ἀλλ' ἐπιτρέπει ὁ Θεὸς σ' αὐτοὺς καὶ μὲ τὴ δική τους σοφία καὶ κατὰ ἀνθρώπινο τρόπο νὰ διευθετοῦν πολλὰ ζητήματα. Διότι, ἂν αὐτὸ ἔγινε στὸν ἴδιο τὸν Ἰησοῦ, πολὺ περισσότερο σ' αὐτούς. Ἐπιτρέπει λοιπὸν αὐτό, γιὰ νὰ ἐξαλείψει τὴν πρόφαση τῶν ραθύμων.

«Οἱ ἐκκλησίες λοιπόν, ποὺ ἦταν σ' ὅλη τὴν Ἰουδαία καὶ Σαμάρεια, προόδευαν καὶ ζοῦσαν οἱ πιστοὶ μὲ τὸ φόβο τοῦ Κυρίου καὶ πληθύνονταν μὲ τὴν ἐνίσχυση τοῦ ἁγίου Πνεύματος». Πρόκειται νὰ μιλήσει γιὰ τὸν Πέτρο καὶ γιὰ τὴ μετάβασή του στοὺς πιστούς. Γιὰ νὰ μὴ νομίσει λοιπὸν κάποιος, ὅτι αὐτὸ εἶναι ἀποτέλεσμα φόβου, διηγεῖται πῶς ἦταν οἱ ἐκκλησίες προηγουμένως, γιὰ νὰ δείξει ὅτι, ὅταν γινόταν διωγμός, ὁ Πέτρος ἦταν στὰ Ἱεροσόλυ-

τὰ τῆς Ἐκκλησίας, τότε λοιπὸν καὶ τὰ Ἱεροσόλυμα ἀφίησιν· οὕτως ἦν θερμὸς ὁμοῦ καὶ σφοδρός. Οὐ γάρ, ἐπειδὴ εἰρήνη ἦν, ἐνόμιζε μηδὲν δεῖσθαι τῆς αὐτοῦ παρουσίας. Καὶ διὰ τί, φησί, τοῦτο ποιεῖ, καὶ ἔρχεται εἰρήνης οὔσης, καὶ μετὰ τὸ Παῦλον ἀπελθεῖν; Ὅτι αὐτοὺς ἠδοῦντο μάλιστα, ἅτε πολλάκις παραστάντας, καὶ ὑπὸ τοῦ πλήθους θαυμασθέντας· ἐκείνου δὲ κατεφρόνουν, καὶ μᾶλλον πρὸς αὐτὸν ἠγρίαινον.

2. Εἶδες πῶς εἰρήνη τὸν πόλεμον ἐκδέχεται; μᾶλλον δὲ εἶδες τί ἐποίησεν ὁ πόλεμος ἐκεῖνος; Διέσπειρε τοὺς τὴν εἰρήνην ποιοῦντας. Ἐπὶ τῆς Σαμαρείας κατῃσχύνθη ὁ Σίμων· ἐπὶ τῆς Ἰουδαίας τὰ κατὰ Σάπφειραν γέγονεν. Οὐ τοίνυν, ἐπεὶ εἰρήνη ἦν, ἐκλελυμένα τὰ πράγματα ἦν, ἀλλὰ τοιαύτη ἦν ἡ εἰρήνη, ὡς καὶ παρακλήσεως δεῖσθαι. «Ἐγένετο δὲ Πέτρον, διερχόμενον διὰ πάντων κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους, τοὺς κατοικοῦντας Λύδδαν». Καθάπερ τις στρατηγὸς περιήει τὰς τάξεις, ἐπισκοπῶν ποῖον εἴη συγκεκροτημένον μέρος, ποῖον ἐν κόσμῳ, ποῖον τῆς αὐτοῦ δέοιτο παρουσίας. Ὅρα πανταχοῦ αὐτὸν περιτρέχοντα, καὶ πρῶτον εὑρισκόμενον. Ὅτε ἑλέσθαι ἔδει τὸν Ἀπόστολον, οὗτος πρῶτος· ὅτε διαλεχθῆναι τοῖς Ἰουδαίοις περὶ τοῦ μὴ μεθύειν, ὅτε θεραπεῦσαι τὸν χωλόν, ὅτε δημηγορῆσαι, οὗτος πρὸ τῶν ἄλλων ἐστίν· ὅτε πρὸς τοὺς ἄρχοντας, οὗτος· ὅτε πρὸς Ἀνανίαν, ὅτε ἀπὸ τῆς σκιᾶς ἰάσεις ἐγίνοντο, οὗτος ἦν. Καὶ ἔνθα μὲν ἦν κίνδυνος, οὗτος, καὶ ἔνθα οἰκονομία· ἔνθα δὲ γαλήνης τὰ πράγματα γέμει, κοινῇ πάντες· οὕτως οὐκ ἀπῄτει τιμὴν μεί-

5. Πράξ. 8, 18-24.
6. Πράξ. 5, 1-11.
7. Πράξ. 9, 32.
8. Πράξ. 2, 13-15.
9. Πράξ. 3, 2-8.
10. Πράξ. 3, 12-26.
11. Πράξ. 4, 8-20. 5, 29-32.
12. Πράξ. 5, 1-11.
13. Πράξ. 5, 14-15.

μα, ὅταν δὲ παντοῦ τὰ πράγματα τῆς ἐκκλησίας ἦταν ἀσφαλῆ, τότε πλέον ἀφήνει καὶ τὰ Ἱεροσόλυμα· τόσο πολὺ θερμὸς ἦταν μαζὶ καὶ ὁρμητικός. Διότι δὲν νόμιζε, ἐπειδὴ ἐπικρατοῦσε εἰρήνη, ὅτι δὲν χρειαζόταν τὴν παρουσία του ἐκεῖ. Καὶ γιατί, λέγει, κάμνει αὐτὸ καὶ ἔρχεται, ἐνῶ ἐπικρατοῦσε εἰρήνη, καὶ μετὰ τὴν ἀναχώρηση τοῦ Παύλου; Διότι αὐτοὺς περισσότερο σέβονταν, καθόσον πολλὲς φορὲς παρουσιάσθηκαν μπροστά τους καὶ ἀπὸ τὸ πλῆθος θαυμάσθηκαν· ἐνῶ τὸν Παῦλο τὸν περιφρονοῦσαν καὶ περισσότερο ἐρεθίζονταν ἐναντίον του.

2. Εἶδες πῶς τὸν πόλεμο διαδέχεται εἰρήνη; μᾶλλον δέ, εἶδες τί ἔκανε ὁ πόλεμος ἐκεῖνος; Διεσκόρπισε τοὺς δημιουργοὺς τῆς εἰρήνης. Στὴν Σαμάρεια καταντροπιάσθηκε ὁ Σίμων[5] ὁ μάγος· στὴν Ἰουδαία ἔγιναν τὰ σχετικὰ μὲ τὴ Σάπφειρα[6]. Δὲν ἦσαν λοιπόν, παρ' ὅτι ἐπικρατοῦσε εἰρήνη, τελείως ἤρεμα τὰ πράγματα τῆς ἐκκλησίας, ἀλλ' ἦταν τέτοια ἡ εἰρήνη, ὥστε νὰ χρειάζονται οἱ πιστοὶ καὶ παρηγοριά. «Ἐνῶ δὲ ὁ Πέτρος περιόδευε ὅλα τὰ μέρη συνέβηκε νὰ κατεβεῖ καὶ πρὸς τοὺς πιστοὺς ποὺ κατοικοῦσαν στὴν Λύδδα»[7]. Ὡσὰν κάποιος στρατηγὸς περιερχόταν τὶς τάξεις τοῦ στρατεύματος ἐπιθεωρώντας, ποιὸ μέρος ἦταν συγκροτημένο, ποιὸ ἦταν σὲ τάξη πορείας, ποιὸ χρειαζόταν τὴν παρουσία του. Πρόσεχε ὅτι αὐτὸς παντοῦ περιτρέχει, καὶ παντοῦ πρῶτος βρίσκεται. Ὅταν ἐπρόκειτο νὰ ἐκλεγεῖ ὁ ἀπόστολος, αὐτὸς ἦταν πρῶτος, ὅταν ἔπρεπε νὰ μιλήσουν στοὺς Ἰουδαίους, ὅτι δὲν ἦταν μεθυσμένοι[8], ὅταν ἔπρεπε νὰ θεραπεύσουν τὸ χωλό[9], ὅταν ἔπρεπε νὰ μιλήσουν[10], αὐτὸς πρωτοστατεῖ τῶν ἄλλων· ὅταν ἔπρεπε νὰ μιλήσουν πρὸς τοὺς ἄρχοντες[11], αὐτὸς ὁμιλεῖ· ὅταν πρὸς τὸν Ἀνανία[12], ὅταν ἀπὸ τὴ σκιὰ γίνονταν θεραπεῖες[13], αὐτὸς ἦταν πάντοτε πρωτοστάτης. Καὶ ὅπου μὲν ὑπῆρχε κίνδυνος, αὐτὸς ἦταν παρών, καθὼς καὶ ὅπου ἔπρεπε νὰ διευθετηθοῦν προβλήματα, ὅπου δὲ ὑπάρχει γαλήνη βρίσκονται ὅλοι μαζί· τόσο πολὺ δὲν ἀπαιτοῦσε τιμὴ μεγαλύτερη. Πάλι, ὅταν ἔπρεπε νὰ γίνει θαῦμα,

ζονα. Πάλιν, ὅτε θαυματουργῆσαι ἔδει, αὐτὸς προπηδᾷ· καὶ ἐνταῦθα πάλιν οὗτος πονεῖ δι' ἑαυτοῦ, καὶ ὁδοιπορεῖ.

«Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα, Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραββάτου, ὃς ἦν παραλελυμένος· καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός· ἀνάστηθι, καὶ στρῶσον σεαυτῷ. Καὶ εὐθέως ἀνέστη». Καὶ διὰ τί μὴ ἀνέμεινε τὴν πίστιν τοῦ ἀνδρός, μηδὲ ἠρώτησεν εἰ βούλοιτο θεραπευθῆναι; Μάλιστα μὲν οὖν καὶ πρὸς πολλῶν παράκλησιν ἐγένετο τὸ θαῦμα. Ἄκουε γοῦν καὶ τὸ κέρδος ὅσον· ἐπάγει γὰρ λέγων· «Καὶ εἶδον πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Ἀσσάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον». Καλῶς οὕτως εἶπεν· ἐπίσημος γὰρ ἦν ὁ ἀνήρ· ὅθεν καὶ ἔλεγχον δίδωσι τοῦ σημείου, τὸ ἆραι τὸν κράββατον· οὐ γὰρ δὴ τῶν νοσημάτων ἀπήλλατον μόνον, ἀλλὰ μετὰ τῆς ὑγείας παρεῖχον ἔτι καὶ ἰσχύν. Ἄλλως δὲ καὶ τότε οὔπω ἦσαν τεκμήρια τῆς οἰκείας παρασχόντες δυνάμεως, ὥστε εἰκότως οὐκ ἀπητεῖτο τὴν πίστιν ὁ ἀνήρ, ἐπειδὴ οὐδὲ τὸν χωλὸν ἀπήτησαν. Καθάπερ οὖν ὁ Χριστός, ἀρχόμενος τῶν σημείων, οὐκ ἀπήτει πίστιν, οὕτως οὐδὲ οὗτοι· ἐν Ἱεροσολύμοις μὲν γὰρ εἰκότως ἡ πίστις αὐτῶν πρότερον ἀπητεῖτο· ὅθεν καὶ διὰ πίστιν, ὅσοι συνείχοντο ἀσθενείαις, ταῖς ὁδοῖς ἐξετίθεντο, ἵνα, ἐρχομένου δὴ Πέτρου, κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν· πολλὰ γὰρ ἐγίνετο ἐκεῖ σημεῖα, ἐνταῦθα δὲ τοῦτο πρῶτον συμβαίνει· τὰ μὲν γὰρ τῶν σημείων ὑπὲρ τοῦ τοὺς ἄλλους ἐπισπάσασθαι ἐγίνετο, τὰ δὲ ὑπὲρ τῆς τῶν πιστευόντων παρακλήσεως.

«Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια, ὀνόματι Ταβιθά, ἣ διερμηνευομένη λέγεται Δορκάς. Αὕτη ἦν πλήρης ἀγαθῶν ἐρ-

14. Πράξ. 5, 15.

αὐτὸς τρέχει πρῶτος· καὶ σ' αὐτὴν ἐδῶ τὴν περίπτωση αὐτὸς πάλι ὑποφέρει καὶ ὁδοιπορεῖ.

«Βρῆκε ἐκεῖ κάποιον ἄνθρωπο, ποὺ ὀνομαζόταν Αἰνέας, καὶ ποὺ ἦταν κατάκοιτος στὸ κρεββάτι ἐπὶ ὀκτὼ ἔτη, διότι αὐτὸς ἦταν παράλυτος. Καὶ εἶπε σ' αὐτὸν ὁ Πέτρος· Αἰνέα, ὁ Ἰησοῦς Χριστὸς σὲ θεραπεύει· σῆκω καὶ στρῶσε μόνος τὸ κρεββάτι. Καὶ ἀμέσως σηκώθηκε». Καὶ γιατί δὲν περίμενε νὰ ἐκδηλώσει τὴν πίστη του ὁ ἄνθρωπος, οὔτε τὸν ρώτησε, ἂν θὰ ἤθελε νὰ θεραπευθεῖ; Τὸ θαῦμα λοιπὸν αὐτὸ ἔγινε πρὸ πάντων καὶ γιὰ τὴν παρηγοριὰ πολλῶν. Ἄκουε λοιπὸν καὶ πόσο ἦταν τὸ κέρδος· διότι προσθέτει τὰ ἑξῆς· «Καὶ εἶδαν ὅλοι ὅσοι κατοικοῦσαν στὴ Λύδδα καὶ στὸν Ἀσσάρωνα, καὶ ἐπέστρεψαν στὸν Κύριο». Καλῶς μίλησε ἔτσι· διότι ὁ ἄνδρας ἦταν ἐπίσημος· γι' αὐτὸ καὶ σὰν ἀπόδειξη τοῦ θαύματος παρουσιάζει τὴν δυνατότητά του νὰ σηκώσει τὸ κρεββάτι. Διότι οἱ ἀπόστολοι δὲν ἀπάλλασσαν μόνο ἀπὸ τὴν ἀσθένεια τοὺς ἀσθενεῖς, ἀλλὰ καὶ μαζὶ μὲ τὴν ὑγεία παρεῖχαν σ' αὐτοὺς ἐπὶ πλέον καὶ τὴ σωματικὴ δύναμη. Ἐξ ἄλλου δὲ καὶ τότε δὲν ὑπῆρχαν ἀκόμα ἀποδείξεις τῆς θαυματουργικῆς δυνάμεως, ὥστε δικαιολογημένα δὲν ζητήθηκε ἡ πίστη ἀπὸ τὸν ἄνθρωπο, ἀφοῦ οὔτε ἀπὸ τὸ χωλὸ ζήτησαν. Ὅπως ἀκριβῶς λοιπὸν ὁ Χριστός, ὅταν ἄρχιζε τὰ θαύματα, δὲν ζητοῦσε πίστη, ἔτσι οὔτε καὶ αὐτοί· διότι στὰ μὲν Ἱεροσόλυμα δικαιολογημένα ζητοῦνταν προηγουμένως ἡ πίστη αὐτῶν, γι' αὐτὸ καὶ ἀπὸ πίστη, ὅσοι κατέχονταν ἀπὸ ἀσθένειες, ἐκτίθονταν στοὺς δρόμους, ὥστε, ὅταν θὰ περνοῦσε ὁ Πέτρος, νὰ πέσει ἀκόμα καὶ ἡ σκιά του σὲ κάποιον ἀπ' αὐτούς[11]· καθόσον ἐκεῖ πολλὰ θαύματα γίνονταν, ἐδῶ ὅμως αὐτὸ εἶναι τὸ πρῶτο θαῦμα ποὺ συμβαίνει· διότι ἄλλα μὲν ἀπὸ τὰ θαύματα γίνονταν γιὰ νὰ προσελκύσουν τοὺς ἄλλους, ἄλλα δὲ γιὰ παρηγοριὰ ἐκείνων ποὺ πίστευαν.

«Στὴν Ἰόππη δὲ ὑπῆρχε κάποια μαθήτρια τοῦ Ἰησοῦ, ποὺ λεγόταν Ταβιθά, καὶ ποὺ τὸ ὄνομα μεταφραζόμενο σημαίνει Δορκάς. Αὐτὴ ἔκανε πολλὲς ἀγαθοεργίες

γων καὶ ἐλεημοσυνῶν, ὧν ἐποίει. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν. Λούσαντες δὲ αὐτήν, ἔθηκαν ἐν ὑπερώῳ. Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτόν, παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν». Διὰ τί περιέμειναν ἀποθανεῖν; διὰ τί μὴ ἐσκύλη Πέτρος καὶ πρὸ τούτου; Ἀνάξιον ἡγοῦντο λοιπὸν φιλοσοφοῦντες ὑπὲρ τῶν τοιούτων τοὺς μαθητὰς σκύλλειν, καὶ τοῦ κηρύγματος παρασπᾶν· ἐπεὶ καὶ διὰ τοῦτο λέγει ὅτι ἐγγὺς ἦν, ὥστε δεῖξαι ὅτι ἐν τάξει περέργου τοῦτο ᾔτουν, (μαθήτρια γὰρ ἦν), προηγουμένως δὲ οὐκ ἔτι. «Ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς. Ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον», (οὐ παρακαλοῦσι, ἀλλ' αὐτῷ ἐπιτρέπουσιν ἵν' ἐξ ἑαυτοῦ τὴν ζωὴν αὐτῇ χαρίσηται. Οὕτως ἐνταῦθα πληροῦται τὸ «ἐλεημοσύνη ῥύεται ἐκ θανάτου»), «καὶ περιέστησαν αὐτὸν πᾶσαι αἱ χῆραι κλαίουσαι, καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια, ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς». Ἔνθα προὔκειτο τεθνηκυῖα, τὸν Πέτρον ἀνάγουσι, τάχα οἰόμενοι πρὸς φιλοσοφίαν αὐτῷ τι χαρίζεσθαι. Εἶδες πόση ἐπίδοσις γέγονεν; Οὐ ἁπλῶς δὲ πρόσκειται τὸ ὄνομα τῆς γυναικός, ἀλλ' ἵνα μάθωμεν ὅτι φερώνυμος ἦν, οὕτως ἐγρηγορυῖα καὶ νήφουσα, ὥσπερ δορκάς· πολλὰ γὰρ καὶ οἰκονομικῶς ὀνόματα τίθεται, ὡς πολλάκις πρὸς ὑμᾶς εἴπομεν.

«Πλήρης», φησίν, «ἦν ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν, ὧν ἐποίει». Μέγα τῆς γυναικὸς τὸ ἐγκώμιον εἴ γε ἀμφότερα οὕτως ἐποίει, ὡς ἀμφοτέρων εἶναι πεπληρωμένην. Δῆλον δὲ

---

15. Τωβ. 12, 9.

καὶ ἐλεημοσύνες. Συνέβηκε δὲ κατὰ τὶς ἡμέρες ἐκεῖνες νὰ ἀσθενήσει καὶ νὰ πεθάνει. Ἀφοῦ δὲ τὴν ἔλουσαν καὶ τὴν ἑτοίμασαν, τὴν ἔβαλαν στὸ ἐπάνω διαμέρισμα τῆς οἰκίας. Ἐπειδὴ δὲ ἡ πόλη Λύδδα ἦταν κοντὰ στὴν Ἰόππη, μόλις ἄκουσαν οἱ μαθητές, ὅτι ὁ Πέτρος εἶναι στὴν πόλη αὐτή, ἀπέστειλαν δύο ἄνδρες καὶ τὸν παρακάλεσαν νὰ μὴ διστάσει νὰ ἔλθει καὶ σ' αὐτούς». Γιατί περίμεναν νὰ πεθάνει; γιατί νὰ μὴ ἐνοχλοῦνταν ὁ Πέτρος καὶ πρὶν ἀπὸ τὸ θάνατο; Διότι πλέον, σκεπτόμενοι, θεωροῦσαν ἀνάξιο νὰ ἐνοχλοῦν τοὺς μαθητὲς γιὰ τέτοια θέματα, καὶ νὰ τοὺς ἀποσποῦν ἀπὸ τὸ κήρυγμα· καθόσον καὶ γι' αὐτὸ τὸ λόγο λέγει, ὅτι ἡ Λύδδα ἦταν κοντὰ στὴν Ἰόππη, ὥστε νὰ δείξει, ὅτι ζητοῦσαν αὐτὸ σχεδὸν εὐκαιριακὰ (διότι ἦταν μαθήτρια), ἐνῶ προηγουμένως ὄχι. «Ἀφοῦ δὲ σηκώθηκε ὁ Πέτρος, μετέβηκε μαζὶ μὲ ἐκείνους· ὅταν δὲ ἔφθασε στὴν Ἰόππη, τὸν ἀνέβασαν στὸ ἀνώγειο» (δὲν τὸν παρακαλοῦν, ἀλλ' ἀφήνουν σ' αὐτὸν νὰ χαρίσει μόνος του τὴ ζωὴ σ' αὐτήν. Ἔτσι ἐδῶ πραγματοποιεῖται τό, «Ἡ ἐλεημοσύνη γλυτώνει τὸν ἄνθρωπο ἀπὸ τὸ θάνατο»[15]), «καὶ παρουσιάσθηκαν σ' αὐτὸν ὅλες οἱ χῆρες ποὺ ἔκλαιγαν γιὰ τὸ θάνατό της καὶ ἔδειχναν τὰ ὑποκάμισα καὶ ἐπανωφόρια, ποὺ ἔκανε ἡ Δορκάς, ὅταν ἦταν μαζί τους». Ἐκεῖ, μπροστὰ ὅπου ἦταν τοποθετημένη νεκρή, ὁδηγοῦν τὸν Πέτρο· ἴσως ἐπειδὴ νόμιζαν, ὅτι παρέχουν σ' αὐτὸν τὴν εὐκαιρία γιὰ διδασκαλία. Εἶδες πόση πρόοδος εἶχε γίνει; Δὲν ἀναφέρεται δὲ ἁπλῶς τὸ ὄνομα τῆς γυναίκας, ἀλλὰ γιὰ νὰ μάθουμε, ὅτι ἐπάξια φέρει τὸ ὄνομα, ἔτσι ἀγρυπνοῦσε καὶ πρόσεχε, ὅπως ἀκριβῶς ἡ δορκάδα· διότι πολλὰ ὀνόματα καὶ σκόπιμα ἀναφέρονται, ὅπως πολλὲς φορὲς σᾶς εἶπα.

«Ἦταν πλήρης», λέγει, «ἀπὸ ἀγαθοεργίες καὶ ἐλεημοσύνες, ποὺ ἔκαμνε». Εἶναι μεγάλο τὸ ἐγκώμιο γιὰ τὴ γυναίκα αὐτή, ἐφόσον βέβαια καὶ τὰ δύο τὰ ἔκαμνε, ἔτσι, ὥστε νὰ εἶναι πλήρης καὶ ἀπὸ τὰ δύο. Εἶναι φανερό, ὅτι

ὅτι πρῶτον ἐκείνων, καὶ τότε τούτου ἐποιήσατο ἐπιμέλειαν. «Ὅσα ἐποίει», φησί, «μετ' αὐτῶν ἡ Δορκὰς οὖσα». Πολλὴ ἡ ταπεινοφροσύνη· οὐ γὰρ ὥσπερ ἡμεῖς, ἀλλὰ κοινῇ πάντες ἦσαν, πολὺν τῆς ἐλεημοσύνης ποιούμενοι λόγον. «Καὶ ἐκβαλὼν ἔξω πάντας ὁ Πέτρος, θεὶς τὰ γόνατα, προσηύξατο· καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε· Ταβιθά, ἀνάστηθι. Ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε». Τί δήποτε πάντας ἐκβάλλει; Ὥστε μὴ συγχυθῆναι τοῖς δάκρυσι, μηδὲ διαταραχθῆναι. «Καὶ θεὶς τὰ γόνατα προσηύξατο». Τοῦτο δεῖγμα ἐπιτεταμένης εὐχῆς. «Δοὺς δὲ αὐτῇ», φησί, «χεῖρα». Ἐνταῦθα δείκνυσι κατὰ μέρος τὴν ζωήν, εἶτα τὴν δύναμιν εἰσαγομένην, τὴν μὲν διὰ τοῦ ῥήματος, τὴν δὲ διὰ τῆς χειρός.

«Δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν αὐτήν. Καὶ φωνήσας τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησαν αὐτὴν ζῶσαν»· τοῖς μὲν εἰς παράκλησιν, ὅτι τε ἀπέλαβον τὴν ἀδελφήν, καὶ ὅτι θαῦμα εἶδον, ταῖς δὲ εἰς προστασίαν. «Γνωστὸν δὲ ἐγένετο καθ' ὅλης τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον. Ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν Ἰόππῃ παρά τινι Σίμωνι βυρσεῖ».

3. Ὅρα τὸ ἄτυφον τοῦ Πέτρου καὶ τὸ ἐπιεικές, πῶς οὐ παρὰ ταύτῃ μένει, οὐδὲ παρὰ ἄλλῳ τινὶ τῶν ἐπισήμων, ἀλλὰ παρὰ βυρσεῖ, διὰ πάντων εἰς ταπεινοφροσύνην ἐνάγων, καὶ οὔτε τοὺς εὐτελεῖς αἰσχύνεσθαι ἀφιείς, οὔτε τοὺς μεγάλους ἐπαίρεσθαι, ὃς καὶ διὰ τοῦτο ἔκρινε διελθεῖν, ἐπειδὴ τῆς αὐτοῦ διδασκαλίας ἐδέοντο οἱ πιστεύσαντες. Ἴδωμεν τοίνυν ἄνωθεν τὰ εἰρημένα. «Ἐπειρᾶτο», φησί, «κολλᾶσθαι τοῖς μαθηταῖς». Οὐκ ἀναισχύντως προσῆλθεν, ἀλλ' ὑπεσταλμένως. Μαθητὰς δὲ καλεῖ, καὶ τοὺς μὴ τελοῦντας εἰς τὸν χορὸν τῶν

πρῶτα ἐνδιαφέρθηκε γιὰ ἐκεῖνα καὶ μετὰ φρόντισε γι' αὐτό. «Ὅσα ἔκανε», λέγει, «ὅταν ἡ Δορκὰς ἦταν μαζί τους». Μεγάλη εἶναι ἡ ταπεινοφροσύνη. Διότι ὄχι ὅπως ἐμεῖς, ἀλλὰ ὅλοι μαζὶ ἐνδιαφέρονταν γιὰ τὴν ἐλεημοσύνη. «Καὶ ἀφοῦ δὲ ὁ Πέτρος ἔβγαλε ὅλους ἔξω ἀπὸ τὸ ἀνώγειο, ὅπου ἦταν ἡ νεκρή, γονάτισε καὶ προσευχήθηκε· ὕστερα στράφηκε πρὸς τὸ νεκρὸ σῶμα καὶ εἶπε· Ταβιθά, σήκω ἐπάνω. Αὐτὴ ἄνοιξε τὰ μάτια της, καί, ὅταν εἶδε τὸν Πέτρο, ἀνασηκώθηκε στὸ κρεββάτι της». Γιατὶ τέλος πάντων βγάζει ἔξω ὅλους; γιὰ νὰ μὴ συγκινηθεῖ ἀπὸ τὰ δάκρυα καὶ νὰ μὴ ταραχθεῖ. «Καὶ ἀφοῦ γονάτισε προσευχήθηκε». Αὐτὸ εἶναι δεῖγμα παρατεταμένης προσευχῆς. «Καὶ ἀφοῦ», λέγει, «τὴν ἔπιασε ἀπὸ τὸ χέρι». Ἐδῶ δείχνει ξεχωριστὰ τὴ ζωὴ καὶ τὴ δύναμη ποὺ εἰσάγεται καὶ μὲ τὸ λόγο καὶ μὲ τὸ χέρι του.

«Ἀφοῦ τῆς ἔδωκε ὁ Πέτρος τὸ χέρι, τὴν σήκωσε ὄρθια. Καὶ ἀφοῦ φώναξε τοὺς πιστοὺς καὶ τὶς χῆρες, τοὺς τὴν παρουσίασε ζωντανή»· στοὺς μὲν πιστοὺς γιὰ παρηγοριά, διότι παρέλαβαν πάλι τὴν ἀδελφή, καὶ διότι εἶδαν τὸ θαῦμα, στὶς δὲ χῆρες γιὰ τὴν προστασία τους. «Τὸ θαῦμα αὐτὸ ἔγινε γνωστὸ σ' ὅλη τὴν Ἰόππη καὶ πολλοὶ πίστεψαν στὸν Κύριο. Ἔμεινε δὲ ὁ Πέτρος ἀρκετὲς ἡμέρες στὴν Ἰόππη, στὸ σπίτι κάποιου Σίμωνα ποὺ ἦταν βυρσοδέψης».

3. Πρόσεχε τὴν ταπεινοφροσύνη καὶ ἀγαθότητα τοῦ Πέτρου, πῶς δὲν μένει στὴν Ταβιθά, οὔτε σὲ κάποιον ἄλλον ἀπὸ τοὺς ἐπίσημους, ἀλλὰ στὴν οἰκία κάποιου βυρσοδέψη, ὁδηγώντας μὲ ὅλα αὐτὰ στὴν ταπεινοφροσύνη, καὶ δὲν ἀφήνει οὔτε τοὺς ἁπλοϊκοὺς νὰ ντρέπονται, οὔτε τοὺς σπουδαίους νὰ ὑπερηφανεύονται, καὶ ὁ ὁποῖος γι' αὐτὸ ἔκρινε, ὅτι ἔπρεπε νὰ περάσει ἀπὸ ἐκεῖ, ἐπειδὴ ἐκεῖνοι ποὺ πίστεψαν χρειάζονταν τὴ διδασκαλία του. Ἂς δοῦμε λοιπὸν ἀπὸ τὴν ἀρχὴ τὰ λεχθέντα. «Προσπαθοῦσε», λέγει, «να πλησιάσει τοὺς μαθητές». Δὲν προσῆλθε σ' αὐτοὺς χωρὶς ντροπή, ἀλλὰ συνεσταλμένα. Μαθητὲς δὲ ὀνομάζει καὶ ἐκείνους ποὺ δὲν ἀνήκουν στὸ χορὸ τῶν

δώδεκα· διότι μαθηταὶ πάντες ἐκαλοῦντο τότε διὰ τὴν πολλὴν ἀρετήν· ἦν γὰρ ἡ εἰκὼν τῶν μαθητῶν δήλη. «Καὶ πάντες ἐφοβοῦντο αὐτόν», φησίν. Ὅρα πῶς ἐφοβοῦντο τοὺς κινδύνους, πῶς ἔτι τὸ δέος ἐνήκμαζε. «Βαρνάβας δέ, ἐπιλαβόμενος αὐτοῦ, ἤγαγε πρὸς τοὺς Ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς». Ἐμοὶ δοκεῖ ὁ Βαρνάβας ἄνωθεν αὐτῷ εἶναι φίλος· διὸ καὶ πάντα διηγεῖται τὰ κατ' αὐτόν. Οὐδὲν δὲ τούτων αὐτὸς λέγει· οἶμαι δὲ ὅτι καὶ εἰς τοὺς ἄλλους οὐκ ἂν ἐξήνεγκεν ὕστερον, εἰ μή τις ἀνάγκη γέγονεν αὐτῷ.

«Καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος εἰς Ἰερουσαλήμ, καὶ παρρησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ». Τοῦτο καὶ τοῖς ἄλλοις ἐδίδου θαρρεῖν. Ὁρᾷς καὶ ἐκεῖ καὶ ἐνταῦθα τοὺς ἄλλους προμηθευομένους, καὶ κατασκευάζοντας ὥστε αὐτὸν ἀπελθεῖν, καὶ οὐδαμοῦ τέως ἀπολαύοντα αὐτὸν θείας ῥοπῆς; Οὕτω γοῦν αὐτοῦ δείκνυται καὶ τὸ σφοδρόν. Ὥστε οὐ διὰ γῆς ἐμοὶ δοκεῖ τὴν πορείαν αὐτὸν ποιεῖσθαι, ἀλλὰ καὶ ἔπλει λοιπόν. Καὶ τοῦτο δὲ οἰκονομικῶς γίνεται εἰς τὸ αὐτὸν καὶ ἐκεῖ κηρῦξαι. Ἄρα καὶ αἱ ἐπιβουλαὶ ὑπὲρ αὐτῶν, καὶ τὸ εἰς Ἱεροσόλυμα ἐλθεῖν οἰκονομικῶς, ἵνα μηκέτι ἀπιστῆται τὰ κατ' αὐτόν. «Ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς». «Καὶ εἶχον», φησίν, «εἰρήνην αἱ Ἐκκλησίαι, οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ τοῦ Κυρίου»· τουτέστιν, ηὔξησαν καὶ τὴν εἰρήνην αὐτὴν δήπου πρὸς ἑαυτήν, τὴν ὄντως εἰρήνην». Εἰκότως· σφόδρα γὰρ αὐτοὺς ὁ πόλεμος ἐκάκωσεν ὁ ἔξωθεν. «Καὶ τῇ παρακλήσει τοῦ ἁγίου Πνεύματος ἐπληθύνοντο». Παρεκάλει αὐτοὺς τὸ Πνεῦμα καὶ διὰ τῶν θαυμάτων, καὶ διὰ τῶν ἔργων, καὶ χωρὶς δὲ τούτων καὶ καθ' ἑαυτὸν ἕκαστον.

«Ἐγένετο δὲ Πέτρον διερχόμενον κατελθεῖν πρὸς Λύδ-

δώδεκα· διότι όλοι τότε καλοῦνταν μαθητές, λόγω τῆς ἀρετῆς τους· καθόσον ἦταν φανερὴ ἡ εἰκόνα τῶν μαθητῶν. «Καὶ ὅλοι τὸν φοβοῦνταν», λέγει. Πρόσεχε πῶς φοβοῦνταν τοὺς κινδύνους, πῶς ἀκόμη ὁ φόβος ἦταν πολὺ ἀναπτυγμένος. «Ὁ Βαρνάβας ὅμως, ἀφοῦ παρέλαβε αὐτόν, τὸν ὁδήγησε πρὸς τοὺς Ἀποστόλους, καὶ διηγήθηκε σ' αὐτοὺς γι' αὐτόν». Ἐμένα μοῦ φαίνεται ὅτι ὁ Βαρνάβας ἦταν ἀπὸ πρὶν φίλος του· γι' αὐτὸ καὶ διηγεῖται τὰ πάντα σχετικὰ μὲ αὐτόν. Ὁ ἴδιος ὁ Παῦλος δὲν λέγει τίποτε ἀπ' αὐτά· νομίζω δέ, ὅτι καὶ στοὺς ἄλλους δὲν θὰ ἀνέφερε τίποτε ἀργότερα, ἐὰν δὲν παρουσιαζόταν κάποια ἀνάγκη σ' αὐτόν. «Καὶ εἶχε συχνὴ ἐπικοινωνία ὁ Παῦλος μαζί τους στὰ Ἱεροσόλυμα, διατηρώντας στενοὺς δεσμοὺς μαζί τους καὶ μιλοῦσε μὲ θάρρος γιὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ». Αὐτὸ ἔδινε θάρρος καὶ στοὺς ἄλλους. Βλέπεις καὶ στὴ Δαμασκὸ καὶ ἐδῶ στὰ Ἱεροσόλυμα τοὺς ἄλλους νὰ προνοοῦν καὶ νὰ φροντίζουν, ὥστε, αὐτὸς νὰ φύγει, καὶ πουθενὰ στὴν ἀρχὴ δὲν ἀπολαμβάνει θεία βοήθεια; Ἔτσι λοιπὸν ἀποδεικνύεται ἡ ὁρμητικότητα τοῦ Παύλου. Ὥστε νομίζω πλέον ὅτι αὐτὸς κάμνει τὶς πορεῖες, ὄχι μόνο ἀπὸ ξηρᾶς, ἀλλὰ καὶ ἀπὸ θαλάσσης. Καὶ αὐτὸ γίνεται κατ' οἰκονομία, γιὰ νὰ κηρύξει καὶ ἐκεῖ. Ἄρα καὶ οἱ ἐπιβουλὲς ἐναντίον του, χάριν αὐτῶν ἔγιναν, καὶ ἡ ἄφιξή του στὰ Ἱεροσόλυμα κατ' οἰκονομία ἔγινε, γιὰ νὰ μὴ ἀμφιβάλλει κανένας πλέον γι' αὐτόν. «Μιλοῦσε καὶ συζητοῦσε μὲ τοὺς Ἰουδαίους, ποὺ μιλοῦσαν ἑλληνικά. Καὶ εἶχαν εἰρήνη», λέγει, «οἱ ἐκκλησίες, προόδευαν τὰ τῆς πίστεως καὶ ζοῦσαν μὲ τὸ φόβο τοῦ Κυρίου»· δηλαδὴ αὔξησαν καὶ τὴν εἰρήνη, τὴν ἐσωτερικὴ βέβαια, τὴν πραγματικὴ εἰρήνη. Δικαιολογημένα· διότι ὁ ἐξωτερικὸς πόλεμος τοὺς ἔκανε νὰ ὑποφέρουν πάρα πολύ. «Καὶ μὲ τὴν ἐνίσχυση τοῦ ἁγίου Πνεύματος πληθύνονταν». Παρηγοροῦσε αὐτοὺς τὸ ἅγιο Πνεῦμα καὶ μὲ τὰ θαύματα, καὶ μὲ τὰ ἔργα, καὶ χωρὶς αὐτά, καὶ τὸν καθένα ξεχωριστά.

Συνέβηκε δὲ ὁ Πέτρος, καθὼς περιόδευε, νὰ κατεβεῖ

δαν. Εὗρε δὲ ἐκεῖ ἄνθρωπον κατακείμενον, καὶ εἶπεν αὐτῷ· Αἰνέα, ἴαταί σε Ἰησοῦς ὁ Χριστός». Οὐκ ἐπιδεικνυμένου τὸ ῥῆμα, ἀλλὰ θαρροῦντος ὅτι ἔσται. Ἐμοὶ δὲ σφόδρα δοκεῖ ὅτι τούτῳ ἐπίστευσε τῷ ῥήματι ὁ ἀσθενῶν, καὶ γέγονεν ὑγιής. Ὅτι δὲ ἄτυφος, καὶ ἐκ τῶν ἑξῆς δῆλον· οὐ γὰρ εἶπεν, «Ἐν τῷ ὀνόματι Ἰησοῦ', ἀλλ' ὡς σημεῖον μᾶλλον αὐτὸ διηγεῖται. «Εἶδον δὲ οἱ κατοικοῦντες Λύδδαν, καὶ ἐπέστρεψαν ἐπὶ Κύριον». Ἄρα οὐ μάτην ἔλεγον ὅτι εἰς τὸ πεῖσαι καὶ παρακαλέσαι τὰ θαύματα ἐτελεῖτο. «Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια, φησίν, ὀνόματι Ταβιθά. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν». Εἶδες πανταχοῦ τὰ σημεῖα γινόμενα; Οὐχ ἁπλῶς ἀπέθανεν ἡ Ταβιθά, ἀλλ' ἐν ἀρρωστίᾳ γενομένη. Διὸ καὶ οὐ καλοῦσι Πέτρον, ἕως ὅτε ἐτελεύτησεν. «Ἀκούσαντες δὲ οἱ μαθηταί, ἀπέστειλαν παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν». Ὅρα, δι' ἑτέρων πέμπουσι καὶ καλοῦσιν. Ὁ δὲ πείθεται καὶ ἥκει, οὐχ ὕβριν τὸ πρᾶγμα νομίζων, τὸ κληθῆναι· οὕτω μέγα ἡ θλῖψις ἀγαθόν· τοῦτο συγκροτεῖ τὰς ἡμετέρας ψυχάς. Οὐδαμοῦ κοπετὸς ἐκεῖ, οὐδαμοῦ θρῆνος. «Λούσαντες αὐτήν», «ἔθηκαν ἐν ὑπερῴῳ»· τουτέστι, τὰ ἐπὶ νεκρῷ πάντα ἐποίησαν.

«Ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς». Καὶ ἀνελθὼν εἰς τὸ ὑπερῷον, θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπε· Ταβιθά, ἀνάστηθι». Οὐ πάντα συγχωρεῖ ὁ Θεὸς μετὰ τῆς αὐτῆς εὐκολίας τὰ σημεῖα ἐργάζεσθαι. Τοῦτο δὲ αὐτοὺς ὠφέλει· οὐ γὰρ δὴ μόνον τῆς τῶν ἄλλων ἐφρόντιζε σωτηρίας, ἀλλὰ καὶ τῆς αὐτῶν. Ὁ γοῦν τῇ σκιᾷ τοσούτους θεραπεύων, νῦν τοσαῦτα πρὸς τὸ ἐξαναστῆσαι ποιεῖ. Ἔστι δὲ ὅπου καὶ ἡ πίστις τῶν προσιόντων συνήργει. Ταύτην

πρὸς τὴ Λύδδα. Βρῆκε δὲ ἐκεῖ ἄνθρωπο κατάκοιτο καὶ τοῦ εἶπε· «Αἰνέα, ὁ Ἰησοῦς Χριστὸς σὲ θεραπεύει». Ὁ λόγος αὐτὸς δὲν εἶναι ἀνθρώπου ποὺ ἐπιδεικνύεται, ἀλλὰ ποὺ ἔχει τὴ βεβαιότητα ὅτι θὰ γίνει αὐτὸ ποὺ λέγει. Ἐγὼ δὲ νομίζω πάρα πολὺ ὅτι ὁ ἀσθενὴς πίστεψε σ' αὐτὸ τὸ λόγο καὶ ἔγινε ὑγιής. Τὸ ὅτι δὲ δὲν ἦταν ὑπερήφανος, γίνεται φανερὸ καὶ ἀπὸ τὰ ἑξῆς· διότι δὲν εἶπε 'τὸ ὄνομα τοῦ Ἰησοῦ', ἀλλὰ σὰν θαῦμα μᾶλλον διηγεῖται αὐτό. «Εἶδαν ὅλοι, ὅσοι κατοικοῦσαν στὴ Λύδδα καὶ πίστεψαν στὸν Κύριο». Ἄρα δὲν ἔλεγα μάταια, ὅτι τὰ θαύματα γίνονταν γιὰ νὰ πιστέψουν οἱ ἄνθρωποι καὶ νὰ παρηγορηθοῦν. «Στὴν Ἰόππη δὲ ὑπῆρχε», λέγει, «κάποια μαθήτρια ποὺ λεγόταν Ταβιθά. Συνέβηκε κατὰ τὶς ἡμέρες ἐκεῖνες νὰ ἀσθενήσει αὐτὴ καὶ νὰ πεθάνει». Εἶδες ὅτι παντοῦ γίνονταν θαύματα; Δὲν πέθανε ἁπλῶς ἡ Ταβιθά, ἀλλ' ἀφοῦ ἀρρώστησε. Γι' αὐτὸ καὶ δὲν καλοῦν τὸν Πέτρο, μέχρις ὅτου πέθανε. «Ὅταν δὲ ἄκουσαν οἱ μαθητὲς ἔστειλαν καὶ τὸν παρεκάλεσαν νὰ μὴ ἀμελήσει νὰ ἔλθει καὶ μέχρι σ' αὐτούς». Πρόσεχε ὅτι ἄλλους στέλνουν καὶ τὸν καλοῦν. Αὐτὸς δὲ πείθεται καὶ ἔρχεται, χωρὶς νὰ θεωρεῖ τὸ πράγμα προσβλητικό, ὅτι δηλαδὴ προσκλήθηκε· τόσο μεγάλο ἀγαθὸ εἶναι ἡ θλίψη· αὐτὸ σφυριλατεῖ τὶς δικές μας ψυχές. Πουθενὰ ἐκεῖ δὲν ἀκούεται κοπετός, πουθενὰ θρῆνος. «Ἀφοῦ τὴν ἔλουσαν», λέγει, «τὴν τοποθέτησαν στὸ ἐπάνω μέρος τῆς οἰκίας»· δηλαδὴ ἔκαναν ὅλα τὰ σχετικὰ μὲ τὸ νεκρό.

«Ἀφοῦ σηκώθηκε ὁ Πέτρος, πῆγε μαζί τους· καὶ ἀφοῦ ἀνέβηκε στὸ ὑπερῷο, γονάτισε καὶ προσευχήθηκε, καὶ ἀφοῦ στράφηκε πρὸς τὸ νεκρὸ σῶμα, εἶπε· Ταβιθά, σήκω». Δὲν ἐπιτρέπει ὁ Θεὸς ὅλα τὰ θαύματα νὰ γίνονται μὲ τὴν ἴδια εὐκολία. Αὐτὸ δὲ ὠφελοῦσε αὐτούς. Διότι βέβαια δὲν φρόντιζε μόνο γιὰ τὴ σωτηρία τῶν ἄλλων, ἀλλὰ καὶ γιὰ τὴ σωτηρία αὐτῶν. Ἐκεῖνος λοιπὸν ποὺ μὲ τὴ σκιά του θεραπεύει τόσους, τώρα κάνει τόσα γιὰ νὰ τὴν ἀναστήσει. Σὲ μερικὲς περιπτώσεις δὲ καὶ ἡ πίστη αὐτῶν ποὺ προσέρχονταν, συντελοῦσε στὸ θαῦμα.

οὖν πρώτην νεκρὰν ἀνίστησι, καλῶν ἐξ ὀνόματος, ἢ καὶ ὥσπερ ἐξ ὕπνου ἐγερθεῖσα πρῶτον ἤνοιξε τοὺς ὀφθαλμούς, εἶτα εὐθύς, ἰδοῦσα τὸν Πέτρον, ἀνεκάθισε, καὶ τελευταῖον ἀπὸ τῆς χειρὸς τῆς ἀφῆς στερεοῦται. Σὺ δέ μοι σκόπει τὸ κέρδος, πῶς πάλιν καὶ τὸν καρπὸν οὐ πρὸς ἐπίδειξιν ὄντα. Διὰ τοῦτο γοῦν καὶ ἐκβάλλει πάντας ἔξω, τὸν Διδάσκαλον κἀν τούτῳ μιμούμενος· ἔνθα γὰρ δάκρυα, τοιοῦτον μυστήριον οὐ δεῖ τελεῖσθαι· μᾶλλον δέ, ἔνθα θαύματα, οὐ δεῖ δάκρυα παρεῖναι. Ἀκούσατε, παρακαλῶ, εἰ καὶ μὴ τοιοῦτόν τι γίνεται, ἀλλὰ καὶ ἐν τοῖς νῦν νεκροῖς μέγα τελεῖται μυστήριον. Εἰπὲ δή μοι, εἰ, καθημένων ἡμῶν, ἔπεμψεν ὁ βασιλεύς τινα, καλῶν εἰς τὰ βασίλεια, κλαίειν ἔδει καὶ θρηνεῖν; Ἄγγελοι πάρεισιν ἐξ οὐρανῶν ἀπεσταλμένοι κἀκεῖθεν ἥκοντες, παρ' αὐτοῦ πεμφθέντες τοῦ βασιλέως τὸν σύνδουλον καλέσαι τὸν αὐτῶν, καὶ σὺ κλαίεις; Οὐκ οἶδας, οἷον μυστήριόν ἐστι τὸ γινόμενον; πῶς φρικτὸν καὶ φοβερόν, καὶ ὕμνων ἄξιον ὄντως καὶ χαρᾶς;

4. Βούλει μαθεῖν, ἵνα εἰδῇς ὅτι οὐχὶ δακρύων ὁ καιρός; Τῆς τοῦ Θεοῦ σοφίας μέγιστόν ἐστι τοῦτο μυστήριον. Ὥσπερ γάρ τινα οἰκίαν ἀφιεῖσα πρόεισιν ἡ ψυχή, πρὸς τὸν ἑαυτῆς ἐπειγομένη Δεσπότην, σὺ δὲ πενθεῖς; Οὐκοῦν, καὶ τικτομένου τοῦ παιδίου, τοῦτο ποιεῖν ἐχρῆν· καὶ γὰρ τοῦτο τόκος ἐστίν, ἐκείνου βελτίων· πρόεισι γὰρ ἐφ' ἕτερον φῶς, ἀπολύεται ὥσπερ ἀπὸ δεσμωτηρίου τινός, ὡς ἀπὸ ἀγῶνος ἔξεισι. Ναί, φησίν· ἐπὶ μὲν τῶν εὐδοκίμων καλῶς ταῦτα λέγεις. Καὶ τί πρὸς σέ, ἄνθρωπε; σὺ γὰρ οὐδὲ ἐπὶ εὐδοκίμων τοῦτο ποιεῖς. Εἰπὲ δή μοι, τί τοῦ παιδίου καταγνῶναι ἔχοις ἂν τοῦ μικροῦ; τίνος ἕνεκεν πενθεῖς αὐτό; τί τοῦ νεοφωτίστου; καὶ γὰρ καὶ ἐκεῖνος εἰς τὸ αὐτὸ περιέστη. Τίνος οὖν ἕνεκεν πενθεῖς αὐτόν; Οὐκ οἶδας ὅτι, καθάπερ ἥλιος καθαρὸς ἄνεισιν,

Αὐτὴ λοιπὸν εἶναι ἡ πρώτη νεκρή, ποὺ ἀνασταίνει ὁ Πέτρος καλώντας αὐτὴν μὲ τὸ ὄνομά της· αὐτὴ δέ, σὰν νὰ σηκώθηκε ἀπὸ τὸν ὕπνο, πρῶτα ἄνοιξε τὰ μάτια, ἔπειτα, μόλις εἶδε τὸν Πέτρο, ἀνεκάθησε, καὶ τέλος πιάνοντας τὸ χέρι του, στηρίζεται. Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεχε τὸ κέρδος, πῶς πάλι καὶ ὁ καρπὸς δὲν εἶναι πρὸς ἐπίδειξη. Γι' αὐτὸ λοιπὸν καὶ βγάζει ὅλους ἔξω, μιμούμενος καὶ σ' αὐτὸ τὸ διδάσκαλο. Διότι ὅπου ὑπάρχουν δάκρυα, δὲν πρέπει νὰ τελεῖται τέτοιο μυστήριο, μᾶλλον δέ, ὅπου γίνονται θαύματα, δὲν πρέπει νὰ ὑπάρχουν δάκρυα. Ἀκούσατε, παρακαλῶ, ἂν καὶ δὲν γίνεται κάτι παρόμοιο, ἐν τούτοις καὶ στοὺς σημερινοὺς νεκροὺς τελεῖται μεγάλο μυστήριο. Πές μου, λοιπόν, σὲ παρακαλῶ, ἄν, ἐνῶ καθόμαστε, ἔστελνε ὁ βασιλιὰς κάποιον καὶ μᾶς καλοῦσε στὰ ἀνάκτορα, ἔπρεπε νὰ κλαῖμε καὶ νὰ θρηνοῦμε; Ἄγγελοι ἐμφανίζονται ἀπεσταλμένοι ἀπὸ τὸν οὐρανό, καὶ ἀπ' ἐκεῖ ἐρχόμενοι, σταλμένοι ἀπ' αὐτὸν τὸν βασιλέα γιὰ νὰ καλέσουν τὸ σύνδουλό τους, καὶ ἐσὺ κλαῖς; Δὲν γνωρίζεις πόσο σπουδαῖο μυστήριο εἶναι ἐκεῖνο ποὺ γίνεται, πόσο φρικτὸ καὶ φοβερό, καὶ ποὺ ἀξίζει πράγματι ὕμνους καὶ χαρές;

4. Θέλεις νὰ μάθεις, γιὰ νὰ γνωρίζεις, ὅτι δὲν εἶναι καιρὸς γιὰ δάκρυα; Ὁ θάνατος εἶναι μέγιστο μυστήριο τῆς σοφίας τοῦ Θεοῦ. Διότι, σὰν νὰ ἀφήνει κάποια κατοικία, προχωρεῖ ἡ ψυχὴ βιαστικὴ πρὸς τὸν Κύριό της, σὺ δὲ πενθεῖς; Λοιπὸν ἔπρεπε αὐτὸ νὰ κάμνει κανένας καὶ ὅταν γεννιέται τὸ παιδί· καθόσον καὶ ὁ θάνατος εἶναι γέννηση ἀνώτερη ἀπὸ ἐκεῖνο. Διότι ἡ ψυχὴ προχωρεῖ σὲ ἄλλο φῶς, ἀπολύεται σὰν ἀπὸ φυλακή, ἐξέρχεται σὰν ἀπὸ ἀγώνα. Ναί, λέγει, γιὰ μὲν τοὺς ἀγαθοὺς καλὰ τὰ λέγεις αὐτά. Καὶ ποιὰ σημασία ἔχει αὐτὸ γιὰ σένα, ἄνθρωπε; διότι, σὺ οὔτε γιὰ τοὺς ἀγαθοὺς τὸ κάνεις αὐτό. Πές μου λοιπὸν γιὰ ποιὸ πράγμα θὰ μποροῦσες νὰ κατακρίνεις τὸ νεοφώτιστο; διότι καὶ ἐκεῖνος σ' αὐτὴ τὴν κατάσταση βρίσκεται. Γιατί λοιπὸν πενθεῖς αὐτόν; Δὲν γνωρίζεις, ὅτι ὅπως ὁ καθαρὸς ἥλιος ἀνέρχεται, ἔτσι καὶ

οὕτω καὶ ψυχή, σῶμα ἀπολείπουσα μετὰ καθαροῦ συνειδότος, λάμπει φαιδρόν; Οὐχ οὕτω βασιλέα ἐπιβαίνοντα πόλεως μετὰ τοσαύτης ἔστι σιγῆς ἰδεῖν, ὡς ψυχὴν ἀφεῖσαν σῶμα, καὶ μετὰ ἀγγέλων ἀπιοῦσαν. Ἐννόησον τίς ἐστιν ἡ ψυχή, ἐν οἵᾳ τότε ἐκπλήξει γίνεται, ἐν οἵῳ θαύματι, ἐν οἵᾳ ἡδονῇ! Τί πενθεῖς; εἰπέ μοι· μὴ γὰρ ἐπὶ ἁμαρτωλῶν τοῦτο μόνον ποιεῖς; Εἴθε τοῦτο ἦν, καὶ οὐκ ἂν ἐκώλυσα τὰ πένθη! εἴθε τοιοῦτος ὁ σκοπὸς ἦν! Οὗτος ὁ θρῆνος ἀποστολικός, οὗτος ὁ θρῆνος καὶ Δεσποτικός· ἔκλαυσε γὰρ καὶ Ἰησοῦς τὴν Ἱερουσαλήμ. Ἐβουλόμην τούτῳ διηρῆσθαι τῷ νόμῳ τὰ πένθη. Ὅταν δὲ ἀνακαλούμενος ῥήματα λέγῃς καὶ συνήθειαν καὶ προστασίαν, οὐχὶ διὰ τοῦτο πενθεῖς, ἀλλὰ σκήπτῃ.

Πένθησον, στέναξον τὸν ἁμαρτωλόν, καὶ ἐγὼ κατάξω δάκρυα, καὶ ἐγὼ σοῦ μᾶλλον, ὅσῳ καὶ μείζονι τιμωρίᾳ ὑπεύθυνος ὁ τοιοῦτος· καὶ ἐγὼ θρηνήσω μετὰ τοιούτου σκοποῦ. Οὐ σὲ δὲ μόνον τὸν τοιοῦτον δεῖ θρηνεῖν, ἀλλὰ καὶ τὴν πόλιν ἅπασαν καὶ τοὺς ἀπαντῶντας, καθάπερ τοὺς ἐπὶ θάνατον ἐπαγομένους· ὄντως γὰρ θάνατος οὗτός ἐστι πονηρός, ὁ τῶν ἁμαρτωλῶν. Ἀλλὰ τὰ ἄνω κάτω γεγένηται. Οὗτος ὁ θρῆνος καὶ φιλοσοφίας ἐστί, καὶ διδασκαλίαν ἔχει πολλήν, ἐκεῖνος δὲ μικροψυχίας. Εἰ ἐθρηνοῦμεν τοῦτον τὸν θρῆνον ἅπαντες ζῶντας ἂν αὐτοὺς διωρθώσαμεν. Ὥσπερ οὖν, εἰ κύριος ἦς φάρμακα ἐπενεγκεῖν, κωλύοντα τὸν θάνατον ἐκεῖνον τὸν σωματικόν, ἐποίησας ἄν, οὕτω καὶ νῦν, εἴ γε τοῦτον ἐθρήνεις τὸν θάνατον, ἐκώλυσας ἂν καὶ ἐπὶ σοῦ, καὶ ἐπ᾽ ἐκείνου τοῦτο γενέσθαι. Νῦν δὲ αἴνιγμά ἐστι τὸ γινόμενον· κυρίους μὲν ὄντας μὴ συγχωρῆσαι τοῦτον ἐπελθεῖν, ἀφεῖναι γενέσθαι, γενόμενον δὲ πενθεῖν. Ὄντως θρήνων ἄξιοι, ὅταν παρα-

ἡ ψυχή, ἀφοῦ ἐγκαταλείψει τὸ σῶμα μὲ καθαρὴ συνείδηση, λάμπει μὲ φαιδρότητα; Δὲν εἶναι δυνατὸ νὰ δεῖς βασιλέα μὲ τόση σιγὴ νὰ εἰσέρχεται στὴν πόλη, μὲ ὅση ψυχὴ νὰ ἐγκαταλείπει τὸ σῶμα καὶ νὰ ἀπέρχεται μὲ τοὺς ἀγγέλους. Σκέψου ποιὰ εἶναι ἡ ψυχή, ἀπὸ ποιὰ ἔκπληξη καταλαμβάνεται, ἀπὸ ποιὸ θαυμασμὸ καὶ ἀπὸ ποιὰ εὐχαρίστηση. Τί πενθεῖς; πές μου· μήπως τὸ κάνεις αὐτὸ μόνο γιὰ τοὺς ἁμαρτωλούς; μακάρι αὐτὸ νὰ ἦταν καὶ δὲν θὰ ἐμπόδιζα τὰ πένθη· μακάρι νὰ ἦταν τέτοιος ὁ σκοπός· ὁ θρῆνος αὐτὸς εἶναι ὁ ἀποστολικός, ὁ θρῆνος αὐτὸς εἶναι Δεσποτικός· διότι καὶ ὁ Ἰησοῦς ἔκλαυσε τὴν Ἰερουσαλήμ. Θὰ ἤθελα μὲ αὐτὸν τὸν τρόπο νὰ χωρίζονται τὰ πένθη. Ὅταν δὲ ἀνακαλούμενος στὴν ἠρεμία ἐπικαλεῖσαι λόγους καὶ συνήθεια καὶ φροντίδα γιὰ τὸ νεκρό, δὲν πενθεῖς γι' αὐτό, ἀλλὰ προσποιεῖσαι.

Πένθησε, στέναξε γιὰ τὸν ἁμαρτωλό, καὶ ἐγὼ θὰ χύσω δάκρυα, καὶ ἐγὼ θὰ δακρύσω τόσο περισσότερο ἀπὸ ἐσένα, ὅσο ὁ ἁμαρτωλὸς εἶναι ὑπεύθυνος γιὰ μεγαλύτερη τιμωρία. Καὶ ἐγὼ θὰ θρηνήσω μὲ τέτοιο σκοπό. Δὲν πρέπει δὲ σὺ μόνο νὰ θρηνεῖς τὸν ἁμαρτωλό, ἀλλὰ καὶ ὅλη ἡ πόλη καὶ ὅλοι ἐκεῖνοι ποὺ τὸν συναντοῦν στὸ δρόμο, ὅπως ἀκριβῶς συμβαίνει μὲ ἐκείνους ποὺ ὁδηγοῦνται γιὰ θάνατο. Διότι πράγματι ὁ θάνατος αὐτὸς τῶν ἁμαρτωλῶν εἶναι κακός. Ἀλλ' ἔχουν γίνει ὅλα ἄνω κάτω. Αὐτὸς ὁ θρῆνος γιὰ τὸν ἁμαρτωλὸ εἶναι δεῖγμα φιλοσοφίας καὶ παρέχει πολλὴ διδασκαλία, ἐκεῖνος δὲ εἶναι δεῖγμα μικροψυχίας. Ἐὰν θρηνούσαμε ὅλοι αὐτὸ τὸ θρῆνο θὰ κατορθώναμε νὰ διορθώσουμε αὐτούς, ἐν ὅσω ζοῦσαν. Ὅπως ἀκριβῶς λοιπόν, ἂν μποροῦσες νὰ κατασκευάσεις φάρμακα, ποὺ θὰ ἐμπόδιζαν τὸ θάνατο ἐκεῖνο τὸ σωματικό, θὰ τὸ ἔκαμνες, ἔτσι καὶ τώρα, ἐὰν βέβαια θρηνοῦσες αὐτὸ τὸ θάνατο, θὰ ἐμπόδιζες νὰ γίνει αὐτὸ καὶ γιὰ σένα καὶ γιὰ ἐκεῖνον. Τώρα δὲ εἶναι αἴνιγμα αὐτὸ ποὺ γίνεται· ἐνῶ ἔχουμε τὴ δύναμη νὰ μὴ ἐπιτρέψουμε νὰ συμβεῖ αὐτὸς ὁ θάνατος, τὸν ἀφήνουμε νὰ συμβεῖ, ὅταν δὲ συμβεῖ, πενθοῦμε. Πράγματι θὰ εἶναι ἄξιοι θρήνων.

στῶσι τῷ βήματι τοῦ Χριστοῦ! οἷα ἀκούσονται ῥήματα; οἷα πείσονται πράγματα; Εἰκῇ ἔζησαν οὗτοι· μᾶλλον δὲ οὐκ εἰκῇ, ἀλλὰ καὶ ἐπὶ κακῷ. Καὶ ἐπὶ τούτων εὔκαιρον εἰπεῖν «Συμφέρον ἦν αὐτοῖς, εἰ οὐκ ἐγεννήθησαν»· τί γὰρ ὄφελος, εἰπέ μοι, τοσοῦτον ἀναλῶσαι χρόνον ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς; Εἰ γὰρ εἰκῇ μόνον ἀνάλωτο, οὐκ ἂν ἤρκεσεν ἡ ζημία.

Εἰπέ μοι, εἴ τις μισθωτὸς γενόμενος εἴκοσιν ἔτη κατακόπτοιτο εἰκῇ, οὐ κλαύσεται καὶ θρηνήσει, καὶ δόξει πάντων ἐλεεινότερος εἶναι; Καὶ οὗτος πᾶσαν τὴν ζωὴν εἰκῇ κατεκόπη, οὐδὲ μίαν ἡμέραν ἔζησεν ἑαυτῷ, ἀλλὰ τῇ τρυφῇ, τῇ ἀσελγείᾳ, τῇ πλεονεξίᾳ, τῇ ἁμαρτίᾳ, τῷ διαβόλῳ. Τοῦτον οὖν οὐ θρηνήσομεν; εἰπέ μοι· οὐ πειρασόμεθα τῶν κινδύνων ἐξαρπάσαι; Ἔστι γάρ, ἔστιν, ἐὰν θέλωμεν, κούφην αὐτῷ γενέσθαι τὴν κόλασιν. Ἂν οὖν εὐχὰς ὑπὲρ αὐτοῦ ποιῶμεν συνεχεῖς, ἂν ἐλεημοσύνην διδῶμεν· κἂν ἐκεῖνος ἀνάξιος ᾖ, ἡμᾶς ὁ Θεὸς δυσωπήσεται. Εἰ διὰ Παῦλον ἑτέρους διέσωσε, καὶ δι' ἄλλους ἄλλων φείδεται, πῶς οὐχὶ καὶ δι' ἡμᾶς τὸ αὐτὸ τοῦτο ἐργάσεται; Ἐκ τῶν ἐκείνου χρημάτων, ἐκ τῶν σῶν, ὅθεν ἂν θέλῃς, βοήθησον· ἐπίσταξον ἔλαιον, μᾶλλον δὲ ὕδωρ. Οὐκ ἔχει ἐλεημοσύνας οἰκείας ἐπιδείξασθαι; Κἂν συγγενικάς. Οὐκ ἔχει τὰς ὑπ' αὐτοῦ γεγενημένας; Κἂν τὰς ὑπὲρ αὐτοῦ. Οὕτω μετὰ παρρησίας αὐτὸν παραιτήσεται τότε ἡ γυνή, λύτρον ὑπὲρ αὐτοῦ καταθεμένη. Ὅσῳ πλειόνων γέγονεν ἁμαρτημάτων ὑπεύθυνος, τοσούτῳ μειζόνως αὐτῷ δεῖ τῆς ἐλεημοσύνης. Οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι οὐδὲ ἴσην ἔχει τὴν ἰσχὺν νῦν, ἀλλ' ἐλάττω πολλῷ· οὐ γάρ ἐστιν ἴσον, αὐτόν τινα ποιῆσαι, καὶ ἕτερον ὑπὲρ αὐτοῦ. Ὡς οὖν ἐλάττονος οὔσης, οὔ-

---

16. Πρβλ. Ματθ. 26, 24. Τὰ λόγια τοῦ Ἰησοῦ γιὰ τὸν Ἰούδα.

ὅταν θὰ σταθοῦν μπροστὰ στὸ βῆμα τοῦ Χριστοῦ! ποιὰ λόγια θ' ἀκούσουν; ποιές τιμωρίες θὰ ὑποστοῦν; Ἄσκοπα ἔζησαν αὐτοί· μᾶλλον δὲ ὄχι ἄσκοπα, ἀλλὰ καὶ γιὰ κακό. Καὶ γι' αὐτοὺς εἶναι εὐκαιρία νὰ ποῦμε· «θὰ ἦταν συμφέρον σ' αὐτούς, ἐὰν δὲν εἶχαν γεννηθεῖ»[16]. Διότι, πές μου, ποιὸ τὸ ὄφελος νὰ δαπανήσουν τόσο χρόνο γιὰ κακὸ τῆς κεφαλῆς τους; Γιατί, ἂν μόνο ἄσκοπα ξοδευόταν ὁ χρόνος, δὲν θὰ ἦταν τόσο μεγάλη ἡ ζημιά.

Πές μου, ἂν κάποιος, ποὺ ἔγινε μισθωτὸς γιὰ εἴκοσι χρόνια, συνέβαινε νὰ καταπονηθεῖ ἄσκοπα, δὲν θὰ κλάψει καὶ θὰ θρηνήσει καὶ δὲν θὰ θεωρηθεῖ ὅτι εἶναι ἐλεεινότερος ἀπ' ὅλους; Καὶ ὁ ἁμαρτωλὸς σ' ὅλη τὴ ζωή του καταπονήθηκε ἄσκοπα, καὶ οὔτε μιὰ ἡμέρα ἔζησε γιὰ τὸν ἑαυτό του, ἀλλὰ γιὰ τὴν τρυφή, τὴν ἀσέλγεια, τὴν πλεονεξία, τὴν ἁμαρτία, τὸν διάβολο. Αὐτὸν λοιπὸν δὲν θὰ θρηνήσουμε, πές μου· δὲν θὰ προσπαθήσουμε νὰ τὸν ἀρπάξουμε μέσα ἀπὸ τοὺς κινδύνους; Διότι εἶναι δυνατό, εἶναι δυνατὸ ἂν θέλουμε, νὰ γίνει ἐλαφριὰ ἡ τιμωρία σ' αὐτόν. Ἂν λοιπὸν κάμνουμε συνεχεῖς προσευχὲς ὑπὲρ αὐτοῦ, ἂν δίνουμε ἐλεημοσύνη, καὶ ἂν ἀκόμα ἐκεῖνος εἶναι ἀνάξιος, ὁ Θεὸς θὰ δείξει τὸ ἔλεός του σ' αὐτόν. Ἂν γιὰ χάρη τοῦ Παύλου διέσωσε ἄλλους καὶ γιὰ χάρη ἄλλων δείχνει εὐσπλαγχνία γιὰ ἄλλους, πῶς δὲν θὰ κάνει τὸ ἴδιο καὶ γιὰ μᾶς; Ἀπὸ τὰ χρήματα ἐκείνου, ἀπὸ τὰ δικά σου, ἀπὸ ὅπου θέλεις, βοήθησε· πρόσφερε λάδι, μᾶλλον δὲ νερό. Δὲν ἔχει δικές του ἐλεημοσύνες νὰ ἐπιδείξει; ἂς εἶναι συγγενικές. Δὲν ἔχει νὰ παρουσιάσει τὶς δικές του ἐλεημοσύνες; ἂς δείξει ἐκεῖνες ποὺ ἔγιναν γι' αὐτόν. Ἔτσι ἡ σύζυγός του μὲ θάρρος θὰ παρακαλέσει τὸ Θεὸ γι' αὐτόν, ἐφόσον κατέθεσε λύτρο γι' αὐτόν. Ὅσων περισσοτέρων ἁμαρτημάτων εἶναι ὑπεύθυνος, τόσο μεγαλύτερη ἀνάγκη ἀπὸ ἐλεημοσύνη ὑπάρχει γι' αὐτόν. Ὄχι μόνο αὐτό, ἀλλὰ διότι τώρα ἡ ἐλεημοσύνη δὲν ἔχει τὴν ἴδια δύναμη, ἀλλὰ πολὺ μικρότερη. Διότι δὲν εἶναι τὸ ἴδιο πράγμα, νὰ κάνει κάποιος ἐλεημοσύνη αὐτὸς ὁ ἴδιος, καὶ νὰ κάνει αὐτὴν ἄλλος ὑπὲρ αὐτοῦ. Ὅσο λοι-

τω τῷ πλήθει μεγίστην ποιῶμεν αὐτήν. Μὴ περὶ σήματα, μὴ περὶ ἐντάφια ἀσχολώμεθα. Περίστησον χήρας· τοῦτο ἐντάφιον μέγιστον. Εἰπὲ τοὔνομα· πάσας κέλευσον ὑπὲρ αὐτοῦ ποιεῖσθαι τὰς δεήσεις καὶ τὰς ἱκετηρίας· δυσωπήσει τοῦτο τὸν Θεόν, εἰ καὶ μὴ ὑπ' αὐτοῦ, ἀλλὰ δι' αὐτὸν ἕτερος αἴτιος γίνεται τῆς ἐλεημοσύνης. Καὶ τοῦτο δόγμα τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐστί. Χῆραι, περιεστῶσαι καὶ δακρύουσαι, οὐχὶ τοῦ παρόντος, ἀλλὰ καὶ τοῦ μέλλοντος δύνανται ἐξαρπάσαι θανάτου. Πολλοὶ καὶ ἐκ τῶν ὑφ' ἑτέρων δι' αὐτοὺς γεγενημένων ἐλεημοσυνῶν ἀπώναντο· εἰ γὰρ καὶ μὴ τέλεον, ἀλλ' ὅμως παραμυθίαν εὗρόν τινα· ἐπεί, εἰ μὴ τοῦτό ἐστι, πῶς τὰ παιδία σώζεται; καίτοι γε ἐκεῖ οὐδὲν αὐτὰ εἰσφέρει, ἀλλ' οἱ γονεῖς τὸ πᾶν· καὶ γυναιξὶν ἐχαρίσθη παιδία πολλάκις, οὐδὲν αὐτὰ εἰσενεγκόντα. Πολλὰς ἡμῖν ὁ Θεὸς τοῦ σώζεσθαι δέδωκεν ὁδούς, μόνον μὴ ἀμελῶμεν.

5. Τί οὖν, ἄν τις πένης ᾖ; φησί. Πάλιν ἐρῶ, τὸ πολὺ τῆς ἐλεημοσύνης οὐκ ἐκ τῶν διδομένων κρίνεται μόνον, ἀλλὰ καὶ ἐκ τῆς προαιρέσεως. Μόνον μὴ δῷς ἔλαττον τῆς δυνάμεως, καὶ τὸ πᾶν ἐξέτισας. Τί οὖν, φησίν, ἂν ἔρημος ᾖ καὶ ξένος, καὶ μηδένα ἔχῃ; Διατί γὰρ μηδένα ἔχει; εἰπέ μοι. Τούτῳ αὐτῷ δίδωσι δίκην, ὅτι μηδένα οὕτω φίλον, οὕτως ἐνάρετον ἔχει. Τοῦτο οὖν γίνεται, ἵνα, κἄν, αὐτοὶ μὴ ὦμεν ἐνάρετοι, σπουδάζωμεν ἑτέρους καὶ φίλους ἐναρέτους ἔχειν, καὶ γυναῖκα, καὶ υἱόν, ὡς καρπούμενοί τι καὶ δι' αὐτῶν· μικρὸν μὲν καρπούμενοι, καρπούμενοι δὲ ὅμως. Ἂν σπουδάσῃς μὴ πλουτοῦσαν, ἀλλ' εὐλαβῆ γυναῖκα ἀγαγέσθαι, ταύτης ἀπολαύσῃ τῆς παραμυθίας· ὁμοίως, ἂν σπουδάσῃς μὴ πλουτοῦντα υἱὸν καταλιπεῖν, ἀλλ' εὐλαβῆ, καὶ θυγάτριον σε-

πὸν μικρότερη εἶναι αὐτή, τόσο μεγαλύτερη κατὰ τὸ ποσὸ ἂς τὴν προσφέρνουμε. Ἂς μὴ ἀσχολούμαστε μὲ σημεῖα τάφων καὶ μὲ ἐντάφια. Προστάτεψε τὶς χῆρες· αὐτὸ εἶναι τὸ σπουδαιότερο ἐντάφιο. Πὲς τὸ ὄνομα· ζήτησε νὰ κάνουν ὅλες τὶς δεήσεις καὶ τὶς ἱκεσίες ὑπὲρ αὐτοῦ· θὰ ἐξευμενίσει αὐτὸ τὸ Θεό, ἂν καὶ δὲν ἔγινε ἀπ' αὐτὸν ἡ ἐλεημοσύνη, ἀλλ' ἄλλος γίνεται αἴτιος ἐλεημοσύνης γι' αὐτόν. Καὶ αὐτὸ εἶναι νόμος τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Χῆρες, ποὺ στέκονται γύρω καὶ ποὺ κλαῖνε, ὄχι μόνο ἀπὸ τὸν παρόντα, ἀλλὰ καὶ ἀπὸ τὸν μέλλοντα θάνατο μποροῦν νὰ διασώσουν κάποιον. Πολλοὶ ἄνθρωποι ὠφελήθηκαν ἀπὸ τὶς ἐλεημοσύνες ποὺ ἔγιναν ἀπὸ ἄλλους. Διότι, ἂν καὶ ὄχι τελείως, ὅμως βρῆκαν κάποια παρηγορία· διότι, ἐὰν δὲν συμβαίνει αὐτό, πῶς σώζονται τὰ παιδιά; ἂν καὶ αὐτὰ βέβαια τίποτε δὲν συνεισφέρουν, ἀλλὰ οἱ γονεῖς συνεισφέρουν τὸ πᾶν· καὶ στὶς γυναῖκες πολλὲς φορὲς χαρίσθηκαν παιδιά, ποὺ δὲν πρόσφεραν αὐτὰ τίποτε. Πολλοὺς δρόμους μᾶς ἔχει δώσει ὁ Θεὸς γιὰ τὴ σωτηρία μας, μόνο νὰ μὴν ἀμελοῦμε.

5. Τί λοιπόν, λέγει, μπορεῖ νὰ προσφέρει κάποιος ἂν εἶναι φτωχός; Πάλι θὰ πῶ, τὸ μέγεθος τῆς ἐλεημοσύνης δὲν κρίνεται μόνο ἀπὸ τὸ ποσὸ ἐκείνων, ποὺ προσφέρονται, ἀλλὰ καὶ ἀπὸ τὴ διάθεση. Μόνο μὴ δώσεις λιγώτερο ἀπὸ ἐκεῖνα ποὺ μπορεῖς νὰ προσφέρεις, καὶ τὸ πᾶν ἐκπλήρωσες. Τί λοιπόν, λέγει, ἂν κάποιος εἶναι ἔρημος καὶ ξένος καὶ δὲν ἔχει κανένα; ἀλλὰ γιατί δὲν ἔχει κανένα; πές μου. Γι' αὐτὸ ἀκριβῶς τιμωρεῖται, ἐπειδὴ δὲν ἔχει κανένα τόσο φίλο, τόσο ἐνάρετο. Αὐτὸ λοιπὸν νὰ γίνεται, καὶ ἂν οἱ ἴδιοι δὲν εἴμαστε ἐνάρετοι, νὰ φροντίζουμε νὰ ἔχουμε σύντροφους καὶ φίλους ἐνάρετους, καὶ γυναίκα καὶ υἱό, ὥστε νὰ ὠφεληθοῦμε κάτι καὶ ἀπ' αὐτούς· μικρὴ μὲν ὠφέλεια εἶναι, ὅμως εἶναι ὠφέλεια. Ἂν φροντίσεις νὰ ἀποκτήσεις σύζυγο γυναίκα ὄχι πλούσια, ἀλλὰ εὐλαβή, θὰ ἀπολαύσεις αὐτὴ τὴν παρηγοριά. Ὅμοια, ἂν φροντίσεις ν' ἀφήσεις, ὄχι πλούσιο υἱό, ἀλλ' εὐλαβή, καὶ κόρη σεμνή, καὶ τότε θὰ ἀπολαύσεις αὐτὴν τὴν παρη-

μνόν, καὶ οὕτω ταύτης ἀπολαύσῃ τῆς παραμυθίας. Ἂν ταῦτα σπουδάσῃς, καὶ αὐτὸς ἔσῃ τοιοῦτος. Καὶ τοῦτο μέρος ἀρετῆς, τὸ τοιούτους αἱρεῖσθαι καὶ φίλους, καὶ γυναῖκα καὶ παιδία.

Οὐκ εἰκῇ προσφοραὶ ὑπὲρ τῶν ἀπελθόντων γίνονται, οὐκ εἰκῇ ἱκετηρίαι, οὐκ εἰκῇ ἐλεημοσύναι· ταῦτα πάντα τὸ Πνεῦμα διέταξε, δι' ἀλλήλων ἡμᾶς ὠφελεῖσθαι βουλόμενον. Ὅρα γάρ. Ὠφελεῖται ἐκεῖνος διὰ σοῦ, ὠφελῇ σὺ δι' ἐκεῖνον· κατεφρόνησας χρημάτων, προαχθεὶς ἐργάσασθαί τι γενναῖον· καὶ σὺ αὐτῷ τῆς σωτηρίας, καὶ αὐτὸς σοὶ τῆς ἐλεημοσύνης γέγονεν αἴτιος. Μὴ ἀμφίβαλλε ὅτι καρπώσεταί τι χρηστόν. Οὐχ ἁπλῶς ὁ διάκονος βοᾷ· «Ὑπὲρ τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν ἐπιτελουμένων»· οὐχ ὁ διάκονός ἐστιν ὁ ταύτην ἀφιεὶς τὴν φωνήν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον· τὸ δὲ χάρισμα λέγω. Τί λέγεις; Ἐν χερσὶν ἡ θυσία, καὶ πάντα πρόκειται ηὐτρεπισμένα, πάρεισιν ἄγγελοι, ἀρχάγγελοι, πάρεστιν ὁ Υἱὸς τοῦ Θεοῦ, μετὰ τοσαύτης φρίκης ἑστήκασιν ἅπαντες, παρεστήκασιν ἐκεῖνοι βοῶντες, πάντων σιγώντων, καὶ ἡγῇ ἁπλῶς γίνεσθαι τὰ γινόμενα; Οὐκοῦν καὶ τὰ ἄλλα ἁπλῶς, καὶ τὰ ὑπὲρ τῆς Ἐκκλησίας, καὶ τὰ ὑπὲρ τῶν ἱερέων προσφερόμενα, καὶ τὰ ὑπὲρ τοῦ πληρώματος; Μὴ γένοιτο! ἀλλὰ πάντα μετὰ πίστεως γίνεται.

Τί οἴει τὸ ὑπὲρ μαρτύρων προσφέρεσθαι, τὸ κληθῆναι ἐν ἐκείνῃ τῇ ὥρᾳ; Κἂν μάρτυρες ὦσι, κἂν ὑπὲρ μαρτύρων, μεγάλη τιμὴ τὸ ὀνομασθῆναι, τοῦ Δεσπότου παρόντος, τοῦ θανάτου ἐπιτελουμένου ἐκείνου, τῆς φρικτῆς θυσίας, τῶν ἀφάτων μυστηρίων· καθάπερ γάρ, καθημένου τοῦ βασιλέως, ὅσα ἄν τις βούληται, ἀνύει, ἐγερθέντος δέ, ὅσα ἂν λέγῃ, εἰκῇ ἐρεῖ, οὕτω καὶ τότε, ἕως ἂν πρόκειται τὰ τῶν μυστηρίων, πᾶσι τιμὴ

γοριά. Ἂν φροντίσεις γι' αὐτά, καὶ σὺ ὁ ἴδιος θὰ γίνεις ἐνάρετος. Καὶ αὐτὸ ἀποτελεῖ μέρος τῆς ἀρετῆς, τὸ νὰ ἐκλέγεις δηλαδὴ ἐνάρετους, καὶ φίλους καὶ γυναίκα καὶ παιδιά.

Δὲν γίνονται ἄσκοπα οἱ προσφορὲς γι' αὐτοὺς ποὺ πέθαναν, οὔτε οἱ ἱκεσίες, οὔτε οἱ ἐλεημοσύνες· ὅλα αὐτὰ τὸ Πνεῦμα τὰ διέταξε, θέλοντας νὰ ὠφελούμαστε ἐμεῖς μεταξύ μας. Διότι πρόσεχε. Ὠφελεῖται ἐκεῖνος μὲ τὴ βοήθειά σου, ὠφελεῖσαι σὺ ἐξ αἰτίας ἐκείνου· περιφρόνησες τὰ χρήματα, ἀφοῦ ἀποφάσισες νὰ ἐπιτελέσεις κάτι τὸ σπουδαῖο· καὶ ἐσὺ ἔγινες αἴτιος τῆς σωτηρίας αὐτοῦ, καὶ ἐκεῖνος γιὰ σένα ἔγινε αἴτιος ἐλεημοσύνης. Νὰ μὴ ἀμφιβάλλεις, ὅτι θὰ ἀποκομίσεις κάποια ὠφέλεια. Δὲν ἀναφωνεῖ ἄσκοπα ὁ διάκονος, «Ὑπὲρ ἐκείνων ποὺ ἔχουν κοιμηθεῖ ἐν Χριστῷ, καὶ ὑπὲρ ἐκείνων ποὺ κάνουν τὸ μνημόσυνο γι' αὐτούς»· δὲν εἶναι ὁ διάκονος ἐκεῖνος, ποὺ ἀναφωνεῖ αὐτά, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιο· αὐτὸ δὲ ἐγὼ τὸ λέγω χάρισμα. Τί λέγεις; Στὰ χέρια του εἶναι ἡ θυσία καὶ ὅλα βρίσκονται ἐνώπιόν του τακτοποιημένα· παραβρίσκονται ἄγγελοι, ἀρχάγγελοι, παραβρίσκεται ὁ Υἱὸς τοῦ Θεοῦ· μὲ τόση φρίκη στέκονται ὅλοι· παραστέκονται ἐκεῖνοι ψάλλοντας, ἐνῶ ὅλοι σιγοῦν, καὶ νομίζεις ὅτι τυχαῖα γίνονται ὅλα τὰ τελούμενα; Λοιπὸν καὶ τὰ ἄλλα γίνονται τυχαῖα καὶ τὰ ὑπὲρ τῆς ἐκκλησίας, καὶ τὰ ὑπὲρ τῶν ἱερέων προσφερόμενα, καὶ τὰ ὑπὲρ τοῦ πληρώματος τῆς ἐκκλησίας; μακριὰ μιὰ τέτοια σκέψη, ἀλλ' ὅλα γίνονται μὲ πίστη.

Τί νομίζεις ὅτι εἶναι ἡ ὑπὲρ τῶν μαρτύρων προσφορά, ἡ ἐπίκλησή τους κατὰ τὴν ὥρα ἐκείνη; Καὶ ἂν εἶναι μάρτυρες, καὶ ἂν εἶναι ὑπὲρ τῶν μαρτύρων, εἶναι μεγάλη τιμὴ νὰ κληθοῦν ὀνομαστικά, ὅταν ὁ Κύριος εἶναι παρών, καὶ ἐπιτελεῖται ὁ θάνατος Ἐκείνου, ὅταν τελεῖται ἡ φρικτὴ θυσία, ὅταν τελοῦνται τὰ ἀνέκφραστα μυστήρια. Διότι, ὅπως ὅταν κάθεται ὁ βασιλιάς, ὅσα θέλει κανένας, τὰ ἐπιτελεῖ, ὅταν δὲ σηκωθεῖ, ὅσα καὶ ἂν λέγει, ἄσκοπα τὰ λέγει, ἔτσι καὶ τότε, ἐν ὅσῳ τελοῦνται τὰ μυστήρια, εἶναι μεγίστη τιμὴ γιὰ ὅλους νὰ ἀξιωθοῦν νὰ μνημονευθοῦν.

μεγίστη τὸ μνήμης ἀξιοῦσθαι. Ὅρα γάρ. Καταγγέλλεται τότε τὸ μυστήριον τὸ φρικτόν, ὅτι ὑπὲρ τῆς οἰκουμένης ἔδωκεν ἑαυτὸν ὁ Θεός· μετὰ τοῦ θαύματος ἐκείνου εὐκαίρως ὑπομιμνήσκει αὐτὸν τῶν ἡμαρτηκότων. Καθάπερ γάρ, ὅταν ἐπινίκια τῶν βασιλέων ἄγηται, τότε εὐφημοῦνται μὲν καὶ ὅσοι τῆς νίκης ἐκοινώνησαν, ἀφίενται δὲ καὶ ὅσοι ἐν δεσμοῖς εἰσι διὰ τὸν καιρόν, παρελθόντος δὲ τοῦ καιροῦ, ὁ μὴ τυχὼν οὐκ ἔτι τινὸς ἀπολαύει, οὕτω δὴ καὶ ἐνταῦθα, τῶν ἐπινικίων οὗτος ὁ καιρός· «ὁσάκις γὰρ ἂν», φησίν, «ἐσθίητε τὸν ἄρτον τοῦτον, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε». Μὴ δὴ ἁπλῶς προσίωμεν, μηδὲ ὡς ἔτυχε ταῦτα γίνεσθαι νομίζωμεν. Ἄλλως δὲ μαρτύρων μεμνήμεθα, καὶ τοῦτο εἰς πίστιν, ὅτι οὐ τέθνηκεν ὁ Κύριος· καὶ τοῦτο τοῦ τεθανατῶσθαι τὸν θάνατον σημεῖον, τοῦ νεκρὸν αὐτὸν γεγενῆσθαι.

Ταῦτα εἰδότες, ἐπινοῶμεν ὅσας δυνάμεθα παραμυθίας τοῖς ἀπελθοῦσιν, ἀντὶ δακρύων, ἀντὶ θρήνων, ἀντὶ μνημείων τὰς ἐλεημοσύνας, τὰς εὐχάς, τὰς προσφοράς, ἵνα κἀκεῖνοι καὶ ἡμεῖς τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς Υἱοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

17. Α' Κορινθ. 11, 26.

Διότι πρόσεχε. Ἀναγγέλλεται τότε τὸ φρικτὸ Μυστήριο, ὅτι ὁ Θεὸς ἔδωσε τὸν Ἑαυτό του γιὰ τὴν σωτηρία τῆς οἰκουμένης· μὲ τὸ θαῦμα ἐκεῖνο εὐκαιριακὰ μνημονεύει σ' αὐτὸν καὶ ἐκείνους ποὺ ἔχουν ἁμαρτήσει. Διότι, ὅπως ὅταν ἑορτάζονται τὰ ἐπινίκια τῶν βασιλέων, τότε ἐπευφημοῦνται μὲν καὶ ὅσοι συμμετεῖχαν στὴ νίκη, μὲ τὴν εὐκαιρία δὲ αὐτὴ ἀποφυλακίζονται καὶ ὅσοι βρίσκονται στὴ φυλακή, ὅταν περάσει ἡ εὐκαιρία, ἐκεῖνος ποὺ δὲν ἐπωφελήθηκε ἀπ' αὐτὴν τὴν εὐκαιρία δὲν ἐπωφελεῖται πλέον τίποτε, ἔτσι λοιπὸν καὶ ἐδῶ, αὐτὸς ὁ καιρός, εἶναι καιρὸς τῶν ἐπινικίων. Διότι λέγει· «Κάθε φορὰ ποὺ θὰ τρώγετε τὸν ἄρτο αὐτό, τὸ θάνατο τοῦ Κυρίου ὁμολογεῖτε»[17]. Ἂς μὴ προσερχόμαστε λοιπὸν τυπικά, οὔτε νὰ νομίζουμε ὅτι αὐτὰ τελοῦνται τυχαῖα. Ἄλλωστε δὲ ἐνθυμούμαστε τοὺς μάρτυρες, καὶ πιστεύομεν αὐτό, ὅτι δὲν πέθανε ὁ Κύριος· καὶ αὐτὸ εἶναι ἀπόδειξη ὅτι ὁ θάνατος ἔχει καταπατηθεῖ, ὅτι ὁ ἴδιος ἔγινε νεκρός.

Γνωρίζοντας αὐτά, ἂς ἐπινοοῦμε ὅσες μποροῦμε παρηγορίες γι' αὐτοὺς ποὺ πέθαναν, ἀντὶ γιὰ δάκρυα, γιὰ θρήνους καὶ γιὰ μνημεῖα, τὶς ἐλεημοσύνες, τὶς εὐχές, τὶς προσφορές, γιὰ νὰ ἐπιτύχουμε καὶ ἐκεῖνοι καὶ ἐμεῖς τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθεῖ, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ μονογενῆ Υἱοῦ, μαζὶ μὲ τὸ ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΒ

(ΠράΞ. 10, 1-23)

«Ἀνὴρ δέ τις ἦν ἐν Καισαρείᾳ, ὀνόματι Κορνήλιος, ἑκατοντάρχης, ἐκ σπείρας τῆς καλουμένης Ἰταλικῆς, εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν ἐλεημοσύνας πολλὰς τῷ λαῷ, καὶ δεόμενος τοῦ Θεοῦ διὰ παντός· εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥρᾳ ἐνάτῃ τῆς ἡμέρας, ἄγγελον Θεοῦ εἰσελθόντα πρὸς αὐτόν, καὶ εἰπόντα αὐτῷ· Κορνήλιε. Ὁ δὲ ἀτενίσας αὐτῷ, καὶ ἔμφοβος γενόμενος, εἶπε· Τί ἐστι, Κύριε; Εἶπε δὲ αὐτῷ· Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ».

1. Οὗτος οὐκ ἔστιν Ἰουδαῖος, οὐδὲ ζῶν κατὰ τὸν νόμον, ἀλλ' ἤδη προειλήφει τὴν ἡμετέραν πολιτείαν. Καὶ ὅρα δύο πιστεύοντας τέως, τόν τε εὐνοῦχον τὸν ἀπὸ τῆς Γάζης, καὶ τοῦτον, ἐν ἀξιώμασιν ὄντας ἀμφοτέρους, καὶ πολλὴν ὑπὲρ τούτων γινομένην σπουδήν· ἀλλὰ μὴ νομίσῃς ὅτι διὰ τὰ ἀξιώματα. Οὐ διὰ ταῦτα, μὴ γένοιτο! ἀλλὰ διὰ τὴν εὐλάβειαν. Διὰ γοῦν τοῦτο καὶ τὰ ἀξιώματα τέθειται, ἵνα μείζων ἡ εὐλάβεια δειχθῇ. Θαυμαστότερον καὶ γάρ, ὅταν, ἐν πλούτῳ καὶ δυναστείᾳ τις ὤν, τοιοῦτος ᾖ. Ἀλλὰ μέγα ἐκείνου ἐγκώμιον τὸ τοσαύτην ἀποδημίαν στέλλεσθαι, καὶ τό, μηδὲ καιροῦ τοιούτου ὄντος, ἐν ὁδῷ ἀναγινώσκειν, καὶ τὸ ἐπὶ ὀχήματος φε-

1. Δηλαδὴ τὴν τρίτη ἀπογευματινή.

Ο Μ Ι Λ Ι Α ΚΒ΄
(Πράξ. 10, 1 - 23)

«Στὴν Καισάρεια ὑπῆρχε κάποιος ἄνθρωπος ὀνομαζόμενος Κορνήλιος, ἑκατόνταρχος, ἀπὸ τὴ στρατιωτικὴ μονάδα ποὺ λεγόταν σπεῖρα Ἰταλική. Ἦταν εὐσεβὴς καὶ θεοφοβούμενος μαζὶ μὲ ὅλη τὴν οἰκογένειά του· ἔκανε πολλὲς ἐλεημοσύνες στὸ Θεὸ καὶ παρακαλοῦσε πάντοτε τὸ Θεό· εἶδε καθαρὰ σ' ἕνα ὅραμα κατὰ τὴν ἔνατη ὥρα[1] ἄγγελο τοῦ Θεοῦ νὰ ἔρχεται πρὸς αὐτὸν καὶ νὰ τοῦ λέγει· Κορνήλιε· Αὐτός, ἀφοῦ προσήλωσε τὸ βλέμμα του σ' αὐτόν, καὶ κυριεύθηκε ἀπὸ φόβο, εἶπε· Τί εἶναι Κύριε; Ὁ δὲ ἄγγελος τοῦ εἶπε· Οἱ προσευχές σου καὶ οἱ ἐλεημοσύνες σου ἀνέβηκαν στὸν οὐρανὸ πρὸς τὸ Θεό, γιὰ νὰ σὲ θυμηθεῖ».

1. Αὐτὸς δὲν εἶναι Ἰουδαῖος, οὔτε ζεῖ σύμφωνα μὲ τὸ Μωϋσακὸ νόμο, ἀλλ' ἤδη εἶχε ἀκολουθήσει ἀπὸ πρὶν τὸν τρόπο τῆς χριστιανικῆς ζωῆς. Καὶ βλέπε ὅτι δύο πιστεύουν ἀρχικά· καὶ ὁ εὐνοῦχος ἀπὸ τὴ Γάζα, καὶ αὐτός, καὶ οἱ δύο δὲ ἦταν ἀξιωματοῦχοι, καὶ ὅτι λαμβάνεται μεγάλη φροντίδα γι' αὐτούς. Ἀλλὰ μὴ νομίσεις, ὅτι αὐτὸ γίνεται ἐξ αἰτίας τῶν ἀξιωμάτων τους. Ὄχι γι' αὐτά· μακριὰ μιὰ τέτοια σκέψη! ἀλλ' ἐξ αἰτίας τῆς εὐλάβειάς τους. Γι' αὐτὸ λοιπὸν ἔχουν τεθεῖ καὶ τὰ ἀξιώματα, γιὰ νὰ δειχθεῖ μεγαλύτερη ἡ εὐλάβεια. Καθόσον περισσότερο ἄξιο θαυμασμοῦ εἶναι ὅταν κάποιος εἶναι ἐνάρετος, ἐνῶ ἔχει πλοῦτο καὶ ἐξουσία. Ἀλλὰ μεγάλο ἐγκώμιο γιὰ τὸν εὐνοῦχο εἶναι τὸ ὅτι ἔκανε τόσο μακρινὴ ἀποδημία, καὶ τὸ ὅτι, ἐνῶ δὲν ὑπῆρχε κατάλληλη εὐκαιρία, μελετοῦσε καθ' ὁδό, καὶ τὸ ὅτι,

ρόμενον τὸν Φίλιππον παρακαλεῖν, καὶ μυρία ἕτερα· μέγα καὶ τούτου, τὸ ἐλεημοσύνας ποιεῖν καὶ εὐχάς, καὶ εὐσεβῆ εἶναι ἐν ἀρχῇ τοιαύτῃ. Διὸ καὶ ἀπὸ ταύτης τὸν ἄνδρα ποιεῖ γνώριμον· εἰκότως, ἵνα μή τις εἴπῃ ὅτι ψεύδεται τῶν Γραφῶν ἡ ἱστορία.

«Ἐκ σπείρας», φησί, «τῆς καλουμένης Ἰταλικῆς», (σπεῖρά ἐστιν, ὃ καλοῦμεν νυνὶ 'νούμερον'), «εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ». Ταῦτα λέγει, ἵνα μὴ νομίσῃς, ὅτι διὰ τὸ ἀξίωμα τὰ κατ' αὐτὸν οὕτως οἰκονομεῖται. Ὅτε οὖν Παῦλον προσαχθῆναι ἔδει, οὐδαμοῦ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος φαίνεται, οὐδὲ πέμπει αὐτὸν πρὸς ἕνα τινὰ τῶν δώδεκα, ἀλλὰ πρὸς Ἀνανίαν· ἐνταῦθα δὲ τοὐναντίον, τὸν κορυφαῖον ἄγει, ὡς Φίλιππον πρὸς τὸν εὐνοῦχον, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, καὶ διδάσκων πῶς κεχρῆσθαι δεῖ τοῖς τοιούτοις· ἐπεὶ καὶ ὁ Χριστὸς αὐτὸς ἀπιὼν φαίνεται πολλάκις πρὸς τοὺς κακῶς πάσχοντας, καὶ δι' ἑαυτῶν προσιέναι μὴ δυναμένους. Θέα δέ μοι κἀνταῦθα πάλιν ἐλεημοσύνης ἄλλο ἐγκώμιον, ὥσπερ ἐκεῖ διὰ τῆς Ταβιθᾶς. «Ἀνήρ», φησίν, «εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ». Ἀκούσωμεν, ὅσοι τῶν οἰκείων ἀμελοῦμεν. Οὗτος δὲ καὶ στρατιωτῶν ἐπεμελεῖτο, ποιῶν τε ἐλεημοσύνας παντὶ τῷ λαῷ· οὕτω καὶ τὰ δόγματα καὶ ὁ βίος αὐτῷ διώρθωτο. «Εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥρᾳ ἐνάτῃ τῆς ἡμέρας, ἄγγελον Θεοῦ εἰσελθόντα πρὸς αὐτόν, καὶ εἰπόντα αὐτῷ· Κορνήλιε». Διὰ τί βλέπει τὸν ἄγγελον; Καὶ τοῦτο εἰς πληροφοαρίαν Πέτρου· μᾶλλον δὲ οὐκ ἐκείνου, ἀλλὰ

---

2. Στρατιωτική μονάδα μὲ αὐξομειούμενη δύναμη κατὰ καιρούς. Ἀρχικὰ ἦταν μονάδα πεζικοῦ, δυνάμεως 666 ἀνδρῶν, ἀργότερα 500—300 ἀνδρῶν, καὶ τέλος 256 ἀνδρῶν, ἀπ' τοὺς ὁποίους τὰ 2/3 ἦταν λογχοφόροι. Στὴν Κωνσταντινούπολη «Νούμερα» λέγονταν στρατιῶτες τῆς βασιλικῆς φρουρᾶς, ὁ ἀρχηγὸς τῶν ὁποίων λεγόταν «Δομέστιχος τῶν Νουμέρων».

ἐνῶ φερόταν ἐπάνω σὲ ἅμαξα, παρακαλοῦσε τὸν Φίλιππο, καὶ πολλὰ ἄλλα· μεγάλο ἐγκώμιο καὶ γιὰ τὸν Κορνήλιο, τὸ νὰ κάνει ἐλεημοσύνες καὶ προσευχὲς καὶ τὸ νὰ εἶναι εὐσεβής, ἂν καὶ εἶχε ἕνα τέτοιο ἀξίωμα. Γι' αὐτὸ καὶ ἀπὸ τὸ ἀξίωμα αὐτὸ κάνει τὸν ἄνδρα γνωστό· καὶ δικαιολογημένα, γιὰ νὰ μὴ πεῖ κάποιος, ὅτι ψεύδεται ἡ ἱστορία τῶν Γραφῶν.

«Ἀπὸ τὸ τάγμα», λέγει, «ποὺ λεγόταν σπεῖρα Ἰταλική», (*σπεῖρα εἶναι, αὐτὸ ποὺ σήμερα ὀνομάζουμε 'νούμερο'*[2])· «Αὐτὸς ἦταν εὐσεβὴς καὶ φοβοῦνταν τὸ Θεό, μαζὶ μὲ ὅλη τὴν οἰκογένειά του». Αὐτὰ τὰ λέγει, γιὰ νὰ μὴ νομίσεις, ὅτι λόγω τοῦ ἀξιώματός του διευθετοῦνται τὰ σχετικὰ μὲ αὐτὸν κατ' αὐτὸν τὸν τρόπο. Ὅταν λοιπὸν ἔπρεπε νὰ προσέλθει ὁ Παῦλος στὴ χριστιανικὴ πίστη, πουθενὰ δὲν παρουσιάσθηκε ἄγγελος, ἀλλ' ὁ ἴδιος ὁ Κύριος ἐμφανίζεται· οὔτε στέλλει αὐτὸν πρὸς ἕνα ἀπὸ τοὺς Δώδεκα Ἀποστόλους, ἀλλὰ πρὸς τὸν Ἀνανία, ἐδῶ ὅμως συμβαίνει τὸ ἀντίθετο, ὁδηγεῖ τὸν κορυφαῖο πρὸς αὐτόν, ὅπως τὸν Φίλιππο πρὸς τὸν εὐνοῦχο, δείχνοντας συγκατάβαση πρὸς τὴν ἀδυναμία τους, καὶ διδάσκοντας πῶς πρέπει κανένας νὰ μεταχειρίζεται αὐτοὺς τοὺς ἀνθρώπους· ἀφοῦ καὶ ὁ Χριστὸς ὁ ἴδιος πολλὲς φορὲς φαίνεται ὅτι πηγαίνει πρὸς ἐκείνους ποὺ ἔπασχαν ἀπὸ κακὰ καὶ δὲν μποροῦσαν μόνοι τους νὰ προσέλθουν σ' αὐτόν. Πρόσεχε δέ, παρακαλῶ, καὶ ἐδῶ πάλι ἄλλο ἐγκώμιο γιὰ τὴν ἐλεημοσύνη, ὅπως ἐκεῖ στὴν περίπτωση τῆς Ταβιθᾶς. «Κάποιος ἄνθρωπος», λέγει, «ποὺ ἦταν εὐσεβὴς καὶ φοβούμενος τὸ Θεό, μαζὶ μὲ ὅλη τὴν οἰκογένειά του». Ἂς ἀκούσουμε αὐτό, ὅσοι παραμελοῦμε τοὺς οἰκείους. Αὐτὸς φρόντιζε καὶ γιὰ τοὺς στρατιῶτες, κάμνοντας πολλὲς ἐλεημοσύνες στὸ λαό· ἔτσι καὶ τὰ δόγματα καὶ ἡ ζωή του εἶχαν διορθωθεῖ. «Αὐτὸς εἶδε καθαρὰ σὲ ὅραμα, περίπου τὴν ἔνατη ὥρα τῆς ἡμέρας, ἕναν ἄγγελο τοῦ Θεοῦ νὰ ἔρχεται πρὸς αὐτὸν καὶ νὰ τοῦ λένει· Κορνήλιε». Γιατί βλέπει τὸν ἄγγελο; Καὶ αὐτὸ γίνεται γιὰ τὴν πληροφόρηση τοῦ Πέτρου· μᾶλλον δὲ ὄχι ἐκείνου, ἀλλὰ τῶν ἄλλων

τῶν ἄλλων τῶν ἀσθενεστέρων. «Ἐνάτη δὲ ὥρᾳ», ὅτε φροντίδων ἠφίετο, καὶ ἐν ἡσυχίᾳ ἦν, ὅτε ἐν εὐχαῖς καὶ ἐν κατανύξει.

«Ἀτενίσας δὲ αὐτῷ καὶ ἔμφοβος γενόμενος, εἶπεν». Ὅρα τὸν Ἄγγελον οὐκ εὐθέως λέγοντα, ἃ λέγει, ἀλλὰ πρότερον λύοντα τὸν φόβον, καὶ τὴν διάνοιαν αὐτοῦ μετεωρίζοντα· καὶ γὰρ ἀπὸ τῆς ὄψεως φόβος ἐγένετο, ἀλλὰ φόβος σύμμετρος, ὅσον ἐπιστρέψαι μόνον. Εἶτα τὰ ῥήματα τὸν φόβον ἔλυσε, μᾶλλον δὲ ὁ δι' αὐτῶν ἔπαινος τὸ τοῦ φόβου τραχὺ κατελέανεν. Ἄκουε δὲ καὶ οἷα τὰ ῥήματα· «Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. Νῦν οὖν πέμψον εἰς Ἰόππην ἄνδρας, καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος». Ἵνα μὴ ἐπ' ἄλλον ἔλθωσιν, οὐκ ἀπὸ τοῦ ἐπωνύμου μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ τόπου δηλοῖ τὸν ἄνδρα. «Καὶ αὐτός ἐστι ξενιζόμενος πρὸς Σίμωνά τινα βυρσέα, ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν». Εἶδες πῶς τὰ ἀνακεχωρημένα τῶν πόλεων ἐδίωκον οἱ Ἀπόστολοι, ἐρημίας ὄντες φίλοι καὶ ἡσυχίας; Τί οὖν, εἰ συνέβη καὶ ἄλλον εἶναι Σίμωνα καὶ βυρσέα; Ἀλλ' εἶχε καὶ ἄλλο σημεῖον, τὸ παρὰ θάλασσαν οἰκεῖν. Τὰ τρία οὐκ ἦν δυνατὸν συμπεσεῖν. Καὶ εἶπε, διὰ τί, ἵνα μὴ ἐκλύσῃ αὐτόν, ἀλλὰ ἀφῆκεν, ὥστε ἐν ἐπιθυμίᾳ καὶ πόθῳ τῆς ἀκροάσεως γενέσθαι. «Ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος, ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ, καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ, καὶ ἐξηγησάμενος αὐτοῖς πάντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην». Ὁρᾷς ὅτι οὐχ ἁπλῶς ταῦτα λέγει, ἀλλ' ὅτι καὶ οἱ προσκαρτεροῦντες αὐτῷ τοιοῦτοι ἦσαν ἵνα δεί-

τῶν ἀσθενεστέρων. «Ἐνάτη δὲ ὥρα», ὅταν εἶχεν ἀφήσει τὶς φροντίδες καὶ ἡσύχαζε, ὅταν προσευχόταν καὶ βρισκόταν σὲ κατάνυξη.

«Αὐτὸς δὲ ἀφοῦ προσήλωσε τὰ μάτια του σ' αὐτόν, κυριεύθηκε ὁλόκληρος ἀπὸ φόβο καὶ εἶπε». Πρόσεχε ὅτι ὁ ἄγγελος δὲν λέγει ἀμέσως ἐκεῖνα, τὰ ὁποῖα λέγει, ἀλλὰ προηγουμένως διαλύει τὸ φόβο καὶ στρέφει τὸ νοῦ του πρὸς τοὺς οὐρανούς. Διότι καὶ ἀπὸ τὴν ἐμφάνιση προκλήθηκε φόβος, ἀλλὰ φόβος μέτριος, τόσος μόνο, ὅσος ἦταν ἀπαραίτητος γιὰ νὰ προσελκύσει τὴν προσοχή του. Μετὰ οἱ λόγοι τοῦ ἀγγέλου διέλυσαν τὸ φόβο, μᾶλλον δὲ ὁ ἔπαινος, ποὺ ἐκφράσθηκε μὲ αὐτὰ τὰ λόγια, καταπράϋνε τὸ τρομακτικὸ τοῦ φόβου. Ἄκουε δὲ καὶ ποιοὶ εἶναι οἱ λόγοι· «Οἱ προσευχές σου καὶ οἱ ἐλεημοσύνες σου ἀνέβηκαν στὸν οὐρανὸ γιὰ νὰ σὲ θυμηθεῖ ὁ Θεός. Καὶ τώρα λοιπὸν στεῖλε στὴν Ἰόππη ἄνδρες, καὶ κάλεσε κάποιο Σίμωνα, ποὺ ὀνομάζεται Πέτρος». Γιὰ νὰ μὴ ἔλθουν πρὸς ἄλλον, ὄχι μόνο ἀπὸ τὸ ἐπώνυμο, ἀλλὰ καὶ ἀπὸ τὸν τόπο φανερώνει τὸν ἄνδρα. «Καὶ αὐτὸς φιλοξενεῖται ἀπὸ κάποιον Σίμωνα βυρσοδέψη, τοῦ ὁποίου τὸ σπίτι εἶναι κοντὰ στὴ θάλασσα». Εἶδες πῶς οἱ Ἀπόστολοι ἐπεδίωκαν τὰ ἀπομακρυσμένα σημεῖα τῶν πόλεων, ἐφ' ὅσον ἦταν φίλοι τῆς ἐρημίας καὶ τῆς ἡσυχίας; Τί λοιπὸν θὰ γινόταν, ἂν συνέβαινε νὰ ὑπῆρχε καὶ ἄλλος Σίμωνας καὶ μάλιστα βυρσοδέψης; Ἀλλὰ εἶχε καὶ ἄλλο σημάδι διαφορᾶς, ὅτι ἐκεῖνος διέμενε κοντὰ στὴ θάλασσα. Δὲν ἦταν δυνατὸ καὶ τὰ τρία νὰ συμπέσουν. Καὶ δὲν τοῦ εἶπε, γιὰ ποιὸ λόγο, γιὰ νὰ μὴ τὸν κάνει καὶ χαλαρώσει, ἀλλὰ τὸν ἄφησε νὰ καταληφθεῖ ἀπὸ ἐπιθυμία καὶ πόθο νὰ ἀκούσει τὸν Πέτρο. «Ὅταν δὲ ἔφυγε ὁ ἄγγελος, ποὺ μιλοῦσε πρὸς τὸν Κορνήλιο, αὐτὸς κάλεσε δυὸ ἀπὸ τοὺς ὑπηρέτες του, καὶ ἕνα στρατιώτη εὐσεβὴ ἀπ' αὐτοὺς ποὺ ὑπηρετοῦσαν σ' αὐτόν, καὶ ἀφοῦ τοὺς τὰ ἐξήγησε ὅλα, τοὺς ἀπέστειλε στὴν Ἰόππη». Βλέπεις ὅτι δὲν λέγει αὐτὰ ἁπλῶς, ἀλλὰ γιὰ νὰ δείξει, ὅτι καὶ ἐκεῖνοι, ποὺ τὸν ὑπηρετοῦσαν, ἦταν σὰν αὐτόν; «Καὶ ἀφοῦ τοὺς τὰ ἐξη-

ξη; «Καὶ ἐξηγησάμενος αὐτοῖς πάντα», φησίν. Ὅρα τὸ ἄτυφον. Οὐκ εἶπε, 'Καλέσατέ μοι Πέτρον', ἀλλ' ὥστε καὶ πεῖσαι, ἐξηγήσατο ἅπαντα· οὕτως οἰκονομίας ἦν· οὐ γὰρ ἠξίου ἀπὸ τοῦ ἀξιώματος αὐτὸν μεταπέμψασθαι, διὰ τοῦτο ἐξηγεῖται λοιπόν. Τοσοῦτον ἦν μέτριος ἀνήρ, καίτοι οὐδὲν μέγα ἦν φαντασθῆναι περὶ ἀνδρός, καταγομένου παρὰ βυρσεῖ.

«Τῇ δὲ ἐπαύριον, ὁδοιπορούντων ἐκείνων καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην». Ὅρα πῶς τοὺς καιροὺς συνάγει τὸ Πνεῦμα, καὶ οὔτε θᾶττον, οὔτε βραδύτερον ποιεῖ τοῦτο γενέσθαι. «Ἀνέβη», φησίν, «ὁ Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην»· τουτέστι, κατ' ἰδίαν, καὶ ἐν ἡσυχίᾳ, ὡς ἂν ἐν ὑπερῴῳ. «Ἐγένετο δὲ πρόσπεινος, καὶ ἤθελε γεύσασθαι. Παρασκευαζόντων δὲ ἐκείνων, ἐπέπεσεν ἐπ' αὐτὸν ἔκστασις, καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον». Τί ἐστιν ἔκστασις; Πνευματική, φησί, θεωρία γέγονεν αὐτῷ· τοῦ σώματος, ὡς ἂν εἴποι τις, ἐξέστη ἡ ψυχή. «Καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον ἐπ' αὐτὸν σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδεμένον καὶ καθιέμενον ἐπὶ τῆς γῆς, ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία καὶ τὰ ἑρπετά, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ. Καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· Ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε. Ὁ δὲ Πέτρος εἶπε· Μηδαμῶς, Κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον. Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς· καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν».

2. Τί ποτε τοῦτό ἐστι; Σύμβολον τῆς οἰκουμένης ἁπάσης τὸ πρᾶγμα γίνεται. Ὁ ἄνθρωπος ἀκρόβυστος ἦν καὶ οὐδὲν

γησε ὅλα», λέγει. Πρόσεχε τὴν ταπεινοφροσύνη του. Δὲν εἶπε, 'καλέσατέ μου τὸν Πέτρο', ἀλλὰ τοὺς ἐξήγησε τὰ πάντα, ὥστε νὰ τοὺς πείσει· τόσο καλὰ τακτοποίησε τὰ πράγματα· διότι δὲν εἶχε τὴν ἀξίωση, λόγω τοῦ ἀξιώματός του, νὰ στείλει καὶ νὰ καλέσει αὐτόν· γι' αὐτὸ καὶ τοὺς τὰ διηγεῖται στὴ συνέχεια. Τόσο μετριόφρων ἦταν ὁ ἄνθρωπος, ἂν καὶ βέβαια ἦταν δυνατὸ νὰ μὴ σχηματίσει μεγάλη ἰδέα γι' ἄνδρα ποὺ διέμεινε στὴν οἰκία βυρσοδέψη.

«Τὴν ἐπόμενη ἡμέρα, ἐνῶ ἐκεῖνοι βάδιζαν καὶ πλησίαζαν τὴν πόλη, ἀνέβηκε ὁ Πέτρος στὸ ἀνώγειο γιὰ νὰ προσευχηθεῖ κατὰ τὶς δώδεκα ἡ ὥρα». Πρόσεχε πῶς τὸ Πνεῦμα συνδυάζει τὶς περιστάσεις, καὶ συντελεῖ νὰ γίνεται τὸ ἔργο αὐτό, οὔτε ἐνωρίτερα, οὔτε ἀργότερα. «Ἀνέβηκε», λέγει, «ὁ Πέτρος στὸ ἀνώγειο γιὰ νὰ προσευχηθεῖ κατὰ τὶς δώδεκα ἡ ὥρα»· δηλαδὴ μόνος του καὶ μὲ ἡσυχία, ὅπως στὸ ὑπερῷο. «Ἐπείνασε δὲ πολὺ καὶ ἤθελε νὰ φάγει κάτι. Ἐνῶ δὲ ἐκεῖνοι τοῦ προετοίμαζαν φαγητό, αὐτὸς περιέπεσε σὲ ἔκταση, καὶ βλέπει τὸν οὐρανὸ νὰ εἶναι ἀνοιγμένος». Τί εἶναι ἔκσταση; Πνευματικὴ ὀπτασία, λέγει, ἔγινε σ' αὐτόν· θὰ μποροῦσε νὰ πεῖ κάποιος, ὅτι ἡ ψυχή του ἀπέβαλε τὶς αἰσθήσεις της. «Καὶ βλέπει τὸν οὐρανὸ νὰ εἶναι ἀνοιγμένος καὶ νὰ κατεβαίνει πρὸς αὐτὸν ἕνα ἀγγεῖο, σὰν μεγάλο σεντόνι, ποὺ ἦταν δεμένο ἀπὸ τὰ τέσσερα ἄκρα καὶ ἔπεφτε πρὸς τὴ γῆ, μέσα στὸ ὁποῖο ὑπῆρχαν ὅλα τὰ τετράποδα ζῶα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετά, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ. Καὶ μιὰ φωνὴ τοῦ εἶπε· Πέτρε, σήκω καὶ σφάξε ἀπὸ τὰ ζῶα αὐτὰ καὶ φάγε· ὁ δὲ Πέτρος εἶπε· μὲ κανένα τρόπο, Κύριε, διότι ποτὲ μέχρι τώρα δὲν ἔφαγα ὁποιοδήποτε ζῶο, ποὺ νὰ θεωρεῖται μολυσμένο ἢ ἀκάθαρτο. Καὶ ἀκούσθηκε πάλι γιὰ δεύτερη φορὰ φωνὴ πρὸς αὐτόν· αὐτὰ ποὺ ὁ Θεὸς τὰ ἔχει κάνει καθαρά, σὺ μὴ τὰ θεωρεῖς ἀκάθαρτα. Αὐτὸ δὲ ἔγινε τρεῖς φορές· καὶ πάλι ἀνυψώθηκε στὸν οὐρανὸ τὸ ἀγγεῖο».

2. Τί τέλος πάντων σημαίνει αὐτό; τὸ ὅραμα αὐτὸ εἶναι σύμβολο ὅλης τῆς οἰκουμένης. Ὁ ἄνθρωπος ἦταν

κοινὸν εἶχε πρὸς Ἰουδαίους· ἐπεὶ οὖν ἔμελλον αὐτοῦ κατηγορεῖν ἅπαντες ὡς παραβάτου, καὶ τοῦτο πάνυ αὐτοῖς προσίστατο, ἀναγκαίως οἰκονομεῖται εἰπεῖν, «Οὐδέποτε ἔφαγον», οὐχὶ αὐτὸς δεδοικώς, μὴ γένοιτο! ἀλλ' ὑπὸ τοῦ Πνεύματος, ὡς ἔφην, οἰκονομούμενος, ἵν' ἔχῃ ἀπολογίαν πρὸς τοὺς ἐγκαλοῦντας ὅτι καὶ ἀντεῖπε· πάνυ γὰρ αὐτοῖς ἔμελε τοῦ τὸν νόμον φυλάττεσθαι. Εἰς ἔθνη ἐπέμπετο. Ἵνα οὖν μὴ καὶ οὗτοι αὐτοῦ κατηγορῶσιν, ὡς ἔφθην εἰπών, ταῦτα οἰκονομεῖται, ἤ, καὶ ἵνα μὴ δόξῃ φαντασία τις εἶναι, εἶπε· «Μηδαμῶς, Κύριε, ὅτι οὐδέποτε ἔφαγον κοινὸν ἢ ἀκάθαρτον». Ἐγένετο δὲ φωνὴ πρὸς αὐτόν· Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου». Τοῦτο δοκεῖ μὲν πρὸς αὐτὸν λέγεσθαι, τὸ δὲ πᾶν πρὸς Ἰουδαίους λέγεται· εἰ γὰρ ὁ διδάσκαλος ἐπιτιμᾶται, πολλῷ μᾶλλον οὗτοι. Ἡ οὖν σινδών, τοῦτό ἐστιν ἡ γῆ· τὰ δὲ ἐν αὐτῇ θηρία, οἱ ἐξ ἐθνῶν· τὸ δὲ «θῦσον καὶ φάγε», ὅτι κἀκείνοις δεῖ προσιέναι· τὸ δὲ τρίτον τοῦτο γενέσθαι, τὸ βάπτισμα δηλοῖ.

«Μηδαμῶς, Κύριε, οὐδέποτε ἔφαγον κοινὸν ἢ ἀκάθαρτον». Καὶ διὰ τί, φησίν, ἀντεῖπεν; Ἵνα μή τις εἴπῃ ὅτι ἐπείραζεν ὁ Θεὸς αὐτόν, ὥσπερ ἐπὶ τοῦ Ἀβραάμ, ὅτε ἐκελεύετο τὸν υἱὸν θυσίαν ἀνενεγκεῖν, ὡς ἐπὶ τοῦ Φιλίππου, ὅτε, «πόσους ἄρτους ἔχετε», ὑπὸ τοῦ Χριστοῦ ἠρωτήθη, οὐχ ἵνα μάθῃ, ἀλλὰ πειράζων αὐτόν. Καὶ μὴν ἐν τῷ νόμῳ περὶ καθαρῶν καὶ ἀκαθάρτων διεστείλατο Μωϋσῆς τῶν τε ἐν γῇ τῶν τε ἐν θαλάσσῃ, καὶ ὅμως οὐδὲ οὕτως ᾔδει. «Ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ Πέτρος, τί ἂν εἴη τὸ ὅραμα, ὃ εἶδε, καὶ

---

3. Ματθ. 15, 34. Μάρκ. 8, 38 καὶ Ἰωάν. 6, 5-6.

ἀπερίτμητος καὶ δὲν εἶχε κανένα κοινὸ μὲ τοὺς Ἰουδαίους. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο ὅλοι νὰ τὸν κατηγορήσουν σὰν παραβάτη, καὶ αὐτὸ ἦταν γι' αὐτοὺς πολὺ προσβλητικό, ἀναγκάζεται νὰ πεῖ, «οὐδέποτε ἔφαγα», ὄχι διότι ὁ ἴδιος φοβόταν, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλ' ὅπως εἶπα, ἐπειδὴ καθοδηγοῦνταν ἀπὸ τὸ Πνεῦμα, γιὰ νὰ ἔχει νὰ ἀπολογηθεῖ σ' ἐκείνους, ποὺ θὰ τὸν κατηγοροῦσαν ὅτι εἶχε ἀντιρρήσεις· διότι οἱ μαθητὲς πάρα πολὺ φρόντιζαν γιὰ τὴν τήρηση τοῦ νόμου. Στὰ ἔθνη στελλόταν ὁ Πέτρος. Γιὰ νὰ μὴ τὸν κατηγοροῦν λοιπὸν καὶ αὐτοί, ὅπως εἶπα προηγουμένως, ρυθμίζονται αὐτὰ ἔτσι, ἢ καὶ γιὰ νὰ μὴ θεωρηθεῖ τὸ ὅραμα ὅτι εἶναι κάποια φαντασία, εἶπε· «Μὲ κανένα τρόπο, Κύριε, διότι ποτὲ μέχρι τώρα δὲν ἔφαγα κανένα μολυσμένο ἢ ἀκάθαρτο. Ἀκούσθηκε δὲ φωνὴ πρὸς αὐτὸν ποὺ τοῦ ἔλεγε· Αὐτὰ ποὺ ὁ Θεὸς τὰ καθάρισε, σὺ μὴ τὰ θεωρεῖς ἀκάθαρτα». Αὐτὸ φαίνεται μὲν ὅτι λέγεται πρὸς αὐτόν, ὅμως ὅλα αὐτὰ λέγονται γιὰ τοὺς Ἰουδαίους· διότι ἂν ὁ διδάσκαλος ἐπιτιμᾶται, πολὺ περισσότερο αὐτοί. Τὸ σενδόνι λοιπὸν εἶναι ἡ γῆ· τὰ δὲ θηρία ποὺ βρίσκονται σ' αὐτήν, εἶναι οἱ ἐθνικοί· τὸ δέ, «σφάξε καὶ φάγε», σημαίνει, ὅτι καὶ ἐκεῖνοι πρέπει νὰ προσέλθουν στὴ νέα πίστη, τὸ ὅτι δὲ αὐτὸ ἐπαναλήφθηκε τρεῖς φορὲς σημαίνει τὸ βάπτισμα.

«Μὲ κανένα τρόπο δὲν θὰ τὸ κάμω αὐτό, Κύριε, διότι ποτὲ μέχρι τώρα δὲν ἔφαγα κανένα μολυσμένο ἢ ἀκάθαρτο». Καὶ γιατί, λέγει, ἔφερε ἀντίρρηση; Γιὰ νὰ μὴ πεῖ κάποιος, ὅτι δοκίμαζε αὐτὸν ὁ Θεός, ὅπως ἔκαμε στὸν Ἀβραάμ, ὅταν αὐτὸς ἔπαιρνε ἐντολὴ νὰ προσφέρει τὸν υἱό του θυσία, ὅπως ἔγινε μὲ τὸν Φίλιππο, ὅταν ἐρωτήθηκε ἀπὸ τὸ Χριστό, «πόσους ἄρτους ἔχετε;»[8], ὄχι γιὰ νὰ μάθει, ἀλλὰ πειράζοντας αὐτόν. Καὶ βέβαια στὸ νόμο ὁ Μωϋσῆς ἔκαμε διάκριση μεταξὺ καθαρῶν καὶ ἀκαθάρτων, καὶ ἐκείνων ποὺ βρίσκονται στὴν ξηρά, καὶ ἐκείνων ποὺ βρίσκονται στὴ θάλασσα· καὶ ὅμως οὔτε μὲ τὸν τρόπο αὐτὸ γνώριζε νά κάνει διάκριση. «Καὶ ἐνῶ δὲ ἀποροῦσε ὁ Πέτρος, τί τάχα νὰ σήμαινε τὸ ὅραμα ποὺ εἶδε, νὰ οἱ

Ἰδοὺ οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου, διερωτήσαντες τὴν οἰκίαν τοῦ Σίμωνος, ἐπέστησαν ἐπὶ τὸν πυλῶνα, καὶ φωνήσαντες ἐπυνθάνοντο, εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος ἐνθάδε ξενίζεται». Θαμβουμένῳ καθ' ἑαυτὸν καὶ διαποροῦντι τῷ Πέτρῳ, ἔρχονται οἱ ἄνδρες, εὐκαίρως τὴν ἀπορίαν λύοντες· ἐπεὶ καὶ τὸν Ἰωσὴφ πρότερον εἴασε θορυβηθῆναι, καὶ τότε τὸν ἀρχάγγελον πέμπει· εὐκόλως γὰρ ἡ ψυχὴ δέχεται τὴν λύσιν, πρότερον ἐν ἀπορίᾳ γενομένη. Οὔτε οὖν ἐπὶ πολὺ γίνεται αὐτῷ τὰ τῆς ἀπορίας, οὔτε πρὸ τούτου, ἀλλὰ περὶ τὸν καιρὸν τοῦ ἀρίστου.

«Τοῦ δὲ Πέτρου διενθυμουμένου περὶ τοῦ ὁράματος, εἶπεν αὐτῷ τὸ Πνεῦμα· Ἰδοὺ ἄνδρες τρεῖς ζητοῦσί σε. Ἀλλὰ ἀναστὰς κατάβηθι καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς». Καὶ πάλιν τοῦτο ἀπολογία Πέτρου πρὸς τοὺς μαθητάς, ἵνα μάθωσιν ὅτι καὶ διεκρίθη, καὶ ἐπαιδεύθη μηδὲν διακρίνεσθαι. «Ὅτι ἐγώ», φησίν, «αὐτοὺς ἀπέσταλκα». Ὅρα ὅση τοῦ Πνεύματος ἡ ἐξουσία. Ὃ δὲ ποιεῖ ὁ Θεός, τοῦτο λέγεται τὸ Πνεῦμα ποιεῖν. Ὁ μὲν οὖν ἄγγελος οὐχ οὕτως, ἀλλά, πρῶτον εἰπών, «Αἱ εὐχαί σου καὶ ἐλεημοσύναι σου», τότε φησίν, «Ἀπόστειλον», ἵνα δείξῃ ὅτι ἐκεῖθεν ἀπέσταλται· τὸ δὲ Πνεῦμα ἐπεὶ Κύριον· «Ἐγὼ αὐτοὺς ἀπέσταλκα». «Καταβὰς δὲ ὁ Πέτρος πρὸς τοὺς ἄνδρας, τοὺς ἀπεσταλμένους ἀπὸ τοῦ Κορνηλίου πρὸς αὐτόν, εἶπεν· Ἰδού, ἐγώ εἰμι, ὃν ζητεῖτε· τίς ἡ αἰτία, δι' ἣν πάρεστε; Οἱ δὲ εἶπον· Κορνήλιος ὁ ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεόν, μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ». Λέγουσι τὰ ἐγκώμια, ὥστε πεῖσαι ὅτι

4. Ματθ. 1, 18-25 καὶ 2, 13.

ἄνθρωποι, οἱ ἀπεσταλμένοι ἀπὸ τὸν Κορνήλιο, ἀφοῦ ρώτησαν καὶ ἔμαθαν τὴν οἰκία τοῦ Σίμωνα, στάθηκαν στὴν ἐξώθυρα, καί, ἀφοῦ φώναξαν δυνατά, ζητοῦσαν νὰ πληφορηθοῦν, ἐὰν ὁ Σίμωνας, ποὺ λέγεται Πέτρος, φιλοξενεῖται ἐδῶ». Ἐνῶ δὲ ὁ Πέτρος ἔμενε ἔκθαμβος καὶ ἀποροῦσε γιὰ τὸ ὅραμα, ἔρχονται οἱ ἄνδρες καὶ στὴν κατάλληλη στιγμὴ τοῦ λύνουν τὴν ἀπορία· διότι καὶ τὸν Ἰωσὴφ πρῶτα τὸν ἄφησε νὰ θορυβηθεῖ καὶ μετὰ στέλλει τὸν ἀρχάγγελο[4]· καθόσον εὔκολα ἡ ψυχὴ δέχεται τὴ λύση, ἂν προηγουμένως κυριευθεῖ ἀπὸ ἀπορία. Οὔτε κράτησε πολὺ ἡ ἀπορία του, οὔτε προηγουμένως ὑπῆρχε, ἀλλὰ κατὰ τὴν ὥρα τοῦ γεύματος.

«Ἐνῶ δὲ ὁ Πέτρος συλλογιζόταν γιὰ τὸ ὅραμα ποὺ εἶδε, εἶπε σ' αὐτὸν τὸ ἅγιο Πνεῦμα· Νὰ τρεῖς ἄνδρες σὲ ζητοῦν. Σήκω λοιπόν, κατέβα καὶ πήγαινε μαζί τους, χωρὶς κανένα δισταγμό, διότι ἐγὼ τοὺς ἔχω στείλει». Καὶ πάλι αὐτὸ εἶναι ἀπολογία τοῦ Πέτρου πρὸς τοὺς μαθητές, γιὰ νὰ μάθουν, ὅτι καὶ διακρίσεις ἔκανε καὶ διδάχθηκε νὰ μὴ κάμει διάκριση. «Διότι ἐγώ», λέγει, «ἔχω ἀποστείλει αὐτούς». Πρόσεχε πόσο μεγάλη εἶναι ἡ ἐξουσία τοῦ Πνεύματος. Ἐκεῖνο δὲ ποὺ ἐπιτελεῖ ὁ Θεός, αὐτὸ λέγεται ὅτι τὸ ἐπιτελεῖ τὸ Πνεῦμα. Ὁ μὲν λοιπὸν ἄγγελος δὲν ὁμιλεῖ ἔτσι, ἀλλ' ἀφοῦ πρῶτα εἶπε, «Οἱ προσευχές σου καὶ οἱ ἐλεημοσύνες σου», τότε λέγει, «Στεῖλε», γιὰ νὰ δείξει, ὅτι ἀπὸ τὸ Θεὸ ἔχει σταλεῖ. Τὸ Πνεῦμα ὅμως, ἐπειδὴ εἶναι Κύριο λέγει, «Ἐγὼ τοὺς ἀπέστειλα». Ἀφοῦ δὲ κατέβηκε ὁ Πέτρος πρὸς τοὺς ἀνθρώπους, ποὺ εἶχαν σταλεῖ ἀπὸ τὸν Κορνήλιο πρὸς αὐτόν, εἶπε· Νά, ἐγὼ εἶμαι αὐτὸς ποὺ ζητᾶτε· ποιὰ εἶναι ἡ αἰτία γιὰ τὴν ὁποία ἤλθατε ἐδῶ; Ἐκεῖνοι δὲ εἶπαν· Ὁ Κορνήλιος ὁ ἑκατόνταρχος, ἄνθρωπος δίκαιος καὶ φοβούμενος τὸ Θεό, ποὺ πιβεβαιώνεται ἡ εὐσέβειά του ἀπὸ ὅλο τὸ ἔθνος τῶν Ἰουδαίων, ἔλαβε ἐντολὴ ἀπὸ ἅγιο ἄγγελο, νὰ σὲ καλέσει στὸ σπίτι του καὶ νὰ ἀκούσει ἀπὸ σένα τὴ διδασκαλία σου». Λέγουν τὰ ἐγκώμια τοῦ ἀνθρώπου, ὥστε νὰ πείσουν τὸν Πέτρο, ὅτι καὶ ἄγγελος παρουσιάσθηκε σ' αὐτόν.

καὶ ἄγγελος ὤφθη αὐτῷ. «Εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισεν». Ὁρᾷς πόθεν ἡ ἀρχὴ γίνεται τῶν ἐθνῶν; Ἀπὸ ἀνδρὸς εὐσεβοῦς, ἀξίου φανέντος ἀπὸ τῶν ἔργων· εἰ γὰρ καὶ τοῦτο γέγονε, καὶ ὅμως σκανδαλίζονται, εἰ μὴ τοῦτο ἦν, τί οὐκ ἂν εἶπον Ἰουδαῖοι; «Εἰσκαλεσάμενος οὖν», φησίν, «αὐτοὺς ἐξένισε». Θέα πόση ἀσφάλεια. Ὥστε μηδὲν αὐτοὺς παθεῖν δεινόν, εἰσκαλεῖται, καὶ μετὰ παρρησίας λοιπὸν συνδιαιτᾶται. «Τῇ δὲ ἐπαύριον ἀναστὰς ὁ Πέτρος ἐξῆλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ Ἰόππης συνῆλθον αὐτῷ, καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν Καισάρειαν». Ἐπίσημος ἦν ὁ ἀνήρ, ὡς ἐν ἐπισήμῳ πόλει τυγχάνων· διὸ καὶ ἐπ' αὐτῷ πάντα ὁμοῦ οἰκονομεῖται, καὶ ἀπὸ τῆς Ἰουδαίας ἀρχὴν λαμβάνει τὸ πρᾶγμα· οἷον, τὸ μὴ ὑπνοῦντι ὀφθῆναι, ἀλλ' ἐγρηγορότι, τὸ ἐν ἡμέρᾳ· περὶ ἐνάτην γὰρ ὥραν· οὕτως ἑαυτῷ προσεῖχεν. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

«Καὶ εἶπεν ὁ ἄγγελος· Αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ». Ἐντεῦθεν δῆλον ὅτι διὰ φωνῆς ἐκάλεσεν ὁ ἄγγελος καὶ οὕτως εἶδεν αὐτόν· ὡς, εἰ μὴ ἐκάλεσεν, οὐδ' ἂν εἶδεν· οὕτω συντεταμένος ἦν ἀπὸ τοῦ πράγματος, ἐν ᾧ ἦν. «Καὶ μετάπεμψαι Σίμωνα, τὸν ἐπικαλούμενον Πέτρον». Τέως, ὅτι ἐπὶ χρηστοῖς αὐτὸν μετακαλέσεται, ἐδήλωσε· ποίοις δὲ χρηστοῖς, οὐκ ἔτι. Οὕτως οὐδὲ Πέτρος λέγει τὸ πᾶν, ἀλλὰ πανταχοῦ ἐκ μέρους τὰ διηγήματα, ὥστε διεγείρειν τοὺς ἀκούοντας. Οὕτω καὶ Φίλιππον καλεῖ μόνον εἰς τὴν ἔρημον. «Ἀνέβη δὲ Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην, καὶ ἐπε-

«Ἀφοῦ λοιπὸν ὁ Πέτρος κάλεσε αὐτοὺς μέσα στὸ σπίτι, τοὺς φιλοξένησε». Βλέπεις ἀπὸ ποῦ γίνεται ἡ ἀρχὴ τῆς προσελεύσεως τῶν ἐθνικῶν στὴ χριστιανικὴ πίστη; Ἀπὸ ἄνδρα εὐσεβῆ, ποὺ ἀποδείχθηκε ἀπὸ τὰ ἔργα του ἄξιος. Διότι ἐάν, ἐνῶ συνέβηκε αὐτό, ἐν τούτοις αὐτοὶ σκανδαλίζονται, ἂν δὲν συνέβαινε αὐτό, τί δὲν θὰ ἔλεγαν οἱ Ἰουδαῖοι; «Ἀφοῦ λοιπὸν ὁ Πέτρος», λέγει, «κάλεσε αὐτοὺς στὸ σπίτι του, τοὺς φιλοξένησε». Πρόσεξε πόση ἀσφάλεια λαμβάνεται γι' αὐτούς. Καλοῦνται μέσα γιὰ νὰ μὴ πάθουν κανένα κακό, καὶ μὲ θάρρος πλέον συντρώγουν. «Τὴν ἑπόμενη ἡμέρα σηκώθηκε ὁ Πέτρος καὶ ἀνεχώρησε μαζὶ μὲ αὐτοὺς καθὼς καὶ μὲ μερικοὺς πιστοὺς τῆς Ἰόππης γιὰ τὴν Καισάρεια, καὶ τὴν ἄλλη ἡμέρα ἔφθασαν στὴν Καισάρεια». Ἦταν ἐπίσημος ὁ ἄνθρωποὸ καὶ σὲ ἐπίσημη πόλη διέμενε. Γι' αὐτὸ καὶ ὅλα τὰ σχετικὰ μὲ αὐτὸν ρυθμίζονται συγχρόνως καὶ τὸ πράγμα λαμβάνει τὴν ἀρχή του ἀπὸ τὴν Ἰουδαία· ὅπως δηλαδὴ τὸ νὰ φανεῖ ὁ ἄγγελος ἐνῶ δὲν κοιμόταν ὁ Κορνήλιος, ἀλλὰ βρισκόταν σέ ἐγρήγορση, τὸ ὅτι συνέβηκε αὐτὸ τὴν ἡμέρα· διότι παρουσιάσθηκε κατὰ τὴν ἔνατη ὥρα· τόσο πολὺ πρόσεχε τὸν ἑαυτό του. Ἀλλ' ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ προαναφερθέντα.

«Καὶ εἶπε ὁ ἄγγελος· οἱ προσευχές σου καὶ οἱ ἐλεημοσύνες σου ἀνέβηκαν στὸ Θεὸ σὰν προσφορὰ εὐπρόσδεκτη, γιὰ νὰ σὲ θυμηθεῖ». Ἀπὸ αὐτὸ εἶναι φανερό, ὅτι μὲ φωνὴ τὸν κάλεσε ὁ ἄγγελος καὶ τότε εἶδε αὐτόν· διότι, ἂν δὲν τὸν καλοῦσε, δὲν θὰ τὸν ἔβλεπε· τόσο πολὺ ἦταν ἀφοσιωμένος στὸ ἔργο ποὺ ὑπηρετοῦσε. «Καὶ στεῖλε καὶ προσκάλεσε ἐδῶ τὸν Σίμωνα, ποὺ μετονομάζεται Πέτρος». Ἀπὸ τὴν ἀρχὴ ἔδειξε ὅτι θὰ καλέσει τὸν Πέτρο γιὰ καλὸ σκοπό· ποιὸς δὲ εἶναι ὁ καλὸς σκοπός, δὲν τὸ λέγει ἀκόμα. Κατὰ τὸν ἴδιο τρόπο, οὔτε ὁ Πέτρος τὰ λέγει ὅλα, ἀλλὰ σὲ κάθε περίπτωση διηγεῖται ὁρισμένα, γιὰ νὰ προκαλέσει τὸ ἐνδιαφέρον τῶν ἀκροατῶν. Ὅμοια καὶ τὸν Φίλιππο καλεῖ, ἐνῶ εἶναι μόνος στὴν ἔρημο. «Ἀνέβηκε δὲ ὁ Πέτρος στὸ ἀνώγειο τῆς οἰκίας γιὰ νὰ προσευχηθεῖ

σεν ἐπ' αὐτὸν ἔκστασις, καὶ θεωρεῖ σκεῦός τι ὡς ὀθόνην». Σκόπει ὅτι οὐδὲ ἡ πεῖνα ἠνάγκασεν αὐτὸν προσδραμεῖν τῇ σινδόνι. Ἵνα δὲ μὴ ἐν πλείονι ἀπορίᾳ ὁ Πέτρος ᾖ, ἀκούει λεγούσης φωνῆς· «Ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε». Ἴσως ἐπὶ γόνατα κείμενος, εἶδε τὴν ὀπτασίαν· ἐμοὶ δὲ δοκεῖ διὰ τὸ κήρυγμα ταύτην ἑωρακέναι. Ὅτι δὲ καὶ θεῖον ἦν τὸ γινόμενον δῆλον ἔκ τε τοῦ ἄνωθεν ἰδεῖν καταβαῖνον, ἔκ τε τοῦ ἐν ἐκστάσει γενέσθαι· τὸ δὲ καὶ φωνὴν ἐκεῖθεν ἐνεχθῆναι, καὶ τὸ τρὶς τοῦτο γενέσθαι, καὶ τὸ οὐρανὸν ἀνεῳχθῆναι, καὶ τὸ ἐκεῖθεν ἥκειν, καὶ τὸ ἐκεῖ ἀναρπασθῆναι πάλιν, μέγα δεῖγμα τοῦ θεῖον εἶναι τὸ πρᾶγμα.

3. Διὰ τί δὲ τοῦτο γίνεται; Διὰ τοὺς μετὰ ταῦτα, οἷς μέλλει ἐξηγεῖσθαι· ἐπεὶ αὐτὸς ἤδη ἀκούσας ἦν ὅτι «εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε». Καὶ μὴ θαυμάσῃς· εἰ γὰρ περιτομῆς ἐδεήθη καὶ θυσίας Παῦλος, πολλῷ μᾶλλον τότε ἐν ἀρχῇ τοῦ κηρύγματος, ἀσθενεστέρων ὄντων αὐτῶν, τούτων ἔδει. «Καὶ ἰδοὺ οἱ ἄνδρες, φησίν, οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου, ἐπέστησαν ἐπὶ τὸν πυλῶνα· καὶ φωνήσαντες ἐπυνθάνοντο εἰ Σίμων, ὁ ἐπικαλούμενος Πέτρος, ἐνθάδε ξενίζεται». Ἅτε ὡς εὐτελῆ οἰκίαν, κάτωθεν ἐπυνθάνοντο, οὐ τοὺς γείτονας ἠρώτων. «Τοῦ δὲ Πέτρου διενθυμουμένου, εἶπεν αὐτῷ τὸ Πνεῦμα· Ἀναστὰς κατάβηθι, καὶ πορεύου μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς». Ὅρα. Οὐκ εἶπε, 'Διὰ γὰρ τοῦτο τὸ ὅραμά σοι ὤφθη' ἀλλ' «ἐγὼ αὐτοὺς ἀπέσταλκα», δεικνὺς ὅτι οὕτω δεῖ πείθεσθαι, εὐθύνας οὐκ ἀπαιτοῦντα· ἀρκεῖ γὰρ πρὸς πᾶσαν πληροφορίαν τὸ ἀ-

5. Ματθ. 10, 5.
8. Πρβλ. Ἰωάν. 4, 14.

κατὰ τὶς δώδεκα τὸ μεσημέρι, καὶ τὸν κατέλαβε ἔκσταση, καὶ βλέπει ἕνα ἀντικείμενο ποὺ ἔμοιαζε μὲ μεγάλο σεντόνι». Πρόσεχε, ὅτι οὔτε ἡ πείνα ἀνάγκασε τὸν Πέτρο νὰ παραβλέψει τὸ σενδόνι. Γιὰ νὰ μὴ βρίσκεται δὲ σὲ περισσότερη ἀπορία ὁ Πέτρος, ἀκούει φωνὴ ποὺ τοῦ λέγει· «Πέτρε, σήκω, σφάξε, καὶ φάγε». Ἴσως εἶδε ὁ Πέτρος τὴν ὀπτασία ἐνῶ ἦταν γονατιστός· ἐγὼ δὲ νομίζω ὅτι γιὰ τὸ κήρυγμα ἔχει δεῖ τὴν ὀπτασία αὐτή. Τὸ ὅτι δὲ ἦταν θεϊκὸ αὐτὸ ποὺ ἔγινε, εἶναι φανερὸ καὶ ἀπὸ τὸ ὅτι εἶδε τὸ σκεῦος νὰ κατεβαίνει ἀπὸ ἐπάνω, καὶ ἀπὸ τὸ ὅτι βρέθηκε σὲ ἔκσταση. Τὸ ὅτι δὲ καὶ φωνὴ ἀκούσθηκε ἀπὸ ἐκεῖ, καὶ τὸ ὅτι αὐτὸ συνέβηκε τρεῖς φορές, καὶ τὸ ὅτι ἀνοίχθηκε ὁ οὐρανός, καὶ τὸ ὅτι ἀπὸ ἐκεῖ ἦλθε τὸ σκεῦος, καὶ τὸ ὅτι πρὸς τὰ ἐκεῖ ἀνηρπάγη πάλι, εἶναι μεγάλη ἀπόδειξη ὅτι τὸ γεγονὸς εἶναι θεϊκό.

3. Γιατί δὲ γίνεται αὐτό; Γίνεται ἐξ αἰτίας ἐκείνων ποὺ ἐπρόκειτο νὰ τοὺς τὸ διηγηθεῖ ἀργότερα ὁ Πέτρος, διότι ὁ ἴδιος πιὰ εἶχε ἀκούσει ὅτι «σὲ δρόμο, ποὺ ὁδηγεῖ πρὸς τὰ εἰδωλολατρικὰ ἔθνη νὰ μὴ πορευθεῖτε»[5]. Καὶ μὴ ἀπορήσεις· διότι, ἂν ὁ Παῦλος εἶχε ἀνάγκη ἀπὸ περιτομὴ καὶ θυσία, πολὺ περισσότερο ὑπῆρχε ἀνάγκη αὐτῶν τότε στὴν ἀρχὴ τοῦ κηρύγματος, ὅταν οἱ ἄνθρωποι ἦταν ἀσθενέστεροι πνευματικά. «Καὶ νά», λέγει, «οἱ ἄνθρωποι, οἱ ἀπεσταλμένοι ἀπὸ τὸ Κορνήλιο, στάθηκαν στὴν ἐξωτερικὴ πόρτα, καὶ φώναζαν δυνατὰ καὶ ζητοῦσαν νὰ πληροφορηθοῦν, ἐὰν ὁ Σίμωνας, ποὺ λέγεται Πέτρος, φιλοξενεῖται ἐδῶ. Ἐπειδὴ ἡ οἰκία ἦταν ἁπλή, ζητοῦσαν νὰ πληροφορηθοῦν ἀπὸ κάτω, δὲν ρωτοῦσαν τοὺς γείτονες. «Ἐνῶ δὲ ὁ Πέτρος συλλογιζόταν γιὰ τὸ ὅραμα, εἶπε σ' αὐτὸν τὸ ἅγιο Πνεῦμα· σήκω, κατέβα καὶ πήγαινε μαζί τους, χωρὶς κανένα δισταγμό, διότι ἐγὼ τοὺς ἀπέστειλα». Πρόσεχε, δὲν εἶπε, 'διότι γι' αὐτὸν τὸ σκοπὸ φανερώθηκε σὲ σένα τὸ ὅραμα', ἀλλ' «Ἐγὼ τοὺς ἀπέστειλα», γιὰ νὰ δείξει στὸν Πέτρο, ὅτι ἔτσι πρέπει νὰ ὑπακούει καὶ νὰ μὴ ζητεῖ ἐξηγήσεις. Διότι ἀρκεῖ γιὰ κάθε πληροφορία,

κοῦσαι παρ' αὐτοῦ· 'Τόδε ποίησον, τόδε λάλησον', καὶ μηδὲν πλέον ζητεῖν.

«Καταβὰς δὲ Πέτρος εἶπεν· Ἰδοὺ ἐγώ εἰμι, ὃν ζητεῖτε». Τί δήποτε οὐκ εὐθέως αὐτοὺς ἐδέξατο, ἀλλὰ πυνθάνεται; Εἶδε στρατιώτας ὄντας τοὺς ἐπιστάντας· διὸ οὐχ ἁπλῶς ἐρωτᾷ, ἀλλά, πρότερον ὁμολογήσας αὐτὸς εἶναι, τότε τὴν αἰτίαν πυνθάνεται τῆς ἀφίξεως, ἵνα μὴ νομισθῇ διὰ τοῦτο πυνθάνεσθαι, ὡς δὴ θέλων ἑαυτὸν κατακρύψαι. Καὶ πυνθάνεται, ἵνα, ἂν μὲν εὐθέως κατεπείγῃ, καὶ συνεξέλθῃ· ἂν δὲ μή, ἵνα ξενίσῃ. Τίνος δὲ ἕνεκεν ἐκεῖνοι λέγουσι, «Μεταπέμπεταί σε εἰς τὸν οἶκον αὐτοῦ»; Ὅτι τοῦτο αὐτοῖς ἐκέλευσε. Τάχα δὲ καὶ ὡς ἀπολογούμενοι ὑπὲρ αὐτοῦ μονονουχὶ λέγουσι· 'Μηδὲν καταγνῷς· οὐχ ὡς καταφρονῶν ἔπεμψεν, ἀλλ' ἐκελεύσθη οὕτως'. «Ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς, φησί, προσκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ, καὶ τοὺς ἀναγκαίους φίλους». Εἰκότως· οὐ γὰρ δίκαιον ἦν καὶ τοὺς συγγενεῖς καὶ τοὺς φίλους μὴ συνεπάγεσθαι· ἄλλως δὲ καὶ ἐκεῖ παρόντες μᾶλλον αὐτοῦ ἤκουσαν ἄν. Εἴδετε πόση τῆς ἐλεημοσύνης ἡ δύναμις καὶ ἐν τῇ προτέρᾳ διαλέξει καὶ ἐνταῦθα; Ἐκείνη θανάτου ἀπήλλαξε τοῦ προσκαίρου, αὕτη τοῦ αἰωνίου· αὕτη καὶ θύρας ἀνέῳξεν οὐρανοῦ.

Ὅρα δὲ πῶς περὶ πολλοῦ γεγένηται τὸ πιστεῦσαι Κορνήλιον, ὡς καὶ ἄγγελον πεμφθῆναι, καὶ Πνεῦμα ἐνεργῆσαι, καὶ τὸν κορυφαῖον μεταπεμφθῆναι τῶν Ἀποστόλων, καὶ ὄψιν φανῆναι τοιαύτην, καὶ μηδὲν ὅλως ἐλλειφθῆναι. Πόσοι ἦσαν ἑκατόνταρχοι, καὶ χιλίαρχοι, καὶ βασιλεῖς, καὶ οὐδεὶς τούτων ἐπέτυχεν, ὧν οὗτος; Ἀκούσατε πάντες, ὅσοι ἐν στρα-

τὸ ν' ἀκούει ἀπὸ αὐτὸν τὸ 'αὐτὸ κάνε, αὐτὸ πές', καὶ νὰ μὴ ζητᾶ τίποτε περισσότερο.

«Ἀφοῦ δὲ κατέβηκε ὁ Πέτρος εἶπε· νά, ἐγὼ εἶμαι αὐτὸς ποὺ ζητᾶτε». Γιατί τέλος πάντων δὲν δέχθηκε ἀμέσως αὐτούς, ἀλλὰ ζητεῖ πληροφορίες; Εἶδε ὅτι αὐτοὶ ποὺ παρουσιάστηκαν ἦταν στρατιῶτες. Γι' αὐτὸ δὲν ἐρωτᾶ ἁπλῶς, ἀλλά, ἀφοῦ προηγουμένως ὁμολόγησε ὅτι εἶναι αὐτός, τότε ζητᾶ νὰ πληροφορηθεῖ τὴν αἰτία τῆς ἀφίξεώς τους, γιὰ νὰ μὴ νομισθεῖ ὅτι γιὰ τὸ λόγο αὐτὸ ζητᾶ τὶς πληροφορίες, ἐπειδὴ δηλαδὴ θέλει νὰ ἀποκρύψει τὸν ἑαυτό του. Καὶ ἐρωτᾶ, ἂν μὲν εἶναι ἄμεση ἀνάγκη, νὰ μεταβεῖ μαζί τους, ἂν ὄχι, γιὰ νὰ τοὺς φιλοξενήσει. Γιὰ ποιὸ δὲ λόγο ἐκεῖνοι λέγουν, «σὲ προσκαλεῖ στὸ σπίτι του»; Διότι αὐτὸ διέταξε σ' αὐτοὺς ὁ Κορνήλιος. Ἴσως δὲ καὶ σὰν ν' ἀπολογεῖται γι' αὐτὸ καὶ σχεδὸν εἶναι σὰν νὰ λέγουν' «μὴ τὸν κατηγορεῖς καθόλου' διότι δὲν μᾶς ἔστειλε μὲ ὑπεροψία, λόγω τοῦ ἀξιώματός του, ἀλλ' ἔτσι διατάχθηκε νὰ κάμει'. «Ὁ δὲ Κορνήλιος ἐν τῷ μεταξὺ τοὺς περίμενε», λέγει, «ἀφοῦ κάλεσε τοὺς συγγενεῖς του καὶ τοὺς στενοὺς φίλους του». Δικαιολογημένα, διότι δὲν ἦταν δίκαιο νὰ μὴ καλέσει κοντὰ τοὺς συγγενεῖς καὶ τοὺς φίλους· ἄλλωστε δέ, καὶ ἐφ' ὅσον θὰ ἦταν ἐκεῖ παρόντες, θὰ μποροῦσαν νὰ τὸν ἀκούσουν καλλίτερα. Εἴδατε πόση εἶναι ἡ δύναμη τῆς ἐλεημοσύνης καὶ στὴν προηγούμενη ὁμιλία μου καὶ στὴν παρούσα; Ἐκείνη ἡ ἐλεημοσύνη τῆς Ταβιθᾶ ἀπάλλαξε ἀπὸ τὸν πρόσκαιρο θάνατο, αὐτὴ δὲ τοῦ Κορνήλιου, τὸν ἀπάλλαξε ἀπὸ τὸν αἰώνιο θάνατο' αὐτὴ ἄνοιξε καὶ τὶς θύρες τοῦ οὐρανοῦ.

Πρόσεχε δὲ πόσο μεγάλη φροντίδα καταβλήθηκε γιὰ νὰ πιστεύσει ὁ Κορνήλιος, ὥστε καὶ ἄγγελος νὰ σταλεῖ, καὶ τὸ Πνεῦμα νὰ ἐνεργήσει, καὶ ὁ κορυφαῖος τῶν Ἀποστόλων νὰ κληθεῖ, καὶ τέτοια ὀπτασία νὰ ἐμφανισθεῖ, καὶ τίποτε ἀπολύτως νὰ μὴ παραλειφθεῖ. Πόσοι ἦταν ἑκατόνταρχοι καὶ χιλίαρχοι καὶ βασιλεῖς καὶ κανένας ἀπὸ αὐτοὺς δὲν ἐπέτυχε, ὅσα ὁ Κορνήλιος; Ἀκούσατε ὅλοι, ὅσοι εἶσθε στρατευμένοι, ὅσοι βρίσκεσθε κοντὰ στοὺς βα-

τείαις ἐστέ, ὅσοι βασιλεῦσι παρεστήκατε! «Εὐσεβὴς ἦν», φησί, «καὶ φοβούμενος τὸν Θεὸν», (καὶ τὸ μεῖζον ὅτι τοιοῦτος ἦν), «μετὰ παντὸς τοῦ οἴκου αὐτοῦ». Οὕτως ἦν συγκεκροτημένος πρὸς τοῦτο καὶ διακείμενος, ὡς μὴ μόνον εὖ τίθεσθαι τὰ οἰκεῖα, ἀλλὰ καὶ ἐπὶ τῆς οἰκετείας τὸ αὐτὸ τοῦτο ποιεῖν· οὐ γὰρ ὡς ἡμεῖς, οἵ, ὅπως μὲν ἡμῖν φοβεροὶ οἱ ὑπηρετοῦντες ἔσονται, πάντα ποιοῦμεν, ὅπως δὲ εὐλαβεῖς, οὐκέτι. Ἀλλ' οὗτος οὐχ οὕτως, ἀλλὰ μετὰ τῆς οἰκίας ἁπάσης τὸν Θεὸν ἐφοβεῖτο, οὐ μόνον ὥσπερ κοινὸς πατὴρ πάντων τῶν μετ' αὐτοῦ ὤν, ἀλλὰ καὶ τῶν ὑπ' αὐτὸν στρατιωτῶν. Ἄκουε δὲ καὶ τί φασιν ἕτερον· ἀναγκαίως γὰρ προστίθεται τὸ «μαρτυρούμενος ὑπὸ ὅλου τοῦ ἔθνους», ἵνα μηδεὶς εἴπῃ, 'Τί γάρ, εἰ ἀκρόβυστος ἦν;' Καὶ ἐκεῖνοι, φησί, μαρτυροῦσιν αὐτῷ.

Ἄρα οὐδὲν ἐλεημοσύνης ἴσον· μᾶλλον δὲ οὕτω μεγάλη τοῦ πράγματος ἡ ἰσχύς, ὅταν ἐκ καθαρῶν προχέηται ταμείων, ὡς τά γε προχεόμενα ἐξ ἀδίκων βόρβορον ἔοικεν ἀφιείσῃ πηγῇ, τὰ δὲ ἐκ δικαίων κερδῶν, καθάπερ νᾶμα διειδές τε καὶ καθαρὸν ἐν παραδείσῳ, ἡδὺ μὲν ἰδεῖν, ἡδὺ δὲ ἅψασθαι, κοῦφόν τε καὶ ψυχρὸν ἐν μεσημβρίᾳ διδόμενον· οὕτως ἐστὶν ἡ ἐλεημοσύνη. Παρὰ ταύτην τὴν πηγὴν οὐκ αἴγειροι καὶ πεῦκαι, οὐδὲ κυπάρισσοι, ἀλλ' ἕτερα τούτων πολλῷ βελτίω φυτὰ εὐμήκη εἰσί· φιλία Θεοῦ, ἔπαινος ἀνθρώπων, δόξα ἡ εἰς Θεόν, εὔνοια παρὰ πάντων, ἁμαρτημάτων ἀφανισμός, παρρησία πολλή, χρημάτων ὑπεροψία, ἐλεημοσύνη, δι' ἧς τῆς ἀγάπης τὸ φυτὸν τρέφεται· οὐδὲν γὰρ οὕτως ἀγάπην τρέφειν εἴωθεν, ὡς τὸ ἐλεήμονα εἶναί τινα.

σιλεῖς. «Ἦταν», λέγει, «εὐσεβὴς καὶ θεοφοβούμενος» (καὶ τὸ σπουδαιότερο εἶναι ὅτι ἦταν τέτοιος κατὰ τὸ ἦθος του) «μαζὶ μὲ ὅλη τὴν οἰκογένειά του». Τόσο πολὺ ἦταν συγκροτημένος καὶ διατεθειμένος ὡς πρὸς τὸ ζήτημα αὐτό, ὥστε ὄχι μόνο νὰ τακτοποιεῖ τὰ δικά του θέματα, ἀλλὰ νὰ κάμει τὸ ἴδιο καὶ γιὰ τοὺς ὑπηρέτες του. Διότι δὲν ἔκαμνε ὅπως κάμνουμε ἐμεῖς, ποὺ ὅλα τὰ κάμνουμε, ὥστε αὐτοὶ ποὺ μᾶς ὑπηρετοῦν νὰ αἰσθάνονται φόβο ἀπέναντί μας, δὲν κάμνουμε ὅμως τίποτε γιὰ νὰ εἶναι εὐλαβεῖς. Αὐτὸς ὅμως δὲν ἐνεργοῦσε ἔτσι, ἀλλὰ μὲ ὅλη τὴν οἰκογένειά του φοβόταν τὸ Θεό, ὄχι μόνο σὰν κοινὸς πατέρας ὅλων ἐκείνων ποὺ διέμεναν μαζί του, ἀλλὰ καὶ τῶν στρατιωτῶν ἐκείνων ποὺ ἦταν ὑπὸ τὴν ἐξουσία του. Ἄκουε δὲ καὶ τί ἄλλο λέγουν· διότι κατ᾽ ἀνάγκη ἔχει προστεθεῖ τὸ ὅτι «μαρτυρεῖται σὰν εὐσεβὴς ἀπὸ ὅλο τὰ ἔθνος τῶν Ἰουδαίων», γιὰ νὰ μὴ πεῖ κάποιος, 'γιατί δηλαδὴ ὅλα αὐτά, ἐφόσον ἦταν ἀπερίτμητος;' Καὶ ἐκεῖνοι, λέγει, μαρτηροῦν γι᾽ αὐτόν.

Ἄρα τίποτε δὲν εἶναι ἰσάξιο τῆς ἐλεημοσύνης· μᾶλλον δὲ τόση μεγάλη εἶναι ἡ δύναμη τῆς ἐλεημοσύνης, ὅταν προέρχεται ἀπὸ καθαρὰ καὶ τίμια χρήματα, ὅπως πάλι τὰ προερχόμενα καὶ προσφερόμενα ἀπὸ ἄδικα χρήματα, ὁμοιάζουν μὲ πηγὴ ποὺ ἀναβλύζει βοῦρκο, ἐνῶ τὰ χρήματα ποὺ δίνονται καὶ προέρχονται ἀπὸ δίκαια κέρδη, ὁμοιάζουν μὲ νερὸ διαυγὲς καὶ καθαρὸ μέσα στὸν παράδεισο, εὐχάριστο δὲ καὶ στὴ γεύση καὶ ποὺ χαρίζει ἀνακούφιση καὶ δροσιά, ὅταν προσφέρεται κατὰ τὸ μεσημέρι. Τέτοια εἶναι ἡ ἐλεημοσύνη. Κοντὰ στὴν πηγὴ αὐτὴ δὲν φυτρώνουν λεῦκες καὶ πεῦκα, οὔτε κυπαρίσσια, ἀλλὰ ἄλλα φυτὰ ὑπάρχουν μεγάλα, πολὺ καλύτερα ἀπὸ τὰ πρῶτα· ὅπως φιλία τοῦ Θεοῦ, ἔπαινος τῶν ἀνθρώπων, δόξα ποὺ ἀνήκει στὸ Θεό, εὔνοια ἀπὸ μέρους ὅλων, ἀφανισμὸς τῶν ἁμαρτημάτων, μεγάλη παρρησία, περιφρόνηση τῶν χρημάτων, ἐλεημοσύνη, μὲ τὴν ὁποία τρέφεται τὸ φυτὸ τῆς ἀγάπης. Διότι τίποτε δὲν συνηθίζει νὰ τρέφει τόσο τὴν ἀγάπη, ὅσο τὸ νὰ εἶναι κανένας ἐλεήμονας.

Αὕτη τοὺς κλάδους εἰς ὕψος αἴρεσθαι ποιεῖ· αὕτη βελτίων ἡ πηγὴ τῆς ἐν τῷ παραδείσῳ, οὐκ εἰς τέσσαρας ἀρχὰς διαιρουμένη, ἀλλ' εἰς τὸν οὐρανὸν αὐτὸν ἀφικνουμένη· αὕτη τίκτει τὸν ποταμὸν ἐκεῖνον, τὸν ἀλλόμενον εἰς ζωὴν αἰώνιον· εἰς ταύτην θάνατος ἐμπεσών, καθάπερ σπινθὴρ ἀναλίσκεται ἀπὸ τῆς πηγῆς· οὕτως, ὅπου περ ἂν ἐπιστάξῃ, μεγάλα ἐργάζεται ἀγαθά· αὕτη τοῦ πυρὸς τὸν ποταμὸν σβέννυσιν ὡς σπινθῆρα· αὕτη τὸν σκώληκα οὕτως ἀποπνίγει, ὡς οὐδέν. Ὁ ταύτην ἔχων οὐ βρύχει τοὺς ὀδόντας. Ἀπὸ τοῦ ὕδατος ταύτης ἂν ἐπιστάξῃ εἰς τὰ δεσμά, διαιρεῖ αὐτά· κἂν εἰς τὰς καμίνους ἐμπέσῃ, πάσας σβέννυσιν.

4. *Ὥσπερ οὖν ἡ ἐν παραδείσῳ πηγὴ οὐ νῦν μὲν προχέει νάματα, νῦν δὲ ξηραίνεται, (ἐπεὶ οὐκ ἂν εἴη λοιπὸν πηγή), ἀλλ' ἀεὶ ἀναβλύζει, οὕτω καὶ ἡ ἡμετέρα ἀεὶ δαψιλέστερον προχείτω τὸ νᾶμα πρὸς τοὺς μάλιστα ἐπιδεομένους ἐλέους, ἵνα μένῃ πηγή. Τοῦτο ἱλαρὸν ποιεῖ τὸν λαμβάνοντα· τοῦτο ἐλεημοσύνη, μὴ σφοδρὸν μόνον προχεῖσθαι τὸ νᾶμα, ἀλλὰ καὶ διηνεκές. Εἰ βούλει, ὥσπερ ἐκ πηγῶν σοι ἐπομβρεῖν τοῦ Θεοῦ τὸν ἔλεον, καὶ σὺ πηγὴν ἔχε. Οὐδὲν ταύτης ἴσον. Ἂν σὺ ταύτης τῆς πηγῆς ἀνοίξῃς τὰ στόματα, τῆς πηγῆς τοῦ Θεοῦ τοιαῦτα ἔσται τὰ στόματα, ὥστε πᾶσαν ἄβυσσον νικῆσαι. Ἀφορμὴν ζητεῖ μόνον παρ' ἡμῶν λαβεῖν ὁ Θεός, καὶ προχεῖται ἐκ τῶν ταμείων αὐτοῦ τὰ ἀγαθά. Ὅταν ἀναλίσκῃ, ὅταν δαπανᾷ, τότε πλουτεῖ, τότε εὐπορεῖ. Μέγα ἐκείνης τὸ στόμα τῆς πηγῆς· καθαρὸν τὸ αὐτῆς νᾶμα καὶ διειδές. Ἂν μὴ ταύτην ἀποφράξῃς, οὐδὲ ἐκείνην. Μηδὲν ἄκαρπον στηκέτω παρ' αὐτὴν δένδρον, ἵνα μὴ τὴν νοτίδα αὐτῆς καταναλώσῃ. Ἔχεις χρήματα; Μὴ φύτευε αἰγείρους ἐκεῖ· τοιοῦτον γὰρ ἡ τρυφή· πολλὰ ἀναλίσκει, καὶ οὐδὲν δείκνυσιν ἐν ἑαυτῇ, ἀλλὰ ἀπόλλυσι τὸν καρπόν.*

Μὴ φυτεύσῃς πεύκην, μὴ πίτυν, μηδὲ ἄλλο τι τῶν τοιού-

7. Πρβλ. Μάρκ. 9, 44. 46. 48-49.

Αὐτὴ κάμνει τοὺς κλάδους νὰ ὑψώνονται· αὐτὴ ἡ πηγὴ εἶναι ἀνώτερη ἀπὸ ἐκείνη τοῦ παραδείσου, ποὺ δὲν διαιρεῖται σὲ τέσσερα μέρη, ἀλλὰ φθάνει στὸν ἴδιο τὸν οὐρανό· αὐτὴ δημιουργεῖ τὸν ποταμὸ ἐκεῖνον, ποὺ καταλήγει σὲ ζωὴ αἰώνια· σ' αὐτὴν τὴν πηγὴ τῆς ἐλεημοσύνης, ὅταν πέσει ὁ θάνατος, σὰν σπινθήρας ἐξαφανίζεται ἀπὸ τὴν πηγή· ἔτσι ὅπου καὶ ἂν στάξει, μεγάλα ἀγαθὰ παρέχει. Αὐτὴ σβήνει τὸν ποταμὸ σὰν σπινθήρα· αὐτὴ πνίγει τὸν σκώληκα[7], ἔτσι ὅπως τίποτε ἄλλο· ἐκεῖνος ποὺ ἔχει αὐτήν, δὲν τρίζει τὰ δόντια. Ἀπὸ τὰ νερὰ αὐτῆς ἂν στάξει κανένας στὰ δεσμά, τὰ διασπᾶ· καὶ ἂν πέσει μέσα στὰ καμίνια, ὅλα τὰ σβήνει.

4. Ὅπως ἀκριβῶς λοιπὸν ἡ πηγὴ στὸν παράδεισο δὲν ἀναβλύζει ἄλλοτε μὲν νάματα, ἄλλοτε δὲ ξηραίνεται (διότι δὲν θὰ ἦταν πιὰ πηγή), ἀλλὰ πάντοτε ἀναβλύζει, ἔτσι καὶ ἡ δική μας πηγή, ἀφθονώτερα ἂς χύνει τὸ νερὸ σ' ἐκείνους ποὺ ἔχουν πάρα πολὺ μεγάλη ἀνάγκη ἐλεημοσύνης, γιὰ νὰ μένει πηγή. Αὐτὸ χαροποιεῖ ἐκεῖνον ποὺ τὴν λαβαίνει· αὐτὸ εἶναι ἐλεημοσύνη, ὄχι μόνο νὰ τρέχει ἄφθονο τὸ νᾶμα, ἀλλὰ καὶ συνέχεια. Ἂν θέλεις νὰ τρέχει σὲ σένα τὸ ἔλεος τοῦ Θεοῦ σὰν ἀπὸ πηγές, ἔχε καὶ σὺ πηγή. Τίποτε δὲν εἶναι ἰσάξιο αὐτῆς. Ἂν σὺ ἀνοίξεις τὰ στόματα αὐτῆς τῆς πηγῆς, τέτοια θὰ εἶναι τὰ στόματα τῆς πηγῆς τοῦ Θεοῦ, ὥστε νὰ ξεπεράσουν κάθε ἄβυσσο. Ἀφορμὴ μόνο ζητᾶ νὰ λάβει ὁ Θεὸς ἀπὸ μᾶς, καὶ προσφέρει ἀπὸ τὰ ταμεῖα του τὰ ἀγαθά του. Ὅταν κανεὶς ξοδεύει, ὅταν δαπανᾶ, τότε πλουτίζει, τότε γίνεται πλούσιος. Μεγάλο εἶναι τὸ στόμα αὐτῆς τῆς πηγῆς· τὸ πηγαῖο νερό της εἶναι καθαρὸ καὶ διαυγές. Ἂν δὲν φράξεις αὐτήν, οὔτε τοῦ Θεοῦ θὰ φράξεις. Κανένα ἄκαρπο δένδρο ἂς μὴ φυτευθεῖ κοντὰ σ' αὐτήν, γιὰ νὰ μὴ ξοδεύσει τὴν ὑγρασία της. Ἔχεις χρήματα; μὴ φυτεύεις λεῦκες κοντά της· διότι παρόμοιο εἶναι ἡ πολυτέλεια· πολλὰ ξοδεύει καὶ τίποτε δὲν παρουσιάζει δικό της, ἀλλὰ καταστρέφει τὸν καρπό.

Μὴ φυτεύσεις πεύκη, οὔτε ὁποιοδήποτε παρόμοιο

των, τῶν ἀναλισκόντων μέν, οὐδαμοῦ δὲ χρησίμων· τοιοῦτο γὰρ ἡ τῶν ἱματίων τρυφή, ἰδεῖν μόνον καλόν, οὐδαμοῦ δὲ χρήσιμον. Ἀναδενδράδων πλήρωσον· πάντα τὰ κάρπιμα φύτευσον ἐν ταῖς τῶν πενήτων χερσίν, ἅπερ ἂν θέλῃς. Οὐδὲν ταύτης λιπαρώτερον τῆς γῆς· καίτοι μικρόν ἐστι τὸ διάστημα τῆς χειρός, ἀλλ' ὅμως πρὸς αὐτὸν φθάνει τὸν οὐρανὸν τὸ φυτευόμενον δένδρον, καὶ βέβαιον ἕστηκε. Τοῦτό ἐστι φυτεῦσαι· τὸ μὲν γὰρ φυτευόμενον ἐν τῇ γῇ, κἂν μὴ νῦν, μετὰ ἑκατὸν ἔτη ἀπολεῖται. Τί φυτεύεις δένδρα, ὧν οὐκ ἀπολαύσῃ, ἀλλά, πρὶν ἢ ἀπολαύσεις, ὁ θάνατος ἐπελθὼν προαρπάζει σε; Τοῦτο τὸ δένδρον, ὅταν ἀποθάνῃς, τότε σοι δίδωσι τὸν καρπόν. Εἰ φυτεύεις, μὴ ἐν τῇ τῆς γαστριμαργίας φυτεύσῃς κοιλίᾳ, ἵνα μὴ εἰς ἀφεδρῶνα ὁ καρπὸς ἐκβῇ, ἀλλὰ φύτευσον ἐν τεθλιμμένῃ νηδύϊ, ἵνα πηδήσῃ πρὸς τὸν οὐρανὸν ὁ καρπός. Ἀνάπαυσον τὴν στενοχωρουμένην ψυχὴν τὴν τοῦ πένητος, ἵνα μὴ τὴν εὐρύχωρον θλίψῃς τὴν σήν. Οὐχ ὁρᾷς ὅτι τὰ ποτιζόμενα τῶν δένδρων ἀμέτρως, ἀπὸ τῆς ῥίζης σήπεται, τὰ δὲ μετὰ συμμετρίας αὔξεται; Οὕτω δὴ καὶ σὺ μὴ τὴν σαυτοῦ ποτίσῃς ἀμέτρως γαστέρα, ἵνα μὴ σαπῇ ἡ ῥίζα τοῦ δένδρου· πότισον τὴν διψῶσαν, ἵνα καρπὸν ἐνέγκῃ. Τὰ συμμέτρως ποτιζόμενα οὐ σήπει ὁ ἥλιος, τὰ δὲ ἀμέτρως σήπει· τοιαύτη γὰρ ἡ τοῦ ἡλίου φύσις.

Πανταχοῦ ἡ ἀμετρία κακόν· διὸ περικόψωμεν αὐτήν, ἵνα καὶ ἡμεῖς τύχωμεν, ὧν αἰτοῦμεν. Ἐν τοῖς ὑψηλοτάτοις χωρίοις αἱ πηγαὶ λέγονται τίκτεσθαι· οὐκοῦν γενώμεθα ὑψηλοὶ καὶ ἡμεῖς τὴν ψυχήν, καὶ ταχέως ἡ ἐλεημοσύνη ῥεύσει· οὐ γάρ ἐστι τὴν ὑψηλὴν ψυχὴν μὴ καὶ ἐλεήμονα εἶναι, καὶ τὴν

---

8. Πρβλ. Ματθ. 8, 12 κ.ὁ.

δένδρο, οὔτε κανένα ἄλλο ἀπὸ ἐκεῖνα ποὺ δαπανοῦν μέν, ἀλλὰ δὲν εἶναι πουθενὰ χρήσιμα· διότι κάτι παρόμοιο εἶναι ἡ πολυτέλεια τῶν ἐνδυμάτων, ἡ ὁποία μόνο κατὰ τὴν ἐμφάνιση παρουσιάζει ὡραιότητα, σὲ τίποτε δὲ δὲν παρουσιάζει χρησιμότητα. Γέμισε τὸ μέρος τῆς πηγῆς μὲ ἀναρριχώμενα κλήματα· φύτευσε ὅλα τὰ καρποφόρα στὰ χέρια τῶν φτωχῶν, ὁποιαδήποτε θέλεις. Κανένα μέρος ἀπὸ αὐτὴ τὴ γῆ δὲν εἶναι γονιμώτερο· ἂν καὶ εἶναι μικρὴ ἡ ἔκταση τοῦ χεριοῦ, ἐν τούτοις τὸ φυτευόμενο δένδρο σ' αὐτὸ τὸ μέρος φθάνει μέχρι τὸν ἴδιο τὸν οὐρανὸ καὶ στέκεται σταθερό. Αὐτὸ σημαίνει νὰ φυτεύσεις. Διότι τὸ μὲν φυτευόμενο στὴ γῆ, ἂν ὄχι τώρα, μετὰ ἑκατὸ ἔτη θὰ χαθεῖ. Τί φυτεύεις δένδρα, ἀπὸ τὰ ὁποῖα δὲν θὰ ἀπολαύσεις τοὺς καρπούς, ἀλλά, πρὶν τοὺς γευθεῖς, ἔρχεται ὁ θάνατος καὶ σὲ ἁρπάζει; Τὸ δένδρο αὐτὸ τῆς ἐλεημοσύνης, ὅταν πεθάνεις, τότε δίνει σὲ σένα τὸν καρπό. Ἂν φυτεύεις, νὰ μὴ φυτεύεις στὴν κοιλιὰ τῆς γαστριμαργίας, γιὰ νὰ μὴ καταλήξει ὁ καρπὸς στὸ ἀποχωρητήριο, ἀλλὰ φύτευσε σὲ στερημένη κοιλιά, γιὰ νὰ ἀνεβεῖ ὁ καρπὸς πρὸς τὸν οὐρανό. Ἀνακούφισε τὴ στενοχωρημένη ψυχὴ τοῦ φτωχοῦ, γιὰ νὰ μὴ στενοχωρήσεις τὴ δική σου τὴν ἄνετη. Δὲν βλέπεις ὅτι τὰ δένδρα ποὺ ποτίζονται ὑπερβολικὰ σαπίζουν ἀπὸ τὴ ρίζα, ἐνῶ ἐκεῖνα ποὺ ποτίζονται κανονικὰ αὐξάνονται; Ἔτσι καὶ σὺ λοιπὸν νὰ μὴ ποτίσεις τὴν κοιλιά σου ὑπερβολικά, γιὰ νὰ μὴ σαπίσει ἡ ρίζα τοῦ δένδρου· πότισε αὐτὴν ποὺ διψᾶ, γιὰ νὰ σοῦ ἀποφέρει καρπό. Τὰ κανονικὰ ποτιζόμενα δὲν τὰ σαπίζει ὁ ἥλιος, ἐνῶ τὰ ὑπερβολικὰ ποτιζόμενα τὰ σαπίζει· διότι τέτοια εἶναι ἡ φύση τοῦ ἡλίου.

Παντοῦ ἡ ἔλλειψη τοῦ μέτρου εἶναι κακό. Γι' αὐτὸ ἂς περικόψουμε αὐτήν, γιὰ νὰ ἐπιτύχουμε καὶ ἐμεῖς ἐκεῖνα ποὺ ζητοῦμε. Λέγεται ὅτι οἱ πηγὲς δημιουργοῦνται στὰ περισσότερο ὑψηλὰ μέρη. Λοιπὸν ἂς γίνουμε καὶ ἐμεῖς ὑψηλοὶ ὡς πρὸς τὴν ψυχή, καὶ ἀμέσως θὰ τρέξει καὶ ἡ ἐλεημοσύνη· διότι δὲν εἶναι δυνατὸ ἡ ὑψηλὴ ψυχὴ νὰ μὴ εἶναι καὶ ἐλεήμων, καὶ ἡ ἐλεήμων ψυχὴ νὰ μὴ

ἐλεήμονα μὴ καὶ ὑψηλήν. Ὁ γοῦν χρημάτων ὑπερορῶν, τῆς ῥίζης ἀνώτερός ἐστι τῶν κακῶν. Αἱ πηγαὶ ἐν ἐρημίαις εἰσὶν ὡς τὰ πολλά· καὶ ἡμεῖς τὴν ψυχὴν τῆς πολυοχλίας ἐξαγάγωμεν, καὶ πηγάσει παρ' ἡμῖν ἡ ἐλεημοσύνη. Αἱ πηγαί, ὅσῳ ἂν καθαίρωνται, ἀφθονώτεραι γίνονται· οὕτω δὴ καὶ ἡμεῖς, ὅσῳ ἂν ἀναλώσωμεν, τοσούτῳ βλαστάνει τὰ καλά. Ὁ πηγὴν ἔχων οὐ δέδοικεν· ἂν τοίνυν καὶ ἡμεῖς ἔχωμεν τὴν ἐλεημοσύνην πηγήν, οὐ φοβηθησόμεθα· καὶ γὰρ πρὸς ποτόν, πρὸς ἀρδείαν, πρὸς οἰκοδομήν, πρὸς πάντα ἡμῖν χρήσιμος αὕτη ἡ πηγή. Οὐδὲν τοῦ πόματος τούτου βέλτιον· οὐκ οἶδεν αὕτη μέθην ἐργάσασθαι· βέλτιον τοιαύτην ἔχειν πηγήν, ἢ χρυσοῦ πηγὰς ἐπιρρεῖν. Πάσης χρυσίτιδος γῆς βελτίων ἡ τοῦτον φέρουσα τὸν χρυσὸν ψυχή· οὐ γὰρ εἰς ταῦτα τὰ βασίλεια, καὶ τὰ ἄνω ἡμῖν συνεκχωρεῖ. Ὁ χρυσός, κόσμος γίνεται τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· ἀπὸ τούτου τοῦ χρυσοῦ ἡ μάχαιρα κατασκευάζεται τοῦ Πνεύματος, ἡ μάχαιρα, δι' ἧς ὁ δράκων ἀποτέμνεται. Ἀπὸ ταύτης τῆς πηγῆς οἱ λίθοι προέρχονται οἱ τίμιοι, οἱ περὶ τὴν κεφαλὴν τοῦ βασιλέως.

Μὴ δὴ ἀμελῶμεν τοσούτου πλούτου, ἀλλ' εἰσφέρωμεν τὴν ἐλεημοσύνην μετὰ δαψιλείας, ἵνα τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν χάριτι καὶ οἰκτιρμοῖς τοῦ Μονογενοῦς αὐτοῦ Υἱοῦ, ᾧ πᾶσα δόξα, τιμὴ καὶ κράτος, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

εἶναι καὶ ὑψηλή. Ἐκεῖνος λοιπὸν ποὺ περιφρονεῖ τὰ χρήματα εἶναι ἀνώτερος ἀπὸ τὴ ρίζα καὶ πηγὴ τῶν κακῶν. Οἱ πηγὲς στὰ περισσότερα μέρη βρίσκονται σὲ ἔρημα σημεῖα· καὶ ἐμεῖς ἂς βγάλουμε τὴν ψυχή μας ἀπὸ τὸν πολὺ θόρυβο, καὶ τότε θὰ πηγάσει καὶ ἡ ἐλεημοσύνη κοντά μας. Οἱ πηγὲς ὅσο καθαρίζονται, τόσο ἀφθονώτερο νερὸ παρέχουν· κατὰ τὸν ἴδιο τρόπο καὶ ἐμεῖς, ὅσο περισσότερα δαπανήσουμε μὲ τὴν ἐλεημοσύνη, τόσο περισσότερο αὐξάνουν τὰ ἀγαθά. Ἐκεῖνος ποὺ ἔχει πηγὴ δὲν φοβᾶται· ἂν λοιπὸν καὶ ἐμεῖς ἔχουμε τὴν ἐλεημοσύνη σὰν πηγή, δὲν θὰ φοβηθοῦμε. Διότι καὶ γιὰ πόση, καὶ γιὰ ἄρδευση καὶ γιὰ οἰκοδομή, καὶ γιὰ ὅλα τὰ ἀναγκαῖα θὰ εἶναι χρήσιμη ἡ πηγὴ αὐτή. Τίποτε δὲν εἶναι καλύτερο ἀπὸ τὸ ποτὸ αὐτό. Δὲν γνωρίζει αὐτὴ νὰ προκαλεῖ μέθη· εἶναι προτιμότερο νὰ ἔχεις τέτοια πηγή, παρὰ νὰ ἔχεις πηγὲς ποὺ ρέουν χρυσό. Ἡ ψυχὴ ποὺ φέρει αὐτὸν τὸν χρυσὸ εἶναι ἀνώτερη ἀπὸ κάθε χρυσοφόρα γῆ. Διότι δὲν εἰσέρχεται σ' αὐτὰ τὰ ἐπίγεια βασίλεια, ἀλλὰ μᾶς μεταφέρει στὰ ἐπουράνια. Ὁ χρυσὸς αὐτὸς γίνεται κόσμημα γιὰ τὴν ἐκκλησία τοῦ Θεοῦ· ἀπὸ τὸ χρυσὸ αὐτὸ κατασκευάζεται ἡ μάχαιρα τοῦ Πνεύματος, ἡ μάχαιρα, μὲ τὴν ὁποία ἀποκόβεται ὁ δράκος τῆς κακίας. Ἀπὸ αὐτὴν τὴν πηγὴ προέρχονται οἱ πολύτιμοι λίθοι ποὺ περιβάλλουν τὸ κεφάλι τοῦ βασιλιᾶ.

Ἂς μὴ ἀμελοῦμε λοιπὸν γιὰ τόσο πλοῦτο, ἀλλ' ἂς συνεισφέρουμε τὴν ἐλεημοσύνη μὲ ἀφθονία, γιὰ νὰ ἀξιωθοῦμε τὴ φιλανθρωπία ἐκ μέρους τοῦ Θεοῦ, μὲ τὴ χάρη καὶ τοὺς οἰκτιρμοὺς τοῦ Μονογενῆ Υἱοῦ του, στὸν ὁποῖο ἀνήκει κάθε δόξα, τιμὴ καὶ δύναμη, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΓ΄
(Πράξ. 10, 23 - 43)

«Τῇ δὲ ἐπαύριον ἀναστάς», φησίν, «ὁ Πέτρος, ἦλθε σὺν αὐτοῖς· καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ Ἰόππης συνῆλθον εἰς τὴν Καισάρειαν. Ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους».

1. Μετὰ τὸ ξενίσαι τοὺς ἄνδρας ἐξέρχεται σὺν αὐτοῖς· καλῶς. Πρότερον φιλοφρονεῖται ἅτε ἀπὸ καμάτου ὄντας αὐτούς, καὶ οἰκειοῖ ἑαυτῷ, εἶτα λοιπὸν καὶ συνέξεισι. «Τῇ δὲ ἐπαύριον», φησίν, «ἀναστὰς ὁ Πέτρος, ἦλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν». Οὐ μόνος, ἀλλὰ καὶ ἄλλοι ἔρχονται μετ᾽ αὐτοῦ· καὶ τοῦτο οἰκονομικῶς, ὥστε εἶναι μάρτυρας μετὰ ταῦτα, ὅταν ἀπολογεῖσθαι δέῃ Πέτρον. «Ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους». Τοῦτο φίλου, τοῦτο θεοσεβοῦς, ἐν τοῖς τοιούτοις ἀγαθοῖς πρὸ πάντων ποιεῖσθαι κοινωνοὺς τοὺς ἀναγκαίους φίλους. Εἰκότως τούτους συγκαλεῖ, οἷς ἐθάρρει ἀεὶ περὶ τοιούτων διασκεπτόμενος μάλιστα, ἃ περιττὸν τέως ἦν πρὸς ἄλλους ἐξενεγκεῖν. Ἐμοὶ δὲ καὶ φίλοι καὶ συγγενεῖς παρ᾽ αὐτοῦ δοκοῦσιν ἐρρυθμίσθαι. «Ὡς δὲ ἐγένετο τοῦ συνελεῖν τὸν Πέτρον, συναντήσας αὐτῷ ὁ Κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν. Ὁ δὲ Πέτρος ἤγειρεν αὐτόν, λέγων· Ἀνάστηθι· καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι». Τοῦ-

ΟΜΙΛΙΑ ΚΓ΄
(Πράξ. 10, 23-43)

«Τὴν ἑπόμενη ἡμέρα», λέγει, «σηκώθηκε καὶ μαζὶ μὲ αὐτοὺς ἀναχώρησε γιὰ τὴν Καισάρεια. Καὶ μερικοὶ ἀπὸ τοὺς ἀδελφοὺς τῆς Ἰόππης τοὺς συνόδευσαν. Ὁ δὲ Κορνήλιος τοὺς περίμενε καὶ εἶχε καλέσει τοὺς συγγενεῖς του καὶ τοὺς στενοὺς φίλους του»[1].

1. Μετὰ τὴν φιλοξενία τῶν ἀνδρῶν ἀναχωρεῖ μαζί τους· καλῶς. Πρῶτα περιποιεῖται αὐτούς, ἐφόσον ἦταν κατάκοποι, καὶ τοὺς κάνει νὰ αἰσθάνονται μαζί του σὰν δικοί του, κατόπιν δὲ ἐξέρχεται μαζί τους. «Τὴν ἄλλη ἡμέρα», λέγει, «ἀναχώρησε ὁ Πέτρος καὶ μαζὶ μὲ αὐτοὺς τὸν συνόδευσαν καὶ μερικοὶ ἀδελφοί». Δὲν ἦταν μόνος, ἀλλὰ καὶ ἄλλοι ἔρχονται μαζί του· καὶ αὐτὸ σκόπιμα γιὰ νὰ ὑπάρχουν κατόπιν μάρτυρες, ὅταν θὰ χρειασθεῖ νὰ ἀπολογηθεῖ ὁ Πέτρος. «Ὁ δὲ Κορνήλιος ἐν τῷ μεταξὺ τοὺς περίμενε καὶ εἶχε καλέσει τοὺς συγγενεῖς του καὶ τοὺς στενοὺς φίλους του». Αὐτὸ εἶναι γνώρισμα φίλου, αὐτὸ εἶναι γνώρισμα θεοσεβῆ, στὰ καλὰ αὐτὰ γεγονότα, νὰ κάνει κοινωνοὺς πρὸ πάντων τοὺς στενούς τους φίλους. Δικαιολογημένα συγκαλεῖ αὐτούς, μὲ τοὺς ὁποίους εἶχε τὸ θάρρος βέβαια πάντοτε νὰ συζητᾶ γιὰ τὰ παρόμοια ζητήματα, τὰ ὁποῖα ἀρχικὰ ἦταν περιττὸ νὰ ἀνακοινώσεις σὲ ἄλλους. Ἐμένα δὲ μοῦ φαίνεται, ὅτι καὶ οἱ φίλοι καὶ οἱ συγγενεῖς του εἶχαν ἀπ' αὐτὸν καθοδηγηθεῖ κατάλληλα γιὰ τὸ θέμα αὐτό. «Ὅταν δὲ ἐπρόκειτο νὰ εἰσέλθει ὁ Πέτρος στὴν οἰκία, βγῆκε ὁ Κορνήλιος καὶ τὸν προϋπάντησε, καὶ ἀφοῦ ἔπεσε στὰ πόδια του τὸν προσκύνησε· Ὁ δὲ Πέτρος τὸν σήκωσε, λέγοντας· Σήκω ἐπάνω, γιατὶ καὶ ἐγὼ ἄνθρωπος εἶμαι». Κάμνει αὐτό, γιὰ

το ποιεῖ, τὸ ταπεινὸν αὐτοῦ δεικνύς, καὶ παιδεύων τοὺς ἄλλους, καὶ τῷ Θεῷ εὐχαριστῶν, καὶ δηλῶν ὡς, εἰ καὶ ἐκελεύσθη, ὅμως οἴκοθεν πολλὴν εἶχε τὴν εὐλάβειαν. Τί οὖν ὁ Πέτρος; «Ἀνάστηθι· καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι». Ὁρᾷς πῶς πρὸ τῶν ἄλλων τοῦτο αὐτοὺς παιδεύουσι, μηδὲν μέγα περὶ ἑαυτῶν φαντάζεσθαι;

«Καὶ συνομιλῶν αὐτῷ, εἰσῆλθε, καὶ εὑρίσκει συνεληλυθότας πολλούς, ἔφη τε πρὸς αὐτούς· Ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ». Ὅρα, εὐθέως περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας διαλέγεται, καὶ δείκνυσιν ὅτι μεγάλα αὐτοῖς ἐχαρίσατο ἀγαθά. Οὐ μόνον δὲ τοῦτο θαυμάζειν ἐνταῦθα ἔνι, ὅτι τοιαῦτα διαλέγεται, ἀλλ' ὅτι πῶς ὁμοῦ καὶ μεγάλα φθέγγεται, καὶ μετριάζει· οὐ γὰρ εἶπεν, "Ἄνθρωποι, μηδενὶ καταξιοῦντες κολλᾶσθαι, ἤλθομεν πρὸς ὑμᾶς, ἀλλὰ τί; «Ὑμεῖς ἐπίστασθε (ὁ Θεὸς τοῦτο ἐκέλευσε, φησί), «παράνομον εἶναι κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ». Εἶτα, ἵνα μὴ ἐπ' αὐτῷ τὴν χάριν θῇ, ἐπάγει· «Καὶ ἐμοὶ ὁ Θεὸς ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον». Τοῦτο προστίθησιν, ἵνα μὴ δόξῃ κολακεύειν αὐτόν. «Διὸ καὶ ἀναντιρρήτως ἦλθον μεταπεμφθείς». Ἵνα μὴ νομίσωσιν ὅτι, εἰ καὶ παρανομία ἦν τὸ πρᾶγμα, ἐπειδὴ ἄρχων ἦν, διὰ τοῦτο ἐπήκουσεν, ἀλλὰ τὸ πᾶν τῷ Θεῷ λογίσωνται, οὐ μόνον οὐ κολλᾶσθαι, ἀλλ' οὐδὲ προσέρχεσθαι ἐξόν, φησίν. «Πυνθάνομαι οὖν, τίνι λόγῳ μεταπέμψασθέ με;». Οὐκ ἀγνοῶν πυνθάνεται, (ᾔδει γὰρ τὸ πᾶν ὁ Πέτρος ἀπὸ τοῦ ὁράματος· ἤκουσε δὲ καὶ παρὰ τῶν στρα-

νὰ δείξει τὴν ταπεινοφροσύνη του, καὶ γιὰ νὰ διδάξει τούς ἄλλους, καὶ γιὰ νὰ εὐχαριστήσει τὸ Θεό, καὶ γιὰ νὰ φανερώσει ὅτι, ἄν καὶ ἔλαβε ἐντολή, ἐν τούτοις εἶχε ἀπὸ μόνος του τὴν εὐλάβεια σὲ μεγάλο βαθμό. Τί λοιπὸν λέγει ὁ Πέτρος; «Σήκω ἐπάνω· γιατὶ καὶ ἐγὼ ἄνθρωπος εἶμαι». Βλέπεις πῶς πρὶν ἀπὸ τὰ ἄλλα θέματα αὐτὸ διδάσκουν αὐτούς, νὰ μὴν ἔχουν μεγάλη ἰδέα γιὰ τοὺς ἑαυτούς τους;

«Καὶ συνομιλώντας μαζί του εἰσῆλθε στὸ σπίτι καὶ βρῆκε ἐκεῖ πολλοὺς συγκεντρωμένους, καὶ εἶπε πρὸς αὐτούς ὁ Πέτρος· «Σεῖς γνωρίζετε ὅτι δὲν ἐπιτρέπεται ἀπὸ τὸ νόμο σὲ Ἰουδαῖο ἄνθρωπο νὰ συναναστρέφεται ἢ νὰ πλησιάζει ἁπλῶς ἀλλοεθνή». Πρόσεχε, ὅτι ἀμέσως ὁμιλεῖ γιὰ τὴ φιλανθρωπία τοῦ Θεοῦ, καὶ δείχνει ὅτι τοὺς χάρισε μεγάλα ἀγαθά. Δὲν εἶναι δὲ μόνο αὐτὸ ἐδῶ ἀξιοθαύμαστο, ὅτι ὁμιλεῖ γιὰ τέτοια θέματα, ἀλλ' ὅτι συγχρόνως ὁμιλεῖ καὶ γιὰ σπουδαῖα καὶ τὰ μετριάζει αὐτὰ κάπως. Διότι δὲν εἶπε, 'ἄνθρωποι, ποὺ δὲν θεωροῦμε ἄξιο νὰ συναναστραφοῦμε κανένα, προσήλθαμε σὲ σᾶς', ἀλλὰ τί; «Σεῖς γνωρίζετε (ὁ Θεὸς τὸ διέταξε αὐτό, λέγει), «ὅτι εἶναι παράνομο νὰ συναναστρέφεται ἢ νὰ πλησιάζει κάποιος ἀλλοεθνή». Ἔπειτα, γιὰ νὰ μὴ ἀποδοθεῖ ἀπὸ τὸν Κορνήλιο σ' αὐτὸν ἡ χάρη, προσθέτει· «Καὶ σὲ μένα ὁ Θεὸς ἔδειξε καθαρά, νὰ μὴ θεωρῶ μολυσμένο ἢ ἀκάθαρτο κανένα ἄνθρωπο». Αὐτὸ τὸ προσθέτει ὁ Πέτρος γιὰ νὰ μὴ θεωρηθεῖ ὅτι κολακεύει τὸν Κορνήλιο. «Γι' αὐτὸ καὶ ὅταν μὲ καλέσατε, ἦλθα χωρὶς καμιὰ ἀντίρρηση». Γιὰ νὰ μὴ νομίσουν ὅτι, ἂν καὶ ἦταν τὸ πράγμα παρανομία, ἐπειδὴ ἦταν ἄρχοντας ὁ Κορνήλιος, γι' αὐτὸ ὑπάκουσε ὁ Πέτρος, ἀλλὰ γιὰ νὰ θεωρήσουν καὶ ἀποδώσουν τὸ πᾶν στὸ Θεό, ἐφ' ὅσον δὲν ἐπιτρεπόταν στοὺς Ἰουδαίους ὄχι μόνο νὰ συναναστραφοῦν, ἀλλὰ οὔτε καὶ νὰ πλησιάσουν, λέγει. «Ζητῶ λοιπὸν νὰ μάθω, γιὰ ποιὸ λόγο μὲ καλέσατε;». Δὲν ζητεῖ νὰ μάθει ἐπειδὴ ἀγνοεῖ (διότι γνώριζε τὴν ὅλη ὑπόθεση ὁ Πέτρος ἀπὸ τὸ ὅραμα· ἄκουσε δὲ γι' αὐτὴν καὶ ἀπὸ τοὺς στρατιῶτες), ἀλλὰ θέλει πρῶτα οἱ

τιωτῶν), ἀλλὰ βούλεται πρῶτον αὐτοὺς ὁμολογῆσαι, καὶ ὑπευθύνους ποιῆσαι τῇ πίστει.

Τί οὖν ὁ Κορνήλιος; Οὐκ εἶπεν, 'Οὐ γὰρ εἶπόν σοι οἱ στρατιῶται;' ἀλλ' ὅρα πῶς πράως καὶ ταπεινῶς· «Ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων, καὶ τὴν ἐνάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου· καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ, καί φησι· Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχή, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ». «Καὶ τὴν ἐνάτην ὥραν», φησί, «προσευχόμενος». Τί ἐστι τοῦτο; Ἐμοὶ δοκεῖ καὶ καιροὺς ὡρικέναι ἑαυτῷ βίου ἀκριβεστέρου, καὶ ἔν τισιν ἡμέραις· διὰ γὰρ τοῦτο εἶπεν, «Ἀπὸ τετάρτης ἡμέρας». Ὅρα πόσον ἐστὶν εὐχή. Ὅτε ἐπέδωκεν εἰς εὐλάβειαν, τότε φαίνεται αὐτῷ ἄγγελος. Αὕτη μία ἡμέρα· καὶ ἣν ἀπῆλθον οἱ πεμφθέντες, μία· καὶ ἣν ἦλθον, πάλιν μία· καὶ τῇ τετάρτῃ ἐφάνη, ὡς εἶναι δευτέραν μεθ' ἣν προσηύξατο.

«Καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ». Οὐ λέγει ἄγγελον, οὕτως ἐστὶν ἄτυφος. «Καί φησι· Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχή, καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ· πέμψον οὖν εἰς Ἰόππην, καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος· οὗτος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θάλασσαν· ὃς παραγενόμενος λαλήσει σοι. Ἐξαυτῆς οὖν ἔπεμψα πρὸς σέ· σύ τε καλῶς ἐποίησας παραγενόμενος. Νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ Θεοῦ πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ». Διὰ τοῦτο εἶπε, «Τίνι λόγῳ μετεπέμ-

ἴδιοι νὰ ὁμολογήσουν καὶ νὰ τοὺς κάνει ὑπεύθυνους γιὰ τὴν πίστη.

Τί λοιπὸν λέγει ὁ Κορνήλιος; Δὲν εἶπε, 'Δὲν σοῦ εἶπαν δηλαδὴ οἱ στρατιῶτες;' ἀλλὰ πρόσεχε μὲ ποιὰ πραότητα καὶ ταπεινοφροσύνη ἀποκρίνεται· «πρὶν ἀπὸ τέσσερες ἡμέρες καὶ ἐνῶ στὶς τρεῖς τὸ ἀπόγευμα προσευχόμουν στὸ σπίτι μου, ξαφνικὰ ἕνας ἄνθρωπος μὲ λαμπρὴ ἐνδυμασία στάθηκε μπροστά μου καὶ εἶπε· «Κορνήλιε, ἡ προσευχή σου ἔγινε ἀκουστὴ ἀπὸ τὸ Θεὸ καὶ οἱ ἐλεημοσύνες σου ἔχουν γίνει γνωστὲς καὶ φανερὲς ἐνώπιον τοῦ Θεοῦ. «Καὶ στὶς τρεῖς τὸ ἀπόγευμα, ἐνῶ προσευχόμουν», λέγει. Τί σημαίνει αὐτό; Ἐμένα μοῦ φαίνεται ὅτι εἶχε καθορίσει μὲ ἀκρίβεια γιὰ τὸν ἑαυτό του ὁρισμένα χρονικὰ σημεῖα καὶ σὲ ὁρισμένες ἡμέρες γιὰ μιὰ ἐπιμελέστερη ζωή· διότι γι' αὐτὸ εἶπε, «Ἐπὶ τέσσερες ἡμέρες». Πρόσεχε πόσο σπουδαῖο πράγμα εἶναι ἡ προσευχή. Ὅταν εἶχε διακριθεῖ γιὰ τὴν ἐπίδοσή του σὲ εὐλάβεια, τότε παρουσιάζεται ὁ ἄγγελος σ' αὐτόν. Αὐτὴ εἶναι μιὰ ἡμέρα· καὶ ἐκείνη κατὰ τὴν ὁποία ἔφυγαν οἱ ἀποσταλέντες στρατιῶτες, ἄλλη μία· καὶ ἐκείνη κατὰ τὴν ὁποία ἔφθασαν στὸ σπίτι τοῦ Πέτρου, πάλι ἄλλη μιά· καὶ τὴν τέταρτη φάνηκε σ' αὐτὸν ὁ ἄγγελος, ὥστε νὰ εἶναι ἡ δεύτερη ἡμέρα μετὰ ἀπὸ ἐκείνη, κατὰ τὴν ὁποία προσευχήθηκε.

«Καὶ νὰ ἕνας ἄνθρωπος μὲ λαμπρὴ ἐνδυμασία στάθηκε μπροστά μου». Δὲν τὸν ὀνομάζει ἄγγελο· τόσο πολὺ ταπεινὸς εἶναι. «Καὶ λέγει· Κορνήλιε, εἰσακούσθηκε ἡ προσευχή σου ἀπὸ τὸ Θεό, καὶ οἱ ἐλεημοσύνες σου ἔχουν γίνει γνωστὲς καὶ φανερὲς ἐνώπιον τοῦ Θεοῦ· στεῖλε λοιπὸν στὴν Ἰόππη καὶ προσκάλεσε ἐδῶ τὸν Σίμωνα, ποὺ ἐπονομάζεται Πέτρος. Αὐτὸς φιλοξενεῖται στὸ σπίτι τοῦ Σίμωνα τοῦ βυρσοδέψη κοντὰ στὴ θάλασσα. Αὐτὸς ὅταν ἔλθει θὰ σοῦ μιλήσει τί πρέπει νὰ κάνεις. Ἀμέσως λοιπὸν ἔστειλα νὰ σὲ καλέσει· καὶ σὺ καλὰ ἔκανες ποὺ ἦλθες. Τώρα ὅλοι ἐμεῖς εἴμαστε ἐδῶ παρόντες ἐνώπιον τοῦ Θεοῦ, γιὰ νὰ ἀκούσουμε ὅλα ὅσα σὲ ἔχει διατάξει ὁ Θεός». Γι' αὐτὸ εἶπε ὁ Πέτρος, «Γιὰ ποιὸ λόγο στείλατε

ψασθέ με;» ἵνα ταῦτα οὕτως εἴπῃ τὰ ῥήματα. «Ἀνοίξας δὲ Πέτρος τὸ στόμα εἶπεν· Ἐπ' ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι». Τουτέστιν, 'ἄν τε ἀκρόβυστός ἐστιν, ἄν τε ἐμπερίτομος'. Τοῦτο καὶ Παῦλος δηλῶν, «οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ»[1], λέγει. «Νῦν οὖν πάρεσμεν πάντες ἡμεῖς», φησίν, «ἐνώπιον τοῦ Θεοῦ». Ὅρα ὅση ἡ πίστις, ὅση ἡ εὐλάβεια. Ἤδει ὅτι οὐδὲν ἀνθρώπινον εἶπεν ὁ Πέτρος, «ὁ Θεὸς ἔδειξέ μοι», εἰπών· διὸ καὶ τὸ «πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ», λέγει. Τί οὖν; ἄρα δεκτὸς αὐτῷ ἐστι ὁ ἐν Περσίδι; Ἂν ᾖ ἄξιος, ταύτῃ δεκτὸς ἔσται τῷ καταξιωθῆναι τῆς πίστεως. Ἐντεῦθεν καὶ τὸν ἐξ Αἰθιοπίας εὐνοῦχον οὐ περιεῖδε. Καὶ τί, φησίν, ἂν εἴποις περὶ τῶν θεοσεβῶν καὶ περιοφθέντων; Ἄπαγε! οὐδεὶς περιορᾶται θεοσεβής· οὐ γάρ ἐστιν, οὐκ ἔστι περιοφθῆναί τινα τῶν τοιούτων ποτέ. «Ἐν παντὶ ἔθνει», φησίν, ὁ φοβούμενος τὸν Θεὸν καὶ ἐργαζόμενος δικαιοσύνην». Δικαιοσύνην τὴν πᾶσαν ἀρετὴν καλεῖ.

2. Ὁρᾷς πῶς καταστέλλει αὐτοῦ τὸ φρόνημα τῷ εἰπεῖν, «Ἐν παντὶ ἔθνει ὁ φοβούμενος τὸν Θεόν, δεκτὸς αὐτῷ ἐστιν»; ὡσεὶ ἔλεγεν· 'Οὐδένα ἀπωθεῖται, πάντας προσίεται τοὺς πιστεύοντας'. Εἶτα, ἵνα μὴ δόξωσιν ἐν τάξει ἀπερριμμένων εἶναι, ἐπάγει «Τὸν Λόγον, ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραήλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ· οὗτός ἐστι πάντων Κύριος». Ταῦτα λέγει διὰ τοὺς παρόντας, ἵνα καὶ ἐκείνους πείσῃ. Διὰ τοῦτο παρασκευάζει καὶ τὸν Κορνήλιον εἰπεῖν. «Τὸν Λόγον», φησίν, «ὃν ἀπέστειλε τοῖς υἱοῖς

1. Ρωμ. 2, 11.

καὶ μὲ καλέσατε;», γιὰ νὰ πεῖ τὰ λόγια αὐτά. «Τότε ἄνοιξε ὁ Πέτρος τὸ στόμα του καὶ εἶπε· Ἀλήθεια, καταλαβαίνω πολὺ καλά, ὅτι ὁ Θεὸς δὲν εἶναι προσωπολήπτης, ἀλλὰ σὲ κάθε ἔθνος, καθένας ποὺ σέβεται τὸ Θεὸ καὶ ἐφαρμόζει δικαιοσύνη στὴ ζωή του, γίνεται δεκτὸς ἀπὸ αὐτόν». Δηλαδή, «εἴτε εἶναι αὐτὸς ἀπερίτμημος, εἴτε περιτμημένος'. Αὐτὸ καὶ ὁ Παῦλος δηλώνοντας, λέγει· «Δὲν εἶναι προσωπολήπτης ὁ Θεός»[1]. «Τώρα λοιπὸν ὅλοι ἐμεῖς ἐδῶ εἴμαστε παρόντες ἐνώπιον τοῦ Θεοῦ», λέγει. Πρόσεχε πόση εἶναι ἡ πίστη του, πόση ἡ εὐλάβειά του. Γνώριζε ὅτι ὁ Πέτρος δὲν εἶπε τίποτε τὸ ἀνθρώπινο, ὅταν εἶπε, «ὁ Θεὸς μὲ ἔδειξε». Γι' αὐτὸ λέγει καί τό, «Εἴμαστε παρόντες ἐνώπιον τοῦ Θεοῦ, γιὰ νὰ ἀκούσουμε μὲ προσοχὴ ὅλα ὅσα σὲ ἔχει διατάξει ὁ Θεὸς νὰ πεῖς». Τί λοιπόν; Ἄραγε εἶναι δεκτὸς ἐνώπιον τοῦ Θεοῦ ἐκεῖνος ποὺ κατοικεῖ στὴν Περσία; Ἐὰν εἶναι ἄξιος, τότε θὰ γίνει δεκτὸς γιὰ νὰ ἀξιωθεῖ νὰ δεχθεῖ τὴν πίστη. Γι' αὐτὸ καὶ δὲν παρέβλεψε τὸν εὐνοῦχο ἀπὸ τὴν Αἰθιοπία. Καὶ τί θὰ μποροῦσες νὰ πεῖς, λέγει, γιὰ τοὺς θεοσεβεῖς ποὺ ἔχουν καταφρονηθεῖ; Μακριὰ μιὰ τέτοια σκέψη! Κανένας θεοσεβὴς δὲν παραβλέπεται. Διότι δὲν εἶναι δυνατό, δὲν εἶναι δυνατὸ ποτὲ νὰ καταφρονηθεῖ κάποιος ἄνθρωπος εὐσεβής. «Σὲ κάθε ἔθνος, καθένας ποὺ φοβᾶται τὸ Θεὸ καὶ ἐφαρμόζει τὴ δικαιοσύνη στὴ ζωή», λέγει· Δικαιοσύνη ὀνομάζει ὁλόκληρη τὴν ἀρετή.

2. Βλέπεις πῶς μετριάζει τὸ φρόνημά του μὲ τὸ νὰ πεῖ, «Σὲ κάθε ἔθνος ὁ καθένας ποὺ σέβεται τὸ Θεό, γίνεται δεκτὸς ἀπὸ αὐτόν»; σὰν νὰ ἔλεγε· Κανένα δὲν ἀπομακρύνει, ἀποδέχεται ὅλους ἐκείνους ποὺ πιστεύουν'. Ἔπειτα, γιὰ νὰ μὴ θεωρηθοῦν ὅτι ἀνήκουν στὴν τάξη τῶν παραμερισμένων, προσθέτει· «Σύμφωνα μὲ τὸ λόγο, τὸν ὁποῖο ἔστειλε ὁ Θεὸς στοὺς Ἰσραηλίτες, ἀναγγέλοντας τὸ χαρμόσυνο μήνυμα τῆς εἰρήνης μὲ τὸν Ἰησοῦ Χριστό· αὐτὸς εἶναι ὁ Κύριος ὅλων». Αὐτὰ τὰ λέγει γιὰ τοὺς παρόντες, γιὰ νὰ πείσει καὶ ἐκείνους. Γι' αὐτὸ προετοιμάζει καὶ τὸν Κορνήλιο νὰ πεῖ· «Τὸ λόγο», λέγει, «ποὺ

Ἰσραήλ». Ὅρα, τούτοις δίδωσι τέως τὸ ἐξαίρετον· εἶτα καὶ αὐτοὺς μάρτυρας ἐπάγεται, λέγων· «Ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας, μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης». Ὅτι οὕτως ἔχει, τοῦτο καὶ ἀπὸ τοῦ ἑξῆς βεβαιοῖ· «Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς ἐν Πνεύματι ἁγίῳ καὶ δυνάμει». Οὐκ εἶπεν, «Ἴστε Ἰησοῦν» (οὐδὲ γὰρ ᾔδεσαν), ἀλλὰ τὰ ὑπ' αὐτοῦ εἰργασμένα διέξεισιν· «Ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου». Ἐντεῦθεν δείκνυσι πολλὰς πηρώσεις διαβολικὰς καὶ διαστροφὴν σώματος, ὑπ' ἐκείνου γενομένας. «Ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ». Πάλιν ταπεινὰ φθέγγεται οὐχ ἁπλῶς, οἶμαι, ἀλλὰ διὰ τὸ ἀνθρώπινον.

«Καὶ ἡμεῖς μάρτυρες πάντων, ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ ἐν Ἱερουσαλήμ». Καὶ ὑμεῖς, φησί, καὶ ἡμεῖς. «Ὃν καὶ ἀνεῖλον, κρεμάσαντες ἐπὶ ξύλου». Ἐνταῦθα τὸ πάθος κηρύττει. «Τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι, τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν». Τοῦτο τεκμήριον τῆς ἀναστάσεως μέγιστον. «Καὶ παρήγγειλεν ἡμῖν κηρῦξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι ὅτι οὗτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν». Μέγα καὶ τοῦτο πρὸς τὸ δεῖξαι ἀξιοπίστους. Ὁ δὲ καὶ μαρτυρίαν ἐπάγει, λέγων· «Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν». Τοῦτο

ἔστειλε στοὺς Ἰσραηλίτες». Πρόσεχε, σ' αὐτοὺς πρῶτα δίνει τὸ προνόμιο· ἔπειτα καὶ τοὺς ἴδιους ἐπικαλεῖται σὰν μάρτυρες, λέγοντας· «Σεῖς γνωρίζετε καλὰ τὸ γεγονὸς ποὺ κηρύχθηκε καὶ διαδόθηκε σ' ὅλη τὴν Ἰουδαία, καὶ τὸ ὁποῖο εἶχε ἀρχίσει ἀπὸ τὴ Γαλιλαία, μετὰ ἀπὸ τὸ βάπτισμα μετανοίας ποὺ εἶχε κηρύξει ὁ Ἰωάννης». Ὅτι ἔτσι ἔχει τὸ πράγμα, τὸ βεβαιώνει καὶ μὲ τὰ ἑξῆς· «Γνωρίζετε δηλαδὴ τὸν Ἰησοῦ, τὸν προερχόμενο ἀπὸ τὴν Ναζαρέτ, πῶς ἔχρισε αὐτὸν ὁ Θεὸς μὲ Πνεῦμα ἅγιο καὶ τοῦ ἔδωσε τὴ θεία δύναμη». Δὲν εἶπε, 'Γνωρίζετε τὸν Ἰησοῦ', (διότι δὲν τὸν γνώριζαν), ἀλλὰ προβάλλει τὰ ἔργα ποὺ πραγματοποιήθηκαν ἀπὸ αὐτόν· «Ὁ ὁποῖος περιόδευε εὐεργετώντας καὶ θεραπεύοντας ὅλους ἐκείνους ποὺ τυραννιοῦνταν ἀπὸ τὸ διάβολο». Ἐδῶ δείχνει ὅτι πολλὲς ἀναπηρίες ἦταν διαβολικὲς ἐπιδράσεις καὶ ὅτι πολλὲς σωματικὲς παραμορφώσεις ἔγιναν ἀπὸ τὸ διάβολο. «Διότι ὁ Θεὸς ἦταν μαζί του». Πάλι ταπεινὰ ὁμιλεῖ, ὄχι τυχαῖα, νομίζω, ἀλλ' ἐξ αἰτίας τῆς ἀνθρώπινης ἀδυναμίας.

«Καὶ ἐμεῖς εἴμαστε αὐτόπτες μάρτυρες ὅλων ἐκείνων ποὺ ἔπραξε ὁ Ἰησοῦς καὶ στὴ χώρα τῶν Ἰουδαίων καὶ στὴν Ἰερουσαλήμ». Καὶ σεῖς, λέγει, καὶ ἐμεῖς. «Αὐτὸν τὸν φόνευσαν κρεμώντας τον ἐπάνω στὸ ξύλο τοῦ σταυροῦ». Ἐδῶ κηρύσσει τὸ σταυρικὸ πάθος τοῦ Χριστοῦ. «Αὐτὸν ὅμως ὁ Θεὸς τὸν ἀνέστησε κατὰ τὴν τρίτη ἡμέρα καὶ ἐπέστρεψε νὰ ἐμφανισθεῖ, ὄχι σ' ὅλο τὸ λαό, ἀλλὰ σὲ μάρτυρες ποὺ εἶχε διαλέξει ἀπὸ πρὶν ὁ Θεός, οἱ ὁποῖοι ἐφάγαμε καὶ ἤπιαμε μαζί του, μετὰ τὴν ἀνάστασή του ἐκ νεκρῶν». Αὐτὸ εἶναι ἡ μεγαλύτερη ἀπόδειξη τῆς Ἀναστάσεως. «Καὶ μᾶς παρήγγειλε νὰ κηρήξουμε τὸ Εὐαγγέλιο σ' ὅλο τὸ λαό, νὰ μαρτυρήσουμε ἐπίσημα καὶ νὰ διαλαλήσουμε, ὅτι αὐτὸς εἶναι ὁ προορισμένος ἀπὸ τὸ Θεὸ κριτὴς ζώντων καὶ νεκρῶν». Σπουδαῖο καὶ αὐτὸ στὸ ν' ἀποδείξει αὐτοὺς ἀξιόπιστους. Ὁ δὲ Πέτρος προσθέτει καὶ μαρτυρία, λέγοντας· «Γι' αὐτὸν ἐπιβεβαιώνουν ὅλοι οἱ προφῆτες καὶ διδάσκουν, ὅτι ὅποιος πιστεύει σ' αὐτόν, θὰ λάβει ἄφεση ἁμαρτιῶν μὲ τὴ δύναμη τοῦ ὀνόμα-

τοῦ μέλλοντος ἔσεσθαι μετὰ ταῦτα προαναφώνησις· ἣν δὴ καὶ βεβαιῶν, τοὺς προφήτας εὐκαίρως μάρτυρας παράγει. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ κατὰ τὸν Κορνήλιον.

«Ἀπέστειλε», φησίν, «εἰς Ἰόππην μετακαλέσασθαι τὸν Πέτρον». Ἐπίστευσεν ὅτι πάντως ἥξει· διὸ καὶ ἀποστέλλει. «Καὶ συνομιλῶν αὐτῷ», φησίν, «εἰσῆλθε». Τί ἄρα ὁμιλῶν; Ταῦτα, οἶμαι, φθεγγόμενος, ἅπερ ἔμπροσθεν εἴρηται. «Καὶ πεσὼν ἐπὶ τοὺς πόδας, προσεκύνησεν». Ὅρα κολακείας ἀπηλλαγμένον τὸν λόγον πανταχοῦ, καὶ ταπεινότητος γέμοντα. Ἐντεῦθεν ἄξιος δείκνυται καὶ ἐκεῖνος ὁ εὐνοῦχος· «ἐκέλευσε γὰρ τῷ Φιλίππῳ ἀναβῆναι καὶ καθίσαι ἐπὶ τὸ ὄχημα», καίτοι οὐκ εἰδὼς ὅστις ἐστίν, ἢ ἀπὸ τῆς ἀπαγγελίας μόνον τῆς τοῦ Προφήτου. Οὗτος δὲ καὶ ἔπεσεν ἐπὶ τοὺς πόδας. Εἶδες ἦθος ἄτυφον; Σὺ δέ μοι σκόπει πῶς δείκνυσι Πέτρος θείαν αὐτοῦ τὴν παρουσίαν τῷ λέγειν· «Ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστι». Καὶ διὰ τί μὴ εἶπε τὴν σινδόνα εὐθέως; Ὅτι ἀκενόδοξος ἦν σφόδρα· ὅτι μὲν γὰρ ἀπέσταλται ὑπὸ Θεοῦ λέγει, τὸ δὲ πῶς, οὐκ ἔτι· ἀλλ' ὅτε ἀνάγκη γέγονεν, ὅτε καὶ εἶπεν· «Ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ»· οὕτως ἦν πόρρω κενοδοξίας. «Ὑμεῖς ἐπίστασθε». Τοῦτο λέγων, καὶ τὴν ἐκείνων κατεγγυᾶται γνώμην. Τί δαὶ Κορνήλιος; «Πάρεσμεν», φησίν, «ἐνώπιον τοῦ Θεοῦ, ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ». Οὐκ εἶπεν, 'Ἐνώπιον ἀνθρώπου', ἀλλὰ «τοῦ Θεοῦ», δεικνὺς ὅτι οὕτω δεῖ προσέχειν τοῖς τοῦ Θεοῦ δούλοις. Εἴδετε διάνοιαν διεγηγερμένην; εἴδετε πῶς ἄξιος ἦν πάντων τούτων;

«Ἀνοίξας δέ», φησί, «Πέτρος τὸ στόμα εἶπεν· Ἐπ' ἀλη-

2. Πράξ. 8, 31.

τός του». Αὐτὸ εἶναι προαναγγελία ἐκείνου ποὺ πρόκειται νὰ ἐπακολουθήσει μετὰ ταῦτα, τὴν ὁποία βέβαια γιὰ νὰ ἐπιβεβαιώσει, ἐπικαλεῖται μὲ τὴν εὐκαιρία σὰν μάρτυρες τοὺς προφῆτες. Ἀλλὰ ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ σχετικὰ μὲ τὸν Κορνήλιο.

«Ἀπέστειλε», λέγει, «στὴν Ἰόππη ἀνθρώπους γιὰ νὰ καλέσει τὸν Πέτρο». Πίστεψε ὅτι ὁπωσδήποτε θὰ ἔλθει καὶ γι' αὐτὸ καὶ στέλλει ἀνθρώπους. «Καὶ συνομιλώντας μαζί του», λέγει, εἰσῆλθε στὸ σπίτι». Τί ἄραγε νὰ ἔλεγε; Ἐκεῖνα, νομίζω, ἔλεγε ποὺ προαναφέρθηκαν. «Ἀφοῦ ἔπεσε στὰ πόδια του, τὸν προσκύνησε». Πρόσεχε ὅτι ὁ λόγος του εἶναι παντοῦ ἀπαλλαγμένος ἀπὸ κολακεία καὶ γεμάτος ἀπὸ ταπεινοφροσύνη. Καὶ ἀπὸ αὐτὸ δείχνεται ἄξιος καὶ ἐκεῖνος ὁ εὐνοῦχος· διότι «Διέταξε τὸν Φίλιππο νὰ ἀνεβεῖ καὶ νὰ καθίσει ἐπάνω στὴν ἅμαξά του»[8], ἂν καὶ βέβαια δὲν γνώριζε ποιός εἶναι, παρὰ μόνο ἀπὸ τὴν ἀπαγγελία τοῦ προφητικοῦ χωρίου. Ὁ Κορνήλιος ὅμως ἔπεσε καὶ στὰ πόδια του. Εἶδες ἦθος ἀπαλλαγμένο ἀπὸ ὑπερηφάνεια; Σὺ ὅμως, σὲ παρακαλῶ, παρατήρησε πῶς ἀποδεικνύει ὁ Πέτρος ὅτι ἡ παρουσία του εἶναι ἀπὸ τὸ Θεό, μὲ τὸ νὰ πεῖ· «Σεῖς γνωρίζετε ὅτι δὲν ἐπιτρέπεται». Καὶ γιατί δὲν εἶπε ἀμέσως τὸ ὅραμα μὲ τὸ σεντόνι; Διότι ἦταν πάρα πολὺ ταπεινός· διότι τὸ ὅτι μὲν ἔχει σταλεῖ ἀπὸ τὸ Θεό, τὸ λέγει, τὸ πῶς δέ, ὄχι ἀκόμα, ἀλλ' ὅταν ὑπῆρξε ἀνάγκη καὶ ὅταν εἶπε· «Σεῖς γνωρίζετε ὅτι δὲν ἐπιτρέπεται σὲ Ἰουδαῖο νὰ συναναστρέφεται ἢ ἁπλῶς νὰ πλησιάζει ἀλλοεθνή»· τόσο μακριὰ ἀπὸ τὴν κενοδοξία ἦταν. Σεῖς γνωρίζετε». Αὐτὸ λέγοντας λαμβάνει σὰν ἐπιβεβαίωση καὶ τὴν γνώμη ἐκείνων. Καὶ ὁ Κορνήλιος τί ἀπαντᾶ; «Εἴμαστε», λέγει, «ἐνώπιον τοῦ Θεοῦ γιὰ νὰ ἀκούσουμε ὅλα ὅσα σὲ ἔχει διατάξει ὁ Θεὸς νὰ πεῖς». Δὲν εἶπε, 'ἐνώπιον ἀνθρώπου', ἀλλά, «ἐνώπιον τοῦ Θεοῦ», γιὰ νὰ δείξει ὅτι ἔτσι πρέπει νὰ προσέχει κανένας τοὺς ὑπηρέτες τοῦ Θεοῦ. Εἴδατε διάνοια πνευματικὰ ἐξυψωμένη; εἴδατε πῶς ἦταν ἄξιος γι' ὅλα αὐτά;

«Ἀφοῦ δέ», λέγει, «ὁ Πέτρος ἄνοιξε τὸ στόμα του

θείας καταλαμβάνομαι ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός». Τοῦτο καὶ πρὸς τοὺς παρόντας Ἰουδαίους ἀπολογούμενος ἔλεγε· μέλλων γὰρ πρὸς αὐτοὺς μεταχειρίζειν τὸν λόγον, ὥσπερ ἀπολογίαν πρότερον τίθησι. Τί οὖν; πρὸ τούτου προσωπολήπτης ἦν; Μὴ γένοιτο! ἐπεὶ καὶ πρὸ τούτου οὕτως ἦν. «Πᾶς ὁ φοβούμενος καὶ ἐργαζόμενος», φησί, «δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι». Τοῦτο καὶ Παῦλος γράφων λέγει· «Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ». Καὶ δόγμα εἰσάγει καὶ πολιτείαν· εἰ γὰρ μάγους οὐ περιεῖδεν, οὐδὲ Αἰθίοπα, οὐδὲ λῃστήν, οὐδὲ πόρνην, πολλῷ μᾶλλον τοὺς ἐργαζομένους δικαιοσύνην, καὶ βουλομένους πάντως οὐ περιόψεται. Τί οὖν, ὅτι εἰσὶν ἐπιεικεῖς καὶ ἥμεροι ἄνθρωποι, καὶ πιστεῦσαι οὐ βούλονται; Ἰδοὺ σὺ τὴν αἰτίαν εἶπες, ὅτι οὐ βούλονται· ἄλλως δὲ ἐπιεικῆ ἐνταῦθα οὐ τὸν πρᾶον λέγει, ἀλλὰ τὸν δικαιοσύνην ἐργαζόμενον· τουτέστι, τὸν ἐν πᾶσιν εὐάρεστον, ὃς τότε τοιοῦτός ἐστιν, ὅταν ἔχῃ τοῦ Θεοῦ τὸν φόβον ὡς χρή. Τὸν δὲ τοιοῦτον ὁ Θεὸς οἶδε μόνος. Ὅρα πῶς ἦν οὗτος δεκτός· ἅμα ἤκουσε, καὶ ἐπείσθη. Καὶ νῦν, εἰ ἄγγελος ἦλθε, φησίν, ἐπείσθη ἂν ἕκαστος, ὅστις ἂν ἦν. Ἀλλὰ πολλῷ τὰ νῦν σημεῖα ἐκείνων ἐστὶ μείζονα, καὶ ὅμως ἀπιστοῦσι πολλοί. Εἶτα ἄρχεται τῆς διδασκαλίας, καὶ τηρεῖ τὴν εὐγένειαν τοῖς Ἰουδαίοις. «Τὸν Λόγον», φησίν, «ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραήλ, εὐαγγελιζόμενον εἰρήνην, οὗτός ἐστι Κύριος πάντων». Πρῶτον περὶ τῆς κυριότητος αὐτοῦ διαλέγεται, καὶ σφόδρα ὑψηλῶς, ὡς ἐνῆν, ἐπειδὴ καὶ πρὸς ψυχὴν εἶχεν ὑψηλὴν ἤδη γενομένην καὶ πάντα θερμῶς δεχομένην τὰ ὑπ' αὐτοῦ παρεγγυώμενα· εἶτα, κατασκευάζων

---

3. Ρωμ. 2, 14

εἶπε· ἀλήθεια καταλαβαίνω τώρα πολὺ καλὰ ὅτι ὁ Θεὸς δὲν εἶναι προσωπολήπτης». Αὐτὸ τὸ ἔλεγε δικαιολογούμενος καὶ πρὸς τοὺς παρόντες Ἰουδαίους· διότι, ἐπειδὴ ἐπρόκειτο πρὸς αὐτοὺς νὰ ἀπευθύνει τὸ λόγο, προτάσσει αὐτὰ σὰν δικαιολογία. Τί λοιπόν; πρὶν ἀπὸ τὸ περιστατικὸ αὐτὸ ἦταν προσωπολήπτης; Κάθε ἄλλο· διότι καὶ πρὶν ἀπὸ αὐτὸ ἦταν ὁ ἴδιος. «Ὁ καθένας ποὺ σέβεται τὸ Θεὸ καὶ ἐφαρμόζει δικαιοσύνη στὴ ζωή του, γίνεται δεκτὸς ἀπὸ αὐτόν». Αὐτὸ γράφοντας καὶ ὁ Παῦλος λέγει· «Ὅταν λοιπὸν οἱ ἐθνικοὶ ποὺ δὲν ἔχουν λάβει τὸ γραπτὸ νόμο τοῦ Θεοῦ, πράττουν ἐκ φύσεως τὰ ὅσα λέγει ὁ νόμος»[3]. Καὶ διδασκαλία παρουσιάζει καὶ τρόπο ζωῆς· διότι, ἂν δὲν παρέβλεψε τοὺς μάγους, οὔτε τὸν Αἰθίοπα, οὔτε τὸν ληστή, οὔτε τὴν πόρνη, πολὺ περισσότερο ἐκείνους ποὺ ἐφαρμόζουν τὴ δικαιοσύνη καὶ θέλουν αὐτήν, ὁπωσδήποτε δὲν θὰ παραβλέψει. Τί λοιπὸν ὅταν ὑπάρχουν ἄνθρωποι ἐπιεικεῖς καὶ ἥμεροι, ποὺ δὲν θέλουν νὰ πιστέψουν; Νὰ σὺ εἶπες τὴν αἰτία, ὅτι δὲν θέλουν νὰ πιστέψουν· ἄλλωστε δὲ ἐδῶ ἐπιεικὴ δὲν ἐννοεῖ τὸν πρᾶο, ἀλλ' ἐκεῖνον ποὺ ἐφαρμόζει τὴ δικαιοσύνη· δηλαδὴ ἐκεῖνον ποὺ σ' ὅλα εἶναι εὐάρεστος, ὁ ὁποῖος τότε εἶναι τέτοιος, ὅταν ἔχει ὅπως πρέπει τὸ φόβο τοῦ Θεοῦ. Τὸν παρόμοιο δὲ ἄνθρωπο μόνο ὁ Θεὸς γνωρίζει. Πρόσεχε πῶς ὁ Κορνήλιος ἦταν ἕτοιμος νὰ δεχθεῖ αὐτά· μόλις ἄκουσε, πείσθηκε ἀμέσως. Καὶ τώρα, λέγει, ἂν ἐρχόταν ἄγγελος, θὰ πίστευε ὁ καθένας, ὁποιοσδήποτε καὶ ἂν ἦταν αὐτός. Ἀλλὰ τὰ σημερινὰ θαύματα εἶναι πολὺ σπουδαιότερα ἀπὸ ἐκεῖνα, καὶ ὅμως πολλοὶ ἀπιστοῦν. Ἔπειτα ἀρχίζει τὴ διδασκαλία καὶ διατηρεῖ τὴν εὐγένεια γιὰ τοὺς Ἰουδαίους. «Τὸν Λόγο», λέγει, «τὸν ὁποῖο ἔστειλε ὁ Θεὸς στοὺς Ἰσραηλίτες, γιὰ νὰ κηρύξει τὸ χαρμόσυνο μήνυμα τῆς εἰρήνης, αὐτὸς εἶναι Κύριος ὅλων». Πρῶτα διδάσκει γιὰ τὴν κυριότητα τοῦ Ἰησοῦ, καὶ μὲ ἀνωτερότητα μεγάλη, ὅσο ἦταν δυνατό, ἐπειδὴ ἀπευθυνόταν καὶ πρὸς ψυχὴ ποὺ ἤδη εἶχε γίνει ὑψηλή, καὶ δεχόταν μὲ θέρμη τὰ παραδιδόμενα ἀπὸ τὸν Πέτρο· ἔπειτα παρουσιάζοντας πῶς

πῶς Κύριος ἁπάντων, ἐπάγει καὶ λέγει· «Ὃν ἀπέστειλεν εὐαγγελιζόμενον»· τουτέστιν 'ἐπ' ἀγαθοῖς καλοῦντα, οὐ κρίσιν ἐπάγοντα'.

3. Ἐντεῦθεν δείκνυσιν ὅτι οὗτος ἀπὸ Θεοῦ Ἰουδαίοις πρῶτον ἀπέσταλται· εἶτα ἀφ' ὧν κατώρθωσε καθ' ὅλης τῆς Ἰουδαίας τοῦτο συναποδείκνυσι, καὶ λέγει· «Ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας»· καὶ τὸ θαυμαστόν, «ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης». Πρότερον εἶπεν αὐτοῦ τὸ κατόρθωμα, καὶ τότε θαρρεῖ περὶ τῆς αὐτοῦ πατρίδος εἰπεῖν· «Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ». Οὕτως ᾔδει ὅτι σκάνδαλον ἡ πατρίς. «Ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι ἁγίῳ καὶ δυνάμει». Πάλιν κατασκευή· ἵνα γὰρ μή τις εἴπῃ, 'Καὶ πόθεν τοῦτο δῆλον;' ἐπάγει, λέγων· «Ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου». Εἶτα μετὰ τῶν ἀγαθῶν, ὧν ἐποίησε, δείκνυσι καὶ τὴν δύναμιν, ὅτι πολλή· ὅταν γὰρ τοῦ διαβόλου περιγίνηται, πολλή τίς ἐστι καὶ μεγάλη. Καὶ ἡ αἰτία «ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ», φησί. Διὰ τοῦτο καὶ Ἰουδαῖοι οὕτως ἔλεγον· «Οἴδαμεν ὅτι ἀπὸ τοῦ Θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν, ἂν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ». Εἶτα, ὅτε ἔδειξεν ὅτι ἀπὸ Θεοῦ ἀπέσταλται, τότε λέγει ὅτι ἀνῃρέθη, ἵνα μή τι ἄτοπον φαντασθῇς.

Ὁρᾷς αὐτοὺς οὐδαμοῦ κρύπτοντας τὸν σταυρόν, ἀλλὰ μετὰ τῶν ἄλλων τιθέντας καὶ τὸν τρόπον; «Ὃν καὶ ἀνεῖλον», φησί, «κρεμάσαντες ἐπὶ ξύλου. Καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ ἡμῖν»· καίτοι γε αὐτὸς αὐτοὺς ἐξελέξατο, ἀλλὰ καὶ τοῦτο ἀνατίθησι τῷ Θεῷ. «Τοῖς προκεχει-

4. Ἰωάν. 3, 2.

εἶναι Κύριος ὅλων, προσθέτει καὶ λέγει· «Τὸν ὁποῖο ἀπέστειλε γιὰ νὰ κηρύξει τὸ εὐαγγέλιο»· δηλαδὴ 'νὰ καλέσει γι' ἀγαθὰ καὶ ὄχι νὰ κάνει κρίση'.

3. Μὲ αὐτὰ δείχνει ὅτι ὁ Λόγος ἔχει σταλεῖ ἀπὸ τὸ Θεὸ πρῶτα στοὺς Ἰουδαίους· ἔπειτα ἀποδεικνύει αὐτὸ καὶ μὲ ἐκεῖνα ποὺ εἶχε ἐπιτελέσει σ' ὅλη τὴν Ἰουδαία, καὶ λέγει· «Σεῖς γνωρίζετε καλὰ αὐτὸ ποὺ κηρύχθηκε σ' ὅλη τὴν Ἰουδαία»· καὶ τὸ ἀξιοθαύμαστο, «καὶ τὸ ὁποῖο ἄρχισε ἀπὸ τὴ Γαλιλαία μετὰ ἀπὸ τὸ βάπτισμα μετανοίας ποὺ εἶχε κηρύξει ὁ Ἰωάννης». Πρῶτα ἀνέφερε τὸ ἔργο ποὺ ἐπετέλεσε αὐτός, καὶ μετὰ παίρνει θάρρος νὰ μιλήσει καὶ γιὰ τὴν πατρίδα του· «Τὸν Ἰησοῦ, ποὺ προέρχεται ἀπὸ τὴν Ναζαρέτ». Γνώριζε ὅτι τόσο πολὺ ἡ πατρίδα σκανδάλιζε. «Γνωρίζετε πῶς ἔχρισε αὐτὸν ὁ Θεὸς μὲ Πνεῦμα ἅγιο καὶ τοῦ ἔδωσε δύναμη». Πάλι ἀπόδειξη ἀναφέρεται· διότι, γιὰ νὰ μὴ πεῖ κάποιος, «Καὶ ἀπὸ ποῦ εἶναι αὐτὸ φανερό; προσθέτει καὶ λέγει· «Ὁ ὁποῖος ἔκανε περιοδεῖες εὐεργετώντας καὶ θεραπεύοντας ὅλους ὅσοι βασανίζονταν ἀπὸ τὸ διάβολο». Ἔπειτα μαζὶ μὲ τὶς εὐεργεσίες, τὶς ὁποῖες ἔκανε, δείχνει ὅτι καὶ ἡ δύναμή του ἦταν μεγάλη· διότι ἐφόσον καταβάλλει τὸν διάβολο, ἡ δύναμή του εἶναι πολὺ μεγάλη. Καὶ ἡ αἰτία λέγει, εἶναι «ὅτι ὁ Θεὸς ἦταν μαζί του». Γι' αὐτὸ καὶ οἱ Ἰουδαῖοι ἔλεγαν τὰ ἑξῆς· «Γνωρίζομε ὅτι σὺ ἦλθες ἀπὸ τὸ Θεὸ σὰν μοναδικὸς διδάσκαλος· διότι κανένας δὲν μπορεῖ νὰ κάνει τὰ θαύματα αὐτὰ ποὺ κάμνες, ἂν ὁ Θεὸς δὲν εἶναι μαζί του»[4]. Ἔπειτα, ὅταν ἀπέδειξε ὅτι στάλθηκε ἀπὸ τὸ Θεό, τότε λέγει, ὅτι θανατώθηκε, γιὰ νὰ μὴ φαντασθεῖ τίποτε τὸ παράλογο.

Βλέπεις, ὅτι αὐτοὶ πουθενὰ δὲν κρύβουν τὸ σταυρό, ἀλλὰ μαζὶ μὲ τὰ ἄλλα ἀναφέρουν καὶ τὸν τρόπο τῆς σταυρώσεως; Διότι λέγει, «Τὸν ὁποῖο καὶ φόνευσαν, ἀφοῦ τὸν κρέμασαν ἐπάνω στὸ ξύλο τοῦ σταυροῦ. Καὶ ἐπέτρεψε αὐτὸν νὰ ἐμφανισθεῖ, ὄχι σ' ὅλο τὸ λαό, ἀλλὰ στοὺς μάρτυρες ποὺ εἶχαν ἐκλεγεῖ ἐκ τῶν προτέρων ἀπὸ τὸ Θεό, δηλαδὴ σὲ μᾶς». Ἂν καὶ βέβαια ἐξέλεξε ὁ ἴδιος αὐτούς, ἀλλὰ καὶ αὐτὸ τὸ ἀναθέτει στὸ Θεό. «Εἰς αὐτοὺς

ροτονημένοις», φησίν. Ὅρα πόθεν τὴν ἀνάστασιν βεβαιοῦται· ἀπὸ τοῦ φαγεῖν. Διὰ τί δὲ μηδὲν ἀναστὰς ἐποίησε σημεῖον, ἀλλ' ἔφαγε καὶ ἔπιεν; Ὅτι καὶ αὐτὴ ἡ ἀνάστασις καθ' ἑαυτὴν μέγα σημεῖον ἦν· ταύτης δὲ οὐδὲν οὕτως εἰς ἀπόδειξιν μεῖζον, ὡς τὸ φαγεῖν καὶ πιεῖν. «Διαμαρτύρασθαι», φησίν. Ἐνταῦθα καὶ φοβερῶς εἶπεν, ἵνα μὴ ἔχωσιν εἰς ἄγνοιαν καταφυγεῖν. Καὶ οὐκ εἶπεν ὅτι 'αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ', ἀλλά, ὃ μάλιστα αὐτοὺς ἐφόβει, ὅτι «αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν». Εἶτα ἡ κυρία κατασκευὴ ἡ ἀπὸ τῶν προφητῶν (μεγάλην γὰρ εἶχον δόξαν ἐκεῖνοι)· «Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν». Ὅτε τῷ φόβῳ κατέσεισε, τότε ἐπάγει τὴν συγχώρησιν, οὐ παρ' αὐτοῦ λεγομένην, ἀλλὰ παρὰ τῶν προφητῶν. Καὶ τὸ μὲν φοβερόν, παρ' αὐτοῦ, τὸ ἥμερον δέ, ἀπὸ τῶν προφητῶν. Ὅσοι τῆς ἀφέσεως ἐτύχετε ταύτης, ὅσοι τῆς πίστεως κατηξιώθητε, μαθόντες τῆς δωρεᾶς τὸ μέγεθος, παρακαλῶ, σπουδάσατε μὴ ὑβρίσαι εἰς τὸν εὐεργέτην· ἐτύχομεν γὰρ ἀφέσεως, οὐχ ἵνα χείρους γενώμεθα, ἀλλ' ἵνα ἀμείνους πολλῷ καὶ βελτίους.

Μηδεὶς τοίνυν εἴπῃ ὅτι ὁ Θεὸς ἡμῖν αἴτιος κακῶν, μὴ κολάσας μηδὲ τιμωρησάμενος· εἰπὲ γάρ μοι, ἂν ἄρχων λαβὼν φονέα ἀφῇ, τῶν μετὰ ταῦτα φόνων αὐτὸς αἴτιος εἶναι κρίνεται; Οὐδαμῶς. Καὶ πῶς αὐτοί, ταῖς ἀθέοις γλώσσαις διδόντες ὑβρίζεσθαι τὸν Θεὸν δι' ὧν τολμῶμεν, οὐ δεδοίκαμεν οὐδὲ φρίττομεν; Τί γὰρ οὐκ ἐροῦσι; τί δὲ οὐ φθέγξονται; Αὐτὸς αὐτοῖς ἐπέτρεψε, φησίν· ἐχρῆν γὰρ ἀξίους ὄντας κολάσαι, οὐ τιμᾶν, οὐδὲ στεφανοῦν, οὐ τῶν πρωτείων μεταδιδόναι, ἀλλὰ κολάζειν καὶ τιμωρεῖσθαι. Ὁ δὲ μηδέν τι τοι-

πού εἶχαν ἐκλεγεῖ ἐκ τῶν προτέρων», λέγει. Πρόσεχε ἀπὸ ποῦ ἐπιβεβαιώνει τὴν ἀνάσταση· ἀπὸ τὸ ὅτι ἔφαγε. Γιατί δὲ ὅταν ἀναστήθηκε δὲν ἔκανε κανένα θαῦμα, ἀλλ' ἔφαγε καὶ ἤπιε; Διότι καὶ αὐτὴ ἡ ἀνάσταση αὐτὴ καθ' ἑαυτὴ ἦταν μεγάλο θαῦμα. Τίποτε ἄλλο δὲν εἶναι τόσο μεγάλη ἀπόδειξη τῆς Ἀναστάσεως, ὅσον τὸ ὅτι ἔφαγε καὶ ἤπιε. «Νὰ μαρτυρήσουμε», λέγει. Ἐδῶ μίλησε κατὰ τρόπο φοβερό, γιὰ νὰ μὴ μποροῦν νὰ καταφύγουν, γιὰ νὰ δικαιολογηθοῦν, στὴν ἄγνοια. Καὶ δὲν εἶπε, ὅτι 'αὐτὸς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ', ἀλλὰ ἐκεῖνο πού φόβιζε αὐτοὺς περισσότερο, ὅτι «Αὐτὸς εἶναι ὁ προορισμένος ἀπὸ τὸ Θεὸ κριτὴς ζώντων καὶ νεκρῶν». Ἔπειτα ἔρχεται ἡ κυρία μαρτυρία ἀπὸ τοὺς προφῆτες (διότι ἐκεῖνοι εἶχαν μεγάλη ἐκτίμηση). «Γι' αὐτὸν ὅλοι οἱ προφῆτες μαρτυροῦν». Ὅταν τοὺς κατατρόμαξε μὲ τὸ φόβο, τότε προσθέτει τὴ συγχώρηση, πού δὲν ἀναφέρεται ἀπὸ ἐκεῖνον, ἀλλὰ ἀπὸ τοὺς προφῆτες. Καὶ τὸ μὲν φοβερὸ φανερώνεται ἀπὸ αὐτόν, τὸ δὲ πρᾶο ἀπὸ τοὺς προφῆτες. Ὅσοι ἐπετύχατε αὐτὴν τὴν ἄφεση, ὅσοι γίνατε ἄξιοι τῆς πίστεως, ἀφοῦ κατανοήσατε τὸ μέγεθος τῆς δωρεᾶς, παρακαλῶ, φροντίσατε νὰ μὴ περιφρονήσετε τὸν εὐεργέτη· διότι ἐπιτύχαμε τὴν ἄφεση τῶν ἁμαρτιῶν, ὄχι γιὰ νὰ γίνουμε χειρότεροι, ἀλλὰ πολὺ ἀνώτεροι καὶ καλύτεροι.

Κανένας λοιπὸν νὰ μὴ πεῖ, ὅτι ὁ Θεὸς εἶναι σὲ μᾶς αἴτιος τῶν κακῶν, ἐφόσον καμιὰ ποινή, οὔτε τιμωρία μᾶς ἐπέβαλε· διότι πές μου, ἂν κάποιος ἄρχοντας, ἀφοῦ συλλάβει φονιά, τὸν ἀπολύσει, θεωρεῖται αὐτὸς αἴτιος γιὰ τοὺς φόνους πού θὰ διαπραχθοῦν μετὰ ταῦτα; Καθόλου. Καὶ πῶς ἐμεῖς, μὲ τὰ ὅσα τολμοῦμε νὰ κάμνουμε, δίνουμε τὸ δικαίωμα στὶς γλῶσσες τῶν ἀθέων νὰ βρίζεται ὁ Θεός, καὶ δὲν φοβούμαστε, οὔτε φρίττουμε; Διότι τί δὲν θὰ ποῦν; τί δὲν θὰ ἀναφωνήσουν. Ὁ ἴδιος, θὰ ποῦν, ἐπέτρεψεν σ' αὐτούς· διότι ἔπρεπε, ἐφόσον ἦταν ἄξιοι νὰ τοὺς τιμωρήσει, νὰ μὴ τοὺς τιμᾶ, οὔτε νὰ τοὺς στεφανώνει, οὔτε νὰ τοὺς χαρίζει τὰ πρωτεῖα, ἀλλὰ νὰ τοὺς ἐπιβάλλει ποινὲς καὶ νὰ τοὺς τιμωρεῖ. Αὐτὸς δέ, ὄχι μόνο

οῦτον αὐτοῖς ποιῶν, ἀλλ' ἀντὶ τούτων καὶ τιμῶν, τοιούτους αὐτοὺς ἀπεργάζεται. Μή, δέομαι καὶ ἀντιβολῶ, μηδεὶς ταύτην περὶ ἡμῶν ἀφῇ τὴν φωνήν. Βέλτιον κατορυγῆναι μυριάκις, ἢ ταῦτα τὸν Θεὸν ἀκοῦσαι δι' ἡμᾶς. Εἶπον αὐτῷ καὶ Ἰουδαῖοι· «Ὁ καταλύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις ἐγείρων αὐτόν, σῶσον σεαυτόν», καὶ πάλιν· «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβα ἀπὸ τοῦ σταυροῦ». Ἀλλὰ ταῦτα ἐκείνων χαλεπώτερα. Ἵν' οὖν μὴ ἐξῇ δι' ἡμᾶς πονηρίας αὐτὸν διδάσκαλον λέγεσθαι, μηδὲ αὐτῷ τούτῳ τῷ βλασφημεῖσθαι ὑπόδικοι τῇ κολάσει γενώμεθα («δι' ὑμᾶς» γάρ, φησί, «τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι»), τἀναντία ποιήσωμεν λέγεσθαι, ἀξίως τοῦ καλοῦντος πολιτευόμενοι, καὶ τῷ τῆς υἱοθεσίας προσιόντες βαπτίσματι· ὄντως γὰρ μεγάλη τοῦ βαπτίσματος ἡ δύναμις, ἄλλους ἀντ' ἄλλων ποιεῖ τοὺς μετασχόντας τῆς δωρεᾶς, οὐκ ἀφίησιν εἶναι ἀνθρώπους τοὺς ἀνθρώπους. Ποίησον τὸν Ἕλληνα πιστεῦσαι ὅτι μεγάλη τοῦ Πνεύματος ἡ δύναμις, ὅτι μετέπλασεν, ὅτι μετερρύθμισε. Τί τὰς ἐσχάτας ἀναπνοὰς ἀναμένεις, ὡς δραπέτης, ὡς κακοῦργος, ὡς οὐκ ὀφείλων τῷ Θεῷ ζῆσαι; τί ὡς πρὸς ἀπηνῆ τινα καὶ ὠμὸν ἔχων Δεσπότην οὕτω διάκεισαι; τί ψυχρότερον, τί ταλαιπωρότερον τῶν τότε λαβόντων τὸ φώτισμα; Φίλον σε ἐποίησεν ὁ Θεός, καὶ πάντων ἠξίωσε τῶν ἀγαθῶν, ἵνα καὶ αὐτὸς ἐπιδείξῃ τὰ τοῦ φίλου.

Εἰπὲ δή μοι, εἰ τὰ μεγάλα ἠδίκησας εἴς τινα καὶ ὑβρίσας, καὶ μυρίοις αὐτὸν ὀνείδεσι περιβαλών, εἰς τὰς χεῖρας ἐνέπεσες τοῦ ὑβρισθέντος, ὁ δὲ ἀντὶ τούτων ἐτίμησε, καὶ τῶν αὐτοῦ μετέδωκεν ἁπάντων, καὶ ἐν τοῖς φίλοις ἐφ' ὧν ὑβρίσθη, ἐπὶ τούτων σε ἐστεφάνωσε, καὶ ἔφησεν ὡς υἱὸν ἔχειν γνήσιον, εἶτα εὐθέως ἀπέθανεν, οὐκ ἂν ζημίαν τὸ πρᾶ-

5. Ματθ. 27, 40.
6. Ρωμ. 2, 24.
7. Στὴν ἐποχὴ τοῦ Χρυσοστόμου συνηθιζόταν σὲ πολλοὺς νὰ βαπτίζονται σὲ μεγάλη ἡλικία· ὁ νηπιοβαπτισμὸς δὲν εἶχε ἀκόμα ἐπικρατήσει παντοῦ.

δὲν κάμνει κάτι παρόμοιο σ' αὐτούς, ἀλλ' ἀντὶ γι' αὐτὰ καὶ τοὺς τιμᾶ καὶ τέτοιους τοὺς κάμνει. Μή, σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω, κανένας νὰ μὴ πεῖ αὐτὰ τὰ λόγια γιὰ μᾶς. Εἶναι προτιμότερο νὰ ταφοῦμε χίλιες φορές, παρὰ νὰ ἀκούσει αὐτὰ ὁ Θεὸς γιὰ μᾶς. Εἶπαν σ' αὐτὸν καὶ οἱ Ἰουδαῖοι· «Σὺ ποὺ ἔλεγες ὅτι θὰ γκρέμιζες τὸ ναὸ καὶ σὲ τρεῖς ἡμέρες θὰ τὸν ξανάχτιζες, σῶσε τὸν ἑαυτό σου»· καὶ πάλι· «Ἂν πράγματι εἶσαι Υἱὸς τοῦ Θεοῦ, κατέβα ἀπὸ τὸ σταυρό»[5]. Ἀλλ' αὐτὰ εἶναι χειρότερα ἀπὸ ἐκεῖνα. Γιὰ νὰ μὴ συμβεῖ λοιπὸν νὰ λέγεται ὁ Κύριος ἐξ αἰτίας μας διδάσκαλος πονηρίας, οὔτε ἐξ αἰτίας αὐτῆς τῆς βλασφημίας νὰ γίνουμε ὑπόδικοι γιὰ κόλαση (διότι λέγει «ἐξ αἰτίας σας βλασφημεῖται τὸ ὄνομά μου μεταξὺ τῶν εἰδωλολατρῶν»[6], ἂς κάνουμε νὰ λέγονται τὰ ἀντίθετα, ζώντας κατὰ τρόπο ἀντάξιο πρὸς ἐκεῖνον ποὺ μᾶς καλεῖ, καὶ προσερχόμενοι στὸ βάπτισμα τῆς υἱοθεσίας· διότι πράγματι ἡ δύναμη τοῦ βαπτίσματος εἶναι μεγάλη· κάμνει ἐκείνους ποὺ ἔλαβαν μέρος στὴ δωρεὰ ἄλλους ἀντὶ ἄλλων· δὲν ἀφήνει τοὺς ἀνθρώπους νὰ εἶναι ἁπλῶς ἄνθρωποι. Κάνε τὸν ἐθνικὸ νὰ πιστέψει ὅτι εἶναι μεγάλη ἡ δύναμη τοῦ Πνεύματος, ὅτι σὲ μεταμόρφωσε, ὅτι σὲ μετέβαλε. Τί περιμένεις τὶς τελευταῖες σου ἀναπνοές, σὰν δραπέτης, σὰν κακοῦργος, σὰν νὰ μὴ ὀφείλεις νὰ ζήσεις κατὰ τὸ θέλημα τοῦ Θεοῦ; Γιατί συμπεριφέρεσαι ἀπέναντι τοῦ Θεοῦ, σὰν νὰ πρόκειται γιὰ ἄσπλαχνο καὶ σκληρὸ δεσπότη; Τί ψυχρότερο, τί ἀθλιώτερο λοιπὸν εἶναι γιὰ ἐκείνους ποὺ ἔλαβαν τότε τὸ βάπτισμα[7]; Σὲ ἔκανε ὁ Θεὸς φίλο καὶ σὲ ἔκανε ἄξιο γιὰ ὅλα τὰ ἀγαθά, γιὰ νὰ ἐπιδείξεις καὶ σὺ ὁ ἴδιος συμπεριφορὰ ἀνάλογη τοῦ φίλου.

Πές μου λοιπόν, ἐὰν εἶχες διαπράξει μεγάλη ἀδικία ἐναντίον κάποιου καὶ τὸν πρόσβαλες καὶ ἀφοῦ τὸν περιέβαλες μὲ ἄπειρες κατηγορίες, ἔπεφτες στὰ χέρια τοῦ ὑβρισθέντος, ἐκεῖνος δέ, ἀντὶ γι' αὐτά, σὲ τιμοῦσε καὶ σοῦ μετέδιδε ἀπ' ὅλα τὰ ἀγαθά του, καὶ σὲ στεφάνωνε μεταξὺ τῶν φίλων του γιὰ τὶς ὕβρεις ποὺ δέχθηκε ἀπὸ σένα, καὶ ἔλεγε ὅτι σὲ ἔχει σὰν γνήσιο παιδί του, καὶ ἔπειτα ἀμέσως

γμα ἐνόμισας; οὐκ ἂν εἶπες· Ἐβουλόμην αὐτὸν ζῶντα εἶναι, ἵνα δυνηθῶ ἀποδοῦναι τὰς ἀμοιβάς, ἵνα ἀμείψωμαι, ἵνα μὴ κακὸς φανῶ περὶ τὸν εὐεργέτην; Εἶτα ἐπ' ἀνθρώπου μὲν οὕτως, ἐπὶ δὲ τοῦ Θεοῦ σπουδάζεις ἀπελθεῖν, ἵνα μὴ ἀμείψῃ τὸν εὐεργέτην τῶν τοσούτων δωρεῶν; Καὶ μὴν τότε πρόσελθε, ὅτε αὐτὸν δύνασαι τοῖς ἴσοις ἀμείψασθαι. Τί φεύγεις; Ναί, φησίν, ἀλλ' οὐ δύναμαι φυλάξαι. Οὐκοῦν τὰ ἀδύνατα ἐπέταξεν ὁ Θεός; Ἀπὸ τούτου πάντα ἀνατέτραπται, ἀπὸ τούτου τὰ τῆς οἰκουμένης διέφθαρται, ὅτι οὐδεὶς οὐδενὶ σκοπὸς κατὰ Θεὸν ζῆν. Οἱ μὲν οὖν κατηχούμενοι, τοῦτο σπουδάζοντες, οὐδεμίαν ποιοῦνται ἐπιμέλειαν ὀρθοῦ βίου, οἱ δὲ ἤδη φωτισθέντες, οἱ μὲν ἐπεί, παῖδες ὄντες, τοῦτο ἔλαβον, οἱ δὲ ἐν ἀρρωστίᾳ, καὶ ἀνενεγκόντες, ἐπειδὴ μὴ εἶχον προθυμίαν τινὰ ζῆσαι διὰ Θεόν, οὐδὲ οὗτοι σπουδὴν τίθενται, οἱ δὲ ἐν ὑγείᾳ λαβόντες, ὀλίγην ταύτην καὶ αὐτοὶ ἐπιδείκνυνται, καὶ πρὸς τὸ παρὸν διατεθέντες θερμοί, μετὰ ταῦτα καὶ οὗτοι τὸ πῦρ ἔσβεσαν. Μὴ γὰρ οὐκ ἔνι πράγμασι χρῆσθαι; μὴ γὰρ τῆς γυναικός σε διείργω; Πορνείας σὲ ἀπείργω. Μὴ γὰρ τῆς τῶν χρημάτων ἀπολαύσεως; Πλεονεξίας καὶ ἁρπαγῆς. Μὴ γὰρ ἀναγκάζω πάντα κενῶσαι; Ὀλίγα ἀπὸ τῶν ἐνόντων δοῦναι τοῖς δεομένοις («τὸ ὑμῶν περίσσευμα», φησίν, «εἰς τὸ ἐκείνων ὑστέρημα»)· καὶ οὐδὲ οὕτω πείθομεν. Μὴ γὰρ νηστεύειν βιάζομεν; Μεθύειν κωλύομεν καὶ γαστρίζεσθαι. Ταῦτα περιαιροῦμεν, ἃ ἀσχημοσύνην σοι φέρει, ἃ καὶ πρὸ τῆς γεέννης ἐντεῦθεν ἤδη φευκτὰ καὶ μισητὰ καὶ αὐτὸς

8. Β' Κορινθ. 8, 14.

πέθαινε, δὲν θὰ νόμιζες αὐτὸ σὰν ζημία; δὲν θὰ ἔλεγες, 'Θὰ ἤθελα αὐτὸς νὰ εἶναι ζωντανός, γιὰ νὰ μπορέσω νὰ ἀποδώσω τὶς ἀμοιβές, καὶ γιὰ νὰ ἀνταποδώσω τὶς εὐεργεσίες, γιὰ νὰ μὴ φανῶ κακὸς πρὸς τὸν εὐεργέτη'; Ἔπειτα, στὴν περίπτωση μὲν τοῦ ἀνθρώπου φέρεσαι ἔτσι, στὴν περίπτωση δὲ τοῦ Θεοῦ φροντίζεις νὰ φύγεις ἀπὸ κοντά του, γιὰ νὰ μὴ ἀνταποδώσεις στὸν εὐεργέτη τὶς τόσες δωρεές; Καὶ βέβαια τότε νὰ προσέλθεις, ὅταν μπορεῖς νὰ τοῦ ἀνταποδώσεις τὰ ἴσα. Γιατί φεύγεις; Ναί, λέγει, ἀλλὰ δὲν μπορῶ νὰ διαφυλάξω τὶς ἐντολές του. Ὥστε λοιπὸν τὰ ἀδύνατα διέταξε ὁ Θεός; Ἐξ αἰτίας αὐτοῦ ὅλα ἔχουν ἀνατραπεῖ, ἐξ αἰτίας αὐτοῦ ὅλα τὰ πράγματα τῆς οἰκουμένης ἔχουν διαφθαρεῖ, διότι κανένας δὲν ζεῖ σύμφωνα μὲ τὸ θέλημα καὶ τὸ σκοπὸ τῆς κατὰ Θεὸν ζωῆς. Οἱ μὲν λοιπὸν κατηχούμενοι, ἐνῶ φροντίζουν γι' αὐτό, καμιὰ φροντίδα δὲν καταβάλλουν νὰ ζοῦν ὀρθά, ἐκεῖνοι δὲ ποὺ ἤδη φωτίσθηκαν μὲ τὸ βάπτισμα, ἄλλοι μὲν ἀπὸ αὐτοὺς ἐπειδὴ ἦταν παιδιά, ὅταν ἔλαβαν τὸ βάπτισμα, ἄλλοι δὲ ἐνῶ ἦταν ἀσθενεῖς καὶ σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, οὔτε αὐτοὶ φροντίζουν, ἐκεῖνοι δὲ ποὺ ἔλαβαν τὸ βάπτισμα, ἐνῶ ἦταν ὑγιεῖς, καὶ αὐτοὶ λίγο φροντίζουν, καὶ ἐνῶ πρὸς τὸ παρὸν ἔδειξαν θερμὴ διάθεση, στὴ συνέχεια καὶ αὐτοὶ ἔσβησαν τὴ θερμὴ αὐτὴ διάθεσή τους. Διότι μήπως δὲν εἶναι δυνατὸ νὰ χρησιμοποιεῖς τὰ πράγματα τῆς ἐδῶ ζωῆς; μήπως σὲ ἀπομακρύνω ἀπὸ τὴ σύζυγό σου; Σὲ ἀποτρέπω μόνο ἀπὸ τὴν πορεία. Μήπως σὲ ἐμποδίζω ἀπὸ τὴν ἀπόλαυση τῶν χρημάτων; μόνο ἀπὸ τὴν πλεονεξία καὶ τὴν ἁρπαγή. Μήπως σὲ ἀναγκάζω νὰ τὰ προσφέρεις ὅλα; Ἀπὸ τὰ ὑπάρχοντά σου λίγα μόνο νὰ δώσεις σὲ ὅσους ἔχουν ἀνάγκη («Ὁ πλοῦτος τῆς ὑπομονῆς σας», λέγει, «νὰ συμπληρώσει τὸ ὑστέρημα ἐκείνων»)[8]· καὶ ὅμως οὔτε καὶ ἔτσι σᾶς πείθουμε. Μήπως σὲ ἀναγκάζουμε νὰ νηστεύεις; Σὲ ἐμποδίζουμε μόνο νὰ μεθᾶς καὶ νὰ γίνεσαι ὑπερβολικὰ δοῦλος τῆς κοιλιᾶς. Δὲν ἐπιτρέπουμε αὐτὰ ποὺ προκαλοῦν σὲ σένα ἀπρέπεια, τὰ ὁποῖα καὶ μποροῦν νὰ ἀποφευχθοῦν ἤδη ἀπ' ἐδῶ, πρὶν

εἶναι συνομολογεῖς. Μὴ γὰρ ἥδεσθαι καὶ χαίρειν; Ἀλλὰ μὴ αἰσχρῶς, μηδὲ ἀναξίως.

4. Τί δέδοικας; τί φοβῇ; τί τρέμεις; Ἔνθα γάμος, ἔνθα χρημάτων ἀπόλαυσις, ἔνθα τροφὴ σύμμετρος, ποία ἁμαρτίας ὑπόθεσις; Καὶ μὴν οἱ ἔξωθεν τὰ ἐναντία ἐπιτάττουσι, καὶ ἀκούονται· οὐ γὰρ ἀπὸ τῶν ἐνόντων ἀπαιτοῦσιν, ἀλλὰ λέγουσιν ὅτι τοσόνδε δοῦναι δεῖ· κἂν προβάλλῃ πενίαν, οὐδὲ οὕτως ἀφίστανται. Ὁ δὲ Χριστὸς οὐχ οὕτως, ἀλλ' 'ἀφ' ὧν ἔχεις δός, καὶ εἰς τὴν πρώτην σε καταλέξω τάξιν'. Πάλιν ἐκεῖνοι· 'Εἰ βούλει', φησίν, 'εὐδοκιμεῖν, κατάλιπε πατέρα, μητέρα, συγγενεῖς, οἰκείους, καὶ προσέδρευε τοῖς βασιλείοις, κοπιόμενος, ταλαιπωρούμενος, δουλεύων, σπώμενος, μυρία πάσχων κακά'· ὁ δὲ Χριστὸς οὐχ οὕτως, ἀλλ' 'ἔσο ἐν τῇ οἰκίᾳ μετὰ τῆς γυναικός, μετὰ τῶν παίδων, καὶ αὐτὰ ταῦτα διάπλαττε καὶ ῥύθμιζε, τὸν ἀπράγμονα βίον ζῆν καὶ ἀκίνδυνον'. Ναί, φησίν, ἀλλ' ἐκεῖνος χρήματα ἐπαγγέλλεται. Ἀλλ' οὗτος βασιλείαν, μᾶλλον δὲ καὶ χρήματα μετὰ ταύτης· «ζητεῖτε» γάρ, φησί, «τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Καὶ ἐκεῖνος μὲν οὐδὲ ἐν προσθήκης μέρει, οὗτος δὲ καὶ προηγουμένως. «Νεώτερος ἐγενόμην, φησί· καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους».

Ἀρξώμεθα τοίνυν, τῆς ἀρετῆς θῶμεν προοίμιον, ἐπιλαβώμεθα αὐτῆς μόνον, καὶ ὄψει οἷα τὰ ἀγαθά· μὴ γὰρ ἀπο-

9. Ματθ. 6, 33.
10. Ψαλμ. 36 (37), 25.

ἀπό τὴν ὥρα τῆς γέεννας, καὶ ποὺ καὶ σὺ ὁ ἴδιος παραδέχεσαι ὅτι εἶναι μισητά. Μήπως σὲ ἐμποδίουμε νὰ εὐχαριστεῖσαι καὶ νὰ χαίρεσαι; Μόνο νὰ μὴ ζεῖς αὐτὰ μὲ τρόπο αἰσχρὸ καὶ ἀνάξιο.

4. Γιατί ἀνησυχεῖς, γιατί φοβᾶσαι, γιατὶ τρέμεις; Ὅπου ὑπάρχει γάμος, ὅπου ὑπάρχει ἀπόλαυση χρημάτων, ὅπου ὑπάρχει κανονικὴ τροφή, ποιὸς λόγος ὑπάρχει γιὰ ἁμαρτία; Καὶ ὅμως οἱ μὴ χριστιανοὶ τὰ ἀντίθετα παραγγέλλουν, καὶ εἰσακούονται· διότι δὲν ἀπαιτοῦν ἀνάλογα μὲ τὶς δυνατότητες τοῦ καθένα, ἀλλὰ λέγουν ὅτι 'τόσο πρέπει νὰ δώσεις'· καὶ ἂν προβάλεις τὴ φτώχεια σου σὰν δυσκολία, οὔτε τότε ὑποχωροῦν. Ὁ Χριστὸς ὅμως δὲν ζητεῖ κατὰ τὸν τρόπο αὐτό, ἀλλὰ λέγει, 'ἀπὸ αὐτὰ ποὺ ἔχεις δῶσε, καὶ θὰ σὲ κατατάξω στὴν πρώτη θέση'. Πάλι οἱ μὴ χριστιανοὶ λέγουν' '"Αν θέλεις νὰ προκόψεις, νὰ ἐγκαταλείψεις τὸν πατέρα, τὴ μητέρα, τοὺς συγγενεῖς, τοὺς οἰκείους, καὶ νὰ παραμείνεις κοντὰ στὰ ἀνάκτορα, ὑποβάλλοντας τὸν ἑαυτό σου σὲ κόπους, ταλαιπωρεῖες, δουλεύοντας σκληρά, ὑποφέροντας καὶ παθαίνοντας ἄπειρα κακά'. Ὁ δὲ Χριστὸς δὲν λέγει τὰ ἴδια, ἀλλὰ λέγει' 'νὰ εἶσαι στὸ σπίτι μαζὶ μὲ τὴ γυναίκα σου, μὲ τὰ παιδιά σου, καὶ νὰ διαμορφώνεις καὶ νὰ ρυθμίζεις τὰ τῆς ζωῆς σου, κάμνοντας μιὰ ἥσυχη καὶ ἀκίνδυνη ζωή. Ναί, λέγει, ἀλλ' ὁ μὴ χριστιανὸς ὑπόσχεται χρήματα. Ὁ Χριστὸς ὅμως ὑπόσχεται τὴ βασιλεία τῶν οὐρανῶν, μᾶλλον δὲ καὶ χρήματα μαζὶ μὲ αὐτήν' διότι λέγει' «Ζητεῖτε τὴ βασιλεία τοῦ Θεοῦ καὶ ὅλα αὐτὰ τὰ ἐπίγεια ἀγαθὰ θὰ σᾶς δοθοῦν ἐπιπρόσθετα»[9]. Καὶ ἐκεῖνος μὲν ὑπόσχεται αὐτὰ χωρὶς νὰ προσθέσει τίποτε ἄλλο, ὁ δὲ Χριστὸς ὑπόσχεται αὐτὰ καὶ στὴν ἐδῶ ζωή, λέγοντας· «ὑπῆρξα ἄλλοτε νεώτερος, καὶ βέβαια γέρασα, ἀλλὰ δὲν εἶδα τὸν δίκαιο νὰ μένει ἐγκαταλελειμμένος, οὔτε εἶδα τοὺς ἀπογόνους του νὰ ἀναζητοῦν ψωμί»[10].

"Ας ἀρχίσουμε λοιπὸν νὰ ἀσκοῦμε τὴν ἀρετή' ἂς θέσουμε αὐτὴν σὰν προϋπόθεση' ἂς ἐνδιαφερθοῦμε μόνο γι' αὐτὴν καὶ θὰ δεῖς ποιά εἶναι τὰ ἀγαθά. Μήπως δηλαδὴ τὰ ἐπίγεια ἀγαθὰ τὰ κατορθώνεις χωρὶς κόπους, γι' αὐτό

νητὶ ἐκεῖνα κατορθοῖς, ὅτι πρὸς ταῦτα μαλακίζῃ; Ναί, φησίν, ἐκεῖνα ἀπονητί, ταῦτα δὲ μετὰ πόνου. Ἄπαγε! οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· ἀλλά, εἴ τι δεῖ τἀληθὲς εἰπεῖν, ἐκεῖνα μᾶλλον πόνοις συνέζευκται, καὶ μετὰ πόνου πλείονος κατορθοῦται, ταῦτα δέ, ἂν ἐθέλωμεν, ῥᾳδίως. Μὴ δὴ ἀποπηδῶμεν τῶν θείων μυστηρίων, παρακαλῶ· μὴ τοῦτο ἴδῃς, ὅτι ὁ πρὸ σοῦ φωτισθεὶς φαῦλος γέγονε, καὶ τῆς ἐλπίδος ἐξέπεσε τῆς αὐτοῦ, καὶ ὀκνηρότερος σαυτοῦ γένῃ· ἐπεὶ καὶ ἐν τοῖς στρατιώταις ὁρῶμεν τοὺς μὲν οὐκ εἰς δέον χρωμένους τῇ στρατείᾳ, τοὺς δὲ εὐδοκιμοῦντας, καὶ οὐ τοῖς ῥᾳθύμοις προσέχομεν, ἀλλὰ τούτους ζηλοῦμεν τοὺς κατορθοῦντας. Πρὸς τούτοις ἐννόησον ὅσοι μετὰ τὸ φώτισμα ἄγγελοι ἀντὶ ἀνθρώπων γεγόνασι. Φοβήθητι τὸ τοῦ μέλλοντος ἄδηλον. Ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται ὁ θάνατος· οὐδὲ ἁπλῶς ὡς κλέπτης, ἀλλὰ καθευδόντων ἡμῶν ἐπιτίθεται, καὶ ῥᾳθυμοῦντας λαβὼν ἄπεισι. Διὰ τοῦτο ἄδηλον ἐποίησε τὸ μέλλον ὁ Θεός, ἵνα ἀεὶ τὸ τῆς προσδοκίας ἀδήλῳ ἐν τῇ ἀρετῇ διάγωμεν. Ἀλλὰ φιλάνθρωπός ἐστι, φησί. Μέχρι πότε τὸ ψυχρὸν τοῦτο ῥῆμα καὶ καταγέλαστον λέγομεν; Ἐγὼ οὐχ ὅτι φιλάνθρωπός ἐστιν ὁ Θεὸς λέγω μόνον καὶ παύομαι, ἀλλ' ὅτι οὐδὲν φιλανθρωπότερον αὐτοῦ, καὶ ὅτι χρησίμως ἅπαντα τὰ καθ' ἡμᾶς οἰκονομεῖ.

Πόσους ὁρᾷς ἐν ἡλικίᾳ πάσῃ ἐλέφαντι διάγοντας; πόσους ἀπὸ πρώτης ἡλικίας τυφλώττοντας μέχρι γήρως, ἄλλους ἐν πηρώσει μετὰ ταῦτα γενομένους, ἄλλους ἐν πενίᾳ, ἄλλους ἐν δεσμοῖς, ἑτέρους ἐν μετάλλοις, ἄλλους ὁμοῦ καταχωσθέντας, ἄλλους ἐν πολέμοις ἀναλωθέντας; Ταῦτα οὐκ ἔστι φιλανθρωπίας; εἰπέ μοι· ταῦτα οὐκ ἐδύνατο κωλῦσαι, εἰ ἠθέλησεν; ἀλλ' ἀφίησι. Ναί, φησί. Σὺ δὲ εἰπέ μοι, διὰ

11. Β' Πέτρ. 3, 10

δείχνεις νωθρότητα πρὸς τὰ ἐπουράνια; Ναί, λέγει, ἐκεῖνα τὰ κατορθώνω χωρὶς κόπους, ἐνῶ αὐτὰ μὲ κόπους. Κάθε ἄλλο· δὲν συμβαίνει αὐτό, δὲν συμβαίνει· ἀλλά, ἂν πρέπει νὰ ποῦμε τὴν ἀλήθεια, ἐκεῖνα εἶναι συνδεδεμένα μὲ περισσότερους κόπους καὶ ἐπιτυγχάνονται μὲ μεγαλύτερο κόπο, ἐνῶ αὐτά, ἂν θέλουμε, πολὺ εὔκολα. Ἂς μὴ ἀπομακρυνόμαστε λοιπόν, παρακαλῶ, ἀπὸ τὰ θεῖα μυστήρια· νὰ μὴ προσέξεις αὐτό, ὅτι ἐκεῖνος ποὺ βαπτίσθηκε πρὶν ἀπὸ σένα ἔχει γίνει φαῦλος καὶ ἔχει χάσει τὴν ἐλπίδα του, καὶ ἔτσι γίνεις πιὸ ὀκνηρὸς ἀπὸ ὅ,τι ἦσουν πρίν. Διότι καὶ ἀνάμεσα στοὺς στρατιῶτες βλέπουμε ἄλλους μὲν νὰ μὴ ἀνταποκρίνονται ὅπως πρέπει στὶς στρατιωτικές τους ὑποχρεώσεις, ἄλλους δὲ νὰ ἐπιδίδονται μὲ ἐπιτυχία σ' αὐτές· καὶ ἀκόμη δὲν πρέπει νὰ προσέχουμε τοὺς ὀκνηρούς, ἀλλὰ μὲ ζῆλο νὰ μιμούμαστε ἐκείνους ποὺ σημειώνουν ἐπιτυχίες. Ἐπὶ πλέον σκέψου πόσοι μετὰ τὸ βάπτισμα ἔχουν γίνει ἄγγελοι ἀντὶ ἄνθρωποι. Νὰ φοβᾶσαι τὸ ἄγνωστο τοῦ μέλλοντος. Σὰν κλέφτης μέσα στὴ νύχτα, ἔτσι ἔρχεται ὁ θάνατος· ὄχι ἁπλῶς σὰν κλέφτης, ἀλλ' ἐπιτίθεται, ἐνῶ ἐμεῖς κοιμούμαστε, καὶ ἀφοῦ μᾶς κυριεύσει, ἐνῶ ἐμεῖς ἀδιαφοροῦμε, φεύγει. Γι' αὐτὸ ὁ Θεὸς ἔκανε ἄγνωστο τὸ μέλλον, γιὰ νὰ ζοῦμε ἐνάρετα πάντοτε, μὲ τὴν προσδοκία τοῦ ἀγνώστου. Ἀλλά, λέγει, εἶναι φιλάνθρωπος. Μέχρι πότε θὰ λέμε τὸν ψυχρὸ καὶ ἄξιο γιὰ γέλια αὐτὸ λόγο; Ἐγὼ ὄχι μόνο λέγω ὅτι εἶναι φιλάνθρωπος ὁ Θεὸς καὶ ἀρκοῦμαι σ' αὐτό, ἀλλ' ὅτι τίποτε φιλανθρωπότερο δὲν ὑπάρχει ἀπὸ αὐτόν, καὶ ὅτι ρυθμίζει ὅλα τὰ σχετικὰ μὲ μᾶς κατὰ τρόπο χρήσιμο.

Πόσους βλέπεις σὲ κάθε ἡλικία νὰ ζοῦν μὲ τὴ νόσο τῆς ἐλεφαντιάσεως; πόσους νὰ εἶναι τυφλοὶ ἀπὸ τὴν πρώτη ἡλικία μέχρι τὰ γεράματά τους, ἄλλους μετὰ ταῦτα νὰ ἔχουν γίνει ἀνάπηροι, ἄλλους νὰ ζοῦν μέσα στὴ φτώχεια, ἄλλους νὰ φυλακίζονται, ἄλλους νὰ στέλλονται σὲ μεταλλεῖα, ἄλλους νὰ ἔχουν καταπλακωθεῖ ἀπὸ χώματα, ἄλλους νὰ ἔχουν χαθεῖ στοὺς πολέμους; Αὐτὰ δὲν εἶναι ἔργα φιλανθρωπίας; Πές μου, αὐτὰ δὲν μποροῦσε

τί οἱ ἐκ πρώτης ἡλικίας τυφλοί; Οὐκ ἐρῶ, ἕως ἂν ὑπόσχῃ μοι, ὅτι φωτίζῃ, ὅτι φωτισθεὶς διοῖς ὀρθῶς. Οὐ θέμις σοι τὰ τοιαῦτα ἐπιλύεσθαι· οὐ γὰρ δὴ μέχρι τέρψεώς ἐστιν ὁ λόγος· κἂν γὰρ τοῦτο λύσω, ἕτερον ἐπεισέρχεται ζήτημα· ἄβυσσος γάρ ἐστι ζητημάτων ἡ Γραφή. Ὥστε μὴ μόνον ἐθίζετε ἑαυτοὺς πρὸς τὸ λύσιν ζητεῖν, ἀλλὰ καὶ πρὸς τὸ μὴ ζητεῖν· ἐπεὶ οὐδέποτε στησόμεθα ζητοῦντες· ἰδοὺ γὰρ ἂν τοῦτο λύσω, μυρίας νιφάδας ἐπιδεικνύω ζητημάτων. Ὥστε μανθάνωμεν μᾶλλον τοῦτο ζητεῖν, ἢ τὰ ζητηθέντα λύειν· οὔτε γάρ, ἐὰν λύσωμεν, πάντως ἐλύσαμεν, ἀλλὰ κατὰ ἀνθρώπινον λογισμόν, οἰκεία τῶν τοιούτων λύσις ἡ πίστις ἐστί, τὸ εἰδέναι ὅτι πάντα δικαίως καὶ φιλανθρώπως ὁ Θεὸς καὶ συμφερόντως ποιεῖ, ὅτι καταλαβεῖν αὐτῶν τὸν λόγον οὐκ ἔνι. Μία λύσις αὕτη, καὶ ταύτης ἀμείνων ἑτέρα οὐκ ἔστι· τί γάρ, εἰπέ μοι, τῆς λύσεως ἔργον; Πάντως μηκέτι ζητεῖν τὸ λυθέν. Κἂν τοῦτο πείσῃς σαυτόν, ὅτι προνοίᾳ Θεοῦ τὰ πάντα διοικεῖται, τὰ μὲν συγχωροῦντος δι' ὃν οἶδε λόγον, τὰ δὲ ἐνεργοῦντος, ἀπηλλάγης τοῦ ζητεῖν, καὶ τῆς λύσεως τὸ κέρδος ἔλαβες.

Ἀλλ' ἐπανίωμεν εἰς τὸ προκείμενον. Ἐπεὶ οὖν ὁρᾷς τοσούτους ἐν κολάσεσι, ταῦτα δὲ ὁ Θεὸς συγχωρεῖ πάντα, χρῆσαι τῇ ὑγιείᾳ τοῦ σώματος εἰς τὴν ὑγιείαν τῆς ψυχῆς. Ἀλλ' ἐρεῖς· 'Τί μοι χρεία πόνων καὶ ταλαιπωρίας, ἐξὸν ἀπονητὶ πάντα ἀπολαύσασθαι'. Μάλιστα μὲν οὐδὲ δῆλον τοῦτό ἐστι· συμβαίνει γὰρ οὐ μόνον ἀπονητὶ μὴ ἀπολαύσασθαι, ἀλλὰ καὶ ἀπελθεῖν πάντα ἔχοντα. Πλήν, εἰ καὶ τοῦτο δῆλον, οὐδὲ

νὰ τὰ ἐμποδίσει, ἂν ἤθελε; ἀλλὰ τὰ ἐπιτρέπει. Ναί, λέγει. Σὺ δὲ πές μου, γιατὶ ὑπάρχουν τυφλοὶ ἀπὸ τὴν πρώτη ἡλικία; Δὲν θὰ σ' ἀπαντήσω, μέχρις ὅτου μοῦ ὑποσχεθεῖς, ὅτι θὰ βαπτισθεῖς, καὶ ὅτι, ὅταν βαπτισθεῖς, θὰ ζεῖς κατὰ τρόπο ὀρθό. Δὲν εἶναι ὀρθὸ νὰ σοῦ λύνονται παρόμοια ζητήματα, διότι, ὁπωσδήποτε, δὲν γίνεται ὁ λόγος μόνο γιὰ εὐχαρίστηση. Καθόσον καὶ ἂν ἐπιλύσω αὐτό, ἄλλο ζήτημα ἐμφανίζεται· διότι ἡ Γραφὴ εἶναι γεμάτη ἀπὸ τέτοια ζητήματα. Ὥστε νὰ μὴ συνηθίζετε τοὺς ἑαυτούς σας μόνο νὰ ζητᾶτε λύση, ἀλλὰ καὶ νὰ μὴ ζητᾶτε· ἐπειδὴ ἔτσι δὲν θὰ σταματήσουμε νὰ ζητοῦμε λύσεις. Διότι νά, ἂν λύσω αὐτό, παρουσιάζω πληθώρα ἄλλων ζητημάτων. Ὥστε νὰ μάθουμε μᾶλλον αὐτὸ νὰ ζητοῦμε, παρὰ νὰ δίνουμε λύσεις στὰ παρουσιασθέντα ζητήματα. Διότι οὔτε ἂν τὰ λύσουμε, ὁπωσδήποτε τὰ ἔχουμε λύσει, ἀλλὰ κατὰ τὴν ἀνθρώπινη λογική, ἡ πρέπουσα λύση τῶν ζητημάτων αὐτῶν εἶναι ἡ πίστη, τὸ νὰ γνωρίζουμε, ὅτι ὅλα τὰ ἐπιτελεῖ ὁ Θεός, κατὰ τρόπο δίκαιο, φιλάνθρωπο καὶ μὲ συμφέρον μας, ὅτι δὲν εἶναι δυνατὸ νὰ κατανοήσουμε τὴν αἰτία αὐτῶν. Μιὰ λύση εἶναι αὐτή, καὶ δὲν ὑπάρχει ἄλλη καλύτερη ἀπ' αὐτήν. Διότι πές μου, ποιὸ εἶναι τὸ ἔργο τῆς λύσεως; Ὁπωσδήποτε νὰ μὴ ζητᾶς τὴ λύση ἐκείνου ποὺ ἔχει λυθεῖ. Καὶ ἂν πείσεις τὸν ἑαυτό σου γι' αὐτό, ὅτι τὰ πάντα διοικοῦνται μὲ τὴν πρόνοια τοῦ Θεοῦ, ὁ ὁποῖος ἄλλα μὲν ἐπιτρέπει, γιὰ τὸ λόγο ποὺ ἐκεῖνος γνωρίζει, ἄλλα δὲ ἐνεργεῖ, ἀπαλλάχθηκες ἀπὸ τὸ νὰ ζητᾶς λύση, καὶ ἔλαβες τὸ κέρδος ἀπὸ τὴ λύση.

Ἀλλ' ἂς ἐπανέλθουμε στὸ προκείμενο θέμα. Ἐφόσον λοιπὸν βλέπεις τόσους νὰ τιμωροῦνται καὶ ὅλα αὐτὰ τὰ ἐπιτρέπει ὁ Θεός, νὰ χρησιμοποιεῖς τὴν ὑγεία τοῦ σώματός σου γιὰ τὴν ὑγεία τῆς ψυχῆς. Ἀλλὰ θὰ πεῖς· Γιατὶ πρέπει νὰ κοπιάζω καὶ νὰ ταλαιπωροῦμε, ἐφόσον χωρὶς κόπους εἶναι δυνατὸ ν' ἀπαλλαγῶ ἀπὸ ὅλα; Πολὺ περισσότερο οὔτε αὐτὸ εἶναι φανερό. Διότι συμβαίνει ὄχι μόνο νὰ μὴ ἀπαλλαγεῖς ἀπ' αὐτὰ χωρὶς κόπους, ἀλλὰ καὶ νὰ ἀπέλθεις φέροντας μαζί σου ὅλα αὐτά. Πλὴν ὅμως καὶ

οὗτος ἀνεκτὸς ὁ λόγος. Εἰς ἀγῶνας εἵλκυσεν· ὅπλα κεῖται χρυσᾶ. Δέον λαβεῖν αὐτὰ καὶ μεταχειρίσασθαι, σὺ δὲ βούλει ἀδόξως σωθῆναι, καὶ μηδὲν ἀγαθὸν ἐργάσασθαι. Εἰπέ μοι, εἰ πόλεμος συνειστήκει, καὶ ὁ βασιλεὺς παρῆν, καὶ τοὺς μὲν εἶδες εἰς μέσας τὰς φάλαγγας τῶν πολεμίων ἐμπεσόντας καὶ κατακόπτοντας, καὶ τραυματίας ἐργαζομένους μυρίους, ἑτέρους μονομαχοῦντας, ἄλλους πηδῶντας, ἄλλους ἐφ' ἵππων ὀρχουμένους καὶ ἐπαινουμένους ὑπὸ τοῦ βασιλέως, θαυμαζομένους, κροτουμένους, στεφανουμένους· ἑτέρους δὲ πάλιν ἀγαπητὸν ἡγουμένους, εἰ μηδὲν πάθοιεν κακόν, καὶ τὴν ἐσχάτην τάξιν φυλάττοντας καὶ καθημένους, εἶτα μετὰ τὴν τοῦ πολέμου λύσιν τοὺς μὲν καλουμένους, δεξιουμένους ταῖς μεγάλαις δωρεαῖς, ἀνακηρυττομένους· ἐκείνων δὲ οὐδὲ τοὔνομα δῆλον γενόμενον, ἀλλὰ μέχρι τῆς σωτηρίας αὐτοῖς τὴν τῶν ἀγαθῶν ἀντίδοσιν οὖσαν, τίνων ἂν ἠθέλησας γενέσθαι; Εἰ γὰρ λίθινος ἦς, εἰ γὰρ ἀναισθήτων καὶ ἀψύχων νωθέστερος, οὐκ ἂν ἐπεθύμησας ἐκείνων γενέσθαι μυριάκις; Ναί, δέομαι καὶ ἀντιβολῶ. Εἰ γὰρ πεσεῖν πολεμοῦντα ἔδει, οὐκ ἐχρῆν προθύμως τοῦτο ἑλέσθαι; Οὐχ ὁρᾷς τοὺς ἐν τοῖς πολέμοις τούτοις πίπτοντας, πῶς εἰσι λαμπροί, πῶς ἔνδοξοι; καίτοι θάνατον ἀποθνήσκουσι, μεθ' ὃν οὐκ ἔστι τιμηθῆναι παρὰ τοῦ βασιλέως. Ἐπὶ δὲ ἐκείνου τοῦ πολέμου οὐδὲν τοιοῦτον, ἀλλὰ πάντως παραστήσῃ τοὺς μώλωπας ἔχων, οὓς γένοιτο πάντας ἡμᾶς ἐπιδεῖξαι καὶ χωρὶς διωγμῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἂν αὐτὸ εἶναι φανερό, οὔτε ὁ λόγος αὐτὸς εἶναι ἀνεκτός. Σὲ ἀγῶνες σὲ προσκαλεῖ ὁ Θεός· ὅπλα χρυσᾶ ὑπάρχουν. Ἐνῶ πρέπει νὰ λάβεις αὐτὰ καὶ νὰ τὰ χρησιμοποιεῖς, σὺ ὅμως θέλεις νὰ σωθεῖς ἄδοξα καὶ νὰ μὴ ἐπιτελέσεις κανένα ἀγαθὸ ἔργο. Πές μου, ἂν γινόταν πόλεμος καὶ ἦταν παρὼν καὶ ὁ βασιλιάς, καὶ ἔβλεπες ἄλλους μὲν νὰ πέφτουν ἀνάμεσα στὶς ἐχθρικὲς φάλαγγες, καὶ νὰ κατακόπτουν τοὺς ἀντιπάλους καὶ νὰ προκαλοῦν ἄπειρους τραυματίες, ἄλλους νὰ μονομαχοῦν, ἄλλους νὰ πηδοῦν, ἄλλους νὰ χοροπηδοῦν ἐπάνω στοὺς ἵππους καὶ νὰ ἐπαινοῦνται ἀπὸ τὸ βασιλιά, νὰ θαυμάζονται, νὰ ἐπιδοκιμάζονται, νὰ στεφανώνονται· ἄλλους δὲ πάλι νὰ θεωροῦν ἀρκετὸ ἂν συνέβαινε νὰ πάθουν κανένα κακό, καὶ νὰ φυλάττουν ἔτσι τὴν τελευταία θέση τῆς παρατάξεως καὶ νὰ κάθονται, ἔπειτα μετὰ τὸ τέλος τοῦ πολέμου, ἂν ἔβλεπες τοὺς μὲν νὰ καλοῦνται καὶ νὰ τιμοῦνται μὲ μεγάλες δωρεές, καὶ νὰ ἀναγνωρίζονται ἐπίσημα νικητές, τῶν δὲ ἄλλων οὔτε τὸ ὄνομα νὰ μὴ ἀναφέρεται, ἀλλὰ ἡ ἀνταπόδοση τῶν ἀγαθῶν σ' αὐτοὺς νὰ φθάνει μέχρι τὴν σωτηρία τους, μὲ ποιοὺς θὰ ἤθελες νὰ εἶσαι; Διότι ἂν ἤσουν λίθινος, ἂν ἤσουν νωθρότερος ἀπὸ ἀναίσθητα καὶ ἄψυχα ἀντικείμενα, δὲν θὰ ἐπιθυμοῦσες ἀναρίθμητες φορὲς νὰ ἀνήκεις στοὺς πρώτους; Ναί, παρακαλῶ καὶ ἱκετεύω. Διότι, ἂν ἦταν ἀνάγκη νὰ πέσεις στὸ πεδίο τῆς μάχης ἀγωνιζόμενος, δὲν θὰ ἔπρεπε πρόθυμα νὰ προτιμήσεις αὐτό; Δὲν βλέπεις ἐκείνους ποὺ πέφτουν στοὺς πολέμους, πῶς εἶναι λαμπροί, πῶς εἶναι ἔνδοξοι; ἂν καὶ βέβαια πεθαίνουν, ὁπότε δὲν εἶναι πιὰ δυνατὸ νὰ τιμηθοῦν ἀπὸ τὸ βασιλιά. Εἰς ἐκεῖνον ὅμως τὸν πνευματικὸ πόλεμο, δὲν συμβαίνει τίποτε παρόμοιο, ἀλλὰ ὁπωσδήποτε θὰ παρουσιασθεῖς ἔχοντας τοὺς μύλωπες ἀπὸ τὸν πόλεμο, τοὺς ὁποίους εἴθε ὅλοι μας νὰ ἐπιδείξουμε καὶ χωρὶς διωγμούς, γιὰ χάρη τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

* Οἱ ἀριθμοὶ παραπέμπουν διὰ μὲν τὰ χωρία τῆς Ἁγίας Γραφῆς κατὰ σειρὰν εἰς τὸ κεφάλαιον, τὸν στίχον καὶ τὴν σελίδα, διὰ δὲ τὰ ὀνόματα καὶ πράγματα εἰς τὴν σελίδα ποὺ εὑρίσκονται.

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

Α

Β

Γ

Δ

Λ

Μ

Ν

Υ

Φ

Χ

Ψ